NOUL
TESTAMENT

NOUL TESTAMENT

SFÂNTA MARE MĂNĂSTIRE VATOPED
MUNTELE ATHOS 2022

ISBN 978-618-5501-74-7

©2022 ΙΕΡΑ ΜΕΓΙΣΤΗ ΜΟΝΗ ΒΑΤΟΠΑΙΔΙΟΥ
Καρυες, 630 86 αγιον ορος

CUVÂNT ÎNAINTE

LA EDIȚIA BILINGVĂ A NOULUI TESTAMENT

Sfânta Scriptură este cartea dragostei lui Dumnezeu către oameni. Vechiul și, mai ales, Noul Testament ne arată cum Se smerește și Se golește pe Sine Dumnezeu, dăruindu-Se fiecăruia dintre noi. Hristos nu ne dă o învățătură, una dintre multele altele din istoria omenirii, ci ni Se dă pe El Însuși. Cu alte cuvinte, Sfânta Scriptură nu este un cod de comportare corectă în fața lui Dumnezeu, la capătul căreia ne așteaptă o răsplată binemeritată, ci vestirea faptului că Dumnezeu a creat lumea și omul din iubire nesfârșită, că din aceeași iubire a trecut prin Întrupare puntea dintre necreat și creat, ca să ne facă fii ai Săi, că S-a jertfit pentru noi și, nu în ultimul rând, că iubirea lui Dumnezeu ni se dăruiește neîncetat în Biserică. Această veste a golirii și jertfei lui Dumnezeu pentru noi, lucru *mai nou decât toate cele noi, singurul lucru nou sub soare* (Sfântul Ioan Damaschin), este de altfel și temelia vieții de trezvie: adevăratul creștin ia aminte neîncetat la fiecare gând, cuvânt sau faptă a sa, care trebuie să fie vrednice de această jertfă.

Privind astfel lucrurile, înțelegem că Noul Testament nu este o carte care să satisfacă setea de cunoaștere. Cel care îl citește din curiozitate, sau ca să afle ceva, este doar la începutul drumului (lucru, și acesta, lăudabil, însă departe de adevăratul duh al scrierilor inspirate). Cuvântul Scripturii are menirea de a deveni lucrător în sufletele noastre și aceasta trebuie să fie și grija de căpătâi a oricărui credincios. Cu vorbele Sfântului Petru Damaschinul: *Suntem datori să cerem cele ce sunt în dumnezeieștile Scripturi cu durere, cu smerenie și cu sfatul celor pricepuți, ca să le învățăm mai degrabă cu fapta decât cu vorba*. Așa cum se povestește despre Avva Pamvo în Lavsaicon: Tânăr monah fiind, analfabet și fără pic de știință, merge la un Bătrân ca să îl învețe ceva duhovnicesc. Acela începe să îi predea psalmul 38. După primul verset (*Zis-am: Păzi-voi căile mele, ca să nu păcătuiesc întru limba mea*) Avva Pamvo îl oprește și pleacă, motivând că, înainte de a trece la versetul următor, trebuie să îl învețe pe acesta. După șase luni, întâlnindu-l pe Bătrânul nedumerit de pricina pentru care nu mai venise, îi mărturisește că n-a izbutit încă să

învețe cuvântul. Mult mai târziu, se destăinuie unui ucenic că abia după optsprezece ani a deprins cu greu puterea și înțelesul versetului. Același Avva Pamvo, *dacă era întrebat de cineva vreun cuvânt, fie din Scriptură, fie despre viețuire, nu răspundea pe dată, ci zicea că încă nu a aflat răspunsul. De multe ori treceau și trei luni fără să răspundă; spunea că încă nu a înțeles. Și așa îi erau zicerile, cu multă socoteală și după voia lui Dumnezeu; încât toți le primeau cu frică multă, ca de la Dumnezeu Însuși.*

Pilde ca acestea, minunate în simplitatea lor, ne arată adâncimea duhovnicească și trezvia lăuntrică cu care trebuie să ne apropiem de Sfânta Scriptură; căci ea este cuvânt al Duhului, cuvânt cu putere, *viu și lucrător, mai ascuțit decât toată sabia cu două tăișuri și pătrunzător până la despărțitura sufletului și a duhului, a încheieturilor și a măduvei, și judecător al cugetelor și al gândurilor inimii* (Evr. 4,12). Un cuvânt care nu este neapărat nici ușor de priceput, nici la îndemâna oricui și la ale cărui înțelesuri se poate ajunge numai cu multă lucrare duhovnicească. Spune Sfântul Isaac Sirul: *Fără rugăciune și cererea ajutorului de la Dumnezeu să nu te apropii de cuvintele tainelor din Sfânta Scriptură. Ci să zici: „Doamne, dă-mi să primesc simțire a puterii din aceste cuvinte". Să socotești că cheia înțelesurilor celor adevărate din scripturile dumnezeiești este rugăciunea.* Cu cât ne nevoim mai mult să păzim poruncile lui Dumnezeu, cu cât învățăm să ne rugăm mai mult, cu atât mai mult ne adâncim în duhul și înțelesurile Sfintei Scripturi. Citirea cuvântului lui Dumnezeu, însoțită de nevoință după rânduiala Părinților Bisericii noastre, îmbie Sfântul Duh spre împărtășirea lucrării Sale sfințitoare, care îl schimbă la față pe om și îl face persoană adevărată, *părtaș dumnezeieștii firi* (2 Ptr. 1,4). E vorba, deci, de un cuvânt care, în cele din urmă, nu *descrie* sau *lămurește* ceva, ci care *deschide* spre ceva, spre viața întru Duhul Sfânt, spre sfințenie.

Dar mai presus de toate, cuvântul Scripturii este cuvânt smerit. Dumnezeu nu încearcă să se înstăpânească în mintea și în inima omului *prin cuvinte de înduplecare ale înțelepciunii omenești, pentru ca nu prin înțelepciunea oamenilor să fie credința noastră, ci prin puterea lui Dumnezeu* (1 Co. 2,4-5). Așa că numai o inimă smerită Îl poate primi; o inimă care, neștiută de nimeni, departe de slava deșartă și înșelătoare a lumii, se golește, se smerește și se lasă pătrunsă și luminată de cuvântul dumnezeiesc. Un cuvânt la capătul căruia, de altfel, este tăcerea, *taina veacului ce va să fie* (Sfântul Isaac Sirul).

De-a lungul vremii, Biserica s-a îngrijit ca Noul Testament, cuvântul lui Dumnezeu, același, dar totodată mereu nou, să fie copiat și editat spre slava lui Dumnezeu și spre folosul credincioșilor. Biblioteca mănăstirii noastre adăpostește multe manuscrise care mărturisesc râvna monahilor din vechime de a înfățișa cuvântul lui Dumnezeu într-un chip cât mai strălucitor, de mul-

te ori împodobit cu miniaturi (chipuri ale Sfinților Apostoli și alte scene din Sfânta Scriptură), cu inițiale și frontispicii ornate. Așa sunt, de exemplu, manuscrisele 16 (sec. XIV) și 3 (sec. XII) dăruite de Ioan al VI-lea Cantacuzinul și respectiv Andronic al II-lea Paleologul, ale căror miniaturi au fost folosite și pentru alcătuirea ediției de față.

Hotărârea de a tipări o ediție bilingvă a Noului Testament, text original și traducere română, a venit firesc în urma legăturii care s-a născut între mănăstirea noastră și România în ultimii douăzeci și cinci de ani. Mulțime de închinători ne cercetează fără încetare în Sfântul Munte, dând mărturie pentru evlavia și smerenia poporului român. Cele câteva vizite pe care le-am făcut în România ne-au întărit credința că în această țară, dincolo de ispitele și căderile pricinuite de înrâuririle lumii în care trăim, există multă bunăcuviință și dor de Dumnezeu, care pot lesne pricinui o renaștere creștină. Nădăjduim ca această ediție să constituie încă un motiv de apropiere între Sfântul Munte și România, un pas pe calea ce ne duce la încredințarea deplină că tot ceea ce ne desparte nu prețuiește prea mult în fața conștiinței comune de a fi mădulare ale aceleiași Biserici dreptslăvitoare.

Mulțumim în chip deosebit Preafericirii Sale Daniel, Patriarhul Bisericii Ortodoxe Române, pentru a ne fi binecuvântat gândul de a edita această carte. Mulțumim de asemenea echipei coordonate de părintele Constantin Coman, care a ostenit la alcătuirea traducerii. Suntem încredințați că felul duhovnicesc, smerit, dar și competent în care s-au apropiat de textul sfânt va rodi în inimile și mințile tuturor celor care vor citi cuvântul lui Dumnezeu.

Ne rugăm ca această nouă ediție a Noului Testament să trezească în fiecare cititor dorul slujirii *în duh și în adevăr* (In. 4,24) a Celui Care este singurul dorit, Dumnezeu-Omul Hristos.

Starețul Sfintei şi Marii Mănăstiri Vatoped,
Arhimandrit Efrem



ΜΑΤΘΑΙ

Κεφάλαιον Α΄

Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαυὶδ, υἱοῦ Ἀβραάμ. 2Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, 3Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ, Φαρὲς δὲ ἐγέννησε τὸν Ἐσρώμ, Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράμ, 4Ἀρὰμ δὲ ἐγέννησε τὸν Ἀμιναδάβ, Ἀμιναδὰβ δὲ ἐγέννησε τὸν Ναασσών, Ναασσὼν δὲ ἐγέννησε τὸν Σαλμών, 5Σαλμὼν δὲ ἐγέννησε τὸν Βοὸζ ἐκ τῆς Ῥαχάβ, Βοὸζ δὲ ἐγέννησε τὸν Ὼβὴδ ἐκ τῆς Ῥούθ, Ὼβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί, 6Ἰεσσαὶ δὲ ἐγέννησε τὸν Δαυὶδ τὸν βασιλέα. Δαυὶδ δὲ ὁ βασιλεὺς ἐγέννησε τὸν Σολομῶντα ἐκ τῆς τοῦ Οὐρίου, 7Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοάμ, Ῥοβοὰμ δὲ ἐγέννησε τὸν Ἀβιά, Ἀβιὰ δὲ ἐγέννησε τὸν Ἀσά, 8Ἀσὰ δὲ ἐγέννησε τὸν Ἰωσαφάτ, Ἰωσαφὰτ δὲ ἐγέννησε τὸν Ἰωράμ, Ἰωρὰμ δὲ ἐγέννησε τὸν Ὀζίαν, 9Ὀζίας δὲ ἐγέννησε τὸν Ἰωάθαμ, Ἰωάθαμ δὲ ἐγέννησε τὸν Ἄχαζ, Ἄχαζ δὲ ἐγέννησε τὸν Ἐζεκίαν, 10Ἐζεκίας δὲ ἐγέννησε τὸν Μανασσῆ, Μανασσῆς δὲ ἐγέννησε

Capitolul 1

Cartea naşterii lui Iisus Hristos, fiul lui David, fiul lui Avraam. 2Avraam a născut pe Isaac; şi Isaac a născut pe Iacov; şi Iacov a născut pe Iuda şi pe fraţii lui; 3şi Iuda a născut pe Fares şi pe Zara din Tamar; şi Fares a născut pe Esrom; şi Esrom a născut pe Aram; 4şi Aram a născut pe Aminadab; şi Aminadab a născut pe Naason; şi Naason a născut pe Salmon; 5şi Salmon a născut pe Booz din Rahab; şi Booz a născut pe Obed din Rut; şi Obed a născut pe Iesei; 6şi Iesei a născut pe David împăratul; şi David împăratul a născut pe Solomon din femeia lui Urie; 7şi Solomon a născut pe Roboam; şi Roboam a născut pe Abia; şi Abia a născut pe Asa; 8şi Asa a născut pe Iosafat; şi Iosafat a născut pe Ioram; şi Ioram a născut pe Ozia; 9şi Ozia a născut pe Ioatam; şi Ioatam a născut pe Ahaz; şi Ahaz a născut pe Ezechia; 10şi Ezechia a născut pe Manase; şi Manase a născut pe Amon; şi Amon a născut pe Io-

τὸν Ἀμών, Ἀμὼν δὲ ἐγέννησε τὸν Ἰωσίαν, 11Ἰωσίας δὲ ἐγέννησε τὸν Ἰεχονίαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος. 12Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος Ἰεχονίας ἐγέννησε τὸν Σαλαθιήλ, Σαλαθιὴλ δὲ ἐγέννησε τὸν Ζοροβάβελ, 13Ζοροβάβελ δὲ ἐγέννησε τὸν Ἀβιούδ, Ἀβιοὺδ δὲ ἐγέννησε τὸν Ἐλιακείμ, Ἐλιακεὶμ δὲ ἐγέννησε τὸν Ἀζώρ, 14Ἀζὼρ δὲ ἐγέννησε τὸν Σαδώκ, Σαδὼκ δὲ ἐγέννησε τὸν Ἀχείμ, Ἀχεὶμ δὲ ἐγέννησε τὸν Ἐλιούδ, 15Ἐλιοὺδ δὲ ἐγέννησε τὸν Ἐλεάζαρ, Ἐλεάζαρ δὲ ἐγέννησε τὸν Ματθάν, Ματθὰν δὲ ἐγέννησε τὸν Ἰακώβ, 16Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσὴφ τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστός. 17Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαυὶδ γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ Δαυὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ δεκατέσσαρες, καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ γενεαὶ δεκατέσσαρες.

Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν. μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος Ἁγίου. 19Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. 20Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος ἰδοὺ ἄγγελος Κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ λέγων· Ἰωσὴφ υἱὸς Δαυίδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου· 21τέξεται δὲ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. 22Τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος· 23*Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ Θεός.* 24Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ

sia; 11şi Iosia a născut pe Iehonia şi pe fraţii lui la strămutarea în Babilon. 12Iar după strămutarea în Babilon, Iehonia a născut pe Salatiel; şi Salatiel a născut pe Zorobabel; 13şi Zorobabel a născut pe Abiud; şi Abiud a născut pe Eliachim; şi Eliachim a născut pe Azor; 14şi Azor a născut pe Sadoc; şi Sadoc a născut pe Achim; şi Achim a născut pe Eliud; 15şi Eliud a născut pe Eleazar; şi Eleazar a născut pe Matan; şi Matan a născut pe Iacov; 16şi Iacov a născut pe Iosif, bărbatul Mariei, din care S-a născut Iisus, Cel numit Hristos. 17Aşadar, toate neamurile sunt: de la Avraam până la David, paisprezece neamuri; şi de la David până la strămutarea în Babilon, paisprezece neamuri; şi de la strămutarea în Babilon până la Hristos, paisprezece neamuri.

Iar naşterea lui Iisus Hristos aşa a fost: Logodită fiind mama Lui, Maria, cu Iosif, înainte să fie ei împreună, s-a aflat având în pântece de la Duhul Sfânt. 19Iar Iosif, bărbatul ei, drept fiind şi nevrând s-o vădească, a voit s-o slobozească în ascuns. 20Şi cugetând el acestea, iată, un înger al Domnului i s-a arătat în vis, zicând: Iosife, fiul lui David, nu te teme să o iei la tine pe Maria femeia ta; căci ce S-a născut în ea este de la Duhul Sfânt. 21Şi va naşte fiu şi vei chema numele Lui Iisus; că El va mântui poporul Său de păcatele lor. 22Iar acestea toate s-au făcut ca să se împlinească ce s-a spus de Domnul prin proorocul, care zice: 23*Iată, Fecioara va avea în pântece şi va naşte Fiu, şi vor chema numele Lui Emanuel, care se tâlcuieşte: Cu noi este Dumnezeu.* 24Şi sculându-se Iosif din somn, a făcut cum i-a poruncit

τοῦ ὕπνου ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ ἄγγελος Κυρίου καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ, 25καὶ οὐκ ἐγίνωσκεν αὐτὴν ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.

lui îngerul Domnului şi a luat-o la el pe femeia sa, 25şi nu a cunoscut-o pe ea până ce a născut pe Fiul ei Cel întâi-născut şi a chemat numele Lui Iisus.

Κεφάλαιον Β΄

Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέραις Ἡρῴδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα 2λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. 3Ἀκούσας δὲ Ἡρῴδης ὁ βασιλεὺς ἐταράχθη καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ, 4καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς τοῦ λαοῦ ἐπυνθάνετο παρ' αὐτῶν ποῦ ὁ Χριστὸς γεννᾶται. 5οἱ δὲ εἶπον αὐτῷ· ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· οὕτω γὰρ γέγραπται διὰ τοῦ προφήτου· 6*καὶ σὺ Βηθλεέμ, γῇ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ.* 7Τότε Ἡρῴδης λάθρα καλέσας τοὺς μάγους ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος, 8καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ εἶπε· πορευθέντες ἀκριβῶς ἐξετάσατε περὶ τοῦ παιδίου, ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω αὐτῷ. 9οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν· καὶ ἰδοὺ ὁ ἀστὴρ ὃν εἶδον ἐν τῇ ἀνατολῇ προῆγεν αὐτούς, ἕως ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον· 10ἰδόντες δὲ τὸν ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην σφόδρα, 11καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ

Capitolul 2

Şi născându-Se Iisus în Betleemul Iudeii în zilele lui Irod împăratul, iată, magi de la Răsărit au venit în Ierusalim, 2zicând: Unde este Cel ce S-a născut Împărat al iudeilor? Că am văzut steaua Lui în Răsărit şi am venit să ne închinăm Lui. 3Şi auzind Irod împăratul, s-a tulburat, şi tot Ierusalimul împreună cu el. 4Şi adunând pe toţi arhiereii şi cărturarii poporului, căuta să afle de la ei unde Se naşte Hristos. 5Şi ei i-au zis: În Betleemul Iudeii; că aşa s-a scris prin proorocul: 6*Şi tu, Betleeme, pământ al lui Iuda, nicidecum nu eşti cel mai mic între căpeteniile lui Iuda; căci din tine va ieşi Cârmuitor, Care va paşte pe poporul Meu, Israel.* 7Atunci Irod, chemându-i în ascuns pe magi, a aflat lămurit de la ei timpul arătării stelei. 8Şi trimiţându-i în Betleem, a zis: Mergeţi şi cercetaţi cu deamănuntul despre Prunc şi, îndată ce veţi afla, vestiţi-mi, ca să vin şi eu să mă închin Lui. 9Iar ei, ascultându-l pe împărat, au plecat; şi iată, steaua pe care o văzuseră în Răsărit mergea înaintea lor, până ce a venit şi a stat deasupra, unde era Pruncul. 10Şi văzând steaua, s-au bucurat cu bucurie mare foarte. 11Şi intrând în casă, au văzut Pruncul împreună cu Maria,

πεσόντες προσεκύνησαν αὐτῷ, καὶ ἀνοίξαντες
τοὺς θησαυροὺς αὐτῶν προσήνεγκαν αὐτῷ
δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν· 12καὶ
χρηματισθέντες κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς
Ἡρῴδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν
χώραν αὐτῶν.

Ἀναχωρησάντων δὲ αὐτῶν ἰδοὺ ἄγγελος
Κυρίου φαίνεται κατ' ὄναρ τῷ Ἰωσὴφ λέ-
γων· ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν
μητέρα αὐτοῦ καὶ φεῦγε εἰς Αἴγυπτον, καὶ
ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι· μέλλει γὰρ Ἡρῴδης
ζητεῖν τὸ παιδίον τοῦ ἀπολέσαι αὐτό. 14Ὁ δὲ
ἐγερθεὶς παρέλαβε τὸ παιδίον καὶ τὴν μητέρα
αὐτοῦ νυκτὸς καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον,
15καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρῴδου, ἵνα
πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ
προφήτου λέγοντος· *ἐξ Αἰγύπτου ἐκάλεσα
τὸν υἱόν μου.*

Τότε Ἡρῴδης ἰδὼν ὅτι ἐνεπαίχθη ὑπὸ τῶν
μάγων, ἐθυμώθη λίαν, καὶ ἀποστείλας
ἀνεῖλε πάντας τοὺς παῖδας τοὺς ἐν Βηθλεὲμ
καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς ἀπὸ διετοῦς καὶ
κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε πα-
ρὰ τῶν μάγων. 17τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ
Ἰερεμίου τοῦ προφήτου λέγοντος· 18*φωνὴ ἐν
Ῥαμᾷ ἠκούσθη, θρῆνος καὶ κλαυθμὸς καὶ
ὀδυρμὸς πολύς· Ῥαχὴλ κλαίουσα τὰ τέκνα
αὐτῆς, καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ
εἰσίν.*

Τελευτήσαντος δὲ τοῦ Ἡρῴδου ἰδοὺ ἄγγε-
λος Κυρίου κατ' ὄναρ φαίνεται τῷ Ἰωσὴφ
ἐν Αἰγύπτῳ 20λέγων· ἐγερθεὶς παράλαβε τὸ
παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ πορεύου εἰς
γῆν Ἰσραήλ· τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν
ψυχὴν τοῦ παιδίου. 21ὁ δὲ ἐγερθεὶς παρέλαβε
τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ καὶ ἦλθεν
εἰς γῆν Ἰσραήλ. 22ἀκούσας δὲ ὅτι Ἀρχέλαος
βασιλεύει ἐπὶ τῆς Ἰουδαίας ἀντὶ Ἡρῴδου τοῦ
πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν· χρημα-
τισθεὶς δὲ κατ' ὄναρ ἀνεχώρησεν εἰς τὰ μέρη

mama Lui, şi căzând la pământ, s-au închi-
nat Lui; şi deschizând vistieriile lor, I-au
adus Lui daruri: aur şi tămâie şi smirnă.
12Şi luând înştiinţare în vis să nu se mai
întoarcă la Irod, pe altă cale au plecat în
ţara lor.

Şi plecând ei, iată, îngerul Domnului i
se arată în vis lui Iosif, zicând: Scoa-
lă-te, ia Pruncul şi pe mama Lui şi fugi în
Egipt şi stai acolo până ce-ţi voi spune;
fiindcă Irod are să caute Pruncul ca să-L
piardă. 14Şi sculându-se, a luat Pruncul şi
pe mama Lui noaptea şi a plecat în Egipt.
15Şi a stat acolo până la moartea lui Irod,
ca să se împlinească ceea ce s-a spus de
Domnul prin proorocul, care zice: *Din
Egipt am chemat pe Fiul Meu.*

Atunci Irod, văzând că a fost batjocorit
de magi, s-a mâniat foarte şi, trimi-
ţând, a ucis toţi pruncii care erau în Bet-
leem şi în toate hotarele lui, de doi ani şi
mai jos, după timpul pe care îl aflase în-
tocmai de la magi. 17Atunci s-a împlinit
ceea ce s-a spus de Ieremia proorocul, ca-
re zice: 18*Glas în Rama s-a auzit, tânguire
şi plângere şi jeluire multă; Rahela plân-
gând pe fiii ei, şi nu voia să se mângâie,
pentru că nu sunt.*

Şi săvârşindu-se Irod, iată, un înger
al Domnului i se arată în vis lui Iosif
în Egipt,20zicând: Scoală-te, ia Pruncul
şi pe mama Lui şi mergi în pământul lui
Israel; căci au murit cei ce căutau via-
ţa Pruncului.21Iar el, sculându-se, a luat
Pruncul şi pe mama Lui şi a venit în pă-
mântul lui Israel. 22Şi auzind că Arhelau
împărăţeşte peste Iudeea în locul lui Irod,
tatăl lui, s-a temut să meargă acolo; şi lu-
ând înştiinţare în vis, a plecat în părţile

τῆς Γαλιλαίας, 23καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρέτ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν ὅτι Ναζωραῖος κληθήσεται.

Galileii. 23Şi venind, a locuit în cetatea numită Nazaret, ca să se împlinească ceea ce s-a spus prin prooroci, că Nazarinean Se va chema.

Κεφάλαιον Γ΄

Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστὴς κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας 2καὶ λέγων· μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. 3οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ προφήτου λέγοντος· *φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.* 4Αὐτὸς δὲ ὁ Ἰωάννης εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες καὶ μέλι ἄγριον. 5Τότε ἐξεπορεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα καὶ πᾶσα ἡ Ἰουδαία καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου, 6καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. 7Ἰδὼν δὲ πολλοὺς τῶν Φαρισαίων καὶ Σαδδουκαίων ἐρχομένους ἐπὶ τὸ βάπτισμα αὐτοῦ εἶπεν αὐτοῖς· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; 8ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας, 9καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. 10ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. 11ἐγὼ μὲν βαπτίζω ὑμᾶς ἐν ὕδατι εἰς μετάνοιαν· ὁ δὲ ὀπίσω μου ἐρχόμενος ἰσχυρότερός μου ἐστίν, οὗ οὐκ εἰμὶ ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς βαπτίσει ἐν

Capitolul 3

Iar în zilele acelea, a venit Ioan Botezătorul, propovăduind în pustia Iudeii 2şi zicând: Pocăiţi-vă, că s-a apropiat Împărăţia Cerurilor! 3Căci acesta este cel vestit de Isaia proorocul, care zice: *Glasul celui ce strigă în pustie: Gătiţi calea Domnului, drepte faceţi cărările Lui.* 4Şi acest Ioan avea îmbrăcămintea din păr de cămilă şi cingătoare de piele peste mijloc, iar hrana lui era lăcuste şi miere sălbatică. 5Atunci a început să iasă la el Ierusalimul şi toată Iudeea şi toată împrejurimea Iordanului. 6Şi se botezau în Iordan de către el, mărturisindu-şi păcatele lor. 7Şi văzând pe mulţi din farisei şi saduchei venind la botezul lui, le-a zis: Pui de vipere, cine v-a arătat să fugiţi de mânia ce va să fie? 8Faceţi, dar, rod vrednic de pocăinţă! 9Şi să nu socotiţi în sinea voastră că puteţi zice: Părinte avem pe Avraam; căci vă spun vouă că Dumnezeu poate din pietrele acestea să ridice fii lui Avraam. 10De-acum şi securea stă la rădăcina pomilor; deci, tot pomul care nu face rod bun se taie şi se aruncă în foc. 11Eu vă botez în apă spre pocăinţă; dar Cel ce vine după mine este mai tare decât mine, Căruia nu sunt vrednic să-I duc încălţămintea; El vă va boteza în Duh Sfânt şi foc; 12a Cărui lopată este în mâna Sa şi va curăţa aria Sa şi va

Πνεύματι Ἁγίῳ καὶ πυρί. 12οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.

Τότε παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην τοῦ βαπτισθῆναι ὑπ' αὐτοῦ. 14ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν λέγων· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; 15ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· ἄφες ἄρτι· οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. τότε ἀφίησιν αὐτόν· 16καὶ βαπτισθεὶς ὁ Ἰησοῦς ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος· καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ οὐρανοί, καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν καὶ ἐρχόμενον ἐπ' αὐτόν· 17καὶ ἰδοὺ φωνὴ ἐκ τῶν οὐρανῶν λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα.

aduna grâul Său în hambar, iar pleava o va arde cu foc nestins.

Atunci a venit Iisus din Galileea la Iordan, către Ioan, să fie botezat de el. 14Şi Ioan încerca să-L oprească, zicând: Eu am trebuință să fiu botezat de Tine, şi Tu vii la mine? 15Şi răspunzând, Iisus a zis către el: Lasă acum; că aşa se cuvine nouă să plinim toată dreptatea. Atunci L-a lăsat. 16Şi botezându-Se Iisus a ieşit îndată din apă; şi, iată, I s-au deschis Lui cerurile şi a văzut Duhul lui Dumnezeu pogorându-Se ca un porumbel şi venind peste El. 17Şi, iată, glas din ceruri, zicând: Acesta este Fiul Meu Cel iubit, întru Care am binevoit.

Κεφάλαιον Δ΄

Τότε ὁ Ἰησοῦς ἀνήχθη εἰς τὴν ἔρημον ὑπὸ τοῦ Πνεύματος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, 2καὶ νηστεύσας ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα ὕστερον ἐπείνασε. 3καὶ προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. 4ὁ δὲ ἀποκριθεὶς εἶπε· γέγραπται, *οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.* 5Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ 6καὶ λέγει αὐτῷ· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν κάτω· γέγραπται γὰρ ὅτι *τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.* 7ἔφη αὐτῷ ὁ Ἰησοῦς·

Capitolul 4

Atunci Iisus a fost dus în pustie de Duhul ca să fie ispitit de diavolul. 2Şi postind patruzeci de zile şi patruzeci de nopți, după aceea a flămânzit. 3Şi venind la El ispititorul, a zis: Dacă eşti Fiul lui Dumnezeu, zi ca pietrele acestea să se facă pâini. 4Iar El, răspunzând, a zis: Scris este: *Nu numai cu pâine va trăi omul, ci cu tot cuvântul care iese prin gura lui Dumnezeu.* 5Atunci L-a luat cu el diavolul în sfânta cetate, şi L-a pus pe aripa templului 6şi I-a spus: Dacă eşti Fiul lui Dumnezeu, aruncă-Te jos; căci scris este: *Îngerilor Săi le va porunci pentru Tine, şi pe mâini Te vor ridica, ca nu cumva să loveşti de piatră piciorul Tău.* 7Iisus i-a zis: Iarăşi este scris: *Să nu*

πάλιν γέγραπται, *οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.* 8Πάλιν παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ δείκνυσιν αὐτῷ πάσας τὰς βασιλείας τοῦ κόσμου καὶ τὴν δόξαν αὐτῶν 9καὶ λέγει αὐτῷ· ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. 10τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· ὕπαγε ὀπίσω μου, σατανᾶ· γέγραπται γάρ, *Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις.* 11Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος, καὶ ἰδοὺ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ.

ispiteşti pe Domnul Dumnezeul tău. 8Din nou L-a luat cu el diavolul pe un munte foarte înalt şi I-a arătat toate împărăţiile lumii şi slava lor. 9Şi I-a zis: Acestea toate Ţi le voi da Ţie, dacă Te vei închina mie, căzând la pământ. 10Atunci Iisus i-a zis: Mergi înapoia Mea, satano! Căci scris este: *Domnului Dumnezeului tău să te închini şi numai Lui să slujeşti.* 11Atunci L-a lăsat diavolul, şi, iată, îngeri au venit şi Îi slujeau.

Ἀκούσας δὲ ὁ Ἰησοῦς ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν, 13καὶ καταλιπὼν τὴν Ναζαρὲτ ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλείμ, 14ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· 15*γῆ Ζαβουλὼν καὶ γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν,* 16*ὁ λαὸς ὁ καθήμενος ἐν σκότει εἶδε φῶς μέγα, καὶ τοῖς καθημένοις ἐν χώρᾳ καὶ σκιᾷ θανάτου φῶς ἀνέτειλεν αὐτοῖς.* 17Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν· μετανοεῖτε· ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

Şi auzind Iisus că Ioan a fost prins, a plecat în Galileea. 13Şi părăsind Nazaretul, a venit şi a locuit în Capernaum, care este lângă mare, în hotarele lui Zabulon şi Neftalim, 14ca să se împlinească ceea ce s-a spus prin Isaia proorocul, care zice: 15*Pământ al lui Zabulon şi pământ al lui Neftalim, pe Calea Mării, dincolo de Iordan, Galileea neamurilor,* 16*poporul care şedea în întuneric a văzut lumină mare, şi celor ce şedeau în ţinutul şi în umbra morţii lumină le-a răsărit.* 17De atunci a început Iisus să propovăduiască şi să spună: Pocăiţi-vă, că s-a apropiat Împărăţia Cerurilor!

Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας εἶδε δύο ἀδελφούς, Σίμωνα τὸν λεγόμενον Πέτρον καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς· 19καὶ λέγει αὐτοῖς· δεῦτε ὀπίσω μου καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. 20οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ. 21Καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφούς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς αὐτῶν καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς. 22οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν αὐτῷ.

Şi umblând pe lângă Marea Galileii, a văzut doi fraţi, pe Simon, cel numit Petru, şi pe Andrei, fratele lui, aruncând năvodul în mare; căci erau pescari. 19Şi le-a zis: Veniţi după Mine şi vă voi face pe voi pescari de oameni. 20Iar ei îndată, lăsând mrejele, I-au urmat Lui. 21Şi mergând mai departe de acolo, a văzut alţi doi fraţi, pe Iacov al lui Zevedeu şi pe Ioan, fratele lui, în corabie cu Zevedeu, tatăl lor, dregându-şi mrejele, şi i-a chemat. 22Iar ei îndată, lăsând corabia şi pe tatăl lor, I-au urmat Lui.

Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. 24καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας ποικίλαις νόσοις καὶ βασάνοις συνεχομένους, καὶ δαιμονιζομένους καὶ σεληνιαζομένους καὶ παραλυτικούς, καὶ ἐθεράπευσεν αὐτούς· 25καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ ἀπὸ τῆς Γαλιλαίας καὶ Δεκαπόλεως καὶ Ἱεροσολύμων καὶ Ἰουδαίας καὶ πέραν τοῦ Ἰορδάνου.

Şi străbătea Iisus toată Galileea, învăţând în sinagogile lor şi propovăduind Evanghelia Împărăţiei şi tămăduind toată boala şi toată neputinţa în popor. 24Şi s-a dus vestea Lui în toată Siria. Şi i-au adus la El pe toţi cei ce se aflau în suferinţe, cuprinşi de felurite boli şi de chinuri, şi pe îndrăciţi, şi pe lunatici, şi pe paralitici, şi i-a vindecat. 25Şi I-au urmat Lui mulţimi multe din Galileea şi din Decapole şi din Ierusalim şi din Iudeea şi de dincolo de Iordan.

Κεφάλαιον Ε΄

Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος, καὶ καθίσαντος αὐτοῦ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, 2καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς λέγων·

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. 4μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. 5μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν. 6μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται. 7μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. 8μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. 9μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται. 10μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. 11μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν ἐμοῦ. 12χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτω γὰρ ἐδίωξαν τοὺς προφήτας

Capitolul 5

Şi văzând mulţimile, S-a suit în munte, şi aşezându-Se, s-au apropiat de El ucenicii Lui. 2Şi, deschizând gura Sa, îi învăţa zicând:

Fericiţi cei săraci cu duhul, că a lor este Împărăţia Cerurilor. 4Fericiţi cei ce plâng, că aceia se vor mângâia. 5Fericiţi cei blânzi, că aceia vor moşteni pământul. 6Fericiţi cei ce flămânzesc şi însetează de dreptate, că aceia se vor sătura. 7Fericiţi cei milostivi, că aceia se vor milui. 8Fericiţi cei curaţi cu inima, că aceia vor vedea pe Dumnezeu. 9Fericiţi făcătorii de pace, că aceia fiii lui Dumnezeu se vor chema. 10Fericiţi cei prigoniţi pentru dreptate, că a lor este Împărăţia Cerurilor. 11Fericiţi veţi fi când vă vor ocărî şi vă vor prigoni pentru Mine şi, minţind, vor zice tot cuvântul viclean împotriva voastră. 12Bucuraţi-vă şi veseliţi, că plata voastră multă este în ceruri! Căci

τοὺς πρὸ ὑμῶν. 13Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ βληθῆναι ἔξω καὶ καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων.

Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· 15οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. 16οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. 18ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται. 19ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. 20λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. 21Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, *οὐ φονεύσεις*· ὃς δ' ἂν φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. 22Ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ τῷ ἀδελφῷ αὐτοῦ ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ' ἂν εἴπῃ μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. 23Ἐὰν οὖν προσφέρῃς τὸ δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, 24ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου, καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου. 25Ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου

aşa i-au prigonit pe proorocii cei dinainte de voi. 13Voi sunteţi sarea pământului; dacă sarea se va strica, cu ce se va săra? De nimic nu mai e bună decât să fie aruncată afară şi călcată în picioare de oameni.

Voi sunteţi lumina lumii. Nu se poate ascunde o cetate aşezată pe un munte, 15nici nu aprind făclie şi o pun sub obroc, ci în sfeşnic, şi luminează tuturor celor din casă. 16Aşa să lumineze lumina voastră înaintea oamenilor, încât să vadă faptele voastre cele bune şi să-L slăvească pe Tatăl vostru Cel din ceruri.

Să nu socotiţi că am venit să stric Legea sau Proorocii; n-am venit să stric, ci să plinesc. 18Căci amin zic vouă: Până să treacă cerul şi pământul, o iotă sau o cirtă nu vor trece din Lege până ce nu se vor face toate. 19Aşadar, cel ce va strica una din aceste porunci foarte mici şi îi va învăţa aşa pe oameni foarte mic se va chema în Împărăţia Cerurilor; iar cel ce va face şi va învăţa, acesta mare se va chema în Împărăţia Cerurilor. 20Căci vă zic vouă: De nu va prisosi dreptatea voastră mai mult decât a cărturarilor şi a fariseilor, nu veţi intra în Împărăţia Cerurilor. 21Aţi auzit că s-a zis celor de demult: *Să nu ucizi*; iar cine va ucide, vinovat va fi la judecată. 22Eu însă vă zic vouă: Tot cel ce se mânie pe fratele său în zadar vinovat va fi la judecată; şi cine va zice fratelui său *racá*, vinovat va fi înaintea sinedriului; iar cine va zice *nebunule*, vinovat va fi de gheena focului. 23Aşadar, dacă aduci darul tău la jertfelnic şi acolo îţi aminteşti că fratele tău are ceva împotriva ta, 24lasă acolo darul tău, înaintea jertfelnicului, şi mergi întâi, împacă-te cu fratele tău, şi atunci, venind, adu darul tău. 25Împacă-te

ταχὺ ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ, μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ καὶ ὁ κριτής σε παραδῷ τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ· 26ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως οὖ ἀποδῷς τὸν ἔσχατον κοδράντην.

Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, *οὐ μοιχεύσεις*. 28Ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. 29εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. 30καὶ εἰ ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε, ἔκκοψον αὐτὴν καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν.

Ἐρρέθη δέ· *ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ ἀποστάσιον*. 32Ἐγὼ δὲ λέγω ὑμῖν ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι, καὶ ὃς ἐὰν ἀπολελυμένην γαμήσῃ, μοιχᾶται.

Πάλιν ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, *οὐκ ἐπιορκήσεις, ἀποδώσεις δὲ τῷ Κυρίῳ τοὺς ὅρκους σου*. 34Ἐγὼ δὲ λέγω ὑμῖν μὴ ὀμόσαι ὅλως· μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶ τοῦ Θεοῦ· 35μήτε ἐν τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστι τῶν ποδῶν αὐτοῦ· μήτε εἰς Ἱεροσόλυμα, ὅτι πόλις ἐστὶ τοῦ μεγάλου βασιλέως· 36μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς, ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν ἢ μέλαιναν ποιῆσαι. 37ἔστω δὲ ὁ λόγος ὑμῶν ναὶ ναί, οὒ οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν.

Ἠκούσατε ὅτι ἐρρέθη, *ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος*. 39Ἐγὼ

cu potrivnicul tău degrabă, până ce eşti cu el pe cale, ca nu cumva potrivnicul să te dea judecătorului, şi judecătorul slujitorului, şi să fii aruncat în temniță. 26Amin zic ție: Nu vei ieşi de acolo, până ce nu vei fi dat cel din urmă codrant.

Ați auzit că s-a zis celor de demult: *Să nu săvârşeşti adulter*. 28Eu însă vă zic vouă: Tot cel ce se uită la femeie spre a o pofti, a şi săvârşit adulter cu ea în inima lui. 29Iar dacă ochiul tău cel drept te sminteşte, scoate-l şi aruncă-l de la tine; pentru că îți este de folos să piară unul din mădularele tale şi să nu fie aruncat tot trupul tău în gheena. 30Şi dacă mâna ta cea dreaptă te sminteşte, taie-o şi o aruncă de la tine; pentru că îți este de folos să piară unul din mădularele tale şi să nu fie aruncat tot trupul tău în gheena.

Şi s-a zis: *Cine va lăsa pe femeia sa să-i dea carte de despărțire*. 32Eu însă vă spun vouă: Cel ce va lăsa pe femeia sa în afară de pricină de desfrânare o face să săvârşească adulter şi cel ce se va însura cu cea lăsată săvârşeşte adulter.

Iarăşi ați auzit că s-a zis celor de demult: *Să nu-ți calci jurământul, ci să ții înaintea Domnului jurămintele tale*. 34Eu însă vă zic vouă: Să nu vă jurați nicidecum! Nici pe cer, fiindcă este tron al lui Dumnezeu; 35nici pe pământ, fiindcă este aşternut al picioarelor Lui; nici pe Ierusalim, fiindcă este cetate a marelui Împărat; 36nici pe capul tău să nu te juri, fiindcă nu poți să faci un fir de păr alb sau negru, 37ci cuvântul vostru să fie: da, da; nu, nu; iar ce este mai mult decât acestea de la cel viclean este.

Ați auzit că s-a zis: *Ochi pentru ochi şi dinte pentru dinte*. 39Eu însă vă zic vo-

δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην· 40καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· 41καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ δύο· 42τῷ αἰτοῦντί σε δίδου καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς.

Ἠκούσατε ὅτι ἐρρέθη, *ἀγαπήσεις τὸν πλησίον σου* καὶ μισήσεις τὸν ἐχθρόν σου. 44Ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς καὶ διωκόντων ὑμᾶς, 45ὅπως γένησθε υἱοὶ τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. 46ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ τελῶναι τὸ αὐτὸ ποιοῦσι; 47καὶ ἐὰν ἀσπάσησθε τοὺς φίλους ὑμῶν μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ τελῶναι οὕτω ποιοῦσιν; 48Ἔσεσθε οὖν ὑμεῖς τέλειοι, ὥσπερ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς τέλειός ἐστιν.

uă: Nu vă împotriviți celui viclean! Ci, oricine te va lovi peste obrazul drept, întoarce-i-l şi pe celălalt. 40Şi celui ce voieşte să se judece cu tine şi să-ți ia cămaşa, lasă-i şi haina. 41Şi oricine te va sili să mergi cu el o milă, mergi două. 42Celui care îți cere dă-i şi celui care voieşte să se împrumute de la tine nu-i întoarce spatele.

Ați auzit că s-a zis: *Să iubeşti pe aproapele tău* şi să urăşti pe vrăjmaşul tău. 44Eu însă vă zic vouă: Iubiți pe vrăjmaşii voştri, binecuvântați pe cei ce vă blestemă, faceți bine celor ce vă urăsc şi rugați-vă pentru cei ce vă năpăstuiesc şi vă prigonesc, 45ca să fiți fii ai Tatălui vostru Celui din ceruri, că El face să răsară soarele Său şi peste cei răi şi peste cei buni şi trimite ploaie peste cei drepți şi peste cei nedrepți. 46Căci dacă îi iubiți pe cei ce vă iubesc, ce răsplată aveți? Nu fac şi vameşii acelaşi lucru? 47Şi dacă îi îmbrățişați numai pe prietenii voştri, ce faceți mai mult? Nu fac aşa şi vameşii? 48Fiți, dar, voi desăvârşiți precum Tatăl vostru Cel din ceruri desăvârşit este.

Κεφάλαιον ς΄

Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. 2Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων· ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν.

Capitolul 6

Luați aminte ca milostenia voastră să nu o faceți în fața oamenilor, ca să fiți văzuți de ei; altminteri nu aveți plată de la Tatăl vostru Cel din ceruri. 2Aşadar, când faci milostenie, nu trâmbița înaintea ta, cum fac fățarnicii în sinagogi şi pe ulițe, ca să fie slăviți de oameni; amin zic vouă: şi-au luat plata lor. 3Tu însă, făcând milostenie, să nu ştie stânga ta ce face dreapta

3σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ γνώτω ἡ
ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου, 4ὅπως ᾖ
σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ, καὶ ὁ πα-
τήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει
σοι ἐν τῷ φανερῷ.

Καὶ ὅταν προσεύχῃ, οὐκ ἔσῃ ὥσπερ οἱ ὑπο-
κριταί, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς
καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες
προσεύχεσθαι, ὅπως ἂν φανῶσι τοῖς ἀνθρώ-
ποις· ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσι τὸν μισθὸν
αὐτῶν. 6σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ
ταμιεῖόν σου, καὶ κλείσας τὴν θύραν σου
πρόσευξαι τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ,
καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀπο-
δώσει σοι ἐν τῷ φανερῷ. 7Προσευχόμενοι δὲ
μὴ βαττολογήσητε ὥσπερ οἱ ἐθνικοί· δοκοῦσι
γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθή-
σονται. 8μὴ οὖν ὁμοιωθῆτε αὐτοῖς· οἶδε γὰρ
ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς
αἰτῆσαι αὐτόν.

Οὕτως οὖν προσεύχεσθε ὑμεῖς· Πάτερ ἡμῶν
ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά
σου· 10ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ
θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς·
11τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σή-
μερον· 12καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν·
13καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ
ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. ὅτι σοῦ ἐστιν
ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα εἰς τοὺς
αἰῶνας· ἀμήν.

Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώ-
ματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν
ὁ οὐράνιος· 15ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις
τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν
ἀφήσει τὰ παραπτώματα ὑμῶν.

Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὥσπερ οἱ
ὑποκριταὶ σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ
πρόσωπα αὐτῶν ὅπως φανῶσι τοῖς ἀνθρώποις
νηστεύοντες· ἀμὴν λέγω ὑμῖν ὅτι ἀπέχουσι τὸν

ta, 4ca milostenia ta să fie într-ascuns, şi
Tatăl tău Care vede în ascuns îţi va răsplăti ţie pe faţă.

Iar când te rogi, nu fi ca făţarnicii, că lor
le place să se roage stând în picioare în
sinagogi şi la răspântii, ca să se arate oa-
menilor; amin zic vouă: şi-au luat plata
lor. 6Tu însă, când te rogi, intră în cămara ta şi, închizând uşa ta, roagă-te Tatălui
tău, Care este în ascuns, şi Tatăl tău, Care
vede în ascuns, îţi va răsplăti ţie pe faţă.
7Iar când vă rugaţi, nu îndrugaţi multe ca
păgânii; căci ei cred că în multa lor vorbărie vor fi ascultaţi. 8Aşadar, nu vă asemănaţi lor; că ştie Tatăl vostru cele de care
aveţi trebuinţă înainte să Îi cereţi voi Lui.

Deci, voi aşa să vă rugaţi: Tatăl nostru,
Care eşti în ceruri, sfinţească-se numele Tău; 10vie Împărăţia Ta; facă-se voia
Ta, precum în cer, şi pe pământ; 11pâinea
noastră cea spre fiinţă dă-ne-o nouă astăzi; 12şi ne iartă nouă datoriile noastre,
precum şi noi iertăm datornicilor noştri;
13şi nu ne duce pe noi în ispită, ci ne izbăveşte de cel viclean. Că a Ta este Împărăţia şi puterea şi slava în veci; amin!

Căci de veţi ierta oamenilor greşealele lor, ierta-va şi vouă Tatăl vostru
Cel ceresc; 15Iar de nu veţi ierta oamenilor greşealele lor, nici Tatăl vostru nu vă
va ierta greşealele voastre.

Iar când postiţi, nu fiţi posomorâţi ca fă-
ţarnicii; căci ei îşi sluţesc feţele, ca să se
arate oamenilor postind; amin zic vouă:
şi-au luat plata lor. 17Tu însă, când posteşti,

μισθὸν αὐτῶν. 17σὺ δὲ νηστεύων ἄλειψαί σου
τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι,
18ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων,
ἀλλὰ τῷ πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καὶ ὁ
πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει
σοι ἐν τῷ φανερῷ.

Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς
γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει, καὶ
ὅπου κλέπται διορύσσουσι καὶ κλέπτουσι·
20θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ,
ὅπου οὔτε σὴς οὔτε βρῶσις ἀφανίζει, καὶ ὅπου
κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν·
21ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται
καὶ ἡ καρδία ὑμῶν.

Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός·
ἐὰν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, ὅλον τὸ
σῶμά σου φωτεινὸν ἔσται· 23ἐὰν δὲ ὁ ὀφθαλ-
μός σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκο-
τεινὸν ἔσται. εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ σκότος
ἐστί, τὸ σκότος πόσον;

Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ
γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγα-
πήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου κα-
ταφρονήσει. οὐ δύνασθε Θεῷ δουλεύειν καὶ
μαμωνᾷ.

Διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ
ὑμῶν τί φάγητε καὶ τί πίητε, μηδὲ τῷ σώ-
ματι ὑμῶν τί ἐνδύσησθε· οὐχὶ ἡ ψυχὴ πλεῖόν
ἐστι τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος;
26ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ, ὅτι
οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ συν-
άγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν
ὁ οὐράνιος τρέφει αὐτά· οὐχ ὑμεῖς μᾶλλον
διαφέρετε αὐτῶν; 27τίς δὲ ἐξ ὑμῶν μεριμνῶν
δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ
πῆχυν ἕνα; 28καὶ περὶ ἐνδύματος τί μεριμνᾶτε;
καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνει·
οὐ κοπιᾷ οὐδὲ νήθει· 29λέγω δὲ ὑμῖν ὅτι οὐδὲ
Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβά-
λετο ὡς ἓν τούτων. 30Εἰ δὲ τὸν χόρτον τοῦ

unge capul tău şi faţa ta o spală, 18ca să
nu te arăţi oamenilor postind, ci Tatălui
tău Care este în ascuns, şi Tatăl tău, Care
vede în ascuns, îţi va răsplăti ţie pe faţă.

Nu vă adunaţi comori pe pământ, unde
molia şi rugina le strică şi unde furii
le sapă şi le fură, 20ci adunaţi-vă comori
în cer, unde nici molia, nici rugina nu le
strică şi unde furii nu le sapă şi nu le fură.
21Că unde este comoara voastră, acolo va
fi şi inima voastră.

Făclia trupului este ochiul; de va fi, aşa-
dar, ochiul tău curat, tot trupul tău va
fi luminos; 23iar de va fi ochiul tău viclean,
tot trupul tău va fi întunecat. Aşadar, dacă
lumina din tine este întuneric, întunericul
cu cât mai mult?

Nimeni nu poate să slujească la doi
domni; căci sau pe unul îl va urî şi pe
celălalt îl va iubi, sau de unul se va ţine şi
pe celălalt îl va disprețui. Nu puteţi să slu-
jiţi lui Dumnezeu şi lui mamona.

De aceea zic vouă: Nu vă îngrijiţi pen-
tru sufletul vostru ce veţi mânca şi ce
veţi bea, nici pentru trupul vostru cu ce vă
veţi îmbrăca; nu este sufletul mai mult de-
cât hrana şi trupul decât îmbrăcămintea?
26Priviţi la păsările cerului, că nu seamănă,
nici nu seceră, nici nu adună în hambare,
şi Tatăl vostru Cel ceresc le hrăneşte; nu
sunteţi voi cu mult mai de preţ decât ele?
27Şi cine dintre voi, îngrijindu-se, poate să
adauge la statura sa un cot? 28Şi de îmbră-
căminte de ce vă îngrijiţi? Luaţi bine sea-
ma la crinii câmpului cum cresc: nu se os-
tenesc, nici nu torc. 29Dar vă zic vouă că
nici Solomon, în toată slava lui, nu s-a îm-

ἀγροῦ, σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; 31μὴ οὖν μεριμνήσητε λέγοντες, τί φάγωμεν ἢ τί πίωμεν ἢ τί περιβαλώμεθα; 32πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητεῖ· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων. 33ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. 34Μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον· ἡ γὰρ αὔριον μεριμνήσει τὰ ἑαυτῆς· ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.

brăcat ca unul dintre aceştia. 30Iar dacă iarba câmpului, care astăzi este şi mâine se aruncă în cuptor, Dumnezeu o îmbracă aşa, nu cu mult mai mult pe voi, puţin credincioşilor? 31Aşadar, nu vă îngrijiţi, zicând: Ce vom mânca, ori ce vom bea, ori cu ce ne vom îmbrăca? 32Căci toate acestea le caută neamurile; că ştie Tatăl vostru Cel ceresc că aveţi trebuinţă de acestea toate. 33Ci căutaţi mai întâi Împărăţia lui Dumnezeu şi dreptatea Lui şi acestea toate se vor adăuga vouă. 34Nu vă îngrijiţi, aşadar, de ziua de mâine; căci ziua de mâine se va îngriji de ale sale; ajunge zilei răutatea ei.

Κεφάλαιον Ζ΄

Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· 2ἐν ᾧ γὰρ κρίματι κρίνετε κριθήσεσθε, καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε μετρηθήσεται ὑμῖν. 3τί δὲ βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ δοκὸν οὐ κατανοεῖς; 4ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου, ἄφες ἐκβάλω τὸ κάρφος ἀπὸ τοῦ ὀφθαλμοῦ σου, καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σου; 5ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.

Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσὶ μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς ἐν τοῖς ποσὶν αὐτῶν καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.

Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν, ζητεῖτε, καὶ εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν· 8πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ἀνοιγήσεται. 9ἢ τίς

Capitolul 7

Nu judecaţi, ca să nu fiţi judecaţi; 2căci cu judecata cu care judecaţi veţi fi judecaţi, şi cu măsura cu care măsuraţi vi se va măsura vouă. 3De ce vezi paiul din ochiul fratelui tău, iar bârna din ochiul tău nu o iei în seamă? 4Ori cum vei zice fratelui tău: Lasă să scot paiul din ochiul tău, şi iată, bârna este în ochiul tău? 5Făţarnice, scoate întâi bârna din ochiul tău, şi atunci vei vedea să scoţi paiul din ochiul fratelui tău.

Nu daţi ce este sfânt câinilor, nici nu aruncaţi mărgăritarele voastre înaintea porcilor, ca nu cumva să le calce în picioare şi, întorcându-se, să vă sfâşie.

Cereţi şi vi se va da, căutaţi şi veţi afla, bateţi şi vi se va deschide. 8Căci tot cel ce cere ia şi cel ce caută află şi celui care bate i se va deschide. 9Sau cine din-

ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; 10καὶ ἐὰν ἰχθὺν αἰτήσῃ, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; 11εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν;

Πάντα οὖν ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.

Εἰσέλθετε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς. 14τί στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. 16ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλὴν ἢ ἀπὸ τριβόλων σῦκα; 17οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ, τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ. 18οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν. 19πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. 20ἄραγε ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς.

Οὐ πᾶς ὁ λέγων μοι Κύριε Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. 22πολλοί ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; 23καὶ τότε ὁμολογήσω αὐτοῖς ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

tre voi este omul, care, de-i va cere fiul său pâine, el îi va da piatră? 10Şi de-i va cere peşte, el îi va da şarpe? 11Dacă voi, aşadar, vicleni fiind, ştiţi să daţi daruri bune copiilor voştri, cu cât mai mult Tatăl vostru Cel din ceruri va da cele bune celor care Îi cer Lui?

Deci, toate câte voiţi să vă facă vouă oamenii, aşa faceţi-le şi voi lor; că aceasta este Legea şi Proorocii.

Intraţi prin poarta cea strâmtă; că largă este poarta şi lată este calea care duce la pieire, şi mulţi sunt cei care intră prin ea. 14Cât de îngustă este poarta şi cât de strâmtorată este calea care duce la viaţă, şi puţini sunt cei care o află!

Feriţi-vă de proorocii mincinoşi, care vin la voi în haine de oi, iar pe dinăuntru sunt lupi răpitori. 16După roadele lor îi veţi cunoaşte. Oare se culeg din spini struguri ori din mărăcini smochine? 17Astfel, tot pomul bun face roade bune, iar pomul putred face roade rele. 18Nu poate pomul bun să facă roade rele, nici pomul putred să facă roade bune. 19Tot pomul care nu face rod bun se taie şi se aruncă în foc. 20De aceea, după roadele lor îi veţi cunoaşte.

Nu tot cel ce Îmi zice: Doamne, Doamne, va intra în Împărăţia Cerurilor, ci cel ce face voia Tatălui Meu Celui din ceruri. 22Mulţi Îmi vor zice în ziua aceea: Doamne, Doamne, nu în numele Tău am proorocit şi nu în numele Tău am scos draci şi nu în numele Tău am făcut puteri multe? 23Şi atunci le voi mărturisi: Niciodată nu v-am cunoscut pe voi. Depărtaţi-vă de la Mine cei ce lucraţi fărădelegea!

Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους καὶ ποιεῖ αὐτούς, ὁμοιώσω αὐτὸν ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν· 25καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. 26καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους καὶ μὴ ποιῶν αὐτοὺς ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ἄμμον· 27καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσε, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη. 28Καὶ ἐγένετο ὅτε συνετέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ· 29ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς.

Deci, tot cel ce aude aceste cuvinte ale Mele şi le face, îl voi asemăna bărbatului înţelept care a clădit casa sa pe piatră; 25şi a căzut ploaia şi au venit râurile şi au suflat vânturile şi s-au năpustit peste casa aceea, şi nu a căzut; că era întemeiată pe piatră. 26Şi tot cel ce aude aceste cuvinte ale Mele şi nu le face se va asemăna bărbatului nebun, care şi-a clădit casa pe nisip; 27şi a căzut ploaia şi au venit râurile şi au suflat vânturile şi au izbit casa aceea, şi a căzut, şi a fost căderea ei mare. 28Şi a fost când a sfârşit Iisus cuvintele acestea că mulţimile se uimeau de învăţătura Lui; 29că îi învăţa pe ei ca având putere, şi nu precum cărturarii.

Κεφάλαιον Η΄

Καταβάντι δὲ αὐτῷ ἀπὸ τοῦ ὄρους ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί. 2Καὶ ἰδοὺ λεπρὸς ἐλθὼν προσεκύνει αὐτῷ λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. 3καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο αὐτοῦ ὁ Ἰησοῦς λέγων· θέλω, καθαρίσθητι. καὶ εὐθέως ἐκαθαρίσθη αὐτοῦ ἡ λέπρα. 4καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· ὅρα μηδενὶ εἴπῃς, ἀλλὰ ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ καὶ προσένεγκε τὸ δῶρον ὃ προσέταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς.

Εἰσελθόντι δὲ αὐτῷ εἰς Καπερναοὺμ προσῆλθεν αὐτῷ ἑκατόνταρχος παρακαλῶν αὐτὸν καὶ λέγων· 6Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος. 7καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· ἐγὼ ἐλθὼν

Capitolul 8

Şi coborând El din munte, mulţimi multe au urmat Lui. 2Şi iată, un lepros venind, se închina Lui, zicând: Doamne, dacă voieşti, poţi să mă curăţeşti. 3Şi Iisus, întinzând mâna, S-a atins de el, zicând: Voiesc, curăţeşte-te! Şi îndată s-a curăţit lepra lui. 4Şi i-a zis Iisus: Vezi nimănui să nu spui, ci mergi de te arată preotului şi adu darul pe care l-a poruncit Moise, spre mărturie lor.

Şi intrând El în Capernaum, s-a apropiat de El un sutaş, rugându-L şi zicând: 6Doamne, sluga mea zace în casă, paralitic fiind, cumplit chinuindu-se. 7Şi i-a zis Iisus: Însumi venind, îl voi tămădui. 8Şi

θεραπεύσω αὐτόν. 8καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος ἔφη· Κύριε, οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς· ἀλλὰ μόνον εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου. 9καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, πορεύθητι, καὶ πορεύεται, καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται, καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο, καὶ ποιεῖ. 10ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασε καὶ εἶπε τοῖς ἀκολουθοῦσιν· ἀμὴν λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. 11λέγω δὲ ὑμῖν ὅτι πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, 12οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. 13καὶ εἶπεν ὁ Ἰησοῦς τῷ ἑκατοντάρχῳ· ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι. καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ.

Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου εἶδε τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν· 15καὶ ἥψατο τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός, καὶ ἠγέρθη καὶ διηκόνει αὐτῷ. 16 Ὀψίας δὲ γενομένης προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλούς, καὶ ἐξέβαλε τὰ πνεύματα λόγῳ καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν, 17ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· *αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασεν.*

Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς ὄχλους περὶ αὐτὸν ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν. 19Καὶ προσελθὼν εἷς γραμματεὺς εἶπεν αὐτῷ· διδάσκαλε, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. 20καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. 21Ἕτερος δὲ τῶν μαθητῶν αὐτοῦ εἶπεν αὐτῷ· Κύριε, ἐπίτρεψόν

răspunzând sutaşul, a zis: Doamne, nu sunt vrednic să intri sub acoperişul meu; ci numai zi cu cuvântul şi se va vindeca

sluga mea. 9Că şi eu sunt om sub stăpânire şi am sub mine ostaşi, şi-i spun acestuia: Du-te! şi se duce; şi altuia: Vino! şi vine; şi robului meu: Fă aceasta! şi face. 10Şi auzind Iisus, S-a minunat şi a zis celor ce-L urmau: Amin zic vouă: nici în Israel n-am aflat atâta credinţă. 11Şi vă zic vouă că mulţi de la Răsărit şi de la Apus vor veni şi vor şedea la masă cu Avraam şi cu Isaac şi cu Iacov în Împărăţia Cerurilor, 12iar fiii Împărăţiei vor fi aruncaţi în întunericul cel mai din afară; acolo va fi plângerea şi scrâşnirea dinţilor. 13Şi a zis Iisus sutaşului: Du-te şi fie ţie după cum ai crezut! Şi s-a vindecat sluga lui în ceasul acela.

Şi venind Iisus în casa lui Petru, a văzut-o pe soacra lui zăcând şi aprinsă de friguri. 15Şi S-a atins de mâna ei, şi au lăsat-o frigurile şi s-a sculat şi Îi slujea Lui. 16Şi făcându-se seară, au adus la El mulţi îndrăciţi şi a scos duhurile cu cuvântul şi pe toţi cei aflaţi în suferinţă i-a tămăduit, 17ca să se împlinească ceea ce s-a spus prin Isaia proorocul, care zice: *Acesta neputinţele noastre a luat şi bolile noastre a purtat.*

Şi văzând Iisus mulţimi multe împrejurul Lui, a poruncit să treacă de cealaltă parte. 19Şi apropiindu-se un cărturar, I-a zis: Învăţătorule, voi urma Ţie oriunde vei merge. 20Iar Iisus i-a zis: Vulpile au vizuini şi păsările cerului cuiburi, dar Fiul Omului nu are unde să-Şi plece capul. 21Iar altul dintre ucenicii Lui I-a zis: Doamne, îngăduie-mi întâi să mă duc şi

μοι πρῶτον ἀπελθεῖν καὶ θάψαι τὸν πατέρα μου. 22ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς.

Καὶ ἐμβάντι αὐτῷ εἰς τὸ πλοῖον ἠκολούθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. 24καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων· αὐτὸς δὲ ἐκάθευδε. 25καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἤγειραν αὐτὸν λέγοντες· Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα. 26καὶ λέγει αὐτοῖς· τί δειλοί ἐστε, ὀλιγόπιστοι; τότε ἐγερθεὶς ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐγένετο γαλήνη μεγάλη. 27οἱ δὲ ἄνθρωποι ἐθαύμασαν λέγοντες· ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;

Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ πέραν εἰς τὴν χώραν τῶν Γεργεσηνῶν ὑπήντησαν αὐτῷ δύο δαιμονιζόμενοι ἐκ τῶν μνημείων ἐξερχόμενοι, χαλεποὶ λίαν, ὥστε μὴ ἰσχύειν τινὰ παρελθεῖν διὰ τῆς ὁδοῦ ἐκείνης. 29καὶ ἰδοὺ ἔκραξαν λέγοντες· τί ἡμῖν καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; 30ἦν δὲ μακρὰν ἀπ' αὐτῶν ἀγέλη χοίρων πολλῶν βοσκομένη. 31οἱ δὲ δαίμονες παρεκάλουν αὐτὸν λέγοντες· εἰ ἐκβάλλεις ἡμᾶς, ἐπίτρεψον ἡμῖν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων. 32καὶ εἶπεν αὐτοῖς· ὑπάγετε. οἱ δὲ ἐξελθόντες ἀπῆλθον εἰς τὴν ἀγέλην τῶν χοίρων· καὶ ἰδοὺ ὥρμησε πᾶσα ἡ ἀγέλη τῶν χοίρων κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν καὶ ἀπέθανον ἐν τοῖς ὕδασιν. 33οἱ δὲ βόσκοντες ἔφυγον, καὶ ἀπελθόντες εἰς τὴν πόλιν ἀπήγγειλαν πάντα καὶ τὰ τῶν δαιμονιζομένων. 34καὶ ἰδοὺ πᾶσα ἡ πόλις ἐξῆλθεν εἰς συνάντησιν τῷ Ἰησοῦ, καὶ ἰδόντες αὐτὸν παρεκάλεσαν ὅπως μεταβῇ ἀπὸ τῶν ὁρίων αὐτῶν.

să îngrop pe tatăl meu. 22Iar Iisus i-a zis: Urmează Mie şi lasă morţii să-şi îngroape morţii lor.

Şi intrând El în corabie, ucenicii Lui I-au urmat. 24Şi, iată, furtună mare s-a făcut pe mare, încât corabia se acoperea de valuri; iar El dormea. 25Şi venind ucenicii la El, L-au deşteptat zicând: Doamne, mântuieşte-ne pe noi! Pierim! 26Şi le-a zis: De ce sunteţi fricoşi, puţin credincioşilor? Atunci sculându-se, a certat vânturile şi marea şi s-a făcut linişte mare. 27Iar oamenii s-au minunat, zicând: Cine este Acesta, că şi vânturile şi marea ascultă de El?

Şi venind El dincolo, în ţinutul Gherghesenilor, L-au întâmpinat doi îndrăciţi, care ieşeau din morminte, cumpliţi foarte, încât nimeni nu putea să treacă pe calea aceea. 29Şi iată, au strigat zicând: Ce este Ţie şi nouă, Iisuse, Fiul lui Dumnezeu? Ai venit aici să ne chinuieşti mai înainte de vreme? 30Şi departe de ei era o turmă cu mulţi porci, păscând. 31Iar dracii Îl rugau, zicând: Dacă ne scoţi afară, îngăduieşte-ne să ne ducem în turma de porci. 32Şi le-a zis: Duceţi-vă! Iar ei, ieşind, s-au dus în turma de porci; şi iată, toată turma de porci s-a năpustit de pe marginea râpei în mare şi au pierit în ape. 33Iar păzitorii au fugit şi, ducându-se în cetate, au vestit toate, şi despre îndrăciţi. 34Şi iată, toată cetatea a ieşit în întâmpinarea lui Iisus şi, văzându-L, L-au rugat să plece din hotarele lor.

Κεφάλαιον Θ΄

Καὶ ἐμβὰς εἰς πλοῖον διεπέρασε καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν. 2Καὶ ἰδοὺ προσέφερον αὐτῷ παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον· καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν εἶπε τῷ παραλυτικῷ· θάρσει, τέκνον· ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. 3καὶ ἰδού τινες τῶν γραμματέων εἶπον ἐν ἑαυτοῖς· οὗτος βλασφημεῖ. 4καὶ ἰδὼν ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν εἶπεν· ἵνα τί ὑμεῖς ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; 5τί γάρ ἐστιν εὐκοπώτερον, εἰπεῖν, ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἔγειρε καὶ περιπάτει; 6ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας –τότε λέγει τῷ παραλυτικῷ· ἐγερθεὶς ἆρόν σου τὴν κλίνην καὶ ὕπαγε εἰς τὸν οἶκόν σου. 7καὶ ἐγερθεὶς ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. 8ἰδόντες δὲ οἱ ὄχλοι ἐθαύμασαν καὶ ἐδόξασαν τὸν Θεὸν τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις.

Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον, καὶ λέγει αὐτῷ· ἀκολούθει μοι. καὶ ἀναστὰς ἠκολούθησεν αὐτῷ. 10Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες συνανέκειντο τῷ Ἰησοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ. 11καὶ ἰδόντες οἱ Φαρισαῖοι εἶπον τοῖς μαθηταῖς αὐτοῦ· διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν; 12ὁ δὲ Ἰησοῦς ἀκούσας εἶπεν αὐτοῖς· οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες. 13πορευθέντες δὲ μάθετε τί ἐστιν *ἔλεον θέλω καὶ οὐ θυσίαν*. οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Capitolul 9

Şi intrând în corabie, a trecut pe ţărmul celălalt şi a venit în cetatea Sa. 2Şi iată, I-au adus un paralitic, pus pe un pat. Şi văzând Iisus credinţa lor, i-a zis paraliticului: Îndrăzneşte, fiule! Iertate îţi sunt păcatele tale! 3Şi iată, unii dintre cărturari ziceau în sine: Acesta huleşte. 4Şi văzând Iisus gândurile lor, le-a zis: Pentru ce cugetaţi cele viclene în inimile voastre? 5Căci ce este mai lesne: A zice: Iertate îţi sunt păcatele, sau a zice: Scoală-te şi umblă? 6Dar ca să ştiţi că Fiul omului are putere pe pământ să ierte păcatele, a zis atunci paraliticului: Scoală-te, ridică-ţi patul şi mergi la casa ta! 7Şi el, sculându-se, s-a dus la casa lui. 8Iar mulţimile, văzând acestea, s-au minunat şi au slăvit pe Dumnezeu, Cel ce dă o asemenea putere oamenilor.

Şi plecând Iisus de acolo, a văzut un om care şedea la vamă, cu numele Matei, şi i-a zis acestuia: Urmează Mie. Şi sculându-se, a urmat Lui. 10Şi a fost, când şedea El la masă în casă, iată, mulţi vameşi şi păcătoşi venind, şedeau la masă împreună cu Iisus şi cu ucenicii Lui. 11Şi văzând fariseii, au zis ucenicilor Lui: Pentru ce mănâncă Învăţătorul vostru cu vameşii şi cu păcătoşii? 12Şi auzind Iisus, le-a zis: Nu cei în putere au trebuinţă de doctor, ci cei bolnavi. 13Şi mergând, învăţaţi ce înseamnă: *Milă voiesc, iar nu jertfă*; că n-am venit să chem pe drepţi, ci pe păcătoşi la pocăinţă.

Τότε προσέρχονται αὐτῷ οἱ μαθηταὶ Ἰωάννου λέγοντες· διατί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλά, οἱ δὲ μαθηταί σου οὐ νηστεύουσι; 15καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος πενθεῖν ἐφ' ὅσον χρόνον μετ' αὐτῶν ἐστιν ὁ νυμφίος; ἐλεύσονται δὲ ἡμέραι ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσιν. 16οὐδεὶς δὲ ἐπιβάλλει ἐπίβλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ· αἴρει γὰρ τὸ πλήρωμα αὐτοῦ ἀπὸ τοῦ ἱματίου, καὶ χεῖρον σχίσμα γίνεται. 17οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μήγε, ῥήγνυνται οἱ ἀσκοί, καὶ ὁ οἶνος ἐκχεῖται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς βάλλουσι καινούς, καὶ ἀμφότεροι συντηροῦνται.

Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς ἰδοὺ ἄρχων εἷς προσελθὼν προσεκύνει αὐτῷ λέγων ὅτι ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν· ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτὴν καὶ ζήσεται.19καὶ ἐγερθεὶς ὁ Ἰησοῦς ἠκολούθησεν αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ.20Καὶ ἰδοὺ γυνή, αἱμορροοῦσα δώδεκα ἔτη, προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ. 21ἔλεγε γὰρ ἐν ἑαυτῇ, ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι. 22ὁ δὲ Ἰησοῦς ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν εἶπε· θάρσει, θύγατερ· ἡ πίστις σου σέσωκέ σε. καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης. 23Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον, λέγει αὐτοῖς· 24ἀναχωρεῖτε· οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ. 25ὅτε δὲ ἐξεβλήθη ὁ ὄχλος, εἰσελθὼν ἐκράτησε τῆς χειρὸς αὐτῆς, καὶ ἠγέρθη τὸ κοράσιον. 26καὶ ἐξῆλθεν ἡ φήμη αὕτη εἰς ὅλην τὴν γῆν ἐκείνην.

Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ ἠκολούθησαν αὐτῷ δύο τυφλοὶ κράζοντες καὶ λέγοντες· ἐλέησον ἡμᾶς, υἱὲ Δαυίδ. 28ἐλθόντι

Atunci au venit la El ucenicii lui Ioan, zicând: Pentru ce noi şi fariseii postim mult, iar ucenicii Tăi nu postesc? 15Şi Iisus le-a zis: Pot, oare, fiii cămării de nuntă să jelească atâta vreme cât este mirele cu ei? Dar vor veni zile când mirele Se va lua de la ei şi atunci vor posti. 16Nimeni nu pune petic de pânză nouă la haină veche, căci adaosul ei trage din haină şi se face o ruptură şi mai mare. 17Nici nu pun oamenii vin nou în burdufuri vechi; altminteri, burdufurile crapă, vinul se varsă şi burdufurile se strică; ci pun vin nou în burdufuri noi şi se păstrează amândouă.

Pe când le grăia acestea, iată, venind un dregător, I s-a închinat, zicând: Fiica mea tocmai a murit; dar vino şi pune mâna Ta peste ea şi va fi vie. 19Atunci Iisus, sculându-Se, a mers după el împreună cu ucenicii Lui. 20Şi iată o femeie cu scurgere de sânge de doisprezece ani, apropiindu-se din spate, s-a atins de poala hainei Lui. 21Căci zicea întru sine: Numai să mă ating de haina Lui şi mă voi mântui. 22Iar Iisus, întorcându-Se şi văzând-o, i-a zis: Îndrăzneşte, fiică, credinţa ta te-a mântuit. Şi s-a mântuit femeia din ceasul acela. 23Şi venind Iisus la casa dregătorului şi văzând pe cântăreţii din fluier şi mulţimea tulburată, le-a zis: 24Depărtaţi-vă, că n-a murit copila, ci doarme. Şi râdeau de El. 25Iar după ce mulţimea a fost scoasă afară, intrând, a luat-o de mână, şi copila s-a sculat. 26Şi a ieşit vestea aceasta în tot pământul acela.

Şi plecând Iisus de acolo, I-au urmat Lui doi orbi, strigând şi zicând: Miluieşte-ne pe noi, Fiule al lui David. 28Şi in-

δὲ εἰς τὴν οἰκίαν προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; λέγουσιν αὐτῷ· ναί, Κύριε. 29τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν λέγων· κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. 30καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί· καὶ ἐνεβριμήσατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· ὁρᾶτε μηδεὶς γινωσκέτω. 31οἱ δὲ ἐξελθόντες διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ.

Αὐτῶν δὲ ἐξερχομένων ἰδοὺ προσήνεγκαν αὐτῷ ἄνθρωπον κωφὸν δαιμονιζόμενον· 33καὶ ἐκβληθέντος τοῦ δαιμονίου ἐλάλησεν ὁ κωφός, καὶ ἐθαύμασαν οἱ ὄχλοι λέγοντες ὅτι οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ. 34οἱ δὲ Φαρισαῖοι ἔλεγον· ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. 35Καὶ περιῆγεν ὁ Ἰησοῦς τὰς πόλεις πάσας καὶ τὰς κώμας διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. 36Ἰδὼν δὲ τοὺς ὄχλους ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐκλελυμένοι καὶ ἐρριμμένοι ὡς πρόβατα μὴ ἔχοντα ποιμένα. 37τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ· ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· 38δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ.

trând El în casă, s-au apropiat de El orbii şi Iisus le-a zis: Credeţi că pot să fac aceasta? Zis-au Lui: Da, Doamne! 29Atunci S-a atins de ochii lor, zicând: După credinţa voastră, fie vouă! 30Şi li s-au deschis lor ochii. Iar Iisus le-a vorbit cu asprime, zicând: Vedeţi, nimeni să nu ştie. 31Dar ei, ieşind, L-au vestit în tot pământul acela.

Şi plecând ei, iată, au adus la El un om mut îndrăcit. 33Şi fiind scos dracul afară, a grăit mutul; şi s-au minunat mulţimile, zicând că niciodată nu s-a arătat aşa ceva în Israel. 34Dar fariseii ziceau: Cu căpetenia dracilor scoate dracii. 35Şi Iisus străbătea toate cetăţile şi satele, învăţând în sinagogile lor, propovăduind Evanghelia Împărăţiei şi tămăduind toată boala şi toată neputinţa în popor. 36Şi văzând mulţimile, I s-a făcut milă de ele, că erau istovite şi risipite, ca nişte oi care n-au păstor. 37Atunci a zis ucenicilor Lui: Secerişul este mult, dar lucrătorii puţini. 38Rugaţi deci pe Domnul secerişului, ca să scoată lucrători la secerişul Său.

Κεφάλαιον Ι΄

Καὶ προσκαλεσάμενος τοὺς δώδεκα μαθητὰς αὐτοῦ ἔδωκεν αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν. 2Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά εἰσι ταῦτα· πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος καὶ

Capitolul 10

Şi chemând la Sine pe cei doisprezece ucenici ai Săi, le-a dat lor stăpânire asupra duhurilor celor necurate, ca să le scoată şi să tămăduiască toată boala şi toată neputinţa. 2Iar numele celor doisprezece apostoli sunt acestea: Întâi Simon, cel

Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ, Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ, 3Φίλιππος καὶ Βαρθολομαῖος, Θωμᾶς καὶ Ματθαῖος ὁ τελώνης, Ἰάκωβος ὁ τοῦ Ἀλφαίου καὶ Λεββαῖος ὁ ἐπικληθεὶς Θαδδαῖος, 4Σίμων ὁ Κανανίτης καὶ Ἰούδας ὁ Ἰσκαριώτης ὁ καὶ παραδοὺς αὐτόν.

Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· 6πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. 7πορευόμενοι δὲ κηρύσσετε λέγοντες ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. 8ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε. 9μὴ κτήσησθε χρυσὸν μηδὲ ἄργυρον μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, 10μὴ πήραν εἰς ὁδὸν μηδὲ δύο χιτῶνας μηδὲ ὑποδήματα μηδὲ ῥάβδον· ἄξιος γὰρ ἐστιν ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ. 11εἰς ἣν δ' ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε τίς ἐν αὐτῇ ἄξιός ἐστι, κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε. 12εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν ἀσπάσασθε αὐτὴν λέγοντες· εἰρήνη τῷ οἴκῳ τούτῳ. 13καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω. 14καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι ἔξω τῆς οἰκίας ἢ τῆς πόλεως ἐκείνης ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. 15ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ.

Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. 17Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια καὶ ἐν ταῖς συναγω-

numit Petru, şi Andrei, fratele lui; Iacov al lui Zevedeu şi Ioan, fratele lui; 3Filip şi Bartolomeu, Toma şi Matei vameşul, Iacov al lui Alfeu şi Levi, cel numit Tadeu; 4Simon Cananeul şi Iuda Iscarioteanul, care L-a şi vândut.

Pe aceştia doisprezece i-a trimis Iisus, poruncindu-le, zicând: În calea neamurilor să nu mergeţi şi în cetate de samarineni să nu intraţi; 6ci mai degrabă mergeţi către oile cele pierdute ale casei lui Israel. 7Şi mergând, propovăduiţi, zicând: S-a apropiat Împărăţia Cerurilor. 8Tămăduiţi pe cei neputincioşi, curăţiţi pe cei leproşi, înviaţi pe cei morţi, pe draci scoateţi-i; în dar aţi luat, în dar să daţi. 9Să nu aveţi bani nici de aur, nici de argint, nici de aramă la cingătorile voastre; 10nici traistă pe cale, nici două cămăşi, nici încălţăminte, nici toiag; căci vrednic este lucrătorul de hrana sa. 11În orice cetate sau sat veţi intra, cercetaţi cine este în el vrednic şi acolo rămâneţi până ce veţi pleca. 12Şi intrând în casă, daţi-i binețe, zicând: Pace casei acesteia. 13Şi dacă este casa vrednică, să vină pacea voastră peste ea. Iar de nu este vrednică, pacea voastră să se întoarcă la voi. 14Dacă cineva nu vă va primi pe voi, nici nu va asculta cuvintele voastre, ieşind din casa sau din cetatea aceea, scuturaţi praful de pe picioarele voastre. 15Amin zic vouă, mai uşor va fi pământului Sodomei şi Gomorei în ziua judecăţii decât cetăţii aceleia.

Iată, Eu vă trimit pe voi ca pe nişte oi în mijlocul lupilor; fiţi dar înţelepţi ca şerpii şi nevinovaţi ca porumbeii. 17Păziţi-vă de oameni, căci vă vor da pe mâna sinedriilor şi în sinagogile lor vă vor bate cu

γαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς· 18καὶ ἐπὶ
ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν
ἐμοῦ εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν.
19ὅταν δὲ παραδώσουσιν ὑμᾶς, μὴ μεριμνή-
σητε πῶς ἢ τί λαλήσετε· δοθήσεται γὰρ ὑμῖν
ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε. 20οὐ γὰρ ὑμεῖς
ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ πα-
τρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. 21Παραδώσει
δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ
τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς
καὶ θανατώσουσιν αὐτούς· 22καὶ ἔσεσθε μισού-
μενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπο-
μείνας εἰς τέλος, οὗτος σωθήσεται. 23ὅταν δὲ
διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε
εἰς τὴν ἄλλην· ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τε-
λέσητε τὰς πόλεις τοῦ Ἰσραὴλ ἕως ἂν ἔλθῃ ὁ
υἱὸς τοῦ ἀνθρώπου. 24Οὐκ ἔστι μαθητὴς ὑπὲρ
τὸν διδάσκαλον οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον
αὐτοῦ. 25ἀρκετὸν τῷ μαθητῇ ἵνα γένηται ὡς
ὁ διδάσκαλος αὐτοῦ, καὶ τῷ δούλῳ ὡς ὁ κύ-
ριος αὐτοῦ. εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ
ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκιακοὺς
αὐτοῦ; 26μὴ οὖν φοβηθῆτε αὐτούς· οὐδὲν γάρ
ἐστι κεκαλυμμένον ὃ οὐκ ἀποκαλυφθήσεται,
καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται. 27ὃ λέγω ὑμῖν
ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί, καὶ ὃ εἰς τὸ
οὖς ἀκούετε, κηρύξατε ἐπὶ τῶν δωμάτων. 28καὶ
μὴ φοβεῖστε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα,
τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβή-
θητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ
σῶμα ἀπολέσαι ἐν γεέννῃ. 29οὐχὶ δύο στρου-
θία ἀσσαρίου πωλεῖται; καὶ ἓν ἐξ αὐτῶν οὐ
πεσεῖται ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς ὑμῶν.
30ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι
ἠριθμημέναι εἰσί. 31μὴ οὖν φοβηθῆτε· πολλῶν
στρουθίων διαφέρετε ὑμεῖς.

Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν
τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ
ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς·
33ὅστις δ' ἂν ἀρνήσηταί με ἔμπροσθεν τῶν ἀν-

biciul; 18şi veţi fi duşi la căpetenii şi la împăraţi pentru Mine, spre mărturie lor şi
neamurilor. 19Iar când vă vor da pe voi în
mâna lor, nu vă îngrijiţi cum sau ce veţi
grăi, căci se va da vouă în ceasul acela ce
să grăiţi; 20că nu voi sunteţi cei care grăiţi, ci Duhul Tatălui vostru este Cel care
grăieşte întru voi. 21Va da frate pe frate la
moarte şi tată pe fiu, şi copiii se vor ridica
împotriva părinţilor şi-i vor omorî. 22Şi
veţi fi urâţi de toţi pentru numele Meu; iar
cel ce va răbda până în sfârşit, acela se va
mântui. 23Când vă vor prigoni pe voi în cetatea aceasta, fugiţi în cealaltă; Amin zic
vouă: nu veţi sfârşi cetăţile lui Israel, până ce va veni Fiul Omului. 24Nu este ucenic mai presus de învăţătorul său, nici rob
mai presus de stăpânul său. 25Destul îi este
ucenicului să fie ca învăţătorul lui şi robului ca stăpânul său. Dacă pe stăpânul casei l-au numit Beelzebul, cu cât mai mult
pe casnicii lui? 26Deci, nu vă temeţi de ei,
căci nimic nu este acoperit care să nu se
descopere şi nimic ascuns care să nu se cunoască. 27Ceea ce vă spun Eu la întuneric,
spuneţi la lumină şi ceea ce auziţi la ureche propovăduiţi de pe acoperişuri. 28Şi nu
vă temeţi de cei ce ucid trupul, iar sufletul
nu pot să-l ucidă; temeţi-vă mai curând de
acela care poate şi sufletul şi trupul să le
piardă în gheena. 29Nu se vând două vrăbii
pe un ban? Şi nici una din ele nu va cădea
pe pământ fără voia Tatălui vostru. 30La
voi însă şi perii capului, toţi sunt număraţi.
31Aşadar, nu vă temeţi; voi sunteţi mai de
preţ decât mulţime de vrăbii.

Tot cel ce va mărturisi, deci, întru Mine
înaintea oamenilor, mărturisi-voi şi
Eu întru el înaintea Tatălui Meu, Care este în ceruri. 33Iar dacă cineva se va lepăda

θρώπων, ἀρνήσομαι αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς.

Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. 35ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· 36καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ.

Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμὲ οὐκ ἔστι μου ἄξιος· 38καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος. 39ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ εὑρήσει αὐτήν.

Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται, καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με. 41ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται, καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται. 42καὶ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

de Mine înaintea oamenilor, Mă voi lepăda şi Eu de el înaintea Tatălui Meu, Care este în ceruri.

Nu socotiţi că am venit să aduc pace pe pământ; n-am venit să aduc pace, ci sabie. 35Căci am venit să dezbin pe om împotriva tatălui său, şi pe fiică împotriva mamei sale, şi pe noră împotriva soacrei sale. 36Şi duşmanii omului vor fi casnicii lui.

Cel care iubeşte pe tată ori pe mamă mai mult decât pe Mine nu este vrednic de Mine; cel care iubeşte pe fiu ori pe fiică mai mult decât pe Mine nu este vrednic de Mine. 38Şi cel care nu-şi ia crucea şi nu-Mi urmează Mie nu este vrednic de Mine. 39Cel care îşi află sufletul său îl va pierde, iar cel care îşi pierde sufletul pentru Mine îl va afla.

Cel ce vă primeşte pe voi pe Mine Mă primeşte, şi cel ce Mă primeşte pe Mine primeşte pe Cel ce M-a trimis pe Mine. 41Cine primeşte un prooroc în nume de prooroc plată de prooroc va lua, şi cine primeşte un drept în nume de drept răsplata dreptului va lua. 42Şi cel care va da să bea unuia dintre aceştia mici numai un pahar cu apă rece, în nume de ucenic, amin zic vouă: Nu îşi va pierde plata sa.

Κεφάλαιον ΙΑ΄

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς αὐτοῦ μετέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κηρύσσειν ἐν ταῖς πόλεσιν αὐτῶν.

Capitolul 11

Şi a fost, când a sfârşit Iisus de poruncit celor doisprezece ucenici ai Săi, că a trecut de acolo ca să înveţe şi să propovăduiască în cetăţile lor.

Ὁ δὲ Ἰωάννης ἀκούσας ἐν τῷ δεσμωτηρίῳ
τὰ ἔργα τοῦ Χριστοῦ, πέμψας δύο τῶν
μαθητῶν αὐτοῦ 3εἶπεν αὐτῷ· σὺ εἶ ὁ ἐρχόμε-
νος ἢ ἕτερον προσδοκῶμεν; 4καὶ ἀποκριθεὶς
ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πορευθέντες ἀπαγ-
γείλατε Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε· 5τυ-
φλοὶ ἀναβλέπουσι καὶ χωλοὶ περιπατοῦσι,
λεπροὶ καθαρίζονται καὶ κωφοὶ ἀκούουσι,
νεκροὶ ἐγείρονται καὶ πτωχοὶ εὐαγγελίζονται·
6καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ
ἐν ἐμοί.

Τούτων δὲ πορευομένων ἤρξατο ὁ Ἰησοῦς
λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου· τί ἐξῆλ-
θετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ
ἀνέμου σαλευόμενον; 8ἀλλὰ τί ἐξῆλθετε ἰδεῖν;
ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον;
ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες ἐν τοῖς οἴκοις
τῶν βασιλέων εἰσίν. 9ἀλλὰ τί ἐξῆλθετε ἰδεῖν;
προφήτην; ναί λέγω ὑμῖν, καὶ περισσότερον
προφήτου. 10οὗτος γάρ ἐστι περὶ οὗ γέγραπται·
ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ
προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν
σου ἔμπροσθέν σου. 11ἀμὴν λέγω ὑμῖν, οὐκ
ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰω-
άννου τοῦ βαπτιστοῦ· ὁ δὲ μικρότερος ἐν τῇ
βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν.
12ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτιστοῦ
ἕως ἄρτι ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται,
καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. 13πάντες γὰρ
οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου προ-
εφήτευσαν· 14καὶ εἰ θέλετε δέξασθαι, αὐτός
ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. 15ὁ ἔχων ὦτα
ἀκούειν ἀκουέτω.

Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην; ὁμοία
ἐστὶ παιδίοις καθημένοις ἐν ἀγοραῖς, ἃ
προσφωνοῦντα τοῖς ἑταίροις αὐτῶν λέγου-
σιν· 17ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε,
ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε. 18ἦλθε
γὰρ Ἰωάννης μήτε ἐσθίων μήτε πίνων, καὶ
λέγουσι· δαιμόνιον ἔχει. 19ἦλθεν ὁ υἱὸς τοῦ

Iar Ioan, auzind în temniță despre faptele
lui Hristos, trimițând pe doi dintre uce-
nicii săi, 3I-a zis: Tu eşti Cel ce vine, sau
să aşteptăm pe altul? 4Şi Iisus, răspun-
zând, le-a zis: Mergeți şi vestiți-i lui Ioan
cele ce auziți şi vedeți: 5Orbii văd iarăşi
şi şchiopii umblă, leproşii se curățesc şi
surzii aud, morții înviază şi săracilor li se
binevesteşte; 6şi fericit este acela care nu
se va sminti întru Mine.

Plecând aceştia, Iisus a început să vor-
bească mulțimilor despre Ioan: Ce ați
ieşit să priviți în pustie? Trestie clătinată
de vânt? 8Sau ce ați ieşit să vedeți? Om
îmbrăcat în haine moi? Iată, cei care poar-
tă haine moi sunt în casele împăraților.
9Dar ce ați ieşit să vedeți? Prooroc? Da,
zic vouă, şi mai mult decât prooroc. 10Căci
acesta este cel despre care este scris: *Ia-*
tă, Eu trimit pe îngerul Meu înaintea fe-
ței Tale, care va găti calea Ta înaintea Ta.
11Amin zic vouă: Nu s-a ridicat între cei
născuți din femei unul mai mare decât
Ioan Botezătorul; dar cel mai mic în Îm-
părăția Cerurilor este mai mare decât el.
12Din zilele lui Ioan Botezătorul până
acum Împărăția Cerurilor se ia cu silire
şi cei ce silesc o răpesc. 13Căci toți proo-
rocii şi Legea au proorocit până la Ioan.
14Şi dacă voiți să primiți, el este Ilie, cel
ce va să vină. 15Cine are urechi de auzit
să audă!

Dar cu cine voi asemăna neamul aces-
ta? Este asemenea copiilor care şed în
piețe şi care, strigând prietenilor lor, zic:
17V-am cântat din fluier şi n-ați jucat; v-am
cântat de jale şi nu v-ați tânguit. 18Căci a
venit Ioan, nici mâncând, nici bând, şi ei
spun: Are drac. 19A venit Fiul Omului,

ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν· ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν. καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς. 20Τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις ἐν αἷς ἐγένοντο αἱ πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν· 21οὐαί σοι, Χοραζίν, οὐαί σοι, Βηθσαϊδά· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγενήθησαν αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι μετενόησαν. 22πλὴν λέγω ὑμῖν, Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ ὑμῖν. 23καὶ σὺ Καπερναούμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ· ὅτι εἰ ἐν Σοδόμοις ἐγενήθησαν αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοί, ἔμειναν ἂν μέχρι τῆς σήμερον. 24πλὴν λέγω ὑμῖν ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ σοί.

Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν· ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· 26ναί, ὁ πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. 27Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. 28Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. 29ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· 30ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

mâncând şi bând, şi ei spun: Iată, om mâncăcios şi băutor de vin, prieten al vameşilor şi al păcătoşilor. Dar Înțelepciunea s-a dovedit dreaptă din fiii ei. 20Atunci a început să mustre cetățile în care se făcuseră cele mai multe minuni ale Sale, că nu s-au pocăit: 21Vai ție, Horazine, vai ție, Betsaida, că dacă în Tir şi în Sidon s-ar fi făcut minunile ce s-au făcut la voi, demult, în sac şi în cenuşă şezând, s-ar fi pocăit. 22Dar zic vouă: Tirului şi Sidonului le va fi mai uşor în ziua judecății decât vouă. 23Şi tu, Capernaume, care ai fost înălțat până la cer, până la iad vei fi coborât. Căci de s-ar fi făcut în Sodoma minunile ce s-au făcut în tine, ar fi rămas până astăzi. 24Dar zic vouă că pământului Sodomei îi va fi mai uşor în ziua judecății decât ție.

În vremea aceea, răspunzând Iisus, a zis: Îți mulțumesc Ție, Părinte, Doamne al cerului şi al pământului, că ai ascuns acestea de cei înțelepți şi pricepuți şi le-ai descoperit pruncilor. 26Da, Părinte, că aşa a fost bunăvoirea înaintea Ta. 27Toate Mi s-au dat de către Tatăl Meu şi nimeni nu cunoaşte pe Fiul, decât numai Tatăl, nici pe Tatăl nu-L cunoaşte nimeni, decât numai Fiul şi cel căruia va voi Fiul să-i descopere. 28Veniți la Mine toți cei osteniți şi împovărați şi Eu vă voi odihni pe voi. 29Luați jugul Meu asupra voastră şi învățați de la Mine, că sunt blând şi smerit cu inima, şi veți găsi odihnă sufletelor voastre; 30că jugul Meu e bun şi povara Mea este uşoară.

Κεφάλαιον ΙΒ΄

Ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς σάββασι διὰ τῶν σπορίμων· οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν, καὶ ἤρξαντο τίλλειν στάχυας καὶ ἐσθίειν. 2οἱ δὲ Φαρισαῖοι ἰδόντες εἶπον αὐτῷ· ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστι ποιεῖν ἐν σαββάτῳ. 3ὁ δὲ εἶπεν αὐτοῖς· οὐκ ἀνέγνωτε τί ἐποίησε Δαυὶδ ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ; 4πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν ἦν αὐτῷ φαγεῖν οὐδὲ τοῖς μετ᾽ αὐτοῦ, εἰ μὴ μόνοις τοῖς ἱερεῦσι; 5ἢ οὐκ ἀνέγνωτε ἐν τῷ νόμῳ ὅτι τοῖς σάββασιν οἱ ἱερεῖς ἐν τῷ ἱερῷ τὸ σάββατον βεβηλοῦσι, καὶ ἀναίτιοί εἰσι; 6λέγω δὲ ὑμῖν ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε. 7εἰ δὲ ἐγνώκειτε τί ἐστιν *ἔλεον θέλω καὶ οὐ θυσίαν*, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους. 8κύριος γάρ ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

Καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν. 10καὶ ἰδοὺ ἄνθρωπος ἦν ἐκεῖ τὴν χεῖρα ἔχων ξηράν· καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες· εἰ ἔξεστι τοῖς σάββασι θεραπεύειν; ἵνα κατηγορήσωσιν αὐτοῦ. 11ὁ δὲ εἶπεν αὐτοῖς· τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος ὃς ἕξει πρόβατον ἕν, καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ; 12πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου; ὥστε ἔξεστι τοῖς σάββασι καλῶς ποιεῖν. 13τότε λέγει τῷ ἀνθρώπῳ· ἔκτεινόν σου τὴν χεῖρα· καὶ ἐξέτεινε, καὶ ἀποκατεστάθη ὑγιὴς ὡς ἡ ἄλλη. 14ἐξελθόντες δὲ οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον κατ᾽ αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσιν. 15Ὁ δὲ Ἰησοῦς γνοὺς ἀνεχώρησεν ἐκεῖθεν.

Capitolul 12

În vremea aceea, a mers Iisus, într-o sâmbătă, prin semănături, iar ucenicii Lui au flămânzit şi au început să smulgă spice şi să mănânce. 2Iar fariseii, văzând, I-au zis: Iată, ucenicii Tăi fac ceea ce nu este îngăduit să facă sâmbăta. 3Iar El le-a zis: N-aţi citit ce a făcut David când a flămânzit, el şi cei ce erau cu el? 4Cum a intrat în casa lui Dumnezeu şi a mâncat pâinile punerii înainte, pe care nu-i era îngăduit să le mănânce nici lui, nici celor ce erau cu el, ci numai preoţilor? 5Sau n-aţi citit în Lege că preoţii, sâmbăta, în templu, pângăresc sâmbăta şi sunt nevinovaţi? 6Vă spun însă că mai mare decât templul este aici. 7Dacă aţi fi cunoscut ce înseamnă: *Milă voiesc, iar nu jertfă*, n-aţi fi osândit pe cei nevinovaţi. 8Că Fiul Omului este Domn şi al sâmbetei.

Şi plecând de acolo, a venit în sinagoga lor. 10Şi iată, era acolo un om având mâna uscată. Şi L-au întrebat, zicând: Este îngăduit a vindeca sâmbăta? ca să-L învinuiască. 11Iar El le-a zis: Cine va fi între voi omul care va avea o oaie şi, de va cădea ea sâmbăta în groapă, nu o va apuca şi o va scoate? 12Cu cât, aşadar, este omul mai de preţ decât o oaie? De aceea, este îngăduit a face bine sâmbăta. 13Atunci i-a zis omului: Întinde mâna ta! Şi el a întins-o şi a venit la starea cea dintâi, sănătoasă ca şi cealaltă. 14Şi ieşind, fariseii au ţinut sfat împotriva Lui ca să-L piardă. 15Iar Iisus, cunoscând, a plecat de acolo.

Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς πάντας, 16καὶ ἐπετίμησεν αὐτοῖς ἵνα μὴ φανερὸν ποιήσωσιν αὐτόν, 17ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· 18*ἰδοὺ ὁ παῖς μου, ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ πνεῦμά μου ἐπ᾽ αὐτόν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ· 19οὐκ ἐρίσει οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. 20κάλαμον συντετριμμένον οὐ κατεάξει καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν· 21καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι.*

Τότε προσηνέχθη αὐτῷ δαιμονιζόμενος τυφλὸς καὶ κωφός, καὶ ἐθεράπευσεν αὐτόν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν καὶ λαλεῖν καὶ βλέπειν· 23καὶ ἐξίσταντο πάντες οἱ ὄχλοι καὶ ἔλεγον· μήτι οὗτός ἐστιν ὁ Χριστὸς ὁ υἱὸς Δαυίδ; 24οἱ δὲ Φαρισαῖοι ἀκούσαντες εἶπον· οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια εἰ μὴ ἐν τῷ Βεελζεβούλ, ἄρχοντι τῶν δαιμονίων. 25εἰδὼς δὲ ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν εἶπεν αὐτοῖς· πᾶσα βασιλεία μερισθεῖσα καθ᾽ ἑαυτὴν ἐρημοῦται, καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ᾽ ἑαυτὴν οὐ σταθήσεται. 26καὶ εἰ ὁ σατανᾶς τὸν σατανᾶν ἐκβάλλει, ἐφ᾽ ἑαυτὸν ἐμερίσθη· πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ; 27καί εἰ ἐγὼ ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι; διὰ τοῦτο αὐτοὶ κριταὶ ἔσονται ὑμῶν. 28εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. 29ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ καὶ τὰ σκεύη αὐτοῦ ἁρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν; καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει. 30ὁ μὴ ὢν μετ᾽ ἐμοῦ κατ᾽ ἐμοῦ ἐστι, καὶ ὁ μὴ συνάγων μετ᾽ ἐμοῦ σκορπίζει.

Διὰ τοῦτο λέγω ὑμῖν, πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται

Şi au urmat Lui mulţimi multe şi i-a tămăduit pe toţi, 16şi le-a poruncit să nu-L facă vădit, 17ca să se împlinească ceea ce s-a spus prin Isaia proorocul, care zice: 18*Iată, Fiul Meu pe Care L-am ales, Cel iubit al Meu întru Care a binevoit sufletul Meu; pune-voi Duhul Meu peste El şi judecată neamurilor va vesti.* 19*Nu se va certa, nici nu va striga, nici nu va auzi cineva pe uliţe glasul Lui.* 20*Trestie strivită nu va frânge şi feştilă fumegândă nu va stinge, până ce nu va scoate la biruinţă judecata.* 21*Şi în numele Lui neamurile vor nădăjdui.*

Atunci a fost adus la El un îndrăcit orb şi mut; şi l-a tămăduit, încât cel orb şi mut şi vorbea, şi vedea. 23Şi se mirau mulţimile toate şi ziceau: Nu cumva Acesta este Hristosul, Fiul lui David? 24Dar fariseii, auzind, au zis: Acesta nu scoate dracii decât cu Beelzebul, căpetenia dracilor. 25Şi cunoscând Iisus gândurile lor, le-a zis: Orice împărăţie care se dezbină în sine se pustieşte; şi orice cetate sau casă care se dezbină în sine nu va dăinui. 26Şi dacă satana scoate pe satana, s-a dezbinat în sine; cum, dar, va dăinui atunci împărăţia lui? 27Şi dacă Eu scot dracii cu Beelzebul, fiii voştri cu cine îi scot? De aceea ei vă vor fi judecători. 28Iar dacă Eu cu Duhul lui Dumnezeu scot dracii, iată, a ajuns la voi Împărăţia lui Dumnezeu. 29Sau cum poate cineva să intre în casa celui tare şi să-i fure vasele, dacă nu va lega întâi pe cel tare? Şi atunci îi va prăda casa. 30Cine nu este cu Mine este împotriva Mea şi cine nu adună cu Mine risipeşte.

De aceea, zic vouă: Tot păcatul şi toată hula se va ierta oamenilor, dar hula împotriva Duhului nu se va ierta oameni-

τοῖς ἀνθρώποις· 32καὶ ὃς ἐὰν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ Ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι.

Ἢ ποιήσατε τὸ δένδρον καλόν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν, ἢ ποιήσατε τὸ δένδρον σαπρόν, καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. 34γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν πονηροὶ ὄντες; ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ. 35ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ ἐκβάλλει ἀγαθά, καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά. 36λέγω δὲ ὑμῖν ὅτι πᾶν ῥῆμα ἀργὸν ὃ ἐὰν λαλήσωσιν οἱ ἄνθρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως· 37ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ.

Τότε ἀπεκρίθησάν τινες τῶν γραμματέων καὶ Φαρισαίων λέγοντες· διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν. 39ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. 40ὥσπερ γὰρ ἐγένετο Ἰωνᾶς ὁ προφήτης ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. 41ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινοῦσιν αὐτήν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ, καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε. 42βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινεῖ αὐτήν, ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος, καὶ ἰδοὺ πλεῖον Σολομῶνος ὧδε.

lor; 32şi celui care va zice cuvânt împotriva Fiului Omului, se va ierta lui; dar celui care va zice împotriva Duhului Sfânt, nu i se va ierta lui nici în veacul de acum, nici în cel ce va să fie.

Fie faceți pomul bun şi rodul lui bun, fie faceți pomul putred şi rodul lui putred; căci după rod se cunoaşte pomul. 34Pui de vipere, cum puteți să grăiți cele bune, răi fiind? Căci din prisosul inimii grăieşte gura. 35Omul bun din vistieria cea bună scoate cele bune, iar omul rău din vistieria cea rea scoate cele rele. 36Zic vouă că pentru orice cuvânt deşert pe care-l vor rosti, oamenii vor da socoteală în ziua judecății; 37că din cuvintele tale vei fi găsit drept şi din cuvintele tale vei fi osândit.

Atunci au răspuns unii dintre cărturari şi farisei, zicând: Învățătorule, voim să vedem de la Tine semn. 39Iar El, răspunzând, le-a zis: Neam viclean şi adulter cere semn, şi semn nu i se va da, afară de semnul lui Iona proorocul. 40Căci, precum a fost Iona proorocul în pântecele chitului trei zile şi trei nopți, aşa va fi şi Fiul Omului în inima pământului trei zile şi trei nopți. 41Bărbații niniviteni se vor ridica la judecată împreună cu neamul acesta şi-l vor osândi, pentru că ei s-au pocăit la propovăduirea lui Iona; şi iată, aici este mai mult decât Iona. 42Împărăteasa de la Miazăzi se va ridica la judecată împreună cu neamul acesta şi-l va osândi, căci ea a venit de la marginile pământului ca să asculte înțelepciunea lui Solomon; şi iată, mai mult decât Solomon este aici.

Οταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει. 44τότε λέγει· εἰς τὸν οἶκόν μου ἐπιστρέψω ὅθεν ἐξῆλθον· καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα καὶ σεσαρωμένον καὶ κεκοσμημένον. 45τότε πορεύεται καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ, καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. οὕτως ἔσται καὶ τῇ γενεᾷ τῇ πονηρᾷ ταύτῃ.

Ἔτι δὲ αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις ἰδοὺ ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἱστήκεισαν ἔξω, ζητοῦντες λαλῆσαι αὐτῷ. 47εἶπε δέ τις αὐτῷ· ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω ζητοῦντές σε ἰδεῖν. 48ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ λέγοντι αὐτῷ· τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου; 49καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ ἔφη· ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου· 50ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηr ἐστίν.

Când duhul necurat iese din om, umblă prin locuri fără de apă, căutând odihnă şi nu găseşte. 44Atunci zice: Mă voi întoarce în casa mea, de unde am ieşit; şi venind, o găseşte goală, măturată şi împodobită. 45Atunci merge şi ia cu sine alte şapte duhuri mai viclene decât el şi, intrând, locuiesc acolo; şi se fac cele de pe urmă ale omului aceluia mai rele decât cele dintâi. Aşa va fi şi cu acest neam viclean.

Şi pe când încă vorbea El mulţimilor, iată, mama şi fraţii Lui stăteau afară, căutând să-I vorbească. 47Şi cineva I-a zis: Iată, mama Ta şi fraţii Tăi stau afară, căutând să Te vadă. 48Şi răspunzând, i-a zis celui ce-I spusese: Cine este mama Mea şi cine sunt fraţii Mei? 49Şi întinzându-Şi mâna spre ucenicii Săi, a zis: Iată mama Mea şi fraţii Mei; 50că oricine face voia Tatălui Meu Celui din ceruri, acela Îmi este frate şi soră şi mamă.

Κεφάλαιον ΙΓ΄

Ἐν δὲ τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς τῆς οἰκίας ἐκάθητο παρὰ τὴν θάλασσαν· 2καὶ συνήχθησαν πρὸς αὐτὸν ὄχλοι πολλοί, ὥστε αὐτὸν εἰς πλοῖον ἐμβάντα καθῆσθαι, καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει. 3καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς λέγων· ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι. 4καὶ ἐν τῷ σπείρειν αὐτὸν

Capitolul 13

În ziua aceea, ieşind Iisus din casă, şedea lângă mare. 2Şi s-au adunat la El mulţimi multe, încât El, urcând într-o corabie, a şezut; iar mulţimea toată stătea pe ţărm. 3Şi le-a grăit lor multe, în pilde, zicând: Iată, ieşit-a semănătorul să semene. 4Şi pe când semăna el, unele seminţe au căzut lângă drum şi, venind păsările, le-au

ἃ μὲν ἔπεσε παρὰ τὴν ὁδόν, καὶ ἐλθόντα τὰ πετεινὰ κατέφαγεν αὐτά· 5ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰ πετρώδη, ὅπου οὐκ εἶχε γῆν πολλήν, καὶ εὐθέως ἐξανέτειλε διὰ τὸ μὴ ἔχειν βάθος γῆς, 6ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη· 7ἄλλα δὲ ἔπεσεν ἐπὶ τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ ἀπέπνιξαν αὐτά· 8ἄλλα δὲ ἔπεσεν ἐπὶ τὴν γῆν τὴν καλὴν καὶ ἐδίδου καρπὸν ὃ μὲν ἑκατόν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα. 9ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

10Καὶ προσελθόντες οἱ μαθηταὶ εἶπον αὐτῷ· διατί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς; 11ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται. 12ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ καὶ περισσευθήσεται· ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. 13διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ἵνα βλέποντες μὴ βλέπωσι καὶ ἀκούοντες μὴ ἀκούωσι μηδὲ συνῶσι, 14μήποτε ἐπιστρέψωσι· καὶ τότε πληρωθήσεται αὐτοῖς ἡ προφητεία Ἡσαΐου ἡ λέγουσα· *ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· 15ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσι καὶ τῇ καρδίᾳ συνῶσι καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς.* 16Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούουσιν. 17ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν.

18Ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ σπείραντος. 19παντὸς ἀκούοντος τὸν λόγον τῆς βασιλείας καὶ μὴ συνιέντος, ἔρχεται ὁ πονηρὸς καὶ αἴρει τὸ ἐσπαρμένον ἐν τῇ καρδίᾳ αὐτοῦ· οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς.

mâncat. 5Iar altele au căzut pe loc pietros, unde n-aveau pământ mult, şi îndată au răsărit, că n-aveau adâncime în pământ; 6Iar când a răsărit soarele, s-au pârjolit şi, neavând rădăcină, s-au uscat. 7Iar altele au căzut peste spini; şi s-au înălţat spinii şi le-au înăbuşit. 8Iar altele au căzut pe pământul cel bun şi au dat rod: una o sută, alta şaizeci, alta treizeci. 9Cine are urechi de auzit să audă.

10Şi ucenicii, apropiindu-se de El, I-au zis: De ce le vorbeşti lor în pilde? 11Iar El, răspunzând, le-a zis: Pentru că vouă vi s-a dat să cunoaşteţi tainele Împărăţiei Cerurilor, pe când acestora nu li s-a dat. 12Căci celui ce are i se va da şi-i va prisosi, iar celui ce nu are, şi ce are i se va lua. 13Pentru aceasta le vorbesc în pilde, ca, văzând, să nu vadă şi, auzind, să nu audă, nici să înţeleagă, 14ca nu cumva să se întoarcă; şi atunci se va împlini cu ei proorocia lui Isaia, care zice: *Cu auzul veţi auzi, dar nu veţi înţelege, şi, privind, vă veţi uita, dar nu veţi vedea. 15Căci inima acestui popor s-a învârtoşat şi cu urechile greu au auzit şi ochii lor şi i-au închis, ca nu cumva să vadă cu ochii şi cu urechile să audă şi cu inima să înţeleagă şi să se întoarcă şi să-i vindec.* 16Dar fericiţi sunt ochii voştri că văd şi urechile voastre că aud. 17Amin zic vouă, că mulţi prooroci şi drepţi au dorit să vadă cele ce vedeţi voi, şi n-au văzut, şi să audă cele ce auziţi voi, şi n-au auzit.

18Ascultaţi, deci, pilda semănătorului: 19La tot cel ce aude cuvântul Împărăţiei şi nu-l înţelege vine cel viclean şi răpeşte ce s-a semănat în inima lui; aceasta este cea semănată lângă drum. 20Iar cea

20ὁ δὲ ἐπὶ τὰ πετρώδη σπαρείς, οὗτός ἐστιν
ὁ τὸν λόγον ἀκούων καὶ εὐθέως μετὰ χαρᾶς
δεχόμενος καὶ λαμβάνων αὐτόν· 21οὐκ ἔχει δὲ
ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαιρός ἐστι, γενο-
μένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον
εὐθὺς σκανδαλίζεται. 22ὁ δὲ εἰς τὰς ἀκάνθας
σπαρείς, οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων, καὶ
ἡ μέριμνα τοῦ αἰῶνος τούτου καὶ ἡ ἀπάτη τοῦ
πλούτου συμπνίγει τὸν λόγον, καὶ ἄκαρπος
γίνεται. 23ὁ δὲ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρείς,
οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ συνιῶν·
ὃς δὴ καρποφορεῖ καὶ ποιεῖ ὁ μὲν ἑκατόν, ὁ
δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα.

Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων·
ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώ-
πῳ σπείραντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐ-
τοῦ· 25ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους
ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς καὶ ἔσπειρε ζιζάνια
ἀνὰ μέσον τοῦ σίτου καὶ ἀπῆλθεν. 26ὅτε δὲ
ἐβλάστησεν ὁ χόρτος καὶ καρπὸν ἐποίησε,
τότε ἐφάνη καὶ τὰ ζιζάνια. 27προσελθόντες
δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου εἶπον αὐτῷ·
κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ σῷ
ἀγρῷ; πόθεν οὖν ἔχει ζιζάνια; 28ὁ δὲ ἔφη αὐ-
τοῖς· ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν. οἱ δὲ
δοῦλοι εἶπον αὐτῷ· θέλεις οὖν ἀπελθόντες
συλλέξωμεν αὐτά; 29ὁ δὲ ἔφη· οὔ, μήποτε συλ-
λέγοντες τὰ ζιζάνια ἐκριζώσητε ἅμα αὐτοῖς
τὸν σῖτον· 30ἄφετε συναυξάνεσθαι ἀμφότερα
μέχρι τοῦ θερισμοῦ, καὶ ἐν καιρῷ τοῦ θερισμοῦ
ἐρῶ τοῖς θερισταῖς· συλλέξατε πρῶτον τὰ ζι-
ζάνια καὶ δήσατε αὐτὰ εἰς δέσμας πρὸς τὸ
κατακαῦσαι αὐτά, τὸν δὲ σῖτον συναγάγετε
εἰς τὴν ἀποθήκην μου.

Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέ-
γων· ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν
κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔσπει-
ρεν ἐν τῷ ἀγρῷ αὐτοῦ· 32ὃ μικρότερον μέν
ἐστι πάντων τῶν σπερμάτων, ὅταν δὲ αὐξηθῇ,
μεῖζον πάντων τῶν λαχάνων ἐστὶ καὶ γίνεται

semănată pe loc pietros – aceasta este cel
care aude cuvântul şi îndată cu bucurie îl
primeşte şi îl ia, 21dar nu are rădăcină în
sine însuşi, ci este nestatornic, iar când se
întâmplă strâmtorare sau prigoană pentru
cuvânt, îndată se sminteşte. 22Cea semă-
nată între spini este cel care aude cuvân-
tul, dar grija acestui veac şi amăgirea
bogăţiei înăbuşă cuvântul şi se face ne-
roditor. 23Iar cea semănată în pământul
cel bun este cel care aude cuvântul şi-l în-
ţelege; acesta, aşadar, rodeşte şi face: unul
o sută, altul şaizeci, altul treizeci.

Altă pildă le-a pus lor înainte, zicând:
Asemănatu-s-a Împărăţia Cerurilor
omului care a semănat sămânţă bună în
ţarina sa. 25Dar pe când oamenii dormeau,
a venit vrăjmaşul lui şi a semănat neghine
printre grâu şi s-a dus. 26Iar când a răsă-
rit firul şi a făcut rod, atunci s-au arătat
şi neghinele. 27Şi venind robii stăpânului
casei, i-au zis: Doamne, n-ai semănat tu,
oare, sămânţă bună în ţarina ta? De unde,
dar, are neghine? 28Iar el le-a zis: Un om
vrăjmaş a făcut aceasta. Iar robii i-au zis:
Voieşti, deci, să ne ducem şi să le adunăm?
29El însă a zis: Nu, ca nu cumva, adunând
neghinele, să smulgeţi odată cu ele şi grâ-
ul. 30Lăsaţi să crească împreună amândo-
uă până la seceriş, iar la vremea secerişu-
lui voi zice secerătorilor: Strângeţi întâi
neghinele şi legaţi-le în snopi, ca să le ar-
dem, iar grâul adunaţi-l în hambarul meu.

Altă pildă le-a pus înainte, zicând:
Asemenea este Împărăţia Cerurilor
grăuntelui de muştar, pe care, luându-l
un om, l-a semănat în ţarina sa; 32acesta
este mai mic decât toate seminţele, dar,
când creşte, este mai mare decât toate

δένδρον, ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ.

Ἄλλην παραβολὴν ἐλάλησεν αὐτοῖς· ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἐνέκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον. 34Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις, καὶ χωρὶς παραβολῆς οὐδὲν ἐλάλει αὐτοῖς, 35ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· *ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου.*

Τότε ἀφεὶς τοὺς ὄχλους ἦλθεν εἰς τὴν οἰκίαν αὐτοῦ. Καὶ προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· φράσον ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων τοῦ ἀγροῦ. 37ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου· 38ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος· τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας· τὰ δὲ ζιζάνιά εἰσιν οἱ υἱοὶ τοῦ πονηροῦ· 39ὁ δὲ ἐχθρὸς ὁ σπείρας αὐτά ἐστιν ὁ διάβολος· ὁ δὲ θερισμὸς συντέλεια τοῦ αἰῶνός ἐστιν· οἱ δὲ θερισταὶ ἄγγελοί εἰσιν. 40ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια καὶ πυρὶ καίεται, οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου. 41ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ, καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν, 42καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. 43τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ πατρὸς αὐτῶν. ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν τῷ ἀγρῷ, ὃν εὗρὼν ἄνθρωπος ἔκρυψε, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ ὑπάγει καὶ πάντα ὅσα ἔχει πωλεῖ καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.

legumele şi se face pom, încât vin păsările cerului şi se sălăşluiesc în ramurile lui.

Altă pildă le-a spus lor: Asemenea este Împărăţia Cerurilor aluatului pe care, luându-l o femeie, l-a ascuns în trei măsuri de făină, până ce s-a dospit toată. 34Toate acestea le-a vorbit Iisus în pilde mulţimilor, şi fără pildă nu le grăia nimic, 35ca să se împlinească cuvântul spus prin proorocul care zice: *Deschide-voi în pilde gura Mea, spune-voi cele ascunse de la întemeierea lumii.*

Atunci, lăsând mulţimile, a venit în casa Lui. Şi ucenicii Lui s-au apropiat de El, zicând: Lămureşte-ne nouă pilda neghinelor din ţarină. 37Iar El, răspunzând, le-a zis: Cel ce seamănă sămânţa bună este Fiul Omului; 38iar ţarina este lumea; iar sămânţa cea bună – aceştia sunt fiii Împărăţiei; iar neghinele sunt fiii celui viclean; 39iar vrăjmaşul care le-a semănat este diavolul; iar secerişul este sfârşitul veacului; iar secerătorii sunt îngerii. 40Aşadar, după cum sunt adunate neghinele şi arse în foc, aşa va fi la sfârşitul veacului acestuia. 41Va trimite Fiul Omului pe îngerii Săi şi vor aduna din Împărăţia Lui toate smintelile şi pe cei ce fac fărădelegea, 42şi-i vor arunca pe ei în cuptorul cu foc; acolo va fi plângerea şi scrâşnirea dinţilor. 43Atunci cei drepţi vor străluci ca soarele în Împărăţia Tatălui lor. Cel ce are urechi de auzit să audă.

Iarăşi, asemenea este Împărăţia Cerurilor comorii ascunse în ţarină, pe care, găsind-o un om, a ascuns-o, şi de bucuria ei se duce şi vinde toate câte are şi cumpără ţarina aceea.

Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας· 46ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην ἀπελθὼν πέπρακε πάντα ὅσα εἶχε καὶ ἠγόρασεν αὐτόν.

Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν καὶ ἐκ παντὸς γένους συναγαγούσῃ· 48ἣν, ὅτε ἐπληρώθη, ἀναβιβάσαντες αὐτὴν ἐπὶ τὸν αἰγιαλὸν καὶ καθίσαντες συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα, τὰ δὲ σαπρὰ ἔξω ἔβαλον. 49οὕτως ἔσται ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος. ἐξελεύσονται οἱ ἄγγελοι καὶ ἀφοριοῦσι τοὺς πονηροὺς ἐκ μέσου τῶν δικαίων, 50καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Λέγει αὐτοῖς ὁ Ἰησοῦς· συνήκατε ταῦτα πάντα; λέγουσιν αὐτῷ, ναί, Κύριε. 52ὁ δὲ εἶπεν αὐτοῖς· διὰ τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ὁμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά.

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας μετῆρεν ἐκεῖθεν, 54καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν, ὥστε ἐκπλήττεσθαι αὐτοὺς καὶ λέγειν· πόθεν τούτῳ ἡ σοφία αὕτη καὶ αἱ δυνάμεις; 55οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός; οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαριὰμ καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσῆς καὶ Σίμων καὶ Ἰούδας; 56καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι πρὸς ἡμᾶς εἰσι; πόθεν οὖν τούτῳ ταῦτα πάντα; 57καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐκ ἔστι προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. 58καὶ οὐκ ἐποίησεν ἐκεῖ δυνάμεις πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν.

Iarăşi asemenea este Împărăţia Cerurilor omului negustor care caută mărgăritare bune; 46acesta, aflând un mărgăritar de mult preţ, s-a dus, a vândut toate câte avea şi l-a cumpărat.

Iarăşi, asemenea este Împărăţia Cerurilor năvodului aruncat în mare, care adună de toate; 48care, când s-a umplut, trăgându-l la ţărm şi şezând, au adunat cele bune în vase, iar pe cele stricate le-au aruncat afară. 49Aşa va fi la sfârşitul veacului: vor ieşi îngerii şi vor osebi pe cei vicleni din mijlocul celor drepţi 50şi îi vor arunca în cuptorul cel de foc; acolo va fi plângerea şi scrâşnirea dinţilor.

Le-a zis lor Iisus: Aţi înţeles toate acestea? Zis-au Lui: Da, Doamne. 52Iar El le-a zis: De aceea, orice cărturar cu învăţătură despre Împărăţia Cerurilor este asemenea unui om stăpân peste casa lui, care scoate din vistieria sa noi şi vechi.

Şi a fost, când a sfârşit Iisus aceste pilde, că a plecat de acolo. 54Şi, venind în patria Sa, a început să-i înveţe în sinagoga lor, încât aceştia erau uimiţi şi ziceau: De unde-I sunt Lui înţelepciunea aceasta şi puterile? 55Nu este Acesta fiul tâmplarului? Nu se numeşte mama Lui Maria şi fraţii Lui: Iacov şi Iosi şi Simon şi Iuda? 56Şi surorile Lui nu sunt toate la noi? Deci, de unde-I sunt Lui toate acestea? 57Şi se sminteau de El. Iar Iisus le-a zis: Nu este prooroc întru necinste decât în patria sa şi în casa sa. 58Şi n-a făcut acolo multe minuni, din pricina necredinţei lor.

Κεφάλαιον ΙΔ΄

Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρῴδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ 2καὶ εἶπε τοῖς παισὶν αὐτοῦ· οὗτός ἐστιν Ἰωάννης ὁ βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. 3ὁ γὰρ Ἡρῴδης κρατήσας τὸν Ἰωάννην ἔδησεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ διὰ Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. 4ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης· οὐκ ἔξεστί σοι ἔχειν αὐτήν. 5καὶ θέλων αὐτὸν ἀποκτεῖναι ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον. 6γενεσίων δὲ ἀγομένων τοῦ Ἡρῴδου ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρῳδιάδος ἐν τῷ μέσῳ καὶ ἤρεσε τῷ Ἡρῴδῃ· 7ὅθεν μεθ' ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι ὃ ἐὰν αἰτήσηται. 8ἡ δέ, προβιβασθεῖσα ὑπὸ τῆς μητρὸς αὐτῆς, δός μοι, φησίν, ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. 9καὶ ἐλυπήθη ὁ βασιλεύς, διὰ δὲ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους ἐκέλευσε δοθῆναι, 10καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ. 11καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι καὶ ἐδόθη τῷ κορασίῳ, καὶ ἤνεγκε τῇ μητρὶ αὐτῆς. 12καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἦραν τὸ σῶμα καὶ ἔθαψαν αὐτό, καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ.

Ἀκούσας δὲ ὁ Ἰησοῦς ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ' ἰδίαν· καὶ ἀκούσαντες οἱ ὄχλοι ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πόλεων. 14Καὶ ἐξελθὼν ὁ Ἰησοῦς εἶδε πολὺν ὄχλον, καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς καὶ ἐθεράπευσε τοὺς ἀρρώστους αὐτῶν. 15ὀψίας δὲ γενομένης προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγοντες· ἔρημός ἐστιν ὁ τόπος καὶ ἡ ὥρα ἤδη παρῆλθεν· ἀπόλυσον τοὺς ὄχλους, ἵνα

Capitolul 14

În vremea aceea a auzit tetrarhul Irod vestea despre Iisus. 2Şi a zis slujitorilor săi: Acesta este Ioan Botezătorul; el s-a sculat din morţi şi pentru aceasta lucrează puterile întru el. 3Căci Irod, prinzând pe Ioan, l-a legat şi l-a pus în temniţă, din pricina Irodiadei, femeia lui Filip, fratele său. 4Căci Ioan îi zicea lui: Nu-ţi este îngăduit s-o ţii pe aceasta. 5Şi voind să-l ucidă, s-a temut de mulţime, că-l aveau pe el de prooroc. 6Dar, venind ziua de naştere a lui Irod, fiica Irodiadei a jucat în mijloc şi i-a plăcut lui Irod. 7De aceea, cu jurământ i-a făgăduit să-i dea orice va cere. 8Iar ea, îndemnată fiind de mama sa, a zis: Dă-mi aici pe tipsie capul lui Ioan Botezătorul. 9Şi s-a întristat împăratul, dar, din pricina jurămintelor şi a celor care şedeau cu el la masă, a poruncit să i se dea. 10Şi trimiţând, i-a tăiat capul lui Ioan în temniţă. 11Şi capul lui a fost adus pe tipsie şi dat fetei, iar ea l-a dus mamei sale. 12Şi apropiindu-se ucenicii lui, au ridicat trupul şi l-au îngropat; şi venind, I-au vestit lui Iisus.

Iar Iisus, auzind, a plecat de acolo cu corabia în loc pustiu, deoparte; şi auzind mulţimile, au urmat Lui, pe jos, din cetăţi. 14Şi ieşind Iisus, a văzut mulţime mare şi I S-a făcut milă de ei şi i-a tămăduit pe bolnavii lor. 15Şi făcându-se seară, s-au apropiat de El ucenicii, zicând: Locul este pustiu şi vremea s-a făcut de-acum târzie; slobozeşte mulţimile ca să se ducă în sate,

ἀπελθόντες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώματα. 16ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐ χρείαν ἔχουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. 17οἱ δὲ λέγουσιν αὐτῷ· οὐκ ἔχομεν ὧδε εἰ μὴ πέντε ἄρτους καὶ δύο ἰχθύας. 18ὁ δὲ εἶπε· φέρετέ μοι αὐτοὺς ὧδε. 19καὶ κελεύσας τοὺς ὄχλους ἀνακλιθῆναι ἐπὶ τοὺς χόρτους, λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησε, καὶ κλάσας ἔδωκε τοῖς μαθηταῖς τοὺς ἄρτους, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. 20καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων δώδεκα κοφίνους πλήρεις. 21οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι χωρὶς γυναικῶν καὶ παιδίων.

Καὶ εὐθέως ἠνάγκασεν ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν αὐτὸν εἰς τὸ πέραν, ἕως οὗ ἀπολύσῃ τοὺς ὄχλους. 23καὶ ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσεύξασθαι. ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ. 24τὸ δὲ πλοῖον ἤδη μέσον τῆς θαλάσσης ἦν, βασανιζόμενον ὑπὸ τῶν κυμάτων· ἦν γὰρ ἐναντίος ὁ ἄνεμος. 25τετάρτῃ δὲ φυλακῇ τῆς νυκτὸς ἀπῆλθε πρὸς αὐτοὺς ὁ Ἰησοῦς περιπατῶν ἐπὶ τῆς θαλάσσης. 26καὶ ἰδόντες αὐτὸν οἱ μαθηταὶ ἐπὶ τὴν θάλασσαν περιπατοῦντα ἐταράχθησαν λέγοντες ὅτι φάντασμά ἐστι, καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. 27εὐθέως δὲ ἐλάλησεν αὐτοῖς ὁ Ἰησοῦς λέγων· θαρσεῖτε, ἐγώ εἰμι· μὴ φοβεῖσθε. 28ἀποκριθεὶς δὲ αὐτῷ ὁ Πέτρος εἶπε· Κύριε, εἰ σύ εἶ, κέλευσόν με πρὸς σὲ ἐλθεῖν ἐπὶ τὰ ὕδατα. 29ὁ δὲ εἶπεν, ἐλθέ. καὶ καταβὰς ἀπὸ τοῦ πλοίου ὁ Πέτρος περιεπάτησεν ἐπὶ τὰ ὕδατα ἐλθεῖν πρὸς τὸν Ἰησοῦν. 30βλέπων δὲ τὸν ἄνεμον ἰσχυρὸν ἐφοβήθη, καὶ ἀρξάμενος καταποντίζεσθαι ἔκραξε λέγων· Κύριε, σῶσόν με. 31εὐθέως δὲ ὁ Ἰησοῦς ἐκτείνας τὴν χεῖρα ἐπελάβετο αὐτοῦ καὶ λέγει αὐτῷ· ὀλιγόπιστε, εἰς τί ἐδίστασας; 32καὶ ἐμβάντων αὐτῶν εἰς

să-şi cumpere mâncare. 16Iisus însă le-a zis: N-au trebuinţă să plece; daţi-le voi să mănânce. 17Iar ei I-au zis: Nu avem aici decât cinci pâini şi doi peşti. 18Şi El a zis: Aduceţi-le aici, la Mine! 19Şi poruncind să se aşeze mulţimile pe iarbă, luând cele cinci pâini şi cei doi peşti, privind la cer, a binecuvântat şi, frângând, a dat ucenicilor pâinile, iar ucenicii mulţimilor. 20Şi au mâncat toţi şi s-au săturat şi au strâns rămăşiţele de bucate douăsprezece coşuri pline. 21Iar cei ce mâncaseră erau ca la cinci mii de bărbaţi, afară de femei şi copii.

Şi îndată i-a silit Iisus pe ucenicii Lui să intre în corabie şi să treacă înaintea Lui pe ţărmul celălalt, până ce va slobozi mulţimile. 23Şi slobozind mulţimile, S-a suit în munte, deoparte, ca să Se roage. Şi, făcându-se seară, era singur acolo. 24Iar corabia era de-acum în largul mării, izbită de valuri, căci vântul era potrivnic. 25Iar la a patra strajă a nopţii, a venit la ei Iisus, umblând pe mare. 26Şi văzându-L ucenicii umblând pe mare, s-au tulburat, zicând că este o nălucă, şi, de frică, au strigat. 27Şi îndată le-a vorbit lor Iisus, zicând: Îndrăzniţi, Eu sunt; nu vă temeţi! 28Şi răspunzându-I Petru, a zis: Doamne, dacă Tu eşti, porunceşte să vin la Tine pe apă. 29El i-a zis: Vino! Şi coborând din corabie, Petru a mers pe apă, ca să vină spre Iisus. 30Dar văzând vântul puternic, s-a temut şi, începând să se scufunde, a strigat, zicând: Doamne, mântuieşte-mă! 31Iar îndată Iisus, întinzând mâna, l-a apucat şi i-a zis: Puţin credinciosule, pentru ce te-ai îndoit? 32Şi suindu-se ei în corabie, s-a potolit vântul; 33şi cei din corabie,

τὸ πλοῖον ἐκόπασεν ὁ ἄνεμος· 33οἱ δὲ ἐν τῷ πλοίῳ ἐλθόντες προσεκύνησαν αὐτῷ λέγοντες· ἀληθῶς Θεοῦ υἱὸς εἶ.

Καὶ διαπεράσαντες ἦλθον εἰς τὴν γῆν Γεννησαρέτ. 35καὶ ἐπιγνόντες αὐτὸν οἱ ἄνδρες τοῦ τόπου ἐκείνου ἀπέστειλαν εἰς ὅλην τὴν περίχωρον ἐκείνην, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς κακῶς ἔχοντας, 36καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν μόνον ἅψωνται τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ· καὶ ὅσοι ἥψαντο διεσώθησαν.

venind, s-au închinat Lui, zicând: Cu adevărat eşti Fiul lui Dumnezeu.

Şi trecând dincolo, au venit în pământul Ghenizaretului. 35Şi cunoscându-L pe El oamenii locului aceluia, au trimis în toate împrejurimile acelea şi au adus la El pe toţi cei ce pătimeau rău. 36Şi-L rugau ca numai să se atingă de poala hainei Lui; şi câţi s-au atins s-au izbăvit.

Κεφάλαιον ΙΕ΄

Τότε προσέρχονται τῷ Ἰησοῦ οἱ ἀπὸ Ἱεροσολύμων γραμματεῖς καὶ Φαρισαῖοι λέγοντες· 2διατί οἱ μαθηταί σου παραβαίνουσι τὴν παράδοσιν τῶν πρεσβυτέρων; οὐ γὰρ νίπτονται τὰς χεῖρας αὐτῶν ὅταν ἄρτον ἐσθίωσιν. 3ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· διατί καὶ ὑμεῖς παραβαίνετε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν; 4ὁ γὰρ Θεὸς ἐνετείλατο λέγων· *τίμα τὸν πατέρα καὶ τὴν μητέρα· καί· ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω.* 5ὑμεῖς δὲ λέγετε· ὃς ἂν εἴπῃ τῷ πατρὶ ἢ τῇ μητρί, δῶρον ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, καὶ οὐ μὴ τιμήσῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ· 6καὶ ἠκυρώσατε τὴν ἐντολὴν τοῦ Θεοῦ διὰ τὴν παράδοσιν ὑμῶν. 7ὑποκριταί, καλῶς προεφήτευσε περὶ ὑμῶν Ἡσαΐας λέγων· 8*ἐγγίζει μοι ὁ λαὸς οὗτος τῷ στόματι αὐτῶν καὶ τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ·* 9*μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων.*

Capitolul 15

Atunci s-au apropiat de Iisus cărturari şi farisei din Ierusalim, zicând: 2Pentru ce ucenicii Tăi calcă predania bătrânilor? Căci nu-şi spală mâinile când mănâncă pâine. 3Iar El, răspunzând, le-a zis: Pentru ce şi voi călcaţi porunca lui Dumnezeu pentru predania voastră? 4Căci Dumnezeu a poruncit, zicând: *Cinsteşte pe tatăl tău şi pe mama ta*; şi *Cel ce vorbeşte de rău pe tată sau pe mamă cu moarte să se sfârşească.* 5Iar voi spuneţi: Cel ce va zice tatălui sau mamei: Cu ce te-ai fi putut folosi de la mine este dăruit lui Dumnezeu! să nu mai cinstească pe tatăl şi pe mama sa. 6Şi aţi desfiinţat porunca lui Dumnezeu pentru predania voastră. 7Făţarnicilor, bine a proorocit despre voi Isaia, zicând: 8*Poporul acesta se apropie de Mine cu gura lor şi cu buzele Mă cinsteşte, dar inima lor este departe de Mine.* 9*Şi în zadar Mă cinstesc, învăţând drept învăţături porunci ale oamenilor.*

Καὶ προσκαλεσάμενος τὸν ὄχλον εἶπεν αὐτοῖς· ἀκούετε καὶ συνίετε· 11οὐ τὸ εἰσερχόμενον εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος τοῦτο κοινοῖ τὸν ἄνθρωπον. 12τότε προσελθόντες οἱ μαθηταὶ αὐτοῦ εἶπον αὐτῷ· οἶδας ὅτι οἱ Φαρισαῖοι ἐσκανδαλίσθησαν ἀκούσαντες τὸν λόγον; 13ὁ δὲ ἀποκριθεὶς εἶπε· πᾶσα φυτεία ἣν οὐκ ἐφύτευσεν ὁ πατήρ μου ὁ οὐράνιος ἐκριζωθήσεται. 14ἄφετε αὐτούς· ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν· τυφλὸς δὲ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται. 15ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· φράσον ἡμῖν τὴν παραβολὴν ταύτην. 16ὁ δὲ Ἰησοῦς εἶπεν· ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε; 17οὔπω νοεῖτε ὅτι πᾶν τὸ εἰσπορευόμενον εἰς τὸ στόμα εἰς τὴν κοιλίαν χωρεῖ καὶ εἰς ἀφεδρῶνα ἐκβάλλεται; 18τὰ δὲ ἐκπορευόμενα ἐκ τοῦ στόματος ἐκ τῆς καρδίας ἐξέρχεται, κἀκεῖνα κοινοῖ τὸν ἄνθρωπον. 19ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροί, φόνοι, μοιχεῖαι, πορνεῖαι, κλοπαί, ψευδομαρτυρίαι, βλασφημίαι. 20ταῦτά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον· τὸ δὲ ἀνίπτοις χερσὶ φαγεῖν οὐ κοινοῖ τὸν ἄνθρωπον.

Καὶ ἐξελθὼν ἐκεῖθεν ὁ Ἰησοῦς ἀνεχώρησεν εἰς τὰ μέρη Τύρου καὶ Σιδῶνος. 22καὶ ἰδοὺ γυνὴ Χαναναία ἀπὸ τῶν ὁρίων ἐκείνων ἐξελθοῦσα ἐκραύγασεν αὐτῷ λέγουσα· ἐλέησόν με, Κύριε, υἱὲ Δαυίδ· ἡ θυγάτηρ μου κακῶς δαιμονίζεται. 23ὁ δὲ οὐκ ἀπεκρίθη αὐτῇ λόγον. καὶ προσελθόντες οἱ μαθηταὶ αὐτοῦ ἠρώτων αὐτὸν λέγοντες· ἀπόλυσον αὐτήν, ὅτι κράζει ὄπισθεν ἡμῶν. 24ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. 25ἡ δὲ ἐλθοῦσα προσεκύνησεν αὐτῷ λέγουσα· Κύριε, βοήθει μοι. 26ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐκ ἔστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις. 27ἡ δὲ εἶπε· ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων

Şi chemând la Sine mulţimea, le-a zis: Ascultaţi şi înţelegeţi: 11Nu ceea ce intră pe gură spurcă pe om, ci ceea ce iese din gură, aceea spurcă pe om. 12Atunci, apropiindu-se ucenicii Lui, I-au zis: Ştii că fariseii s-au smintit auzind cuvântul? 13Iar El, răspunzând, a zis: Tot răsadul pe care nu l-a sădit Tatăl Meu Cel ceresc va fi smuls din rădăcină. 14Lăsaţi-i pe aceştia; sunt călăuze oarbe ale orbilor; şi dacă orb pe orb va călăuzi, amândoi vor cădea în groapă. 15Şi răspunzând Petru, I-a zis: Lămureşte-ne nouă pilda aceasta. 16Şi Iisus a zis: Până şi voi sunteţi lipsiţi de înţelegere? 17Încă nu înţelegeţi că tot ce intră în gură se duce în pântece şi e dat afară în hazna? 18Iar cele ce ies din gură pornesc din inimă şi acelea spurcă pe om. 19Căci din inimă ies cugete viclene, uciderі, adultere, desfrânări, hoţii, mărturii mincinoase, hule. 20Acestea sunt cele care spurcă pe om; dar a mânca cu mâini nespălate nu spurcă pe om.

Şi ieşind de acolo, Iisus a plecat în părţile Tirului şi ale Sidonului. 22Şi iată, o femeie cananeancă, ieşind din acele ţinuturi, I-a strigat, zicând: Miluieşte-mă, Doamne, Fiul lui David! Fiica mea e rău îndrăcită. 23El însă nu i-a răspuns niciun cuvânt. Şi apropiindu-se ucenicii Lui, Îl rugau, zicând: Slobozeşte-o, că strigă în urma noastră. 24Iar El, răspunzând, a zis: Nu am fost trimis decât către oile cele pierdute ale casei lui Israel. 25Iar ea, venind, I s-a închinat Lui, zicând: Doamne, ajută-mă. 26Iar El, răspunzând, a zis: Nu este bine să iei pâinea fiilor şi s-o arunci câinilor. 27Ea însă a zis: Da, Doamne, dar şi câinii mănâncă din fărâmiturile care cad de la

ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν. 28τότε ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῇ· ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς ἀπὸ τῆς ὥρας ἐκείνης.

Καὶ μεταβὰς ἐκεῖθεν ὁ Ἰησοῦς ἦλθε παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, καὶ ἀναβὰς εἰς τὸ ὄρος ἐκάθητο ἐκεῖ. 30καὶ προσῆλθον αὐτῷ ὄχλοι πολλοὶ ἔχοντες μεθ' ἑαυτῶν χωλούς, τυφλούς, κωφούς, κυλλοὺς καὶ ἑτέρους πολλούς, καὶ ἔρριψαν αὐτοὺς παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐθεράπευσεν αὐτούς, 31ὥστε τοὺς ὄχλους θαυμάσαι βλέποντας κωφοὺς ἀκούοντας, ἀλάλους λαλοῦντας, κυλλοὺς ὑγιεῖς, χωλοὺς περιπατοῦντας καὶ τυφλοὺς βλέποντας· καὶ ἐδόξασαν τὸν Θεὸν Ἰσραήλ.

Ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπε· σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέραι τρεῖς προσμένουσί μοι καὶ οὐκ ἔχουσι τί φάγωσι· καὶ ἀπολῦσαι αὐτοὺς νήστεις οὐ θέλω, μήποτε ἐκλυθῶσιν ἐν τῇ ὁδῷ. 33καὶ λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· πόθεν ἡμῖν ἐν ἐρημίᾳ ἄρτοι τοσοῦτοι ὥστε χορτάσαι ὄχλον τοσοῦτον; 34καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· πόσους ἄρτους ἔχετε; οἱ δὲ εἶπον· ἑπτά, καὶ ὀλίγα ἰχθύδια. 35καὶ ἐκέλευσε τοῖς ὄχλοις ἀναπεσεῖν ἐπὶ τὴν γῆν. 36καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους καὶ τοὺς ἰχθύας, εὐχαριστήσας ἔκλασε καὶ ἔδωκε τοῖς μαθηταῖς αὐτοῦ, οἱ δὲ μαθηταὶ τοῖς ὄχλοις. 37καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμάτων ἑπτὰ σπυρίδας πλήρεις· 38οἱ δὲ ἐσθίοντες ἦσαν τετρακισχίλιοι ἄνδρες χωρὶς γυναικῶν καὶ παιδίων. 39καὶ ἀπολύσας τοὺς ὄχλους ἐνέβη εἰς τὸ πλοῖον καὶ ἦλθεν εἰς τὰ ὅρια Μαγδαλά.

masa stăpânilor lor. 28Atunci, răspunzând, Iisus i-a zis: O, femeie, mare este credința ta! Fie ție după cum voiești. Şi s-a tămăduit fiica ei din ceasul acela.

Şi mutându-Se de acolo, Iisus a venit lângă Marea Galileii şi, suindu-Se în munte, a şezut acolo. 30Şi au venit la El mulțimi multe, având cu ei şchiopi, orbi, surzi, schilozi şi mulți alții şi i-au aruncat la picioarele lui Iisus, iar El i-a vindecat, 31încât mulțimile se minunau văzând pe surzi auzind, pe muți grăind, pe schilozi sănătoşi, pe şchiopi umblând şi pe orbi văzând; şi au slăvit pe Dumnezeul lui Israel.

Iar Iisus, chemând la Sine pe ucenicii Săi, a zis: Milă îmi este de mulțime, că de-acum sunt trei zile de când aşteaptă lângă Mine şi n-au ce să mănânce; şi să-i slobozesc flămânzi nu voiesc, ca să nu se istovească pe cale. 33Şi ucenicii Săi I-au zis: De unde să avem noi în pustie atâtea pâini încât să săturăm atâta mulțime? 34Şi Iisus le-a zis: Câte pâini aveți? Iar ei au spus: Şapte, şi puțini peşti. 35Şi a poruncit mulțimilor să se aşeze pe pământ, 36şi luând cele şapte pâini şi peştii, mulțumind, a frânt şi a dat ucenicilor Săi, iar ucenicii mulțimilor. 37Şi au mâncat toți şi s-au săturat şi au strâns rămăşițele de bucate şapte coşuri pline. 38Iar cei ce au mâncat erau patru mii de bărbați, afară de femei şi copii. 39Şi slobozind mulțimile, S-a suit în corabie şi a venit în ținutul Magdala.

Κεφάλαιον Ις΄

Καὶ προσελθόντες οἱ Φαρισαῖοι καὶ Σαδδουκαῖοι πειράζοντες ἐπηρώτησαν αὐτὸν σημεῖον ἐκ τοῦ οὐρανοῦ ἐπιδεῖξαι αὐτοῖς. 2ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· ὀψίας γενομένης λέγετε· εὐδία· πυρράζει γὰρ ὁ οὐρανός· 3καὶ πρωΐ· σήμερον χειμών· πυρράζει γὰρ στυγνάζων ὁ οὐρανός. ὑποκριταί, τὸ μὲν πρόσωπον τοῦ οὐρανοῦ γινώσκετε διακρίνειν, τὰ δὲ σημεῖα τῶν καιρῶν οὐ δύνασθε γνῶναι; 4γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. καὶ καταλιπὼν αὐτοὺς ἀπῆλθεν.

Καὶ ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ εἰς τὸ πέραν ἐπελάθοντο ἄρτους λαβεῖν. 6ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ὁρᾶτε καὶ προσέχετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων. 7οἱ δὲ διελογίζοντο ἐν ἑαυτοῖς λέγοντες ὅτι ἄρτους οὐκ ἐλάβομεν. 8γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· τί διαλογίζεσθε ἐν ἑαυτοῖς, ὀλιγόπιστοι, ὅτι ἄρτους οὐκ ἐλάβετε; 9οὔπω νοεῖτε, οὐδὲ μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων καὶ πόσους κοφίνους ἐλάβετε; 10οὐδὲ τοὺς ἑπτὰ ἄρτους τῶν τετρακισχιλίων καὶ πόσας σπυρίδας ἐλάβετε; 11πῶς οὐ νοεῖτε ὅτι οὐ περὶ ἄρτου εἶπον ὑμῖν προσέχειν ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ Σαδδουκαίων; 12τότε συνῆκαν ὅτι οὐκ εἶπε προσέχειν ἀπὸ τῆς ζύμης τοῦ ἄρτου, ἀλλ᾽ ἀπὸ τῆς διδαχῆς τῶν Φαρισαίων καὶ Σαδδουκαίων.

Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας τῆς Φιλίππου ἠρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι τὸν

Capitolul 16

Şi apropiindu-se fariseii şi saducheii, ispitind, I-au cerut să le arate semn din cer. 2Iar El, răspunzând, le-a zis: Când se face seară ziceţi: Va fi vreme bună, căci cerul este roşu. 3Şi dimineaţa: Astăzi va fi furtună, căci cerul este roşu-mohorât. Făţarnicilor, faţa cerului ştiţi s-o deosebiţi, dar semnele vremilor nu puteţi să le cunoaşteţi? 4Neam viclean şi adulter cere semn, dar semn nu se va da lui, decât numai semnul lui Iona proorocul. Şi lăsându-i, a plecat.

Şi venind ucenicii Lui de cealaltă parte, au uitat să ia pâini. 6Şi Iisus le-a zis: Vedeţi şi păziţi-vă de aluatul fariseilor şi al saducheilor. 7Iar ei vorbeau între ei, zicând: N-am luat pâine. 8Dar cunoscând Iisus, le-a zis: De ce vorbiţi între voi, puţin credincioşilor, că n-aţi luat pâini? 9Tot nu înţelegeţi, nici nu vă aduceţi aminte de cele cinci pâini ale celor cinci mii şi câte coşuri aţi luat? 10Nici de cele şapte pâini ale celor patru mii şi câte coşuri aţi luat? 11Cum nu înţelegeţi că nu despre pâine v-am zis să vă păziţi de aluatul fariseilor şi al saducheilor? 12Atunci au înţeles că nu le-a spus să se păzească de aluatul pâinii, ci de învăţătura fariseilor şi a saducheilor.

Şi venind Iisus în părţile Cezareii lui Filip, îi întreba pe ucenicii Săi, zicând: Cine zic oamenii că sunt Eu, Fiul Omului?

υἱὸν τοῦ ἀνθρώπου; 14οἱ δὲ εἶπον· οἱ μὲν Ἰωάννην τὸν βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἕτεροι δὲ Ἰερεμίαν ἢ ἕνα τῶν προφητῶν. 15λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; 16ἀποκριθεὶς δὲ Σίμων Πέτρος εἶπε· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. 17καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτῷ· μακάριος εἶ, Σίμων Βαριωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς. 18κἀγὼ δέ σοι λέγω ὅτι σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. 19καὶ δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς, καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς. 20τότε διεστείλατο τοῖς μαθηταῖς αὐτοῦ ἵνα μηδενὶ εἴπωσιν ὅτι αὐτός ἐστιν Ἰησοῦς ὁ Χριστός.

Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἰεροσόλυμα καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι. 22καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ λέγων· ἵλεώς σοι, Κύριε· οὐ μὴ ἔσται σοι τοῦτο. 23ὁ δὲ στραφεὶς εἶπε τῷ Πέτρῳ· ὕπαγε ὀπίσω μου, σατανᾶ· σκάνδαλόν μου εἶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

Τότε ὁ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι. 25ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν. 26τί γὰρ ὠφελεῖται ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; 27μέλλει γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ

14Iar ei au spus: Unii, Ioan Botezătorul, alții Ilie, alții Ieremia sau unul dintre prooroci. 15Le-a zis: Dar voi cine ziceți că sunt Eu? 16Şi răspunzând Simon Petru, a zis: Tu eşti Hristosul, Fiul lui Dumnezeu Celui viu. 17Iar Iisus, răspunzând, i-a zis: Fericit eşti, Simone Barioná, că nu trup şi sânge ți-au descoperit ție, ci Tatăl Meu Cel din ceruri. 18Dar şi Eu zic ție: Tu eşti Petru, şi pe această piatră voi zidi Biserica Mea, şi porțile iadului nu o vor birui. 19Şi îți voi da ție cheile Împărăției Cerurilor şi orice vei lega pe pământ va fi legat în ceruri, şi orice vei dezlega pe pământ va fi dezlegat în ceruri. 20Atunci a poruncit ucenicilor Săi să nu spună nimănui că El este Iisus Hristosul.

De atunci a început Iisus să arate ucenicilor Săi că El trebuie să meargă la Ierusalim şi să pătimească multe de la bătrâni şi de la arhierei şi de la cărturari şi să fie omorât, şi a treia zi să învieze. 22Şi, luându-L la o parte, Petru a început să-L dojenească, zicând: Fie-Ți milă de Tine, Doamne; să nu Ți se întâmple Ție aceasta. 23Iar El, întorcându-se, i-a zis lui Petru: Mergi înapoia Mea, satano! Sminteală Îmi eşti; că nu cugeți cele ale lui Dumnezeu, ci cele ale oamenilor.

Atunci Iisus le-a zis ucenicilor Săi: Dacă vrea cineva să vină după Mine, să se lepede de sine şi să-şi ia crucea lui şi să-Mi urmeze Mie. 25Căci cine va voi să-şi mântuiască sufletul îl va pierde; iar cine îşi va pierde sufletul pentru Mine îl va afla. 26Căci ce-i va folosi omului, dacă va câştiga lumea întreagă, iar de sufletul său se va păgubi? Sau ce va da omul în schimb pentru sufletul său? 27Căci Fiul Omului va să vină întru slava Tatălui Său, cu îngerii Săi,

μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ τότε ἀποδώσει ἑκάστῳ κατὰ τὴν πρᾶξιν αὐτοῦ. 28ἀμὴν λέγω ὑμῖν, εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ βασιλείᾳ αὐτοῦ.

şi atunci va răsplăti fiecăruia după fapta lui. 28Amin zic vouă: Sunt unii din cei ce stau aici care nu vor gusta moartea până ce nu vor vedea pe Fiul Omului venind în Împărăția Lui.

Κεφάλαιον ΙΖ΄

Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν· 2καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. 3καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας μετ' αὐτοῦ συλλαλοῦντες. 4ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπε τῷ Ἰησοῦ· Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνάς, σοὶ μίαν καὶ Μωσεῖ μίαν καὶ μίαν Ἠλίᾳ. 5ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς, καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε. 6καὶ ἀκούσαντες οἱ μαθηταὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν καὶ ἐφοβήθησαν σφόδρα. 7καὶ προσελθὼν ὁ Ἰησοῦς ἥψατο αὐτῶν καὶ εἶπεν· ἐγέρθητε καὶ μὴ φοβεῖσθε. 8ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν οὐδένα εἶδον εἰ μὴ τὸν Ἰησοῦν μόνον. 9καὶ καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς λέγων· μηδενὶ εἴπητε τὸ ὅραμα ἕως οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. 10Καὶ ἐπηρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες· τί οὖν οἱ γραμματεῖς λέγουσιν ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον; 11ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ἠλίας μὲν ἔρχεται

Capitolul 17

Şi după şase zile, Iisus a luat cu Sine pe Petru şi pe Iacov şi pe Ioan, fratele lui, şi i-a dus într-un munte înalt, deoparte. 2Şi S-a schimbat la față înaintea lor şi a strălucit fața Lui ca soarele, iar veşmintele Lui s-au făcut albe ca lumina. 3Şi iată, li s-au arătat lor Moise şi Ilie, vorbind cu El. 4Şi răspunzând Petru, I-a zis lui Iisus: Doamne, bine este să fim noi aici; dacă voieşti, să facem aici trei corturi: Ţie unul, şi lui Moise unul, şi unul lui Ilie. 5Încă vorbind El, iată, un nor luminos i-a umbrit şi iată, glas din nor zicând: Acesta este Fiul Meu Cel iubit în Care am binevoit; pe Acesta să-L ascultați. 6Şi auzind, ucenicii au căzut cu fața la pământ şi s-au înfricoşat foarte. 7Şi apropiindu-Se Iisus, S-a atins de ei şi a zis: Sculați-vă şi nu vă temeți. 8Şi, ridicându-şi ochii lor, nu au văzut pe nimeni, ci numai pe Iisus, singur. 9Şi coborând ei din munte, Iisus le-a poruncit, zicând: Nimănui să nu spuneți vedenia, până când Fiul Omului va învia din morți. 10Şi L-au întrebat ucenicii Lui, zicând: Pentru ce, dar, zic cărturarii că Ilie trebuie să vină mai întâi? 11Iar Iisus, răspunzând, le-a zis: Ilie într-adevăr va veni mai întâi şi va aduce toate la starea cea

πρῶτον καὶ ἀποκαταστήσει πάντα· 12λέγω δὲ ὑμῖν ὅτι Ἠλίας ἤδη ἦλθε, καὶ οὐκ ἐπέγνωσαν αὐτόν, ἀλλ' ἐποίησαν ἐν αὐτῷ ὅσα ἠθέλησαν· οὕτω καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου μέλλει πάσχειν ὑπ' αὐτῶν. 13τότε συνῆκαν οἱ μαθηταὶ ὅτι περὶ Ἰωάννου τοῦ βαπτιστοῦ εἶπεν αὐτοῖς.

Καὶ ἐλθόντων αὐτῶν πρὸς τὸν ὄχλον προσῆλθεν αὐτῷ ἄνθρωπος γονυπετῶν αὐτὸν καὶ λέγων· 15Κύριε, ἐλέησόν μου τὸν υἱόν, ὅτι σεληνιάζεται καὶ κακῶς πάσχει· πολλάκις γὰρ πίπτει εἰς τὸ πῦρ καὶ πολλάκις εἰς τὸ ὕδωρ. 16καὶ προσήνεγκα αὐτὸν τοῖς μαθηταῖς σου, καὶ οὐκ ἠδυνήθησαν αὐτὸν θεραπεῦσαι. 17ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι μεθ' ὑμῶν; ἕως πότε ἀνέξομαι ὑμῶν; φέρετέ μοι αὐτὸν ὧδε. 18καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐξῆλθεν ἀπ' αὐτοῦ τὸ δαιμόνιον καὶ ἐθεραπεύθη ὁ παῖς ἀπὸ τῆς ὥρας ἐκείνης. 19Τότε προσελθόντες οἱ μαθηταὶ τῷ Ἰησοῦ κατ' ἰδίαν εἶπον· διατί ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό; 20ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· διὰ τὴν ἀπιστίαν ὑμῶν. ἀμὴν γὰρ λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβήσεται, καὶ οὐδὲν ἀδυνατήσει ὑμῖν. 21τοῦτο δὲ τὸ γένος οὐκ ἐκπορεύεται εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

Ἀναστρεφομένων δὲ αὐτῶν εἰς τὴν Γαλιλαίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων 23καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθήσεται. καὶ ἐλυπήθησαν σφόδρα.

Ἐλθόντων δὲ αὐτῶν εἰς Καπερναοὺμ προσῆλθον οἱ τὰ δίδραχμα λαμβάνοντες τῷ Πέτρῳ καὶ εἶπον· ὁ διδάσκαλος ὑμῶν οὐ τελεῖ τὰ δίδραχμα; 25λέγει, ναί. καὶ ὅτε εἰσῆλθεν εἰς τὴν οἰκίαν, προέφθασεν αὐτὸν ὁ Ἰησοῦς λέγων· τί σοι δοκεῖ, Σίμων; οἱ βασιλεῖς τῆς γῆς ἀπὸ τίνων λαμβάνουσι τέλη ἢ κῆνσον; ἀπὸ τῶν

dintâi. 12Eu însă vă spun vouă că Ilie a şi venit, dar ei nu l-au cunoscut, ci au făcut cu el câte au voit; aşa şi Fiul Omului va pătimi de la ei. 13Atunci au înţeles ucenicii că despre Ioan Botezătorul le-a vorbit.

Şi mergând ei spre mulţime, s-a apropiat de El un om, căzându-I în genunchi şi zicând: 15Doamne, miluieşte pe fiul meu că este lunatic şi rău pătimeşte, căci adesea cade în foc şi adesea în apă. 16Şi l-am dus la ucenicii Tăi, dar ei n-au putut să-l tămăduiască. 17Iar Iisus, răspunzând, a zis: O, neam necredincios şi stricat, până când voi fi cu voi? Până când vă voi răbda pe voi? Aduceţi-l aici la Mine. 18Şi l-a certat Iisus, şi dracul a ieşit din el, şi s-a tămăduit copilul din ceasul acela. 19Atunci, apropiindu-se ucenicii de Iisus, I-au zis deoparte: De ce noi n-am putut să-l scoatem? 20Iar Iisus le-a zis: Din pricina necredinţei voastre. Căci amin zic vouă: Dacă veţi avea credinţă cât un grăunte de muştar, veţi zice muntelui acestuia: Mută-te de aici dincolo, şi se va muta; şi nimic nu va fi vouă cu neputinţă. 21Iar acest neam de draci nu iese decât cu rugăciune şi cu post.

Întorcându-se ei în Galileea, Iisus le-a spus: Fiul Omului Se va da în mâinile oamenilor 23şi-L vor omorî, şi a treia zi va învia. Şi s-au întristat foarte.

Şi venind ei în Capernaum, s-au apropiat de Petru cei ce strâng didrahma şi i-au zis: Învăţătorul vostru nu plăteşte didrahma? 25Ba da! – a zis el. Şi când a intrat în casă, Iisus i-a luat-o înainte, zicând: Ce ţi se pare, Simone? Împăraţii pământului de la cine iau dări sau bir? De la fiii

υἱῶν αὐτῶν ἢ ἀπὸ τῶν ἀλλοτρίων; 26λέγει αὐτῷ ὁ Πέτρος· ἀπὸ τῶν ἀλλοτρίων. ἔφη αὐτῷ ὁ Ἰησοῦς· ἄραγε ἐλεύθεροί εἰσιν οἱ υἱοί. 27ἵνα δὲ μὴ σκανδαλίσωμεν αὐτούς, πορευθεὶς εἰς τὴν θάλασσαν βάλε ἄγκιστρον καὶ τὸν ἀναβάντα πρῶτον ἰχθὺν ἆρον, καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ εὑρήσεις στατῆρα· ἐκεῖνον λαβὼν δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ.

lor sau de la străini? 26Petru I-a zis: De la străini. Iisus i-a zis: Aşadar, fiii sunt liberi. 27Dar, ca să nu-i smintim pe ei, mergi la mare, aruncă undiţa, şi peştele care va ieşi întâi ia-l şi, deschizându-i gura, vei găsi un statir; pe acela ia-l şi dă-l lor pentru Mine şi pentru tine.

Κεφάλαιον ΙΗ΄

Ἐν ἐκείνῃ τῇ ὥρᾳ προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες· τίς ἄρα μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν; 2καὶ προσκαλεσάμενος ὁ Ἰησοῦς παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν καὶ εἶπεν· 3ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. 4ὅστις οὖν ταπεινώσει ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὗτός ἐστιν ὁ μείζων ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. 5καὶ ὃς ἐὰν δέξηται παιδίον τοιοῦτον ἓν ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· 6ὃς δ' ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς εἰς τὸν τράχηλον αὐτοῦ καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. 7Οὐαὶ τῷ κόσμῳ ἀπὸ τῶν σκανδάλων· ἀνάγκη γάρ ἐστιν ἐλθεῖν τὰ σκάνδαλα· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ τὸ σκάνδαλον ἔρχεται. 8εἰ δὲ ἡ χείρ σου ἢ ὁ πούς σου σκανδαλίζει σε, ἔκκοψον αὐτὰ καὶ βάλε ἀπὸ σοῦ· καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλὸν ἢ κυλλόν, ἢ δύο χεῖρας ἢ δύο πόδας ἔχοντα βληθῆναι εἰς τὸ πῦρ τὸ αἰώνιον. 9καὶ εἰ ὁ ὀφθαλμός σου σκανδαλίζει σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· καλόν σοί ἐστι μονόφθαλμον εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ δύο ὀφθαλμοὺς

Capitolul 18

În ceasul acela, s-au apropiat ucenicii de Iisus, zicând: Cine este deci mai mare în Împărăţia Cerurilor? 2Şi Iisus, chemând la Sine un copil, l-a pus în mijlocul lor şi a zis: 3Amin zic vouă: De nu vă veţi întoarce şi nu veţi fi precum copiii, nu veţi intra în Împărăţia Cerurilor. 4Deci, cine se va smeri pe sine ca acest copil, acela este cel mai mare în Împărăţia Cerurilor. 5Şi cine va primi un copil ca acesta în numele Meu, pe Mine Mă primeşte. 6Iar cine va sminti pe unul singur dintre aceştia mici care cred în Mine, mai de folos i-ar fi lui să i se atârne de gât o piatră de moară şi să fie afundat în adâncul mării. 7Vai lumii, din pricina smintelilor! Că smintelile trebuie să vină, dar vai omului aceluia prin care vine sminteala! 8Iar dacă mâna ta sau piciorul tău te sminteşte, taie-le şi aruncă-le de la tine: mai bine îţi este să intri în viaţă şchiop sau ciung, decât, având amândouă mâinile sau amândouă picioarele, să fii aruncat în focul cel veşnic. 9Şi dacă ochiul tău te sminteşte, scoate-l şi aruncă-l de la tine: mai bine îţi este să intri în viaţă cu un singur ochi, decât, având amân-

ἔχοντα βληθῆναι εἰς τὴν γέενναν τοῦ πυρός.
10Ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν
τούτων· λέγω γὰρ ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν
οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον
τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. 11ἦλθε γὰρ ὁ
υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός.
Τί ὑμῖν δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ
ἑκατὸν πρόβατα καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν,
οὐχὶ ἀφεὶς τὰ ἐνενήκοντα ἐννέα ἐπὶ τὰ ὄρη,
πορευθεὶς ζητεῖ τὸ πλανώμενον; 13καὶ ἐὰν
γένηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλλον ἢ ἐπὶ τοῖς ἐνενήκοντα
ἐννέα τοῖς μὴ πεπλανημένοις. 14οὕτως οὐκ ἔστι
θέλημα ἔμπροσθεν τοῦ πατρὸς ὑμῶν τοῦ ἐν
οὐρανοῖς ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων.

Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου,
ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ
αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν
ἀδελφόν σου· 16ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο, ἵνα ἐπὶ στόματος
δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα· 17ἐὰν
δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν
δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι
ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. 18Ἀμὴν λέγω
ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ, καὶ ὅσα ἐὰν λύσητε ἐπὶ
τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. 19Πάλιν
ἀμὴν λέγω ὑμῖν ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος οὗ
ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ
πατρός μου τοῦ ἐν οὐρανοῖς. 20οὗ γάρ εἰσι
δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ
εἰμι ἐν μέσῳ αὐτῶν. 21Τότε προσελθὼν αὐτῷ ὁ
Πέτρος εἶπε· Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ
ὁ ἀδελφός μου καὶ ἀφήσω αὐτῷ; ἕως ἑπτάκις;
22λέγει αὐτῷ ὁ Ἰησοῦς· οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά.

doi ochii, să fii aruncat în gheena focului.
10Vedeți să nu disprețuiți pe vreunul din
aceştia mici, căci zic vouă: Îngerii lor în
ceruri pururea văd fața Tatălui Meu, Care
este în ceruri. 11Că Fiul Omului a venit să
mântuiască pe cel pierdut.
Ce vi se pare? Dacă un om ar avea o sută de oi şi una din ele s-ar rătăci, nu
va lăsa, oare, în munți pe cele nouăzeci şi
nouă şi nu se va duce s-o caute pe cea rătăcită? 13Şi dacă s-ar întâmpla s-o găsească, Amin zic vouă că se bucură de ea mai
mult decât de cele nouăzeci şi nouă, care
nu s-au rătăcit. 14Astfel nu este voia înaintea Tatălui vostru Celui din ceruri ca să
piară vreunul dintr-aceştia mici.
De va păcătui fratele tău față de tine,
mergi şi mustră-l între tine şi el singur; şi de te va asculta, ai câştigat pe fratele
tău. 16Iar de nu te va asculta, ia cu tine încă unul sau doi, ca prin gura a doi sau trei
martori să se statornicească tot cuvântul.
17Şi de nu-i va asculta pe ei, spune Bisericii;
iar de nu va asculta nici de Biserică, să-ți
fie ție ca păgânul şi ca vameşul. 18Amin zic
vouă: Câte veți lega pe pământ vor fi legate în cer şi câte veți dezlega pe pământ
vor fi dezlegate în cer. 19Iarăşi, Amin zic
vouă că, dacă doi dintre voi se vor învoi pe
pământ în privința oricărui lucru pe care îl
vor cere, se va face lor de către Tatăl Meu,
Care este în ceruri. 20Că unde sunt doi sau
trei adunați în numele Meu, acolo sunt şi
Eu în mijlocul lor. 21Atunci Petru, apropiindu-se de El, I-a zis: Doamne, de câte ori
va păcătui față de mine fratele meu şi eu îi
voi ierta lui? Până de şapte ori? 22Zis-a lui
Iisus: Nu zic ție până de şapte ori, ci până
de şaptezeci de ori câte şapte.

Διὰ τοῦτο ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν
ἀνθρώπῳ βασιλεῖ, ὃς ἠθέλησε συνᾶραι λό-
γον μετὰ τῶν δούλων αὐτοῦ. 24ἀρξαμένου δὲ
αὐτοῦ συναίρειν προσηνέχθη αὐτῷ εἷς ὀφει-
λέτης μυρίων ταλάντων. 25μὴ ἔχοντος δὲ αὐτοῦ
ἀποδοῦναι ἐκέλευσεν αὐτὸν ὁ κύριος αὐτοῦ
πραθῆναι καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰ τέκνα
καὶ πάντα ὅσα εἶχε, καὶ ἀποδοθῆναι. 26πεσὼν
οὖν ὁ δοῦλος προσεκύνει αὐτῷ λέγων· κύριε,
μακροθύμησον ἐπ' ἐμοὶ καὶ πάντα σοι ἀποδώ-
σω. 27σπλαγχνισθεὶς δὲ ὁ κύριος τοῦ δούλου
ἐκείνου ἀπέλυσεν αὐτὸν καὶ τὸ δάνειον ἀφῆκεν
αὐτῷ. 28ἐξελθὼν δὲ ὁ δοῦλος ἐκεῖνος εὗρεν
ἕνα τῶν συνδούλων αὐτοῦ, ὃς ὤφειλεν αὐτῷ
ἑκατὸν δηνάρια, καὶ κρατήσας αὐτὸν ἔπνιγε
λέγων· ἀπόδος μοι εἴ τι ὀφείλεις. 29πεσὼν οὖν ὁ
σύνδουλος αὐτοῦ εἰς τοὺς πόδας αὐτοῦ παρε-
κάλει αὐτὸν λέγων· μακροθύμησον ἐπ' ἐμοὶ
καὶ ἀποδώσω σοι. 30ὁ δὲ οὐκ ἤθελεν, ἀλλὰ
ἀπελθὼν ἔβαλεν αὐτὸν εἰς φυλακὴν ἕως οὗ
ἀποδῷ τὸ ὀφειλόμενον. 31ἰδόντες δὲ οἱ σύνδου-
λοι αὐτοῦ τὰ γενόμενα ἐλυπήθησαν σφόδρα,
καὶ ἐλθόντες διεσάφησαν τῷ κυρίῳ ἑαυτῶν
πάντα τὰ γενόμενα. 32τότε προσκαλεσάμενος
αὐτὸν ὁ κύριος αὐτοῦ λέγει αὐτῷ· δοῦλε πο-
νηρέ, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι,
ἐπεὶ παρεκάλεσάς με· 33οὐκ ἔδει καὶ σὲ ἐλεῆσαι
τὸν σύνδουλόν σου, ὡς καὶ ἐγὼ σε ἠλέησα;
34καὶ ὀργισθεὶς ὁ κύριος αὐτοῦ παρέδωκεν
αὐτὸν τοῖς βασανισταῖς ἕως οὗ ἀποδῷ πᾶν
τὸ ὀφειλόμενον αὐτῷ. 35Οὕτω καὶ ὁ πατήρ
μου ὁ ἐπουράνιος ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε
ἕκαστος τῷ ἀδελφῷ αὐτοῦ ἀπὸ τῶν καρδιῶν
ὑμῶν τὰ παραπτώματα αὐτῶν.

De aceea, asemănatu-s-a Împărăția Ce-
rurilor unui om împărat care a voit să
facă socoteala cu robii săi. 24Şi începând
să se socotească cu ei, i s-a adus un dator-
nic cu zece mii de talanți. 25Dar neavând
el cu ce să plătească, domnul său a porun-
cit să fie vândut el şi femeia lui şi copiii şi
toate câte avea, şi să se plătească. 26Deci,
căzând la pământ, robul se închina lui, zi-
când: Doamne, fii îndelung răbdător cu
mine şi-ți voi plăti ție toate. 27Şi milosti-
vindu-se domnul robului aceluia, l-a slo-
bozit şi i-a iertat şi datoria. 28Dar, ieşind,
robul acela a găsit pe unul dintre cei ce
erau robi împreună cu el, care-i datora o
sută de dinari. Şi punând mâna pe el, îl
strângea de gât, zicând: Plăteşte-mi ce eşti
dator! 29Deci, căzându-i la picioare cel ce
era rob împreună cu el, îl ruga zicând: Fii
îndelung răbdător cu mine şi îți voi plăti.
30Iar el nu voia, ci, mergând, l-a aruncat
în temniță, până va plăti datoria. 31Şi vă-
zând cele petrecute, cei ce erau robi îm-
preună cu el s-au întristat foarte şi, venind,
au spus lămurit stăpânului lor toate cele
întâmplate. 32Atunci, chemându-l stăpâ-
nul lui i-a zis: Rob viclean, toată datoria
aceea ți-am iertat-o, fiindcă m-ai rugat.
33Nu trebuia ca şi tu să ai milă de cel ce
este rob împreună cu tine, precum şi eu
am avut milă de tine? 34Şi mâniindu-se
stăpânul lui, l-a dat pe mâna chinuitorilor,
până ce-i va plăti toată datoria. 35Tot aşa
şi Tatăl Meu Cel ceresc vă va face vouă,
dacă nu veți ierta fiecare fratelui său, din
inimile voastre, greşelile lor.

Κεφάλαιον ΙΘ΄

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους μετῆρεν ἀπὸ τῆς Γαλιλαίας καὶ ἦλθεν εἰς τὰ ὅρια τῆς Ἰουδαίας πέραν τοῦ Ἰορδάνου. 2καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, καὶ ἐθεράπευσεν αὐτοὺς ἐκεῖ. 3Καὶ προσῆλθον αὐτῷ οἱ Φαρισαῖοι πειράζοντες αὐτὸν καὶ λέγοντες αὐτῷ· εἰ ἔξεστιν ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν; 4ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· οὐκ ἀνέγνωτε ὅτι ὁ ποιήσας ἀπ' ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς καὶ εἶπεν, 5*ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν*; 6ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ σὰρξ μία. ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. 7λέγουσιν αὐτῷ· τί οὖν Μωσῆς ἐνετείλατο δοῦναι βιβλίον ἀποστασίου καὶ ἀπολῦσαι αὐτήν; 8λέγει αὐτοῖς· ὅτι Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολῦσαι τὰς γυναῖκας ὑμῶν· ἀπ' ἀρχῆς δὲ οὐ γέγονεν οὕτω. 9λέγω δὲ ὑμῖν ὅτι ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ μὴ ἐπὶ πορνείᾳ καὶ γαμήσῃ ἄλλην, μοιχᾶται· καὶ ὁ ἀπολελυμένην γαμήσας μοιχᾶται. 10λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου μετὰ τῆς γυναικός, οὐ συμφέρει γαμῆσαι. 11ὁ δὲ εἶπεν αὐτοῖς· οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται· 12εἰσὶ γὰρ εὐνοῦχοι οἵτινες ἐκ κοιλίας μητρὸς ἐγεννήθησαν οὕτω. καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων, καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. ὁ δυνάμενος χωρεῖν χωρείτω.

Capitolul 19

Şi a fost când a sfârşit Iisus cuvintele acestea că S-a mutat din Galileea şi a venit în hotarele Iudeii, dincolo de Iordan. 2Şi au urmat Lui mulţimi multe şi i-a tămăduit pe ei acolo. 3Şi s-au apropiat de El fariseii, ispitindu-L şi zicându-I: Este îngăduit, oare, omului să-şi lase femeia pentru orice pricină? 4Iar El, răspunzând, le-a zis: N-aţi citit că Ccl ce i-a făcut de la început bărbat şi femeie i-a făcut şi a zis: 5*Pentru aceea va lăsa omul pe tatăl său şi pe mama sa şi se va alipi de femeia sa şi vor fi amândoi un singur trup*? 6Aşa încât nu mai sunt doi, ci un singur trup. Aşadar, ce a însoţit Dumnezeu omul să nu despartă. 7I-au zis Lui: Pentru ce, dar, Moise a poruncit să-i dea carte de despărţire şi să o lase? 8El le-a zis: Moise din pricina învârtoşării inimii voastre a îngăduit să vă lăsaţi femeile; dar de la început nu a fost aşa. 9Şi zic vouă: Oricine va lăsa pe femeia sa, în afară de pricină de desfrânare, şi se va însura cu alta, săvârşeşte adulter; şi cine s-a însurat cu cea lăsată săvârşeşte adulter. 10I-au zis Lui ucenicii: Dacă astfel este pricina omului cu femeia, nu este de folos să se însoare. 11Iar El le-a zis: Nu toţi primesc cuvântul acesta, ci cei cărora li s-a dat. 12Căci sunt fameni care din pântecele mamei lor s-au născut aşa. Şi sunt fameni care au fost făcuţi fameni de către oameni, şi sunt fameni care s-au făcut fameni pe ei înşişi pentru Împărăţia Cerurilor. Cine poate primi, să primească.

Τότε προσηνέχθη αὐτῷ παιδία, ἵνα ἐπιθῇ αὐτοῖς τὰς χεῖρας καὶ προσεύξηται· οἱ δὲ μαθηταὶ ἐπετίμησαν αὐτοῖς. 14ὁ δὲ Ἰησοῦς εἶπεν· ἄφετε τὰ παιδία καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με· τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. 15καὶ ἐπιθεὶς τὰς χεῖρας αὐτοῖς ἐπορεύθη ἐκεῖθεν.

Καὶ ἰδοὺ εἷς προσελθὼν εἶπεν αὐτῷ· διδάσκαλε ἀγαθέ, τί ἀγαθὸν ποιήσω ἵνα ἔχω ζωὴν αἰώνιον; 17ὁ δὲ εἶπεν αὐτῷ· τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός. εἰ δὲ θέλεις εἰσελθεῖν εἰς τὴν ζωήν, τήρησον τὰς ἐντολάς. 18λέγει αὐτῷ· ποίας; ὁ δὲ Ἰησοῦς εἶπε· *τὸ οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις, 19τίμα τὸν πατέρα καὶ τὴν μητέρα, καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.* 20λέγει αὐτῷ ὁ νεανίσκος· πάντα ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου· τί ἔτι ὑστερῶ; 21ἔφη αὐτῷ ὁ Ἰησοῦς· εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι. 22ἀκούσας δὲ ὁ νεανίσκος τὸν λόγον ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά. 23Ὁ δὲ Ἰησοῦς εἶπε τοῖς μαθηταῖς αὐτοῦ· ἀμὴν λέγω ὑμῖν ὅτι δυσκόλως πλούσιος εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. 24πάλιν δὲ λέγω ὑμῖν, εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυπήματος ῥαφίδος διελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. 25ἀκούσαντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἐξεπλήσσοντο σφόδρα λέγοντες· τίς ἄρα δύναται σωθῆναι; 26ἐμβλέψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστι, παρὰ δὲ Θεῷ πάντα δυνατά ἐστι. 27Τότε ἀποκριθεὶς ὁ Πέτρος εἶπεν αὐτῷ· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν; 28ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι, ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου

Atunci I s-au adus copii, ca să-Şi pună mâinile peste ei şi să Se roage; şi ucenicii i-au certat. 14Iar Iisus a zis: Lăsaţi copiii şi nu-i împiedicaţi să vină la Mine; că a unora ca aceştia este Împărăţia Cerurilor. 15Şi punându-Şi mâinile peste ei, S-a dus de acolo.

Şi iată, unul, venind la El, I-a zis: Bunule Învăţător, ce bine să fac ca să am viaţă veşnică? 17Iar El i-a zis: De ce Îmi zici bun? Nimeni nu este bun decât Unul Dumnezeu. Iar de vrei să intri în viaţă, păzeşte poruncile. 18El I-a zis: Care? Iar Iisus a zis: *Să nu ucizi, să nu săvârşeşti adulter, să nu furi, să nu mărturiseşti strâmb; 19cinsteşte pe tatăl tău şi pe mama ta, şi iubeşte pe aproapele tău ca pe tine însuţi.* 20I-a zis Lui tânărul: Toate acestea le-am păzit din tinereţile mele; ce-mi mai lipseşte? 21Iisus i-a zis: Dacă voieşti să fii desăvârşit, mergi, vinde averea ta şi dă-o săracilor, şi vei avea comoară în cer, şi vino, urmează Mie. 22Şi auzind tânărul cuvântul, a plecat întristat; căci avea multe avuţii. 23Iar Iisus a zis ucenicilor Săi: Amin zic vouă: Cu greu va intra un bogat în Împărăţia Cerurilor. 24Şi iarăşi zic vouă că mai lesne este cămilei să treacă prin urechile acului, decât bogatului să intre în Împărăţia lui Dumnezeu. 25Şi auzind ucenicii Lui, se uimeau foarte, zicând: Atunci cine poate să se mântuiască? 26Iar Iisus, privind la ei, le-a zis: La oameni aceasta este cu neputinţă, la Dumnezeu însă toate sunt cu putinţă. 27Atunci Petru, răspunzând, I-a zis: Iată, noi am lăsat toate şi am urmat Ţie. Ce va fi nouă oare? 28Iar Iisus le-a zis: Amin zic vouă că voi, cei ce aţi urmat Mie, la naşterea din nou, când va şedea Fiul Omului pe tronul sla-

δόξης αὐτοῦ, καθίσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. 29καὶ πᾶς ὃς ἀφῆκεν οἰκίας ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἕνεκεν τοῦ ὀνόματός μου, ἑκατονταπλασίονα λήψεται καὶ ζωὴν αἰώνιον κληρονομήσει. 30Πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι.

vei Sale, veți ședea și voi pe douăsprezece tronuri, judecând cele douăsprezece seminții ale lui Israel. 29Și tot cel ce a lăsat case, sau frați, sau surori, sau tată, sau mamă, sau femeie, sau copii, sau țarini, pentru numele Meu, însutit va lua și viață veșnică va moșteni. 30Și mulți dintre cei dintâi vor fi cei de pe urmă, și cei de pe urmă vor fi cei dintâi.

Κεφάλαιον Κ΄

Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. 2καὶ συμφωνήσας μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. 3καὶ ἐξελθὼν περὶ τρίτην ὥραν εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς, 4καὶ ἐκείνοις εἶπεν· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον δώσω ὑμῖν. οἱ δὲ ἀπῆλθον. 5πάλιν ἐξελθὼν περὶ ἕκτην καὶ ἐνάτην ὥραν ἐποίησεν ὡσαύτως. 6περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθὼν εὗρεν ἄλλους ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς· τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; 7λέγουσιν αὐτῷ· ὅτι οὐδείς ἡμᾶς ἐμισθώσατο. λέγει αὐτοῖς· ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον λήψεσθε. 8ὀψίας δὲ γενομένης λέγει ὁ κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· κάλεσον τοὺς ἐργάτας καὶ ἀπόδος αὐτοῖς τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. 9καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν ἔλαβον ἀνὰ δηνάριον. 10ἐλθόντες δὲ οἱ πρῶτοι ἐνόμισαν ὅτι πλείονα λήψονται, καὶ

Capitolul 20

Căci asemenea este Împărăția Cerurilor unui om, stăpânul casei, care a ieșit dis-de-dimineață să tocmească lucrători pentru via sa. 2Și învoindu-se cu lucrătorii pentru un dinar pe zi, i-a trimis în via sa. 3Și ieșind pe la ceasul al treilea, a văzut pe alții stând în piață fără lucru. 4Și acelora le-a zis: Mergeți și voi în vie, și ceea ce e drept vă voi da. Iar ei s-au dus. 5Iarăși ieșind pe la ceasul al șaselea și al nouălea, a făcut tot așa. 6Și pe la ceasul al unsprezecelea ieșind, a găsit pe alții, stând fără lucru, și le-a zis: De ce ați stat aici toată ziua fără lucru? 7Ei I-au zis: Pentru că nimeni nu ne-a tocmit. El le-a zis: Duceți-vă și voi în vie și ceea ce este drept veți lua. 8Și făcându-se seară, stăpânul viei a zis către epitropul său: Cheamă pe lucrători și dă-le plata, începând de la cei din urmă până la cei dintâi. 9Și venind cei din ceasul al unsprezecelea, au luat câte un dinar. 10Iar venind cei dintâi, au socotit că vor lua mai mult, și au luat și ei câte un dinar. 11Și luând, cârteau împotriva stăpânului

ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. 11λαβόντες δὲ
ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου 12λέγοντες
ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ
ἴσους ἡμῖν αὐτοὺς ἐποίησας τοῖς βαστάσασι
τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. 13ὁ δὲ
ἀποκριθεὶς εἶπεν ἑνὶ αὐτῶν· ἑταῖρε, οὐκ ἀδικῶ
σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι; 14ἆρον
τὸ σὸν καὶ ὕπαγε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ
δοῦναι ὡς καὶ σοί· 15ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ
θέλω ἐν τοῖς ἐμοῖς; εἰ ὁ ὀφθαλμός σου πονηρός
ἐστιν ὅτι ἐγὼ ἀγαθός εἰμι; 16Οὕτως ἔσονται οἱ
ἔσχατοι πρῶτοι καὶ οἱ πρῶτοι ἔσχατοι· πολλοὶ
γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

Καὶ ἀναβαίνων ὁ Ἰησοῦς εἰς Ἰεροσόλυμα
παρέλαβε τοὺς δώδεκα μαθητὰς κατ' ἰδίαν
ἐν τῇ ὁδῷ καὶ εἶπεν αὐτοῖς· 18ἰδοὺ ἀναβαίνομεν
εἰς Ἰεροσόλυμα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου πα-
ραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι
καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, 19καὶ παρα-
δώσουσιν αὐτὸν τοῖς ἔθνεσιν εἰς τὸ ἐμπαῖξαι
καὶ μαστιγῶσαι καὶ σταυρῶσαι, καὶ τῇ τρίτῃ
ἡμέρᾳ ἀναστήσεται.

Τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν
Ζεβεδαίου μετὰ τῶν υἱῶν αὐτῆς προσκυ-
νοῦσα καὶ αἰτοῦσά τι παρ' αὐτοῦ. 21ὁ δὲ εἶπεν
αὐτῇ· τί θέλεις; λέγει αὐτῷ· εἰπὲ ἵνα καθίσω-
σιν οὗτοι οἱ δύο υἱοί μου εἷς ἐκ δεξιῶν σου
καὶ εἷς ἐξ εὐωνύμων σου ἐν τῇ βασιλείᾳ σου.
22ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· οὐκ οἴδατε
τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ
μέλλω πίνειν, ἢ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι
βαπτισθῆναι; λέγουσιν αὐτῷ· δυνάμεθα. 23καὶ
λέγει αὐτοῖς· τὸ μὲν ποτήριόν μου πίεσθε, καὶ
τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε·
τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων
μου οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται
ὑπὸ τοῦ πατρός μου. 24καὶ ἀκούσαντες οἱ δέ-
κα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν. 25ὁ
δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς εἶπεν·
οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυ-

casei, 12zicând: Aceştia de pe urmă au lu-
crat un singur ceas şi i-ai pus deopotrivă
cu noi, care am dus greutatea zilei şi arşiţa.
13Iar el, răspunzând, a zis unuia dintre ei:
Prietene, nu te nedreptăţesc. Oare nu pe
un dinar te-ai învoit cu mine? 14Ia ce este
al tău şi du-te; voiesc să dau acestuia de pe
urmă ca şi ţie. 15Sau nu-mi este îngăduit să
fac ce voiesc cu ale mele? Sau ochiul tău
este rău pentru că eu sunt bun? 16Astfel
cei de pe urmă vor fi cei dintâi şi cei dintâi
vor fi cei de pe urmă; căci mulţi sunt che-
maţi, dar puţini aleşi.

Şi suindu-Se Iisus la Ierusalim, a luat pe
cei doisprezece ucenici deoparte pe
cale şi le-a spus lor: 18Iată, ne suim la Ie-
rusalim şi Fiul Omului Se va da arhiereilor
şi cărturarilor, şi Îl vor osândi la moarte;
19şi Îl vor da neamurilor, ca să-L batjoco-
rească şi să-L biciuiască şi să-L răstigneas-
că, şi a treia zi va învia.

Atunci s-a apropiat de El mama fiilor
lui Zevedeu, împreună cu fiii ei, închi-
nându-se şi cerând ceva de la El. 21Iar El
i-a zis: Ce voieşti? Ea a zis Lui: Zi să şa-
dă aceşti doi fii ai mei, unul de-a dreapta
Ta şi altul de-a stânga Ta întru Împărăţia
Ta. 22Şi răspunzând Iisus, a zis: Nu ştiţi ce
cereţi. Puteţi să beţi paharul pe care-l voi
bea Eu, sau cu botezul cu care Mă botez
Eu să vă botezaţi? Ei I-au zis: Putem. 23Şi
El le-a zis: Paharul Meu veţi bea şi cu bo-
tezul cu care Eu Mă botez vă veţi boteza, dar a şedea de-a dreapta Mea şi de-a
stânga Mea nu este al Meu a da, ci celor
cărora li s-a pregătit de către Tatăl Meu.
24Şi auzind cei zece s-au mâniat pe cei doi
fraţi. 25Iar Iisus, chemându-i la Sine, a zis:
Ştiţi că ocârmuitorii neamurilor domnesc

ριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν. 26οὐχ οὕτως ἔσται ἐν ὑμῖν, ἀλλ' ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι, ἔσται ὑμῶν διάκονος, 27καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος, ἔσται ὑμῶν δοῦλος· 28ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

Καὶ ἐκπορευομένων αὐτῶν ἀπὸ Ἰεριχὼ ἠκολούθησεν αὐτῷ ὄχλος πολύς. 30καὶ ἰδοὺ δύο τυφλοὶ καθήμενοι παρὰ τὴν ὁδόν, ἀκούσαντες ὅτι Ἰησοῦς παράγει, ἔκραξαν λέγοντες· ἐλέησον ἡμᾶς, Κύριε, υἱὸς Δαυίδ. 31ὁ δὲ ὄχλος ἐπετίμησεν αὐτοῖς ἵνα σιωπήσωσιν· οἱ δὲ μεῖζον ἔκραζον λέγοντες· ἐλέησον ἡμᾶς, Κύριε, υἱὸς Δαυίδ. 32καὶ στὰς ὁ Ἰησοῦς ἐφώνησεν αὐτοὺς καὶ εἶπε· τί θέλετε ποιήσω ὑμῖν; 33λέγουσιν αὐτῷ· Κύριε, ἵνα ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί. 34σπλαγχνισθεὶς δὲ ὁ Ἰησοῦς ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, καὶ εὐθέως ἀνέβλεψαν αὐτῶν οἱ ὀφθαλμοί, καὶ ἠκολούθησαν αὐτῷ.

peste ele şi cei mari le stăpânesc. 26Dar între voi să nu fie aşa, ci cel care între voi va vrea să ajungă mare să fie slujitor al vostru. 27Şi cel care între voi va vrea să fie întâiul să vă fie vouă rob, 28după cum Fiul Omului n-a venit să I se slujească, ci ca să slujească şi să-Şi dea sufletul răscumpărare pentru mulţi.

Şi ieşind ei din Ierihon, a urmat Lui mulţime mare. 30Şi iată, doi orbi, care şedeau lângă cale, auzind că trece Iisus, au strigat, zicând: Miluieşte-ne pe noi, Doamne, Fiul lui David! 31Iar mulţimea i-a certat ca să tacă; ei însă şi mai tare strigau, zicând: Miluieşte-ne pe noi, Doamne, Fiul lui David! 32Şi oprindu-se Iisus, i-a strigat pe ei şi le-a zis: Ce voiţi să vă fac? 33Zis-au Lui: Doamne, să se deschidă ochii noştri. 34Şi făcându-I-se milă, Iisus S-a atins de ochii lor, şi îndată au văzut ochii lor şi au urmat Lui.

Κεφάλαιον ΚΑ΄

Καὶ ὅτε ἤγγισαν εἰς Ἱεροσόλυμα καὶ ἦλθον εἰς Βηθσφαγὴ πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, τότε ὁ Ἰησοῦς ἀπέστειλε δύο μαθητὰς 2λέγων αὐτοῖς· πορεύθητε εἰς τὴν κώμην τὴν ἀπέναντι ὑμῶν, καὶ εὐθέως εὑρήσετε ὄνον δεδεμένην καὶ πῶλον μετ' αὐτῆς· λύσαντες ἀγάγετέ μοι. 3καὶ ἐάν τις ὑμῖν εἴπῃ τι, ἐρεῖτε ὅτι ὁ Κύριος αὐτῶν χρείαν ἔχει· εὐθέως δὲ ἀποστέλλει αὐτούς. 4τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· 5*εἴπατε τῇ θυγατρὶ Σιών, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραΰς καὶ ἐπιβεβηκὼς*

Capitolul 21

Iar când s-au apropiat de Ierusalim şi au venit în Betsfaghé la Muntele Măslinilor, atunci Iisus a trimis doi ucenici, 2zicând lor: Mergeţi în satul care este înaintea voastră şi îndată veţi găsi o asină legată şi un mânz cu ea; dezlegaţi-o şi aduceţi-i la Mine. 3Şi dacă cineva vă va zice ceva, spuneţi că Domnul are trebuinţă de ei; şi îndată îi va trimite. 4Iar acestea toate s-au făcut ca să se împlinească ceea ce s-a spus prin proorocul, care zice: 5*Spuneţi fiicei Sionului: Iată, Împăratul tău vine la*

ἐπὶ ὄνον καὶ πῶλον υἱὸν ὑποζυγίου. 6πορευθέντες δὲ οἱ μαθηταὶ καὶ ποιήσαντες καθὼς προσέταξεν αὐτοῖς ὁ Ἰησοῦς, 7ἤγαγον τὴν ὄνον καὶ τὸν πῶλον, καὶ ἐπέθηκαν ἐπάνω αὐτῶν τὰ ἱμάτια αὐτῶν, καὶ ἐπεκάθισεν ἐπάνω αὐτῶν. 8ὁ δὲ πλεῖστος ὄχλος ἔστρωσαν ἑαυτῶν τὰ ἱμάτια ἐν τῇ ὁδῷ, ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐστρώννυον ἐν τῇ ὁδῷ. 9οἱ δὲ ὄχλοι οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον λέγοντες· ὡσαννὰ τῷ υἱῷ Δαυίδ· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· ὡσαννὰ ἐν τοῖς ὑψίστοις. 10καὶ εἰσελθόντος αὐτοῦ εἰς Ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις λέγουσα· τίς ἐστιν οὗτος; 11οἱ δὲ ὄχλοι ἔλεγον· οὗτός ἐστιν Ἰησοῦς ὁ προφήτης ὁ ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας.

Καὶ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν τοῦ Θεοῦ, καὶ ἐξέβαλε πάντας τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν κατέστρεψε καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστεράς, 13καὶ λέγει αὐτοῖς· γέγραπται, *ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται*· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε *σπήλαιον λῃστῶν*. 14Καὶ προσῆλθον αὐτῷ χωλοὶ καὶ τυφλοὶ ἐν τῷ ἱερῷ καὶ ἐθεράπευσεν αὐτούς. 15ἰδόντες δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὰ θαυμάσια ἃ ἐποίησε καὶ τοὺς παῖδας κράζοντας ἐν τῷ ἱερῷ καὶ λέγοντας, ὡσαννὰ τῷ υἱῷ Δαυίδ, ἠγανάκτησαν 16καὶ εἶπον αὐτῷ· ἀκούεις τί οὗτοι λέγουσιν; ὁ δὲ Ἰησοῦς λέγει αὐτοῖς· ναί· οὐδέποτε ἀνέγνωτε ὅτι *ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον*; 17καὶ καταλιπὼν αὐτοὺς ἐξῆλθεν ἔξω τῆς πόλεως εἰς Βηθανίαν καὶ ηὐλίσθη ἐκεῖ.

Πρωΐας δὲ ἐπανάγων εἰς τὴν πόλιν ἐπείνασε· 19καὶ ἰδὼν συκῆν μίαν ἐπὶ τῆς ὁδοῦ ἦλθεν ἐπ' αὐτήν, καὶ οὐδὲν εὗρεν ἐν αὐτῇ εἰ μὴ φύλλα μόνον, καὶ λέγει αὐτῇ· μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. καὶ ἐξη-

tine blând şi şezând pe asină şi pe mânz, fiul celei de sub jug. 6Şi mergând ucenicii şi făcând după cum le-a poruncit Iisus, 7au adus asina şi mânzul şi au pus deasupra lor veşmintele lor, şi El a şezut peste ele. 8Şi cei mai mulţi din mulţime şi-au aşternut veşmintele pe cale, iar alţii tăiau ramuri din copaci şi le aşterneau pe cale; 9iar mulţimile care mergeau înaintea Lui şi care Îl urmau strigau, zicând: Osana Fiului lui David; binecuvântat este Cel ce vine întru numele Domnului! Osana întru cei de sus! 10Şi intrând El în Ierusalim, s-a cutremurat toată cetatea, zicând: Cine este Acesta? 11Iar mulţimile ziceau: Acesta este Iisus proorocul, Cel din Nazaretul Galileii.

Şi a intrat Iisus în templul lui Dumnezeu şi i-a scos afară pe toţi cei care vindeau şi pe cei care cumpărau în templu, iar mesele schimbătorilor de bani şi scaunele celor care vindeau porumbei le-a răsturnat. 13Şi a zis lor: Scris este: *Casa Mea casă de rugăciune se va chema*; dar voi aţi făcut-o *peşteră de tâlhari*! 14Şi au venit la El şchiopi şi orbi, în templu, şi i-a vindecat. 15Şi văzând arhiereii şi cărturarii minunile pe care le făcuse şi pe copiii care strigau în templu şi ziceau: Osana Fiului lui David! s-au mâniat 16şi I-au zis: Auzi ce zic aceştia? Iar Iisus le-a zis: Da. N-aţi citit niciodată că *din gura pruncilor şi a celor ce sug Ţi-ai gătit Ţie laudă*? 17Şi lăsându-i pe ei, a ieşit afară din cetate la Betania şi a înnoptat acolo.

Dimineaţa, întorcându-Se în cetate, a flămânzit; 19şi văzând un smochin pe cale, a venit la el şi nimic n-a găsit în el, decât numai frunze, şi a zis lui: Să nu mai fie rod din tine în veac! Şi s-a uscat îndată

ράνθη παραχρῆμα ἡ συκῆ. 20καὶ ἰδόντες οἱ μαθηταὶ ἐθαύμασαν λέγοντες· πῶς παραχρῆμα ἐξηράνθη ἡ συκῆ; 21ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ἐὰν ἔχητε πίστιν καὶ μὴ διακριθῆτε, οὐ μόνον τὸ τῆς συκῆς ποιήσετε, ἀλλὰ κἂν τῷ ὄρει τούτῳ εἴπητε, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, γενήσεται· 22καὶ πάντα ὅσα ἐὰν αἰτήσητε ἐν τῇ προσευχῇ πιστεύοντες, λήψεσθε.

Καὶ ἐλθόντι αὐτῷ εἰς τὸ ἱερὸν προσῆλθον αὐτῷ διδάσκοντι οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ λέγοντες· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, καὶ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην; 24ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον ἕνα, ὃν ἐὰν εἴπητέ μοι, κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. 25τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν, ἐξ οὐρανοῦ ἢ ἐξ ἀνθρώπων; οἱ δὲ διελογίζοντο παρ' ἑαυτοῖς λέγοντες· ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν, διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ· 26ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώπων, φοβούμεθα τὸν ὄχλον· πάντες γὰρ ἔχουσι τὸν Ἰωάννην ὡς προφήτην. 27καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπον· οὐκ οἴδαμεν. ἔφη αὐτοῖς καὶ αὐτός· οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

Τί δὲ ὑμῖν δοκεῖ; ἄνθρωπός τις εἶχε τέκνα δύο, καὶ προσελθὼν τῷ πρώτῳ εἶπε· τέκνον, ὕπαγε σήμερον ἐργάζου ἐν τῷ ἀμπελῶνί μου. 29ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐ θέλω· ὕστερον δὲ μεταμεληθεὶς ἀπῆλθε. 30καὶ προσελθὼν τῷ δευτέρῳ εἶπεν ὡσαύτως. ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἐγώ, κύριε· καὶ οὐκ ἀπῆλθε. 31τίς ἐκ τῶν δύο ἐποίησε τὸ θέλημα τοῦ πατρός; λέγουσιν αὐτῷ· ὁ πρῶτος. λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν λέγω ὑμῖν ὅτι οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. 32ἦλθε γὰρ πρὸς ὑμᾶς Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης, καὶ οὐκ ἐπιστεύσατε αὐτῷ· οἱ δὲ τελῶναι καὶ αἱ

smochinul. 20Şi văzând ucenicii, s-au minunat, zicând: Cum de s-a uscat smochinul îndată? 21Şi răspunzând Iisus, le-a zis: Amin zic vouă: Dacă veţi avea credinţă şi nu vă veţi îndoi, nu numai ce s-a făcut cu smochinul veţi face, ci şi muntelui acestuia de veţi zice: Ridică-te şi aruncă-te în mare! se va face; 22şi toate câte veţi cere în rugăciune, crezând, veţi primi.

Şi intrând El în templu, s-au apropiat de El, pe când învăţa, arhiereii şi bătrânii poporului zicând: Cu ce putere faci acestea? Şi cine Ţi-a dat Ţie puterea aceasta? 24Şi răspunzând Iisus, le-a zis: Vă voi întreba şi Eu pe voi un cuvânt, pe care, dacă Mi-l veţi spune, şi Eu vă voi spune vouă cu ce putere fac acestea: 25Botezul lui Ioan de unde a fost? Din cer sau de la oameni? Iar ei cugetau întru sine, zicând: De vom zice: Din cer, ne va spune: De ce, dar, n-aţi crezut lui? 26Iar de vom zice: De la oameni, ne temem de mulţime, fiindcă toţi îl au pe Ioan de prooroc. 27Şi răspunzând lui Iisus, au zis: Nu ştim. Zis-a lor şi El: Nici Eu nu vă spun cu ce putere fac acestea.

Dar ce vi se pare? Un om avea doi fii. Şi apropiindu-se de cel dintâi, i-a zis: Fiule, du-te astăzi, lucrează în via mea. 29Iar el, răspunzând, a zis: Nu vreau! Dar mai apoi, căindu-se, s-a dus. 30Şi apropiindu-se de al doilea, a zis tot aşa; iar el, răspunzând, a zis: Eu, Doamne, mă duc! Şi nu s-a dus. 31Care din cei doi a făcut voia tatălui? Au zis Lui: Primul. Zis-a lor Iisus: Amin zic vouă că vameşii şi desfrânatele merg înaintea voastră în Împărăţia lui Dumnezeu. 32Căci a venit Ioan la voi întru calea dreptăţii şi nu aţi crezut lui, dar vameşii şi desfrânatele

πόρναι ἐπίστευσαν αὐτῷ· ὑμεῖς δὲ ἰδόντες οὐ μετεμελήθητε ὕστερον τοῦ πιστεῦσαι αὐτῷ.

Ἀλλην παραβολὴν ἀκούσατε. ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησεν. 34ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς καρποὺς αὐτοῦ. 35καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. 36πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. 37ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέγων· ἐντραπήσονται τὸν υἱόν μου. 38οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν εἶπον ἐν ἑαυτοῖς· οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. 39καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν. 40ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; 41λέγουσιν αὐτῷ· κακοὺς κακῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. 42λέγει αὐτοῖς ὁ Ἰησοῦς· οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς, *λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν*; 43διὰ τοῦτο λέγω ὑμῖν ὅτι ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς· 44καὶ ὁ πεσὼν ἐπὶ τὸν λίθον τοῦτον συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. 45καὶ ἀκούσαντες οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τὰς παραβολὰς αὐτοῦ ἔγνωσαν ὅτι περὶ αὐτῶν λέγει· 46καὶ ζητοῦντες αὐτὸν κρατῆσαι ἐφοβήθησαν τοὺς ὄχλους, ἐπειδὴ ὡς προφήτην αὐτὸν εἶχον.

au crezut lui; iar voi, văzând, nu v-aţi căit mai apoi, ca să credeţi lui.

Altă pildă ascultaţi. Era un om, stăpânul casei, care a sădit vie, şi a împrejmuit-o cu gard, şi a săpat în ea teasc, şi a clădit turn, şi a dat-o în seama unor lucrători şi a plecat departe. 34Când s-a apropiat vremea roadelor, a trimis pe robii săi la lucrători, ca să ia roadele lui. 35Şi luând lucrătorii pe robii lui, pe unul l-au bătut, pe altul l-au omorât, pe altul l-au ucis cu pietre. 36Iarăşi a trimis alţi robi, mai mulţi decât cei dintâi, şi au făcut cu ei tot aşa. 37Şi mai apoi a trimis la ei pe fiul său zicând: Se vor ruşina de fiul meu. 38Iar lucrătorii, văzând pe fiul, au zis între ei: Acesta este moştenitorul; veniţi să-l omorâm şi să punem mâna pe moştenirea lui. 39Şi prinzându-l, l-au scos afară din vie şi l-au omorât. 40Deci, când va veni domnul viei, ce va face acelor lucrători? 41I-au răspuns: Pe răi cu rău îi va pierde, iar via o va da altor lucrători, care îi vor da înapoi roadele la vremea lor. 42Zis-a lor Iisus: N-aţi citit niciodată în Scripturi: *Piatra pe care au nesocotit-o ziditorii, aceasta a ajuns în capul unghiului; de la Domnul s-a făcut aceasta şi este minunat în ochii noştri*? 43De aceea zic vouă că se va lua de la voi Împărăţia lui Dumnezeu şi se va da neamului care va face roadele ei; 44şi cel ce va cădea pe piatra aceasta se va sfărâma; iar pe cel peste care va cădea îl va zdrobi. 45Şi auzind arhiereii şi fariseii pildele Lui, au cunoscut că despre ei vorbeşte. 46Şi căutând să-L prindă, s-au temut de mulţimi pentru că Îl aveau de prooroc.

Κεφάλαιον ΚΒ΄

Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς πάλιν εἶπεν αὐτοῖς ἐν παραβολαῖς λέγων· 2ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ βασιλεῖ, ὅστις ἐποίησε γάμους τῷ υἱῷ αὐτοῦ. 3καὶ ἀπέστειλε τοὺς δούλους αὐτοῦ καλέσαι τοὺς κεκλημένους εἰς τοὺς γάμους, καὶ οὐκ ἤθελον ἐλθεῖν. 4πάλιν ἀπέστειλεν ἄλλους δούλους λέγων· εἴπατε τοῖς κεκλημένοις· ἰδοὺ τὸ ἄριστόν μου ἡτοίμασα, οἱ ταῦροί μου καὶ τὰ σιτιστὰ τεθυμένα, καὶ πάντα ἕτοιμα· δεῦτε εἰς τοὺς γάμους. 5οἱ δὲ ἀμελήσαντες ἀπῆλθον, ὁ μὲν εἰς τὸν ἴδιον ἀγρόν, ὁ δὲ εἰς τὴν ἐμπορίαν αὐτοῦ· 6οἱ δὲ λοιποὶ κρατήσαντες τοὺς δούλους αὐτοῦ ὕβρισαν καὶ ἀπέκτειναν. 7ἀκούσας δὲ ὁ βασιλεὺς ἐκεῖνος ὠργίσθη, καὶ πέμψας τὰ στρατεύματα αὐτοῦ ἀπώλεσε τοὺς φονεῖς ἐκείνους καὶ τὴν πόλιν αὐτῶν ἐνέπρησε. 8τότε λέγει τοῖς δούλοις αὐτοῦ· ὁ μὲν γάμος ἕτοιμός ἐστιν, οἱ δὲ κεκλημένοι οὐκ ἦσαν ἄξιοι· 9πορεύεσθε οὖν ἐπὶ τὰς διεξόδους τῶν ὁδῶν, καὶ ὅσους ἐὰν εὕρητε καλέσατε εἰς τοὺς γάμους. 10καὶ ἐξελθόντες οἱ δοῦλοι ἐκεῖνοι εἰς τὰς ὁδοὺς συνήγαγον πάντας ὅσους εὗρον, πονηρούς τε καὶ ἀγαθούς· καὶ ἐπλήσθη ὁ γάμος ἀνακειμένων. 11εἰσελθὼν δὲ ὁ βασιλεὺς θεάσασθαι τοὺς ἀνακειμένους εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ ἐνδεδυμένον ἔνδυμα γάμου, 12καὶ λέγει αὐτῷ· ἑταῖρε, πῶς εἰσῆλθες ὧδε μὴ ἔχων ἔνδυμα γάμου; ὁ δὲ ἐφιμώθη. 13τότε εἶπεν ὁ βασιλεὺς τοῖς διακόνοις· δήσαντες αὐτοῦ πόδας καὶ χεῖρας ἄρατε αὐτὸν καὶ ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. 14πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

Capitolul 22

Şi răspunzând Iisus, iarăşi le-a vorbit lor în pilde, zicând: 2Asemănatu-s-a Împărăţia Cerurilor omului împărat care a făcut nuntă fiului său. 3Şi a trimis pe robii săi să-i cheme pe cei poftiţi la nuntă, dar ei n-au voit să vină. 4Iarăşi a trimis alţi robi, zicând: Spuneţi celor poftiţi: Iată, ospăţul meu l-am pregătit; taurii mei şi cele îngrăşate sunt junghiate şi toate sunt gata. Veniţi la nuntă. 5Dar ei, fără să le pese, s-au dus unul la ţarina sa, altul la neguţătoria sa; 6iar ceilalţi, punând mâna pe robii lui, i-au batjocorit şi i-au omorât. 7Şi auzind împăratul acela, s-a mâniat şi, trimiţând oştirile sale, i-a dat pierzării pe ucigaşii aceia şi cetatea lor a ars-o. 8Atunci a zis robilor săi: Nunta este gata, dar cei poftiţi n-au fost vrednici. 9Mergeţi, deci, la răspântiile drumurilor şi pe câţi veţi găsi, chemaţi-i la nuntă. 10Şi ieşind robii aceia la drumuri, au adunat pe toţi câţi i-au găsit, şi răi şi buni; şi s-a umplut nunta de cei ce şedeau la masă. 11Şi intrând împăratul ca să-i vadă pe oaspeţi, a văzut acolo un om care nu era îmbrăcat în haină de nuntă 12şi i-a zis: Prietene, cum ai intrat aici neavând haină de nuntă? El însă a rămas fără glas. 13Atunci împăratul a zis slujitorilor: Legaţi-l de picioare şi de mâini şi aruncaţi-l în întunericul cel mai din afară; acolo va fi plângerea şi scrâşnirea dinţilor. 14Căci mulţi sunt chemaţi, dar puţini aleşi.

Τότε πορευθέντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν παγιδεύσωσιν ἐν λόγῳ. 16καὶ ἀποστέλλουσιν αὐτῷ τοὺς μαθητὰς αὐτῶν μετὰ τῶν Ἡρῳδιανῶν λέγοντες· διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ τὴν ὁδὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ διδάσκεις, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων· 17εἰπὲ οὖν ἡμῖν, τί σοι δοκεῖ; ἔξεστι δοῦναι κῆνσον Καίσαρι ἢ οὔ; 18γνοὺς δὲ ὁ Ἰησοῦς τὴν πονηρίαν αὐτῶν εἶπε· τί με πειράζετε, ὑποκριταί; 19ἐπιδείξατέ μοι τὸ νόμισμα τοῦ κήνσου. οἱ δὲ προσήνεγκαν αὐτῷ δηνάριον. 20καὶ λέγει αὐτοῖς· τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; 21λέγουσιν αὐτῷ· Καίσαρος. τότε λέγει αὐτοῖς· ἀπόδοτε οὖν τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. 22καὶ ἀκούσαντες ἐθαύμασαν, καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.

Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι, οἱ λέγοντες μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν αὐτὸν 24λέγοντες· διδάσκαλε, Μωσῆς εἶπεν, *ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.* 25ἦσαν δὲ παρ' ἡμῖν ἑπτὰ ἀδελφοί· καὶ ὁ πρῶτος γαμήσας ἐτελεύτησε, καὶ μὴ ἔχων σπέρμα ἀφῆκε τὴν γυναῖκα αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ· 26ὁμοίως καὶ ὁ δεύτερος καὶ ὁ τρίτος, ἕως τῶν ἑπτά. 27ὕστερον δὲ πάντων ἀπέθανε καὶ ἡ γυνή. 28ἐν τῇ οὖν ἀναστάσει τίνος τῶν ἑπτὰ ἔσται ἡ γυνή; πάντες γὰρ ἔσχον αὐτήν. 29ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ. 30ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν οὔτε ἐκγαμίζονται, ἀλλ' ὡς ἄγγελοι Θεοῦ ἐν οὐρανῷ εἰσι. 31περὶ δὲ τῆς ἀναστάσεως τῶν νεκρῶν οὐκ ἀνέγνωτε τὸ ῥηθὲν ὑμῖν ὑπὸ τοῦ Θεοῦ λέγοντος, 32*ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ*; οὐκ ἔστιν ὁ Θεὸς Θεὸς νεκρῶν, ἀλλὰ ζώντων.

Atunci, mergând fariseii, au ţinut sfat ca să-L prindă pe El în cuvânt. 16Şi au trimis la El pe ucenicii lor, împreună cu irodienii, zicând: Învăţătorule, ştim că eşti adevărat şi calea lui Dumnezeu întru adevăr o înveţi şi nu-Ţi pasă de nimeni; că nu cauţi la faţa oamenilor; 17spune-ne nouă, deci: Ce Ţi se pare? Este îngăduit să dăm dajdie Cezarului sau nu? 18Dar cunoscând Iisus viclenia lor, a zis: De ce Mă ispitiţi, făţarnicilor? 19Arătaţi-Mi banul dajdiei. Iar ei I-au adus un dinar. 20Şi le-a zis lor: Al cui e chipul acesta şi inscripţia? 21Au zis Lui: Ale Cezarului. Atunci a zis lor: Daţi, deci, Cezarului cele ale Cezarului şi lui Dumnezeu cele ale lui Dumnezeu. 22Şi auzind, s-au minunat, apoi l-au lăsat şi s-au dus.

În ziua aceea s-au apropiat de El saducheii, cei ce zic că nu este înviere, şi L-au întrebat, 24zicând: Învăţătorule, Moise a spus: *Dacă cineva moare neavând copii, să ia fratele lui pe femeia lui şi să ridice sămânţă fratelui său.* 25Erau dar la noi şapte fraţi; şi cel dintâi, însurându-se, s-a sfârşit şi, neavând sămânţă, a lăsat pe femeia sa fratelui său. 26Asemenea şi al doilea şi al treilea, până la al şaptelea. 27Şi în urma tuturor a murit şi femeia. 28Deci, la înviere, a căruia dintre cei şapte va fi femeia? Că toţi au avut-o de soţie. 29Şi răspunzând Iisus, le-a zis: Vă rătăciţi, neştiind Scripturile, nici puterea lui Dumnezeu. 30Că la înviere, nici nu se însoară, nici nu se mărită, ci sunt ca îngerii lui Dumnezeu în cer. 31Iar despre învierea morţilor n-aţi citit ce vi s-a spus vouă de Dumnezeu, care zice: 32*Eu sunt Dumnezeul lui Avraam şi Dumnezeul lui Isaac şi Dumnezeul lui Iacov*? Nu este Dumnezeu Dumnezeu al

33καὶ ἀκούσαντες οἱ ὄχλοι ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ.

Οἱ δὲ Φαρισαῖοι ἀκούσαντες ὅτι ἐφίμωσε τοὺς Σαδδουκαίους, συνήχθησαν ἐπὶ τὸ αὐτό, 35καὶ ἐπηρώτησεν εἷς ἐξ αὐτῶν, νομικός, πειράζων αὐτὸν καὶ λέγων· 36διδάσκαλε, ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ; 37ὁ δὲ Ἰησοῦς ἔφη αὐτῷ· *ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου.* 38αὕτη ἐστὶ πρώτη καὶ μεγάλη ἐντολή. 39δευτέρα δὲ ὁμοία αὐτῇ· *ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.* 40ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται.

Συνηγμένων δὲ τῶν Φαρισαίων ἐπηρώτησεν αὐτοὺς ὁ Ἰησοῦς 42λέγων· τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ; τίνος υἱός ἐστι; λέγουσιν αὐτῷ· τοῦ Δαυίδ. 43λέγει αὐτοῖς· πῶς οὖν Δαυὶδ ἐν Πνεύματι Κύριον αὐτὸν καλεῖ λέγων, 44*εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου*; 45εἰ οὖν Δαυὶδ καλεῖ αὐτὸν Κύριον, πῶς υἱὸς αὐτοῦ ἐστι; 46καὶ οὐδεὶς ἐδύνατο αὐτῷ ἀποκριθῆναι λόγον, οὐδὲ ἐτόλμησέ τις ἀπ' ἐκείνης τῆς ἡμέρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι.

morților, ci al viilor. 33Şi auzind, mulțimile se uimeau de învățătura Lui.

Şi auzind fariseii că a închis gura saducheilor, s-au adunat laolaltă. 35Şi a întrebat unul dintre ei, învățător de Lege, ispitindu-L şi zicând: 36Învățătorule, care poruncă este mare în Lege? 37Şi Iisus i-a zis: *Să iubeşti pe Domnul Dumnezeul tău cu toată inima ta şi cu tot sufletul tău şi cu tot cugetul tău.* 38Aceasta este întâia şi marea poruncă. 39Iar a doua, asemenea acesteia: *Să iubeşti pe aproapele tău ca pe tine însuți.* 40De aceste două porunci atârnă toată Legea şi Proorocii.

Şi fiind adunați fariseii, i-a întrebat Iisus, 42zicând: Ce vi se pare despre Hristos? Al cui fiu este? Au zis Lui: Al lui David. 43A zis lor: Atunci, cum Îl numeşte David Domn în Duh, zicând: 44*Zis-a Domnul Domnului meu: Şezi de-a dreapta Mea, până ce voi pune pe vrăjmaşii Tăi aşternut picioarelor Tale*? 45Deci, dacă David Îl numeşte pe El Domn, cum este fiu al lui? 46Şi nimeni nu putea să-I răspundă cuvânt, nici n-a mai îndrăznit cineva, din ziua aceea, să-L mai întrebe.

Κεφάλαιον ΚΓ΄

Τότε ὁ Ἰησοῦς ἐλάλησε τοῖς ὄχλοις καὶ τοῖς μαθηταῖς αὐτοῦ 2λέγων· ἐπὶ τῆς Μωσέως καθέδρας ἐκάθισαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι. 3πάντα οὖν ὅσα ἐὰν εἴπωσιν ὑμῖν τηρεῖν, τηρεῖτε καὶ ποιεῖτε,

Capitolul 23

Atunci Iisus a vorbit mulțimilor şi ucenicilor Săi, 2zicând: Pe scaunul lui Moise au şezut cărturarii şi fariseii; 3deci, toate câte vă vor zice să țineți, țineți-le şi faceți-le, dar după faptele lor

κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε· λέγουσι γάρ, καὶ οὐ ποιοῦσι. 4δεσμεύουσι γὰρ φορτία βαρέα καὶ δυσβάστακτα καὶ ἐπιτιθέασιν ἐπὶ τοὺς ὤμους τῶν ἀνθρώπων, τῷ δὲ δακτύλῳ αὐτῶν οὐ θέλουσι κινῆσαι αὐτά. 5πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις. πλατύνουσι γὰρ τὰ φυλακτήρια αὐτῶν καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν, 6φιλοῦσι δὲ τὴν πρωτοκλισίαν ἐν τοῖς δείπνοις καὶ τὰς πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς 7καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων ῥαββὶ ῥαββί. 8ὑμεῖς δὲ μὴ κληθῆτε ῥαββί· εἷς γὰρ ὑμῶν ἐστιν ὁ διδάσκαλος, ὁ Χριστός· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. 9καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς. 10μηδὲ κληθῆτε καθηγηταί· εἷς γὰρ ὑμῶν ἐστιν ὁ καθηγητής, ὁ Χριστός. 11ὁ δὲ μείζων ὑμῶν ἔσται ὑμῶν διάκονος. 12ὅστις δὲ ὑψώσει ἑαυτὸν ταπεινωθήσεται, καὶ ὅστις ταπεινώσει ἑαυτὸν ὑψωθήσεται.

Οὐαὶ δὲ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κατεσθίετε τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσευχόμενοι· διὰ τοῦτο λήψεσθε περισσότερον κρῖμα. 14Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι κλείετε τὴν βασιλείαν τῶν οὐρανῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. 15Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι περιάγετε τὴν θάλασσαν καὶ τὴν ξηρὰν ποιῆσαι ἕνα προσήλυτον, καὶ ὅταν γένηται, ποιεῖτε αὐτὸν υἱὸν γεέννης διπλότερον ὑμῶν. 16Οὐαὶ ὑμῖν, ὁδηγοὶ τυφλοί, οἱ λέγοντες· ὃς ἂν ὀμόσῃ ἐν τῷ ναῷ, οὐδέν ἐστιν, ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ χρυσῷ τοῦ ναοῦ, ὀφείλει. 17μωροὶ καὶ τυφλοί, τίς γὰρ μείζων ἐστίν, ὁ χρυσὸς ἢ ὁ ναὸς ὁ ἁγιάζων τὸν χρυσόν; 18καί· ὃς ἂν ὀμόσῃ ἐν τῷ θυσιαστηρίῳ, οὐδέν ἐστιν, ὃς δ' ἂν ὀμόσῃ ἐν τῷ δώρῳ τῷ ἐπάνω αὐτοῦ, ὀφείλει. 19μωnu faceți; că ei zic, dar nu fac. 4Căci leagă poveri grele şi cu anevoie de purtat şi le pun pe umerii oamenilor, iar ei nici cu degetul nu voiesc să le mişte. 5Şi toate faptele lor le fac ca să fie văzuți de oameni. Căci îşi lărgesc filacteriile şi îşi măresc ciucurii hainelor lor 6şi iubesc locul cel dintâi la ospețe şi scaunele cele dintâi în sinagogi 7şi plecăciunile în piețe şi să fie numiți de oameni: Rabbi, Rabbi. 8Voi însă să nu vă chemați Rabbi; căci unul este Învățătorul vostru: Hristos; iar voi toți sunteți frați. 9Şi tată al vostru să nu chemați pe pământ; căci unul este Tatăl vostru: Cel din ceruri. 10Nici să vă chemați învățători; căci unul este Învățătorul vostru: Hristos. 11Şi cel mai mare dintre voi să fie slujitor al vostru. 12Cine se va înălța pe sine se va smeri, şi cine se va smeri pe sine se va înălța.

Dar vai vouă, cărturarilor şi fariseilor fățarnici! Că mâncați casele văduvelor şi vă rugați îndelung cu fățărnicie; pentru aceasta veți lua mai mare osândă. 14Vai vouă, cărturarilor şi fariseilor fățarnici! Că închideți Împărăția Cerurilor înaintea oamenilor; căci voi nu intrați, şi nici pe cei ce vor să intre nu-i lăsați să intre. 15Vai vouă, cărturarilor şi fariseilor fățarnici! Că înconjurați marea şi uscatul ca să faceți un prozelit şi, odată ajuns, îl faceți fiu al gheenei, de două ori mai mult decât voi. 16Vai vouă, călăuze oarbe, care ziceți: Dacă se jură cineva pe templu, nu este nimic; iar dacă cineva se jură pe aurul templului, este dator. 17Nebuni şi orbi! Căci ce este mai mare, aurul sau templul care sfințeşte aurul? 18Iarăşi: Dacă se jură cineva pe jertfelnic, nu este nimic; iar dacă se jură

ροὶ καὶ τυφλοί, τί γὰρ μεῖζον, τὸ δῶρον ἢ τὸ θυσιαστήριον τὸ ἁγιάζον τὸ δῶρον; 20ὁ οὖν ὀμόσας ἐν τῷ θυσιαστηρίῳ ὀμνύει ἐν αὐτῷ καὶ ἐν πᾶσι τοῖς ἐπάνω αὐτοῦ· 21καὶ ὁ ὀμόσας ἐν τῷ ναῷ ὀμνύει ἐν αὐτῷ καὶ ἐν τῷ κατοικήσαντι αὐτόν· 22καὶ ὁ ὀμόσας ἐν τῷ οὐρανῷ ὀμνύει ἐν τῷ θρόνῳ τοῦ Θεοῦ καὶ ἐν τῷ καθημένῳ ἐπάνω αὐτοῦ. 23Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν καὶ τὸν ἔλεον καὶ τὴν πίστιν· ταῦτα δὲ ἔδει ποιῆσαι κἀκεῖνα μὴ ἀφιέναι. 24ὁδηγοὶ τυφλοί, οἱ διυλίζοντες τὸν κώνωπα, τὴν δὲ κάμηλον καταπίνοντες. 25Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι καθαρίζετε τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔσωθεν δὲ γέμουσιν ἐξ ἁρπαγῆς καὶ ἀδικίας. 26Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τὸ ἐντὸς τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἵνα γένηται καὶ τὸ ἐκτὸς αὐτῶν καθαρόν. 27Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι παρομοιάζετε τάφοις κεκονιαμένοις, οἵτινες ἔξωθεν μὲν φαίνονται ὡραῖοι, ἔσωθεν δὲ γέμουσιν ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας. 28οὕτω καὶ ὑμεῖς ἔξωθεν μὲν φαίνεσθε τοῖς ἀνθρώποις δίκαιοι, ἔσωθεν δὲ μεστοί ἐστε ὑποκρίσεως καὶ ἀνομίας. 29Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι οἰκοδομεῖτε τοὺς τάφους τῶν προφητῶν καὶ κοσμεῖτε τὰ μνημεῖα τῶν δικαίων, 30καὶ λέγετε· εἰ ἤμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἤμεν κοινωνοὶ αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν. 31ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε τῶν φονευσάντων τοὺς προφήτας. 32καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. 33ὄφεις, γεννήματα ἐχιδνῶν, πῶς φύγητε ἀπὸ τῆς κρίσεως τῆς γεέννης;

pe darul de pe el, este dator. 19Nebuni şi orbi! Ce este mai mare, darul sau altarul care sfinţeşte darul? 20Deci, cel ce se jură pe altar se jură pe el şi pe toate câte sunt pe el; 21şi cel ce se jură pe templu se jură pe el şi pe Cel ce locuieşte în el. 22Şi cel ce se jură pe cer se jură pe tronul lui Dumnezeu şi pe Cel ce şade pe el. 23Vai vouă, cărturarilor şi fariseilor făţarnici! Că daţi zeciuială din izmă, din mărar şi din chimen şi aţi lăsat cele mai grele ale Legii: judecata şi mila şi credinţa; pe acestea trebuia să le faceţi şi pe acelea să nu le lăsaţi. 24Călăuze oarbe, care strecuraţi ţânţarul, iar cămila o înghiţiţi! 25Vai vouă, cărturarilor şi fariseilor făţarnici! Că voi curăţaţi partea din afară a paharului şi a blidului, iar înăuntru sunt pline de răpire şi de nedreptate. 26Fariseule orb! Curăţă întâi partea dinăuntru a paharului şi a blidului, ca să fie curată şi cea din afară. 27Vai vouă, cărturarilor şi fariseilor făţarnici! Că semănaţi cu mormintele văruite, care pe dinafară se arată frumoase, iar înăuntru sunt pline de oase de morţi şi de toată necurăţia. 28Aşa şi voi, pe dinafară vă arătaţi drepţi oamenilor, iar înăuntru sunteţi plini de făţărnicie şi de fărădelege. 29Vai vouă, cărturarilor şi fariseilor făţarnici! Că ziditi mormintele proorocilor şi împodobiţi gropile drepţilor 30şi ziceţi: De am fi fost noi în zilele părinţilor noştri, n-am fi fost părtaşi cu ei la sângele proorocilor. 31Astfel mărturisiţi despre voi înşivă că sunteţi fii ai celor ce au ucis pe prooroci. 32Şi voi aţi umplut măsura părinţilor voştri! 33Şerpi, pui de vipere! Cum veţi fugi de osânda gheenei?

Διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς προφήτας καὶ σοφοὺς καὶ γραμματεῖς, καὶ ἐξ αὐτῶν ἀποκτενεῖτε καὶ σταυρώσετε, καὶ ἐξ αὐτῶν μαστιγώσετε ἐν ταῖς συναγωγαῖς ὑμῶν καὶ διώξετε ἀπὸ πόλεως εἰς πόλιν, 35ὅπως ἔλθῃ ἐφ' ὑμᾶς πᾶν αἷμα δίκαιον ἐκχυνόμενον ἐπὶ τῆς γῆς ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου ἕως τοῦ αἵματος Ζαχαρίου υἱοῦ Βαραχίου, ὃν ἐφονεύσατε μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. 36ἀμὴν λέγω ὑμῖν ὅτι ἥξει ταῦτα πάντα ἐπὶ τὴν γενεὰν ταύτην. 37Ἰερουσαλὴμ Ἰερουσαλήμ, ἡ ἀποκτένουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ἐπισυνάγει ὄρνις τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. 38ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. 39λέγω γὰρ ὑμῖν, οὐ μή με ἴδητε ἀπ' ἄρτι ἕως ἂν εἴπητε, *εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

De aceea, iată, Eu trimit la voi prooroci şi înţelepţi şi cărturari; şi dintre ei veţi ucide şi veţi răstigni; şi dintre ei veţi biciui în sinagogile voastre şi-i veţi prigoni din cetate în cetate, 35ca să vină asupra voastră tot sângele drept vărsat pe pământ, de la sângele dreptului Abel, până la sângele lui Zaharia, fiul lui Varahia, pe care l-aţi ucis între templu şi jertfelnic. 36Amin zic vouă că vor veni acestea toate asupra acestui neam. 37Ierusalime, Ierusalime, care omori pe prooroci şi ucizi cu pietre pe cei trimişi la tine! De câte ori am voit să adun pe fiii tăi, aşa cum adună pasărea puii săi sub aripi, şi nu aţi voit. 38Iată, casa voastră vi se lasă pustie. 39Căci zic vouă: Nu Mă veţi mai vedea de acum, până când nu veţi spune: *Binecuvântat este Cel ce vine întru numele Domnului.*

Κεφάλαιον ΚΔ΄

Καὶ ἐξελθὼν ὁ Ἰησοῦς ἐπορεύετο ἀπὸ τοῦ ἱεροῦ· καὶ προσῆλθον οἱ μαθηταὶ αὐτοῦ ἐπιδεῖξαι αὐτῷ τὰς οἰκοδομὰς τοῦ ἱεροῦ. 2ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐ βλέπετε ταῦτα πάντα; ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον, ὃς οὐ καταλυθήσεται.

Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν προσῆλθον αὐτῷ οἱ μαθηταὶ κατ' ἰδίαν λέγοντες· εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς συντελείας τοῦ αἰῶνος; 4καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· βλέπετε μή τις ὑμᾶς πλανήσῃ. 5πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί

Capitolul 24

Şi ieşind Iisus, pleca din templu; şi au venit la El ucenicii Lui ca să-I arate clădirile templului. 2Iar Iisus le-a spus: Nu vedeţi toate acestea? Amin zic vouă: Nu se va lăsa aici piatră pe piatră, care să nu fie risipită.

Şi şezând El pe Muntele Măslinilor, au venit la El ucenicii, deoparte, zicând: Spune-ne nouă când vor fi acestea şi care este semnul venirii Tale şi al sfârşitului veacului? 4Şi răspunzând Iisus, le-a zis: Vedeţi să nu vă ducă cineva în rătăcire. 5Căci mulţi vor veni în numele Meu, zi-

μου λέγοντες, ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσι. 6μελλήσετε δὲ ἀκούειν πολέμους καὶ ἀκοὰς πολέμων· ὁρᾶτε μὴ θροεῖσθε· δεῖ γὰρ πάντα γενέσθαι, ἀλλ᾽ οὔπω ἐστὶ τὸ τέλος. 7ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται λιμοὶ καὶ λοιμοὶ καὶ σεισμοὶ κατὰ τόπους· 8πάντα δὲ ταῦτα ἀρχὴ ὠδίνων. 9τότε παραδώσουσιν ὑμᾶς εἰς θλῖψιν καὶ ἀποκτενοῦσιν ὑμᾶς, καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομά μου. 10καὶ τότε σκανδαλισθήσονται πολλοὶ καὶ ἀλλήλους παραδώσουσι καὶ μισήσουσιν ἀλλήλους. 11καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσι πολλούς, 12καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. 13ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. 14καὶ κηρυχθήσεται τοῦτο τὸ εὐαγγέλιον τῆς βασιλείας ἐν ὅλῃ τῇ οἰκουμένῃ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι, καὶ τότε ἥξει τὸ τέλος. 15Ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου ἑστὼς ἐν τόπῳ ἁγίῳ –ὁ ἀναγινώσκων νοείτω– 16τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη, 17ὁ ἐπὶ τοῦ δώματος μὴ καταβαινέτω ἆραι τὰ ἐκ τῆς οἰκίας αὐτοῦ, 18καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ὀπίσω ἆραι τὰ ἱμάτια αὐτοῦ. 19οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. 20προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος μηδὲ σαββάτῳ. 21ἔσται γὰρ τότε θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ᾽ ἀρχῆς κόσμου ἕως τοῦ νῦν οὐδ᾽ οὐ μὴ γένηται. 22καὶ εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι. 23τότε ἐάν τις ὑμῖν εἴπῃ, ἰδοὺ ὧδε ὁ Χριστὸς ἢ ὧδε, μὴ πιστεύσητε· 24ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσι σημεῖα μεγάλα καὶ τέρατα, ὥστε πλανῆσαι, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. 25ἰδοὺ

când: Eu sunt Hristos, şi pe mulţi îi vor duce în rătăcire. 6Şi veţi auzi de războaie şi de veşti de războaie; vedeţi să nu vă înfricoşaţi; căci trebuie să fie toate, dar încă nu este sfârşitul. 7Căci se va ridica neam peste neam şi împărăţie peste împărăţie, şi vor fi foamete şi ciumă şi cutremure pe alocuri; 8dar toate acestea sunt începutul durerilor. 9Atunci vă vor da pe voi la strâmtorare şi vă vor ucide, şi veţi fi urâţi de toate neamurile pentru numele Meu. 10Şi atunci se vor sminti mulţi şi unii pe alţii se vor vinde, şi se vor urî unii pe alţii. 11Şi mulţi prooroci mincinoşi se vor scula şi vor duce pe mulţi în rătăcire. 12Iar din pricina înmulţirii fărădelegii, iubirea multora se va răci. 13Dar cel ce va răbda până la sfârşit, acela se va mântui. 14Şi se va propovădui această Evanghelie a Împărăţiei în toată lumea spre mărturie tuturor neamurilor, şi atunci va veni sfârşitul. 15Deci, când veţi vedea urâciunea pustiirii, ceea ce s-a zis prin Daniel proorocul, stând în locul cel sfânt – cel care citeşte să înţeleagă! – 16atunci cei din Iudeea să fugă în munţi, 17cel ce va fi pe acoperiş să nu se coboare ca să-şi ia cele din casă 18şi cel ce va fi în ţarină să nu se întoarcă înapoi ca să-şi ia hainele. 19Şi vai celor ce vor avea în pântece şi celor ce vor alăpta în acele zile! 20Rugaţi-vă să nu fie fuga voastră iarna, nici sâmbăta. 21Căci va fi atunci strâmtorare mare, cum n-a fost de la începutul lumii până acum şi nici nu va mai fi. 22Şi dacă nu s-ar scurta acele zile, nu s-ar mai mântui nici un trup; dar pentru cei aleşi se vor scurta acele zile. 23Atunci, dacă vă va spune cineva: Iată, aici este Hristos sau acolo, să nu credeţi. 24Căci se vor ridica hristoşi mincinoşi şi prooroci mincinoşi, şi

προείρηκα ὑμῖν. 26ἐὰν οὖν εἴπωσιν ὑμῖν, ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστί, μὴ ἐξέλθητε, ἰδοὺ ἐν τοῖς ταμείοις, μὴ πιστεύσητε· 27ὥσπερ γὰρ ἡ ἀστραπὴ ἐξέρχεται ἀπὸ ἀνατολῶν καὶ φαίνεται ἕως δυσμῶν, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου· 28ὅπου γὰρ ἐὰν ᾖ τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί. 29Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. 30καὶ τότε φανήσεται τὸ σημεῖον τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἐν τῷ οὐρανῷ, καὶ τότε κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. 31καὶ ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος φωνῆς μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν. 32Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν. ὅταν ἤδη ὁ κλάδος αὐτῆς γένηται ἁπαλὸς καὶ τὰ φύλλα ἐκφύῃ, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος· 33οὕτω καὶ ὑμεῖς ὅταν ἴδητε ταῦτα πάντα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. 34ἀμὴν λέγω ὑμῖν, οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα ταῦτα γένηται. 35ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

Περὶ δὲ τῆς ἡμέρας ἐκείνης καὶ ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι τῶν οὐρανῶν, εἰ μὴ ὁ πατήρ μου μόνος. 37ὥσπερ δὲ αἱ ἡμέραι τοῦ Νῶε, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. 38ὥσπερ γὰρ ἦσαν ἐν ταῖς ἡμέραις ταῖς πρὸ τοῦ κατακλυσμοῦ τρώγοντες καὶ πίνοντες, γαμοῦντες καὶ ἐκγαμίζοντες, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν, 39καὶ οὐκ ἔγνωσαν ἕως ἦλθεν ὁ κατακλυσμὸς καὶ ἦρεν ἅπαντας, οὕτως ἔσται καὶ ἡ παρουσία τοῦ υἱοῦ τοῦ ἀνθρώπου. 40τότε δύο ἔσονται

vor face semne mari şi minuni, ca să-i amăgească, de va fi cu putinţă, şi pe cei aleşi. 25Iată, v-am spus de mai înainte. 26Deci, de vă vor zice vouă: Iată, în pustie este, să nu ieşiţi; iată, în cămări este, să nu credeţi; 27căci precum fulgerul iese de la Răsărit şi se arată până la Apus, aşa va fi şi venirea Fiului Omului; 28căci unde va fi stârvul, acolo se vor aduna vulturii. 29Iar îndată după strâmtorarea acelor zile, soarele se va întuneca şi luna nu-şi va mai da strălucirea ei, iar stelele vor cădea din cer, şi puterile cerurilor se vor clătina. 30Şi atunci se va arăta semnul Fiului Omului pe cer şi se vor tângui toate seminţiile pământului şi vor vedea pe Fiul Omului venind pe norii cerului, cu putere şi cu slavă multă. 31Şi va trimite pe îngerii Săi, cu glas mare de trâmbiţă, şi vor aduna pe aleşii Lui din cele patru vânturi, de la marginile cerurilor până la celelalte margini ale lor. 32Învăţaţi de la smochin pilda. Când mlădiţa lui deja se face fragedă şi înfrunzeşte, ştiţi că vara este aproape; 33aşa şi voi, când veţi vedea toate acestea, să ştiţi că aproape este, la uşă. 34Amin zic vouă: Nu va trece neamul acesta până ce nu vor fi toate acestea. 35Cerul şi pământul vor trece, dar cuvintele Mele nu vor trece.

Iar despre ziua şi ceasul acela nimeni nu ştie, nici îngerii din ceruri, decât numai Tatăl Meu. 37Şi ca în zilele lui Noe, aşa va fi şi venirea Fiului Omului. 38Căci precum erau în zilele acelea dinainte de potop, mâncând şi bând, însurându-se şi măritându-se, până în ziua când a intrat Noe în chivot, 39şi n-au ştiut până ce a venit potopul şi i-a luat pe toţi, la fel va fi şi venirea Fiului Omului. 40Atunci, doi vor fi în ţarină, unul se va lua şi altul se va lăsa. 41Două

ἐν τῷ ἀγρῷ, ὁ εἷς παραλαμβάνεται καὶ ὁ εἷς ἀφίεται· 41δύο ἀλήθουσαι ἐν τῷ μυλῶνι, μία παραλαμβάνεται καὶ μία ἀφίεται. 42γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ Κύριος ὑμῶν ἔρχεται. 43Ἐκεῖνο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν εἴασε διορυγῆναι τὴν οἰκίαν αὐτοῦ. 44διὰ τοῦτο καὶ ὑμεῖς γίνεσθε ἕτοιμοι, ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν κατέστησεν ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας αὐτοῦ τοῦ διδόναι αὐτοῖς τὴν τροφὴν ἐν καιρῷ; 46μακάριος ὁ δοῦλος ἐκεῖνος ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει ποιοῦντα οὕτως. 47ἀμὴν λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. 48ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἐλθεῖν, 49καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίῃ δὲ καὶ πίνῃ μετὰ τῶν μεθυόντων, 50ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, 51καὶ διχοτομήσει αὐτόν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν θήσει· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

vor măcina la moară, una se va lua şi alta se va lăsa. 42Privegheaţi, deci, că nu ştiţi în care ceas vine Domnul vostru. 43Aceea să cunoaşteţi, că de-ar şti stăpânul casei la ce strajă din noapte vine furul, ar privegheа şi n-ar lăsa să i se spargă casa. 44De aceea şi voi fiţi pregătiţi, că în ceasul în care nu gândiţi vine Fiul Omului.

Cine, oare, este robul credincios şi înţelept pe care l-a pus stăpânul peste slugile sale, ca să le dea hrană la vreme? 46Fericit robul acela, pe care venind stăpânul său, îl va afla făcând aşa. 47Amin zic vouă că peste toate avuţiile sale îl va pune. 48Iar dacă acel rob, rău fiind, va zice în inima sa: Stăpânul meu zăboveşte să vină, 49şi va începe să-i bată pe cei ce sunt robi împreună cu el, să mănânce şi să bea cu beţivii, 50va veni domnul acelui rob în ziua în care nu se aşteaptă şi în ceasul pe care nu-l cunoaşte, 51şi-l va tăia în două şi partea lui o va pune cu făţarnicii; acolo va fi plângerea şi scrâşnirea dinţilor.

Κεφάλαιον ΚΕ΄

Τότε ὁμοιωθήσεται ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, αἵτινες λαβοῦσαι τὰς λαμπάδας αὐτῶν ἐξῆλθον εἰς ἀπάντησιν τοῦ νυμφίου. 2πέντε δὲ ἦσαν ἐξ αὐτῶν φρόνιμοι καὶ αἱ πέντε μωραί. 3αἵτινες μωραὶ λαβοῦσαι τὰς λαμπάδας ἑαυτῶν οὐκ ἔλαβον μεθ' ἑαυτῶν ἔλαιον· 4αἱ δὲ φρόνιμοι ἔλαβον ἔλαιον ἐν τοῖς ἀγγείοις αὐτῶν μετὰ τῶν λαμπάδων αὐτῶν. 5χρονίζοντος δὲ τοῦ

Capitolul 25

Atunci se va asemăna Împărăţia Cerurilor cu zece fecioare, care, luându-şi candelele, au ieşit în întâmpinarea mirelui. 2Cinci însă dintre ele erau înţelepte şi cinci nebune. 3Cele nebune, luându-şi candelele, n-au luat cu ele untdelemn; 4iar cele înţelepte au luat untdelemn în vasele lor împreună cu candelele lor. 5Şi întârziind mirele, au aţipit toate şi

νυμφίου ἐνύσταξαν πᾶσαι καὶ ἐκάθευδον. 6μέσης δὲ νυκτὸς κραυγὴ γέγονεν· ἰδοὺ ὁ νυμφίος ἔρχεται, ἐξέρχεσθε εἰς ἀπάντησιν αὐτοῦ. 7τότε ἠγέρθησαν πᾶσαι αἱ παρθένοι ἐκεῖναι καὶ ἐκόσμησαν τὰς λαμπάδας αὐτῶν. 8αἱ δὲ μωραὶ ταῖς φρονίμοις εἶπον· δότε ἡμῖν ἐκ τοῦ ἐλαίου ὑμῶν, ὅτι αἱ λαμπάδες ἡμῶν σβέννυνται. 9ἀπεκρίθησαν δὲ αἱ φρόνιμοι λέγουσαι· μήποτε οὐκ ἀρκέσῃ ἡμῖν καὶ ὑμῖν· πορεύεσθε δὲ μᾶλλον πρὸς τοὺς πωλοῦντας καὶ ἀγοράσατε ἑαυταῖς. 10ἀπερχομένων δὲ αὐτῶν ἀγοράσαι ἦλθεν ὁ νυμφίος καὶ αἱ ἕτοιμοι εἰσῆλθον μετ' αὐτοῦ εἰς τοὺς γάμους, καὶ ἐκλείσθη ἡ θύρα. 11ὕστερον δὲ ἔρχονται καὶ αἱ λοιπαὶ παρθένοι λέγουσαι· κύριε κύριε, ἄνοιξον ἡμῖν. 12ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς. 13γρηγορεῖτε οὖν, ὅτι οὐκ οἴδατε τὴν ἡμέραν οὐδὲ τὴν ὥραν ἐν ᾗ ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται.

Ὥσπερ γὰρ ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ, 15καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν, καὶ ἀπεδήμησεν εὐθέως. 16πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν εἰργάσατο ἐν αὐτοῖς καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα. 17ὡσαύτως καὶ ὁ τὰ δύο ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο. 18ὁ δὲ τὸ ἓν λαβὼν ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ κυρίου αὐτοῦ. 19μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων καὶ συναίρει μετ' αὐτῶν λόγον. 20καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν προσήνεγκεν ἄλλα πέντε τάλαντα λέγων· κύριε, πέντε τάλαντά μοι παρέδωκας· ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς. 21ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. 22προσελθὼν δὲ καὶ ὁ τὰ δύο τάλαντα λαβὼν εἶπε· κύριε, δύο τάλαντά μοι

au adormit. 6Iar la miezul nopții s-a făcut strigare: Iată, mirele vine! Ieșiți întru întâmpinarea lui! 7Atunci s-au sculat toate acele fecioare și au împodobit candelele lor. 8Și cele nebune au zis celor înțelepte: Dați-ne din untdelemnul vostru, că se sting candelele noastre. 9Au răspuns însă cele înțelepte, zicând: Nu cumva să nu ne ajungă nici nouă, nici vouă. Mergeți dar mai bine la cei ce vând și cumpărați-vă. 10Ducându-se ele să cumpere, a venit mirele și cele pregătite au intrat cu el la nuntă și ușa s-a închis. 11Iar mai pe urmă, au venit și celelalte fecioare, zicând: Doamne, Doamne, deschide-ne nouă! 12Iar el, răspunzând, a spus: Amin zic vouă: Nu vă cunosc pe voi. 13Drept aceea, privegheați, că nu știți ziua, nici ceasul în care vine Fiul Omului.

Căci este asemenea unui om care, plecând departe, și-a chemat robii și le-a dat pe mână avuția sa. 15Unuia i-a dat cinci talanți, altuia doi, altuia unul, fiecăruia după puterea lui, și îndată a plecat departe. 16Mergând cel ce a luat cinci talanți, a lucrat cu ei și a făcut alți cinci talanți. 17Tot așa și cel cu doi, a câștigat și el alți doi. 18Iar cel ce luase un talant, ducându-se, a săpat o groapă în pământ și a ascuns argintul domnului său. 19Și după multă vreme a venit domnul robilor acelora și a făcut socoteala cu ei. 20Și apropiindu-se cel care luase cinci talanți, a adus alți cinci talanți, zicând: Doamne, cinci talanți mi-ai dat, iată, alți cinci talanți am câștigat cu ei. 21Zis-a lui domnul lui: Bine, rob bun și credincios, peste puține ai fost credincios, peste multe te voi pune; intră întru bucuria domnului tău. 22Apropiindu-se și cel care luase doi talanți, a zis: Doamne,

παρέδωκας· ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ᾽ αὐτοῖς. 23ἔφη αὐτῷ ὁ κύριος αὐτοῦ· εὖ, δοῦλε ἀγαθὲ καὶ πιστέ, ἐπὶ ὀλίγα ἦς πιστός, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ κυρίου σου. 24προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς εἶπε· κύριε, ἔγνων σε ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας· 25καὶ φοβηθεὶς ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε ἔχεις τὸ σόν. 26ἀποκριθεὶς δὲ ὁ κύριος αὐτοῦ εἶπεν αὐτῷ· πονηρὲ δοῦλε καὶ ὀκνηρέ, ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα· 27ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. 28ἄρατε οὖν ἀπ᾽ αὐτοῦ τὸ τάλαντον καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα. 29τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται καὶ περισσευθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει ἀρθήσεται ἀπ᾽ αὐτοῦ. 30καὶ τὸν ἀχρεῖον δοῦλον ἐκβάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων.

Ὅταν δὲ ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ᾽ αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, 32καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ αὐτοὺς ἀπ᾽ ἀλλήλων ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων, 33καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων. 34τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν αὐτοῦ· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου. 35ἐπείνασα γάρ, καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ ἐποτίσατέ με, ξένος ἤμην, καὶ συνηγάγετέ με, 36γυμνός, καὶ περιεβάλετέ με, ἠσθένησα, καὶ ἐπεσκέψασθέ με, ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. 37τότε ἀποκριθήσονται αὐτῷ οἱ δίκαι-

doi talanți mi-ai dat, iată, alți doi talanți am câștigat cu ei. 23Zis-a lui stăpânul: Bine, rob bun şi credincios, peste puține ai fost credincios, peste multe te voi pune; intră întru bucuria domnului tău. 24Apropiindu-se apoi şi cel care primise un talant, a zis: Doamne, te-am cunoscut că eşti om aspru, care seceri unde n-ai semănat şi aduni de unde n-ai împrăştiat; 25şi temându-mă, m-am dus de am ascuns talantul tău în pământ; iată, ai ce este al tău. 26Şi răspunzând domnul său i-a zis: Rob viclean şi leneş! ştiai că secer de unde n-am semănat şi adun de unde n-am împrăştiat! 27Se cuvenea, deci, ca tu să pui argintul meu la zarafi, şi eu, venind, aş fi luat ce este al meu cu dobândă. 28Luați, deci, de la el talantul şi dați-l celui ce are zece talanți. 29Căci tot celui ce are i se va da şi-i va prisosi, iar de la cel ce n-are şi ce are i se va lua. 30Iar pe robul netrebnic aruncați-l întru întunericul cel mai din afară. Acolo va fi plângerea şi scrâşnirea dinților.

Iar când va veni Fiul Omului întru slava Sa şi toți sfinții îngeri cu El, atunci va şedea pe tronul slavei Sale. 32Şi se vor aduna înaintea Lui toate neamurile şi-i va despărți pe unii de alții, precum desparte păstorul oile de capre. 33Şi va pune oile de-a dreapta Lui, iar caprele de-a stânga. 34Atunci va zice Împăratul celor de-a dreapta Lui: Veniți, binecuvântații Tatălui Meu, moşteniți Împărăția cea pregătită vouă de la întemeierea lumii. 35Căci am flămânzit şi Mi-ați dat să mănânc; am însetat şi Mi-ați dat să beau; străin am fost şi M-ați luat la voi; 36gol, şi M-ați îmbrăcat; bolnav am fost şi M-ați cercetat; în temniță am fost şi ați venit la Mine. 37Atunci Îi vor răspunde drepții, zicând: Doamne,

οι λέγοντες· κύριε, πότε σε εἴδομεν πεινῶντα καὶ ἐθρέψαμεν, ἢ διψῶντα καὶ ἐποτίσαμεν; 38πότε δέ σε εἴδομεν ξένον καὶ συνηγάγομεν, ἢ γυμνὸν καὶ περιεβάλομεν; 39πότε δέ σε εἴδομεν ἀσθενῆ ἢ ἐν φυλακῇ, καὶ ἤλθομεν πρὸς σέ; 40καὶ ἀποκριθεὶς ὁ βασιλεὺς ἐρεῖ αὐτοῖς· ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. 41τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. 42ἐπείνασα γάρ, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με, 43ξένος ἤμην, καὶ οὐ συνηγάγετέ με, γυμνός, καὶ οὐ περιεβάλετέ με, ἀσθενὴς καὶ ἐν φυλακῇ, καὶ οὐκ ἐπεσκέψασθέ με. 44τότε ἀποκριθήσονται αὐτῷ καὶ αὐτοὶ λέγοντες· κύριε, πότε σε εἴδομεν πεινῶντα ἢ διψῶντα ἢ ξένον ἢ γυμνὸν ἢ ἀσθενῆ ἢ ἐν φυλακῇ, καὶ οὐ διηκονήσαμέν σοι; 45τότε ἀποκριθήσεται αὐτοῖς λέγων· ἀμὴν λέγω ὑμῖν, ἐφ' ὅσον οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε. 46καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον.

când Te-am văzut flămând şi Te-am hrănit? Sau însetat şi Ţi-am dat să bei? 38Şi când Te-am văzut străin şi Te-am luat la noi, sau gol şi Te-am îmbrăcat? 39Sau când Te-am văzut bolnav sau în temniţă şi am venit la Tine? 40Şi răspunzând Împăratul, va zice lor: Amin zic vouă: Întrucât aţi făcut unuia dintr-aceşti fraţi ai Mei preamici, Mie Mi-aţi făcut. 41Atunci va zice şi celor de-a stânga: Duceţi-vă de la Mine, blestemaţilor, în focul cel veşnic, cel pregătit diavolului şi îngerilor lui. 42Căci am flămânzit şi nu Mi-aţi dat să mănânc; am însetat şi nu Mi-aţi dat să beau; 43străin am fost şi nu M-aţi luat la voi; gol, şi nu M-aţi îmbrăcat; bolnav şi în temniţă, şi nu M-aţi cercetat. 44Atunci vor răspunde Lui şi ei, zicând: Doamne, când Te-am văzut flămând, sau însetat, sau străin, sau gol, sau bolnav, sau în temniţă şi nu Ţi-am slujit? 45Atunci va răspunde lor, zicând: Amin zic vouă, întrucât nu aţi făcut unuia dintre aceşti preamici, nici Mie nu Mi-aţi făcut. 46Şi vor merge aceştia la osândă veşnică, iar drepţii la viaţă veşnică.

Κεφάλαιον Κς΄

Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς πάντας τοὺς λόγους τούτους εἶπε τοῖς μαθηταῖς αὐτοῦ· 2οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ πάσχα γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι. 3τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα, 4καὶ συν-

Capitolul 26

Şi a fost când a sfârşit Iisus toate aceste cuvinte că a zis către ucenicii Săi: 2Ştiţi că peste două zile vor fi Paştile şi Fiul Omului va fi dat să fie răstignit. 3Atunci s-au adunat arhiereii, cărturarii şi bătrânii poporului în curtea arhiereului, care se numea Caiafa, 4şi s-au sfătuit împreună să-L prindă cu vicleşug pe Iisus şi să-L omoare.

εβουλεύσαντο ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσι καὶ ἀποκτείνωσιν. 5ἔλεγον δέ· μὴ ἐν τῇ ἑορτῇ, ἵνα μὴ θόρυβος γένηται ἐν τῷ λαῷ.

Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, 7προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἀνακειμένου. 8ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ ἠγανάκτησαν λέγοντες· εἰς τί ἡ ἀπώλεια αὕτη; 9ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι πολλοῦ καὶ δοθῆναι τοῖς πτωχοῖς. 10γνοὺς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· τί κόπους παρέχετε τῇ γυναικί; ἔργον γὰρ καλὸν εἰργάσατο εἰς ἐμέ. 11τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. 12βαλοῦσα γὰρ αὕτη τὸ μύρον τοῦτο ἐπὶ τοῦ σώματός μου, πρὸς τὸ ἐνταφιάσαι με ἐποίησεν. 13ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς.

Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχιερεῖς εἶπε· 15τί θέλετέ μοι δοῦναι, καὶ ἐγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα ἀργύρια. 16καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα αὐτὸν παραδῷ.

Τῇ δὲ πρώτῃ τῶν ἀζύμων προσῆλθον οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες αὐτῷ· ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ πάσχα; 18ὁ δὲ εἶπεν· ὑπάγετε εἰς τὴν πόλιν πρὸς τὸν δεῖνα καὶ εἴπατε αὐτῷ· ὁ διδάσκαλος λέγει, ὁ καιρός μου ἐγγύς ἐστι· πρὸς σὲ ποιῶ τὸ πάσχα μετὰ τῶν μαθητῶν μου. 19καὶ ἐποίησαν οἱ μαθηταὶ ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς, καὶ ἡτοίμασαν τὸ πάσχα. 20Ὀψίας δὲ γενομένης ἀνέκειτο μετὰ τῶν δώδεκα. 21καὶ ἐσθιόντων αὐτῶν εἶπεν· ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. 22καὶ λυπούμενοι σφόδρα ἤρξαντο λέγειν αὐτῷ ἕκαστος αὐτῶν· μήτι ἐγώ εἰμι, Κύριε; 23ὁ δὲ ἀποκριθεὶς εἶπεν· ὁ ἐμβάψας μετ' ἐμοῦ

5Dar ziceau: Nu la sărbătoare, ca să nu se facă tulburare în popor.

Fiind Iisus în Betania, în casa lui Simon leprosul, 7s-a apropiat de El o femeie care avea un alabastru cu mir de mare preţ şi l-a vărsat pe capul Lui, pe când şedea la masă. 8Şi văzând ucenicii Lui, s-au mâniat şi au zis: Pentru ce risipa aceasta? 9Căci mirul acesta se putea vinde scump şi să se dea săracilor. 10Iar Iisus, cunoscând, le-a zis: Pentru ce faceţi supărare femeii? Căci bun lucru a făcut ea cu Mine. 11Căci pe săraci totdeauna îi aveţi cu voi, dar pe Mine nu Mă aveţi totdeauna; 12că ea, punând mirul acesta pe trupul Meu, spre îngroparea Mea a făcut-o. 13Amin zic vouă: Oriunde se va propovădui Evanghelia aceasta, în toată lumea, se va spune şi ce-a făcut ea, spre pomenirea ei.

Atunci unul din cei doisprezece, numit Iuda Iscarioteanul, ducându-se la arhierei, a zis: 15Ce voiţi să-mi daţi şi eu Îl voi da în mâinile voastre? Iar ei i-au dat treizeci de arginţi. 16Şi de atunci căuta prilej ca să-L dea în mâinile lor.

În ziua cea dintâi a Azimelor, au venit ucenicii la Iisus, zicându-I: Unde voieşti să-Ţi pregătim să mănânci Paştile? 18Iar El a zis: Mergeţi în cetate la cutare şi spuneţi-i: Învăţătorul zice: Vremea Mea este aproape; la tine voi face Paştile cu ucenicii Mei. 19Şi au făcut ucenicii precum le-a poruncit Iisus, şi au pregătit Paştile. 20Iar când s-a făcut seară, a şezut la masă cu cei doisprezece. 21Şi pe când mâncau, a zis: Amin zic vouă că unul dintre voi Mă va vinde. 22Şi întristându-se ei foarte, au început să-I zică fiecare dintre ei: Nu cumva eu sunt, Doamne? 23Iar El, răspunzând, a

ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, οὗτός με παραδώσει. 24ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. 25ἀποκριθεὶς δὲ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν εἶπε· μήτι ἐγώ εἰμι, ῥαββί; λέγει αὐτῷ· σὺ εἶπας. 26Ἐσθιόντων δὲ αὐτῶν λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον καὶ εὐχαριστήσας ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς καὶ εἶπε· λάβετε φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου· 27καὶ λαβὼν τὸ ποτήριον καὶ εὐχαριστήσας ἔδωκεν αὐτοῖς λέγων· πίετε ἐξ αὐτοῦ πάντες· 28τοῦτο γάρ ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν. 29λέγω δὲ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπ' ἄρτι ἐκ τούτου τοῦ γενήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου. 30Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· γέγραπται γάρ, *πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης*· 32μετὰ δὲ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. 33ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· εἰ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ δὲ οὐδέποτε σκανδαλισθήσομαι. 34ἔφη αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι ὅτι ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι τρίς ἀπαρνήσῃ με. 35λέγει αὐτῷ ὁ Πέτρος· κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. ὁμοίως δὲ καὶ πάντες οἱ μαθηταὶ εἶπον.

Τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανῆ, καὶ λέγει τοῖς μαθηταῖς· καθίσατε αὐτοῦ ἕως οὗ ἀπελθὼν προσεύξωμαι ἐκεῖ. 37καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. 38τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανατος: Cel ce a întins cu Mine mâna în blid, acela Mă va vinde. 24Fiul Omului merge precum este scris despre El; vai însă omului aceluia prin care Fiul Omului este vândut! Bine era omului aceluia de nu s-ar fi născut. 25Răspunzând Iuda, cel care L-a vândut, a zis: Nu cumva sunt eu, Rabbi? Zis-a lui: Tu ai spus. 26Şi pe când mâncau ei, luând Iisus pâinea şi mulţumind, a frânt şi a dat ucenicilor şi a zis: Luaţi, mâncaţi; acesta este Trupul Meu; 27şi luând paharul şi mulţumind, le-a dat, zicând: Beţi dintru acesta toţi; 28căci acesta este Sângele Meu, al Noului Testament, care pentru mulţi se varsă spre iertarea păcatelor. 29Şi zic vouă că nu voi mai bea de acum din acest rod al viţei până în ziua aceea când îl voi bea cu voi, nou, în Împărăţia Tatălui Meu. 30Şi după ce au cântat laude, au ieşit la Muntele Măslinilor.

Atunci Iisus le-a zis: Voi toţi vă veţi sminti întru Mine în noaptea aceasta; căci scris este: *Bate-voi păstorul şi se vor risipi oile turmei.* 32Dar după ce voi învia, voi merge mai înainte de voi în Galileea. 33Şi răspunzând Petru, I-a zis: Dacă toţi se vor sminti întru Tine, eu niciodată nu mă voi sminti. 34Iisus i-a zis: Amin zic ţie că în noaptea aceasta, mai înainte de a cânta cocoşul, de trei ori te vei lepăda de Mine. 35Petru i-a zis: Şi dacă va trebui să mor împreună cu Tine, nu mă voi lepăda de Tine. Şi la fel au spus şi toţi ucenicii.

Atunci Iisus a mers împreună cu ei într-un loc ce se cheamă Ghetsimani şi a zis ucenicilor: Şedeţi aici, până ce, depărtându-Mă, Mă voi ruga acolo. 37Şi luând pe Petru şi pe cei doi fii ai lui Zevedeu, a început a Se întrista şi a Se nelinişti. 38Atunci Iisus le-a zis: Întristat este su-

νάτου· μείνατε ὧδε καὶ γρηγορεῖτε μετ' ἐμοῦ.
39καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρόσωπον
αὐτοῦ προσευχόμενος καὶ λέγων· πάτερ μου,
εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτή-
ριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ.
40καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ εὑρίσκει
αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ·
οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι
μετ' ἐμοῦ. 41γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα
μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα
πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. 42πάλιν ἐκ δευ-
τέρου ἀπελθὼν προσηύξατο λέγων· πάτερ μου,
εἰ οὐ δύναται τοῦτο τὸ ποτήριον παρελθεῖν
ἀπ' ἐμοῦ ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλη-
μά σου. 43καὶ ἐλθὼν εὑρίσκει αὐτοὺς πάλιν
καθεύδοντας· ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ
βεβαρημένοι. 44καὶ ἀφεὶς αὐτοὺς ἀπελθὼν
πάλιν προσηύξατο ἐκ τρίτου τὸν αὐτὸν λό-
γον εἰπών. 45τότε ἔρχεται πρὸς τοὺς μαθητὰς
αὐτοῦ καὶ λέγει αὐτοῖς· καθεύδετε τὸ λοιπὸν
καὶ ἀναπαύεσθε· ἰδοὺ ἤγγικεν ἡ ὥρα καὶ ὁ
υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας
ἁμαρτωλῶν. 46ἐγείρεσθε ἄγωμεν· ἰδοὺ ἤγγικεν
ὁ παραδιδούς με.

Καὶ ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ Ἰούδας εἷς
τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ ὄχλος
πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρ-
χιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. 48ὁ δὲ
παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον
λέγων· ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε
αὐτόν. 49καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ εἶπε·
χαῖρε, ῥαββί, καὶ κατεφίλησεν αὐτόν. 50ὁ δὲ
Ἰησοῦς εἶπεν αὐτῷ· ἑταῖρε, ἐφ' ᾧ πάρει. τότε
προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν
Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν. 51καὶ ἰδοὺ εἷς
τῶν μετὰ Ἰησοῦ ἐκτείνας τὴν χεῖρα ἀπέσπασε
τὴν μάχαιραν αὐτοῦ, καὶ πατάξας τὸν δοῦλον
τοῦ ἀρχιερέως ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. 52τότε
λέγει αὐτῷ ὁ Ἰησοῦς· ἀπόστρεψόν σου τὴν μά-
χαιραν εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λα-

fletul Meu până la moarte; rămâneți aici
şi privegheați cu Mine. 39Şi mergând pu-
țin mai departe, a căzut cu fața la pă-
mânt, rugându-Se şi zicând: Părinte al
Meu, dacă este cu putință, să treacă de
la Mine paharul acesta; dar nu precum
Eu voiesc, ci precum Tu. 40Şi a venit la
ucenici şi i-a găsit dormind şi i-a zis lui
Petru: Aşa, n-ați putut un ceas să prive-
gheați cu Mine! 41Privegheați şi vă rugați,
ca să nu intrați în ispită; căci duhul este
osârduitor, dar trupul neputincios. 42Ia-
răşi a doua oară depărtându-Se, S-a rugat,
zicând: Părintele Meu, de nu este cu pu-
tință să treacă de la Mine acest pahar fă-
ră să-l beau, facă-se voia Ta. 43Şi venind,
i-a aflat iarăşi dormind; căci ochii lor erau
îngreuiați. 44Şi lăsându-i, depărtându-Se
iarăşi, S-a rugat a treia oară, acelaşi cu-
vânt zicând. 45Atunci a venit la ucenici şi
le-a zis: Dormiți de acum şi vă odihniți!
Iată, s-a apropiat ceasul şi Fiul Omului Se
dă în mâinile păcătoşilor. 46Sculați-vă să
mergem; iată, s-a apropiat cel ce Mă vinde.

Şi, pe când El încă vorbea, iată, Iuda,
unul dintre cei doisprezece, a venit, şi
împreună cu el mulțime multă, cu săbii şi
cu ciomege, de la arhierei şi de la bătrânii
poporului. 48Iar cel ce L-a vândut le dă-
duse lor semn, zicând: Pe Care Îl voi săruta,
Acela este; prindeți-L. 49Şi îndată, apro-
piindu-se de Iisus, a zis: Bucură-Te, Rabbi!
Şi L-a sărutat. 50Iar Iisus i-a zis: Prietene,
fă lucrul pentru care ai venit! Atunci ei,
apropiindu-se, au pus mâinile pe Iisus şi
L-au prins. 51Şi iată, unul dintre cei ce erau
cu Iisus, întinzând mâna, a tras sabia sa şi,
lovind pe robul arhiereului, i-a tăiat ure-
chea. 52Atunci Iisus i-a zis: Întoarce sabia
ta la locul ei, că toți cei ce pun mâna pe

βόντες μάχαιραν ἐν μαχαίρᾳ ἀποθανοῦνται.
53ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι
τὸν πατέρα μου, καὶ παραστήσει μοι πλεί-
ους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; 54πῶς οὖν
πληρωθῶσιν αἱ γραφαὶ ὅτι οὕτω δεῖ γενέσθαι;
55Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις·
ὡς ἐπὶ λῃστὴν ἐξῆλθετε μετὰ μαχαιρῶν καὶ
ξύλων συλλαβεῖν με· καθ' ἡμέραν πρὸς ὑμᾶς
ἐκαθεζόμην διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐκ
ἐκρατήσατέ με. 56τοῦτο δὲ ὅλον γέγονεν ἵνα
πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. Τότε
οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον.

Οἱ δὲ κρατήσαντες τὸν Ἰησοῦν ἀπήγαγον
πρὸς Καϊάφαν τὸν ἀρχιερέα, ὅπου οἱ γραμ-
ματεῖς καὶ οἱ πρεσβύτεροι συνήχθησαν. 58ὁ δὲ
Πέτρος ἠκολούθει αὐτῷ ἀπὸ μακρόθεν ἕως
τῆς αὐλῆς τοῦ ἀρχιερέως, καὶ εἰσελθὼν ἔσω
ἐκάθητο μετὰ τῶν ὑπηρετῶν ἰδεῖν τὸ τέλος.
59Οἱ δὲ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ τὸ
συνέδριον ὅλον ἐζήτουν ψευδομαρτυρίαν
κατὰ τοῦ Ἰησοῦ ὅπως θανατώσωσιν αὐτόν,
60καὶ οὐχ εὗρον· καὶ πολλῶν ψευδομαρτύρων
προσελθόντων, οὐχ εὗρον. ὕστερον δὲ προσ-
ελθόντες δύο ψευδομάρτυρες 61εἶπον· οὗτος
ἔφη, δύναμαι καταλῦσαι τὸν ναὸν τοῦ Θεοῦ
καὶ διὰ τριῶν ἡμερῶν οἰκοδομῆσαι αὐτόν.
62καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· οὐδὲν
ἀποκρίνῃ; τί οὗτοί σου καταμαρτυροῦσιν; 63ὁ
δὲ Ἰησοῦς ἐσιώπα. καὶ ἀποκριθεὶς ὁ ἀρχιερεὺς
εἶπεν αὐτῷ· ἐξορκίζω σε κατὰ τοῦ Θεοῦ τοῦ
ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς
τοῦ Θεοῦ. 64λέγει αὐτῷ ὁ Ἰησοῦς· σὺ εἶπας·
πλὴν λέγω ὑμῖν, ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ
ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως
καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.
65τότε ὁ ἀρχιερεὺς διέρρηξε τὰ ἱμάτια αὐτοῦ
λέγων ὅτι ἐβλασφήμησε· τί ἔτι χρείαν ἔχομεν
μαρτύρων; ἴδε νῦν ἠκούσατε τὴν βλασφημί-
αν αὐτοῦ· 66τί ὑμῖν δοκεῖ; οἱ δὲ ἀποκριθέντες
εἶπον· ἔνοχος θανάτου ἐστί. 67τότε ἐνέπτυσαν

sabie, de sabie vor pieri. 53Sau ți se pa-
re că nu pot acum să rog pe Tatăl Meu şi
să-Mi trimită mai mult de douăsprezece
legiuni de îngeri? 54Cum, deci, se vor pli-
ni Scripturile, că aşa trebuie să fie? 55În
ceasul acela, a zis Iisus mulțimilor: Ca la
un tâlhar ați ieşit, cu săbii şi cu ciomege,
ca să Mă prindeți; în fiecare zi şedeam la
voi, învățând în templu, şi nu M-ați prins.
56Dar toate acestea s-au făcut ca să se îm-
plinească Scripturile proorocilor. Atunci
toți ucenicii, lăsându-L, au fugit.

Iar cei care L-au prins pe Iisus L-au dus
la Caiafa arhiereul, unde erau adunați
cărturarii şi bătrânii. 58Iar Petru îi urma
de departe până la curtea arhiereului şi,
intrând înăuntru, şedea cu slujitorii, ca să
vadă sfârşitul. 59Iar arhiereii şi bătrânii şi
tot sinedriul căutau mărturie mincinoasă
împotriva lui Iisus, ca să-L omoare, 60şi
n-au găsit; şi venind mulți martori minci-
noşi, n-au găsit. Mai pe urmă însă, apropi-
indu-se doi martori mincinoşi, 61au spus:
Acesta a zis: Pot să dărâm templul lui
Dumnezeu şi în trei zile să-l zidesc. 62Şi,
sculându-se, arhiereul I-a zis: Nu răspunzi
nimic? Ce mărturisesc aceştia împotriva
Ta? 63Iar Iisus tăcea. Şi răspunzând arhie-
reul, I-a zis: Te jur pe Dumnezeul cel viu,
să ne spui nouă dacă Tu eşti Hristosul, Fi-
ul lui Dumnezeu. 64Iisus i-a răspuns: Tu
ai zis. Doar că vă spun: De acum veți ve-
dea pe Fiul Omului şezând de-a dreapta
puterii şi venind pe norii cerului. 65Atunci
arhiereul şi-a sfâşiat hainele, zicând: A
hulit! Ce trebuință mai avem de martori?
Iată, acum ați auzit hula Lui; 66ce vi se pa-
re? Iar ei, răspunzând, au zis: Este vino-
vat de moarte. 67Atunci L-au scuipat în
obraz şi L-au bătut cu pumnii, iar unii Îi

εἰς τὸ πρόσωπον αὐτοῦ καὶ ἐκολάφισαν αὐτόν, οἱ δὲ ἐρράπισαν 68λέγοντες· προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν ὁ παίσας σε;

Ὁ δὲ Πέτρος ἔξω ἐκάθητο ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα· καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. 70ὁ δὲ ἠρνήσατο ἔμπροσθεν αὐτῶν πάντων λέγων· οὐκ οἶδα τί λέγεις. 71ἐξελθόντα δὲ αὐτὸν εἰς τὸν πυλῶνα εἶδεν αὐτὸν ἄλλη καὶ λέγει αὐτοῖς· ἐκεῖ καὶ οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. 72καὶ πάλιν ἠρνήσατο μεθ' ὅρκου ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. 73μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ· ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ· καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. 74τότε ἤρξατο καταθεματίζειν καὶ ὀμνύειν ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον· καὶ εὐθέως ἀλέκτωρ ἐφώνησε. 75καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος Ἰησοῦ εἰρηκότος αὐτῷ ὅτι πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με· καὶ ἐξελθὼν ἔξω ἔκλαυσε πικρῶς.

dădeau palme, 68zicând: Prooroceşte-ne, Hristoase, cine este cel ce Te-a lovit?

Iar Petru şedea afară, în curte; şi o slujnică s-a apropiat de el, zicând: Şi tu erai cu Iisus Galileeanul. 70Dar el s-a lepădat înaintea tuturor, zicând: Nu ştiu ce zici. 71Şi ieşind el la poartă, l-a văzut alta şi a zis acelora: Şi acesta era acolo cu Iisus Nazarineanul. 72Şi iarăşi s-a lepădat cu jurământ: Nu-L ştiu pe Omul Acesta. 73Iar după puţin, apropiindu-se cei ce stăteau acolo, au zis lui Petru: Cu adevărat şi tu eşti dintre ei; căci şi graiul te vădeşte. 74Atunci el a început să se dea anatemei şi să se jure: Nu-L cunosc pe omul acesta. Şi îndată cocoşul a cântat. 75Şi şi-a adus aminte Petru de cuvântul lui Iisus, spus lui: Înainte de a cânta cocoşul, de trei ori te vei lepăda de Mine; şi ieşind afară, a plâns cu amar.

Κεφάλαιον ΚΖ΄

Πρωΐας δὲ γενομένης συμβούλιον ἔλαβον πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ κατὰ τοῦ Ἰησοῦ ὥστε θανατῶσαι αὐτόν· 2καὶ δήσαντες αὐτὸν ἀπήγαγον καὶ παρέδωκαν αὐτὸν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι.

Τότε ἰδὼν Ἰούδας ὁ παραδιδοὺς αὐτὸν ὅτι κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὰ τριάκοντα ἀργύρια τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις 4λέγων· ἥμαρτον παραδοὺς αἷμα ἀθῷον. οἱ δὲ εἶπον· τί πρὸς ἡμᾶς; σὺ ὄψει. 5καὶ ῥίψας τὰ ἀργύρια ἐν τῷ ναῷ ἀνεχώρησε, καὶ ἀπελθὼν ἀπήγξατο. 6οἱ δὲ ἀρχιερεῖς λα-

Capitolul 27

Şi făcându-se dimineaţă, toţi arhiereii şi bătrânii poporului au ţinut sfat împotriva lui Iisus, ca să-L omoare. 2Şi, legându-L, L-au dus şi L-au dat în mâinile guvernatorului Ponţiu Pilat.

Atunci Iuda, cel care-L vânduse, văzând că a fost osândit, căindu-se, a dat înapoi cei treizeci de arginţi arhiereilor şi bătrânilor, 4zicând: Am păcătuit vânzând sânge nevinovat. Iar ei i-au zis: Ce ne priveşte pe noi? Tu vei vedea. 5Şi aruncând el arginţii în templu, a plecat şi, ducându-se,

βόντες τὰ ἀργύρια εἶπον· οὐκ ἔξεστι βαλεῖν
αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵματός ἐστι.
7συμβούλιον δὲ λαβόντες ἠγόρασαν ἐξ αὐτῶν
τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις·
8διὸ ἐκλήθη ὁ ἀγρὸς ἐκεῖνος ἀγρὸς αἵματος
ἕως τῆς σήμερον. 9τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ
Ἰερεμίου τοῦ προφήτου λέγοντος· *καὶ ἔλαβον
τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμη-
μένου ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ,* 10*καὶ
ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως,
καθὰ συνέταξέ μοι Κύριος.*

Ὁ δὲ Ἰησοῦς ἔστη ἔμπροσθεν τοῦ ἡγεμό-
νος· καὶ ἐπηρώτησεν αὐτὸν ὁ ἡγεμὼν
λέγων· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ
Ἰησοῦς ἔφη αὐτῷ· σὺ λέγεις. 12καὶ ἐν τῷ κα-
τηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ
τῶν πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο. 13τότε
λέγει αὐτῷ ὁ Πιλᾶτος· οὐκ ἀκούεις πόσα
σου καταμαρτυροῦσι; 14καὶ οὐκ ἀπεκρίθη
αὐτῷ πρὸς οὐδὲ ἓν ῥῆμα, ὥστε θαυμάζειν
τὸν ἡγεμόνα λίαν. 15Κατὰ δὲ ἑορτὴν εἰώθει
ὁ ἡγεμὼν ἀπολύειν ἕνα τῷ ὄχλῳ δέσμιον, ὃν
ἤθελον. 16εἶχον δὲ τότε δέσμιον ἐπίσημον λε-
γόμενον Βαραββᾶν. 17συνηγμένων οὖν αὐτῶν
εἶπεν αὐτοῖς ὁ Πιλᾶτος· τίνα θέλετε ἀπολύσω
ὑμῖν; Βαραββᾶν ἢ Ἰησοῦν τὸν λεγόμενον Χρι-
στόν; 18ᾔδει γὰρ ὅτι διὰ φθόνον παρέδωκαν
αὐτόν. 19Καθημένου δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος
ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ αὐτοῦ λέγουσα·
μηδὲν σοὶ καὶ τῷ δικαίῳ ἐκείνῳ· πολλὰ γὰρ
ἔπαθον σήμερον κατ' ὄναρ δι' αὐτόν. 20Οἱ δὲ
ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι ἔπεισαν τοὺς
ὄχλους ἵνα αἰτήσωνται τὸν Βαραββᾶν, τὸν δὲ
Ἰησοῦν ἀπολέσωσιν. 21ἀποκριθεὶς δὲ ὁ ἡγεμὼν
εἶπεν αὐτοῖς· τίνα θέλετε ἀπὸ τῶν δύο ἀπολύσω
ὑμῖν; οἱ δὲ εἶπον· Βαραββᾶν. 22λέγει αὐτοῖς ὁ
Πιλᾶτος· τί οὖν ποιήσω Ἰησοῦν τὸν λεγόμενον
Χριστόν; λέγουσιν αὐτῷ πάντες· σταυρωθήτω.

s-a spânzurat. 6Iar arhiereii, luând arginții, au zis: Nu este îngăduit să-i punem în vistieria templului, deoarece sunt preț de sânge. 7Şi ținând ei sfat, au cumpărat cu ei Țarina Olarului, pentru îngroparea străinilor. 8Pentru aceea s-a numit țarina aceea Țarina Sângelui, până în ziua de astăzi. 9Atunci s-a împlinit cuvântul spus de Ieremia proorocul, care zice: *Şi au luat cei treizeci de arginți, prețul Celui prețuit, pe Care L-au prețuit fiii lui Israel,* 10*şi i-au dat pe Țarina Olarului, după cum mi-a poruncit mie Domnul.*

Iar Iisus stătea înaintea guvernatorului. Şi L-a întrebat guvernatorul, zicând: Tu eşti împăratul iudeilor? Iar Iisus i-a spus: Tu zici. 12Şi când era învinuit de către arhierei şi bătrâni, nu răspundea nimic. 13Atunci I-a zis Pilat: Nu auzi câte mărturisesc ei împotriva Ta? 14Şi nu i-a răspuns lui nici un cuvânt, încât guvernatorul se mira foarte. 15Iar la sărbătoare, guvernatorul avea obiceiul să slobozească mulțimii un întemnițat pe care-l voiau. 16Şi aveau atunci un întemnițat vestit, zis Baraba. 17Deci, adunați fiind ei, le-a zis lor Pilat: Pe cine voiți să vi-l slobozesc, pe Baraba sau pe Iisus, Care Se zice Hristos? 18Că ştia că din pizmă L-au dat în mâinile lui. 19Şi stând Pilat pe scaunul de judecată, femeia lui a trimis la el, zicând: Nimic să nu-I faci Dreptului acestuia, că multe am pătimit azi în vis din pricina Lui. 20Şi arhiereii şi bătrânii au înduplecat mulțimile ca să-l ceară pe Baraba, iar pe Iisus să-L piardă. 21Şi răspunzând guvernatorul, le-a zis: Pe cine voiți să vă slobozesc din cei doi? Iar ei au spus: Pe Baraba. 22Le-a zis lor Pilat: Dar ce voi face cu Iisus, Care Se zice Hristos? I-au zis lui toți: Să Se răstignească! 23Iar guvernatorul

23ὁ δὲ ἡγεμὼν ἔφη· τί γὰρ κακὸν ἐποίησεν;
οἱ δὲ περισσῶς ἔκραζον λέγοντες· σταυρω-
θήτω. 24ἰδὼν δὲ ὁ Πιλᾶτος ὅτι οὐδὲν ὠφελεῖ,
ἀλλὰ μᾶλλον θόρυβος γίνεται, λαβὼν ὕδωρ
ἀπενίψατο τὰς χεῖρας ἀπέναντι τοῦ ὄχλου λέ-
γων· ἀθῷός εἰμι ἀπὸ τοῦ αἵματος τοῦ δικαίου
τούτου· ὑμεῖς ὄψεσθε. 25καὶ ἀποκριθεὶς πᾶς
ὁ λαὸς εἶπε· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ
τὰ τέκνα ἡμῶν. 26τότε ἀπέλυσεν αὐτοῖς τὸν
Βαραββᾶν, τὸν δὲ Ἰησοῦν φραγελλώσας πα-
ρέδωκεν ἵνα σταυρωθῇ.

Τότε οἱ στρατιῶται τοῦ ἡγεμόνος παραλα-
βόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον συν-
ήγαγον ἐπ' αὐτὸν ὅλην τὴν σπεῖραν· 28καὶ
ἐκδύσαντες αὐτὸν περιέθηκαν αὐτῷ χλαμύ-
δα κοκκίνην, 29καὶ πλέξαντες στέφανον ἐξ
ἀκανθῶν ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ
καὶ κάλαμον ἐπὶ τὴν δεξιὰν αὐτοῦ, καὶ γο-
νυπετήσαντες ἔμπροσθεν αὐτοῦ ἐνέπαιζον
αὐτῷ λέγοντες· χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαί-
ων· 30καὶ ἐμπτύσαντες εἰς αὐτὸν ἔλαβον τὸν
κάλαμον καὶ ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ.
31καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν
τὴν χλαμύδα καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια
αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι.

Ἐξερχόμενοι δὲ εὗρον ἄνθρωπον Κυρηναῖ-
ον ὀνόματι Σίμωνα· τοῦτον ἠγγάρευσαν
ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ. 33Καὶ ἐλθόντες
εἰς τόπον λεγόμενον Γολγοθᾶ, ὅ ἐστι λεγόμε-
νος κρανίου τόπος, 34ἔδωκαν αὐτῷ πιεῖν ὄξος
μετὰ χολῆς μεμιγμένον· καὶ γευσάμενος οὐκ
ἤθελε πιεῖν. 35σταυρώσαντες δὲ αὐτὸν διεμε-
ρίσαντο τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον·
36καὶ καθήμενοι ἐτήρουν αὐτὸν ἐκεῖ. 37καὶ
ἐπέθηκαν ἐπάνω τῆς κεφαλῆς αὐτοῦ τὴν αἰ-
τίαν αὐτοῦ γεγραμμένην· οὗτός ἐστιν Ἰησοῦς
ὁ βασιλεὺς τῶν Ἰουδαίων. 38Τότε σταυροῦνται
σὺν αὐτῷ δύο λῃσταί, εἷς ἐκ δεξιῶν καὶ εἷς ἐξ
εὐωνύμων. 39Οἱ δὲ παραπορευόμενοι ἐβλα-
σφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν

a zis: Dar ce rău a făcut? Iar ei mai tare
strigau, zicând: Să Se răstignească! 24Şi văzând Pilat că la nimic nu foloseşte, ci mai
mult se face tulburare, luând apă, şi-a spălat mâinile înaintea mulţimii, zicând: Nevinovat sunt de sângele Dreptului acestuia.
Voi veţi vedea. 25Şi răspunzând tot poporul, a zis: Sângele Lui asupra noastră şi
asupra copiilor noştri! 26Atunci le-a slobozit pe Baraba, iar pe Iisus, biciuindu-L,
L-a dat să fie răstignit.

Atunci ostaşii guvernatorului, luându-L
pe Iisus în pretoriu, au adunat în jurul Lui toată cohorta; 28şi dezbrăcându-L,
L-au înfăşurat cu o hlamidă roşie. 29Şi împletind o cunună de spini, I-au pus-o pe
cap, şi trestie în mâna Lui dreaptă; şi îngenunchind înaintea Lui, îşi băteau joc de
El, zicând: Bucură-Te, Împăratul iudeilor!
30Şi scuipând asupra Lui, au luat trestia
şi-L loveau în cap; 31iar după ce L-au batjocorit, L-au dezbrăcat de hlamidă şi L-au
îmbrăcat cu veşmintele Lui şi L-au dus
să-L răstignească.

Şi ieşind, au găsit un om din Cirene, cu
numele Simon; pe acesta l-au silit să-i
ia crucea. 33Şi venind la locul zis Golgota,
care înseamnă Locul Căpăţânii, 34I-au dat
să bea oţet amestecat cu fiere; şi gustând,
nu a voit să bea. 35Apoi, răstignindu-L, au
împărţit hainele Lui, aruncând sorţi; 36şi
şezând, Îl păzeau acolo. 37Şi au pus deasupra capului Lui vina Lui scrisă: Acesta
este Iisus, Împăratul iudeilor. 38Atunci au
fost răstigniţi împreună cu El doi tâlhari,
unul de-a dreapta şi altul de-a stânga. 39Iar
trecătorii Îl huleau, clătinându-şi capetele 40şi zicând: Cel ce dărâmi templul şi în
trei zile îl zideşti! Mântuieşte-Te pe Tine

40καὶ λέγοντες· ὁ καταλύων τὸν ναὸν καὶ ἐν
τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σεαυτόν· εἰ
υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ.
41ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ
τῶν γραμματέων καὶ πρεσβυτέρων καὶ Φαρι-
σαίων ἔλεγον· 42ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ
δύναται σῶσαι· εἰ βασιλεὺς Ἰσραὴλ ἐστι, κατα-
βάτω νῦν ἀπὸ τοῦ σταυροῦ καὶ πιστεύσομεν
ἐπ' αὐτῷ· 43πέποιθεν ἐπὶ τὸν Θεόν, ῥυσάσθω
νῦν αὐτόν, εἰ θέλει αὐτόν· εἶπε γὰρ ὅτι Θεοῦ
εἰμι υἱός. 44τὸ δ' αὐτὸ καὶ οἱ λῃσταὶ οἱ συσταυ-
ρωθέντες αὐτῷ ὠνείδιζον αὐτόν.

Ἀπὸ δὲ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶ-
σαν τὴν γῆν ἕως ὥρας ἐνάτης. 46περὶ δὲ
τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ
μεγάλῃ λέγων· *ἠλὶ ἠλί, λιμᾶ σαβαχθανί;* τοῦτ'
ἔστι, *Θεέ μου Θεέ μου, ἱνατί με ἐγκατέλιπες;*
47τινὲς δὲ τῶν ἐκεῖ ἑστώτων ἀκούσαντες ἔλεγον
ὅτι Ἠλίαν φωνεῖ οὗτος. 48καὶ εὐθέως δραμὼν
εἷς ἐξ αὐτῶν καὶ λαβὼν σπόγγον πλήσας τε
ὄξους καὶ περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν.
49οἱ δὲ λοιποὶ ἔλεγον· ἄφες ἴδωμεν εἰ ἔρχε-
ται Ἠλίας σώσων αὐτόν. 50ὁ δὲ Ἰησοῦς πάλιν
κράξας φωνῇ μεγάλῃ ἀφῆκε τὸ πνεῦμα. 51Καὶ
ἰδοὺ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς
δύο ἀπὸ ἄνωθεν ἕως κάτω, καὶ ἡ γῆ ἐσείσθη
καὶ αἱ πέτραι ἐσχίσθησαν, 52καὶ τὰ μνημεῖα
ἀνεῴχθησαν καὶ πολλὰ σώματα τῶν κεκοιμη-
μένων ἁγίων ἠγέρθη, 53καὶ ἐξελθόντες ἐκ τῶν
μνημείων, μετὰ τὴν ἔγερσιν αὐτοῦ εἰσῆλθον
εἰς τὴν ἁγίαν πόλιν καὶ ἐνεφανίσθησαν πολ-
λοῖς. 54Ὁ δὲ ἑκατόνταρχος καὶ οἱ μετ' αὐτοῦ
τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν
καὶ τὰ γενόμενα ἐφοβήθησαν σφόδρα λέγον-
τες· ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος. 55Ἦσαν δὲ
ἐκεῖ καὶ γυναῖκες πολλαὶ ἀπὸ μακρόθεν θεω-
ροῦσαι, αἵτινες ἠκολούθησαν τῷ Ἰησοῦ ἀπὸ
τῆς Γαλιλαίας διακονοῦσαι αὐτῷ· 56ἐν αἷς ἦν
Μαρία ἡ Μαγδαληνή, καὶ Μαρία ἡ τοῦ Ἰα-

Însuți; dacă eşti Fiul lui Dumnezeu, co-
boară-Te de pe cruce! 41Asemenea şi ar-
hiereii, batjocorindu-L, cu cărturarii şi
bătrânii şi fariseii, ziceau: 42Pe alții i-a
mântuit, dar pe Sine nu Se poate mân-
tui! Dacă este Împăratul lui Israel, să Se
coboare acum de pe cruce, şi vom crede
în El; 43S-a încrezut în Dumnezeu, să-L
scape acum, dacă-L vrea pe El! Căci a
zis: Sunt Fiul lui Dumnezeu. 44În acelaşi
chip Îl ocărau şi tâlharii cei răstigniți îm-
preună cu El.

Iar de la ceasul al şaselea s-a făcut întune-
ric peste tot pământul, până la ceasul al
nouălea. 46Iar pe la ceasul al nouălea a
strigat Iisus cu glas mare, zicând: *Elí, Elí,*
limá sabahtaní? adică: *Dumnezeul Meu,*
Dumnezeul Meu, pentru ce M-ai părăsit? 47Iar unii dintre cei care stăteau aco-
lo, auzind, ziceau: Pe Ilie îl strigă Acesta.
48Şi îndată alergând unul dintre ei, luând
un buretc şi înmuindu-l în oțet, l-a pus
într-o trestie şi I-a dat să bea. 49Iar cei-
lalți ziceau: Lasă, să vedem dacă vine Ilie
să-L mântuiască. 50Iar Iisus, iarăşi stri-
gând cu glas mare, Şi-a dat duhul. 51Şi ia-
tă, catapeteasma templului s-a despicat
în două de sus până jos, şi pământul s-a
cutremurat şi stâncile s-au despicat; 52şi
mormintele s-au deschis, şi multe trupuri
ale sfinților adormiți au înviat 53şi, ieşind
din morminte, după învierea Lui au in-
trat în sfânta cetate şi s-au arătat multo-
ra. 54Iar sutaşul şi cei ce împreună cu el
Îl păzeau pe Iisus, văzând cutremurul şi
cele întâmplate, s-au înfricoşat foarte, zi-
când: Cu adevărat, Fiul lui Dumnezeu a
fost Acesta! 55Şi erau acolo şi multe femei
privind de departe, care urmaseră lui Iisus
din Galileea, slujindu-I; 56între care erau

κώβου καὶ Ἰωσῆ μήτηρ, καὶ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου.

Ὀψίας δὲ γενομένης ἦλθεν ἄνθρωπος πλούσιος ἀπὸ Ἀριμαθαίας, τοὔνομα Ἰωσήφ, ὃς καὶ αὐτὸς ἐμαθήτευσε τῷ Ἰησοῦ· 58οὗτος προσελθὼν τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. τότε ὁ Πιλᾶτος ἐκέλευσεν ἀποδοθῆναι τὸ σῶμα. 59καὶ λαβὼν τὸ σῶμα ὁ Ἰωσὴφ ἐνετύλιξεν αὐτὸ σινδόνι καθαρᾷ, 60καὶ ἔθηκεν αὐτὸ ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ ὃ ἐλατόμησεν ἐν τῇ πέτρᾳ, καὶ προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου ἀπῆλθεν. 61Ἦν δὲ ἐκεῖ Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου.

Τῇ δὲ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν, συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι πρὸς Πιλᾶτον 63λέγοντες· κύριε, ἐμνήσθημεν ὅτι ἐκεῖνος ὁ πλάνος εἶπεν ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἐγείρομαι. 64κέλευσον οὖν ἀσφαλισθῆναι τὸν τάφον ἕως τῆς τρίτης ἡμέρας, μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτὸν καὶ εἴπωσι τῷ λαῷ, ἠγέρθη ἀπὸ τῶν νεκρῶν· καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης. 65ἔφη αὐτοῖς ὁ Πιλᾶτος· ἔχετε κουστωδίαν· ὑπάγετε ἀσφαλίσασθε ὡς οἴδατε. 66οἱ δὲ πορευθέντες ἠσφαλίσαντο τὸν τάφον σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας.

Maria Magdalena şi Maria, mama lui Iacov şi a lui Iosi, şi mama fiilor lui Zevedeu.

Si făcându-se seară, a venit un om bogat din Arimateea, cu numele Iosif, care şi el era ucenic al lui Iisus. 58Acesta, ducându-se la Pilat, a cerut trupul lui Iisus. Atunci Pilat a poruncit să i se dea trupul. 59Şi luând trupul, Iosif l-a înfăşurat în giulgiu curat 60şi l-a pus în mormântul cel nou al său, pe care-l săpase în stâncă, şi, prăvălind o piatră mare la uşa mormântului, a plecat. 61Şi erau acolo Maria Magdalena şi cealaltă Marie, şezând în faţa mormântului.

Iar a doua zi, care este după vineri, s-au adunat arhiereii şi fariseii la Pilat, 63zicând: Doamne, ne-am adus aminte că amăgitorul Acela a spus, încă fiind în viaţă: După trei zile Mă voi scula. 64Porunceşte, dar, să fie păzit mormântul până a treia zi, ca nu cumva, venind ucenicii Lui noaptea, să-L fure şi să spună poporului: S-a sculat din morţi; şi va fi rătăcirea de pe urmă mai rea decât cea dintâi. 65Le-a zis lor Pilat: Aveţi strajă; mergeţi şi păziţi cum ştiţi. 66Iar ei, ducându-se, au pus strajă la mormânt şi au pecetluit piatra.

Κεφάλαιον ΚΗ΄

Ὀψὲ δὲ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδαληνὴ καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον. 2καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας· ἄγγελος γὰρ Κυρίου καταβὰς ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας καὶ ἐκάθητο

Capitolul 28

În noaptea sâmbetei, când se lumina spre ziua dintâi a săptămânii, au venit Maria Magdalena şi cealaltă Marie, ca să vadă mormântul. 2Şi iată, s-a făcut cutremur mare; căci îngerul Domnului, coborând din cer, venind, a prăvălit piatra de la uşă şi

ἐπάνω αὐτοῦ. 3ἦν δὲ ἡ ἰδέα αὐτοῦ ὡς ἀστραπὴ
καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡσεὶ χιών. 4ἀπὸ
δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες
καὶ ἐγένοντο ὡσεὶ νεκροί. 5ἀποκριθεὶς δὲ ὁ
ἄγγελος εἶπε ταῖς γυναιξί· μὴ φοβεῖσθε ὑμεῖς·
οἶδα γὰρ ὅτι Ἰησοῦν τὸν ἐσταυρωμένον ζητεῖτε·
6οὐκ ἔστιν ὧδε· ἠγέρθη γὰρ καθὼς εἶπε. δεῦτε
ἴδετε τὸν τόπον ὅπου ἔκειτο ὁ Κύριος. 7καὶ
ταχὺ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ
ὅτι ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ ἰδοὺ προάγει
ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε·
ἰδοὺ εἶπον ὑμῖν. 8καὶ ἐξελθοῦσαι ταχὺ ἀπὸ
τοῦ μνημείου μετὰ φόβου καὶ χαρᾶς με-
γάλης ἔδραμον ἀπαγγεῖλαι τοῖς μαθηταῖς
αὐτοῦ. 9ὡς δὲ ἐπορεύοντο ἀπαγγεῖλαι τοῖς
μαθηταῖς αὐτοῦ, καὶ ἰδοὺ Ἰησοῦς ἀπήντησεν
αὐταῖς λέγων· χαίρετε. αἱ δὲ προσελθοῦσαι
ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ προσεκύ-
νησαν αὐτῷ. 10τότε λέγει αὐταῖς ὁ Ἰησοῦς· μὴ
φοβεῖσθε· ὑπάγετε ἀπαγγείλατε τοῖς ἀδελφοῖς
μου ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν, κἀκεῖ
με ὄψονται.

Πορευομένων δὲ αὐτῶν ἰδού τινες τῆς κου-
στωδίας ἐλθόντες εἰς τὴν πόλιν ἀπήγγει-
λαν τοῖς ἀρχιερεῦσιν ἅπαντα τὰ γενόμενα.
12καὶ συναχθέντες μετὰ τῶν πρεσβυτέρων
συμβούλιόν τε λαβόντες ἀργύρια ἱκανὰ ἔδω-
καν τοῖς στρατιώταις λέγοντες· 13εἴπατε ὅτι
οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν
αὐτὸν ἡμῶν κοιμωμένων. 14καὶ ἐὰν ἀκουσθῇ
τοῦτο ἐπὶ τοῦ ἡγεμόνος, ἡμεῖς πείσομεν αὐτὸν
καὶ ὑμᾶς ἀμερίμνους ποιήσομεν. 15οἱ δὲ λαβόν-
τες τὰ ἀργύρια ἐποίησαν ὡς ἐδιδάχθησαν. καὶ
διεφημίσθη ὁ λόγος οὗτος παρὰ Ἰουδαίοις μέ-
χρι τῆς σήμερον.

Οἱ δὲ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν
Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς
ὁ Ἰησοῦς. 17καὶ ἰδόντες αὐτὸν προσεκύνησαν
αὐτῷ, οἱ δὲ ἐδίστασαν. 18καὶ προσελθὼν ὁ Ἰη-
σοῦς ἐλάλησεν αὐτοῖς λέγων· ἐδόθη μοι πᾶσα

şedea deasupra ei. 3Şi înfăţişarea lui era
ca fulgerul şi îmbrăcămintea lui albă ca
zăpada. 4Şi de frica lui s-au cutremurat
cei ce păzeau şi s-au făcut ca morţi. 5 Şi
răspunzând îngerul, a zis femeilor: Nu vă
temeţi; căci ştiu că pe Iisus cel răstignit Îl
căutaţi. 6Nu este aici; căci a înviat precum
a zis. Veniţi de vedeţi locul unde a zăcut
Domnul. 7Şi degrabă mergând, spuneţi
ucenicilor Lui că a înviat din morţi şi iată,
merge înaintea voastră în Galileea; acolo
Îl veţi vedea. Iată, v-am spus vouă. 8Şi
ieşind ele degrabă din mormânt, cu frică
şi bucurie mare au alergat să vestească
ucenicilor Lui. 9Şi când mergeau ele să
vestească ucenicilor Lui, iată, Iisus le-a
întâmpinat, zicând: Bucuraţi-vă! Iar ele,
apropiindu-se, au cuprins picioarele Lui
şi I s-au închinat. 10Atunci le-a zis Iisus:
Nu vă temeţi. Duceţi-vă, vestiţi fraţilor
Mei să meargă în Galileea, şi acolo Mă
vor vedea.

Şi plecând ele, iată, unii din strajă, ve-
nind în cetate, au vestit arhiereilor
toate cele întâmplate. 12Şi, adunându-se ei
împreună cu bătrânii şi ţinând sfat, au dat
arginţi mulţi ostaşilor, zicând: 13Spuneţi că
ucenicii Lui, venind noaptea, L-au furat,
pe când noi dormeam; 14Şi de se va auzi
aceasta la guvernator, noi îl vom înduplе-
ca şi pe voi fără grijă vă vom face. 15Iar ei,
luând arginţii, au făcut precum au fost în-
văţaţi. Şi s-a răspândit cuvântul acesta în-
tre iudei, până în ziua de astăzi.

Iar cei unsprezece ucenici au mers în Ga-
lileea, în muntele unde le poruncise lor
Iisus. 17Şi văzându-L, I s-au închinat, dar
unii s-au îndoit. 18Şi apropiindu-Se Iisus,
le-a vorbit lor, zicând: Datu-Mi-s-a toată

ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. 19πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, 20διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. ἀμήν.

puterea, în cer şi pe pământ. 19Mergând, învăţaţi toate neamurile, botezându-le în numele Tatălui şi al Fiului şi al Sfântului Duh, 20învăţându-le să păzească toate câte v-am poruncit vouă; şi iată, Eu cu voi sunt în toate zilele, până la sfârşitul veacului. Amin.

ὁ ἅγ
ΜΑΡΚΟϹ

Κεφάλαιον Α΄

Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ, υἱοῦ τοῦ Θεοῦ. 2 Ὡς γέγραπται ἐν τοῖς προφήταις, *ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου·* 3 *φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ,* 4 ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. 5 καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα καὶ οἱ Ἱεροσολυμῖται, καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ᾽ αὐτοῦ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. 6 ἦν δὲ ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον. 7 καὶ ἐκήρυσσε λέγων· ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. 8 ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι Ἁγίῳ.

Capitolul 1

Începutul Evangheliei lui Iisus Hristos, Fiul lui Dumnezeu. 2 Precum este scris în Proorocii: *Iată, Eu trimit îngerul Meu înaintea feței Tale, care va găti calea Ta înaintea Ta;* 3 *glasul celui ce strigă în pustie: Gătiți calea Domnului, drepte faceți cărările Lui,* 4 fost-a Ioan botezând în pustie și propovăduind botezul pocăinței spre iertarea păcatelor. 5 Și ieșeau la el tot ținutul Iudeii și ierusalimitenii și se botezau toți în râul Iordan de către el, mărturisindu-și păcatele. 6 Și era Ioan îmbrăcat în păr de cămilă și cu cingătoare de piele peste mijloc, mâncând lăcuste și miere sălbatică. 7 Și propovăduia, zicând: Vine după mine Cel mai tare decât mine, Căruia nu sunt vrednic, plecându-mă, să-I dezleg cureaua încălțămintelor. 8 Eu v-am botezat pe voi în apă, El însă vă va boteza în Duh Sfânt.

Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις ἦλθεν
ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας καὶ
ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην.
10καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος εἶδε
σχιζομένους τοὺς οὐρανοὺς καὶ τὸ Πνεῦμα ὡς
περιστερὰν καταβαῖνον ἐπ' αὐτόν· 11καὶ φωνὴ
ἐγένετο ἐκ τῶν οὐρανῶν· σὺ εἶ ὁ υἱός μου ὁ
ἀγαπητός, ἐν σοὶ ηὐδόκησα.
Καὶ εὐθέως τὸ Πνεῦμα αὐτὸν ἐκβάλλει εἰς
τὴν ἔρημον· 13καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέ-
ρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ σα-
τανᾶ, καὶ ἦν μετὰ τῶν θηρίων, καὶ οἱ ἄγγελοι
διηκόνουν αὐτῷ.
Μετὰ δὲ τὸ παραδοθῆναι Ἰωάννην ἦλθεν ὁ
Ἰησοῦς εἰς τὴν Γαλιλαίαν κηρύσσων τὸ
εὐαγγέλιον τῆς βασιλείας τοῦ Θεοῦ 15καὶ λέ-
γων ὅτι πεπλήρωται ὁ καιρὸς καὶ ἤγγικεν ἡ
βασιλεία τοῦ Θεοῦ· μετανοεῖτε καὶ πιστεύετε
ἐν τῷ εὐαγγελίῳ.
Περιπατῶν δὲ παρὰ τὴν θάλασσαν τῆς Γαλι-
λαίας εἶδε Σίμωνα καὶ Ἀνδρέαν τὸν ἀδελ-
φὸν αὐτοῦ τοῦ Σίμωνος, βάλλοντας ἀμφίβλη-
στρον ἐν τῇ θαλάσσῃ· ἦσαν γὰρ ἁλιεῖς· 17καὶ
εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· δεῦτε ὀπίσω μου, καὶ
ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων. 18καὶ
εὐθέως ἀφέντες τὰ δίκτυα αὐτῶν ἠκολούθη-
σαν αὐτῷ. 19Καὶ προβὰς ἐκεῖθεν ὀλίγον εἶδεν
Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν
ἀδελφὸν αὐτοῦ, καὶ αὐτοὺς ἐν τῷ πλοίῳ κα-
ταρτίζοντας τὰ δίκτυα, 20καὶ εὐθέως ἐκάλεσεν
αὐτούς. καὶ ἀφέντες τὸν πατέρα αὐτῶν Ζεβε-
δαῖον ἐν τῷ πλοίῳ μετὰ τῶν μισθωτῶν ἀπῆλ-
θον ὀπίσω αὐτοῦ.
Καὶ εἰσπορεύονται εἰς Καπερναούμ· καὶ εὐ-
θέως τοῖς σάββασιν εἰσελθὼν εἰς τὴν συ-
αγωγὴν ἐδίδασκε. 22καὶ ἐξεπλήσσοντο ἐπὶ
τῇ διδαχῇ αὐτοῦ· ἦν γὰρ διδάσκων αὐτοὺς
ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς.
23Καὶ ἦν ἐν τῇ συναγωγῇ αὐτῶν ἄνθρωπος
ἐν πνεύματι ἀκαθάρτῳ, καὶ ἀνέκραξε 24λέ-

Și a fost în zilele acelea că a venit Iisus
din Nazaretul Galileii şi S-a botezat
în Iordan de către Ioan. 10Şi îndată ieşind
din apă, a văzut cerurile despicându-se şi
Duhul ca un porumbel pogorându-Se pes-
te El. 11Şi glas s-a făcut din ceruri: Tu eşti
Fiul Meu cel iubit, întru Tine am binevoit.

Și îndată Duhul L-a scos în pustie; 13şi
a fost acolo în pustie patruzeci de zile,
fiind ispitit de satana, şi era împreună cu
fiarele şi îngerii Îi slujeau.

După ce Ioan a fost prins, Iisus a ve-
nit în Galileea, propovăduind Evan-
ghelia Împărăției lui Dumnezeu; 15şi zi-
când: Plinitu-s-a vremea şi s-a apropiat
Împărăția lui Dumnezeu; pocăiți-vă şi cre-
deți în Evanghelie.
Și umblând pe lângă Marea Galileii, a
văzut pe Simon şi pe Andrei, fratele
lui Simon, aruncând năvodul în mare,
căci erau pescari. 17Şi le-a zis Iisus: Veniți
după Mine şi vă voi face să fiți pescari de
oameni. 18Şi îndată, lăsând mrejele, au ur-
mat Lui. 19Şi mai mergând de acolo puțin,
a văzut pe Iacov al lui Zevedeu şi pe Ioan,
fratele lui, şi pe aceştia în corabie, dre-
gând mrejele, 20şi îndată i-a chemat. Iar
ei, lăsând pe tatăl lor Zevedeu în corabie,
cu cei năimiți, s-au dus după El.

Și au mers în Capernaum; şi îndată, in-
trând sâmbăta în sinagogă, a început
să învețe. 22Şi erau uimiți de învățătura
Lui; căci îi învăța pe ei ca Unul Care are
putere, şi nu precum cărturarii. 23Şi era
în sinagoga lor un om cu duh necurat, şi
a strigat tare, 24zicând: Ei, ce este nouă şi

γων· ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ;
ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος
τοῦ Θεοῦ. 25καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς
λέγων· φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ. 26καὶ
σπαράξαν αὐτὸν τὸ πνεῦμα τὸ ἀκάθαρτον
καὶ κράξαν φωνῇ μεγάλῃ ἐξῆλθεν ἐξ αὐτοῦ.
27καὶ ἐθαμβήθησαν πάντες, ὥστε συζητεῖν
πρὸς ἑαυτοὺς λέγοντας· τί ἐστι τοῦτο; τίς ἡ δι-
δαχὴ ἡ καινὴ αὕτη, ὅτι κατ' ἐξουσίαν καὶ τοῖς
πνεύμασι τοῖς ἀκαθάρτοις ἐπιτάσσει, καὶ ὑπα-
κούουσιν αὐτῷ; 28καὶ ἐξῆλθεν ἡ ἀκοὴ αὐτοῦ
εὐθὺς εἰς ὅλην τὴν περίχωρον τῆς Γαλιλαίας.
Καὶ εὐθέως ἐκ τῆς συναγωγῆς ἐξελθόντες
ἦλθον εἰς τὴν οἰκίαν Σίμωνος καὶ Ἀνδρέου
μετὰ Ἰακώβου καὶ Ἰωάννου. 30ἡ δὲ πενθερὰ
Σίμωνος κατέκειτο πυρέσσουσα. καὶ εὐθέως
λέγουσιν αὐτῷ περὶ αὐτῆς. 31καὶ προσελθὼν
ἤγειρεν αὐτὴν κρατήσας τῆς χειρὸς αὐτῆς, καὶ
ἀφῆκεν αὐτὴν ὁ πυρετὸς εὐθέως, καὶ διηκόνει
αὐτοῖς. 32 Ὀψίας δὲ γενομένης, ὅτε ἔδυ ὁ ἥλι-
ος, ἔφερον πρὸς αὐτὸν πάντας τοὺς κακῶς
ἔχοντας καὶ τοὺς δαιμονιζομένους· 33καὶ ἦν
ἡ πόλις ὅλη ἐπισυνηγμένη πρὸς τὴν θύραν·
34καὶ ἐθεράπευσε πολλοὺς κακῶς ἔχοντας
ποικίλαις νόσοις, καὶ δαιμόνια πολλὰ ἐξέβαλε,
καὶ οὐκ ἤφιε λαλεῖν τὰ δαιμόνια, ὅτι ᾔδεισαν
αὐτὸν Χριστὸν εἶναι.
Καὶ πρωῒ ἔννυχα λίαν ἀναστὰς ἐξῆλθε καὶ
ἀπῆλθεν εἰς ἔρημον τόπον, κἀκεῖ προσηύ-
χετο. 36καὶ κατεδίωξαν αὐτὸν ὁ Σίμων καὶ οἱ
μετ' αὐτοῦ, 37καὶ εὑρόντες αὐτὸν λέγουσιν αὐ-
τῷ ὅτι πάντες σε ζητοῦσι. 38καὶ λέγει αὐτοῖς·
ἄγωμεν εἰς τὰς ἐχομένας κωμοπόλεις, ἵνα καὶ
ἐκεῖ κηρύξω· εἰς τοῦτο γὰρ ἐξελήλυθα. 39καὶ
ἦν κηρύσσων ἐν ταῖς συναγωγαῖς αὐτῶν εἰς
ὅλην τὴν Γαλιλαίαν καὶ τὰ δαιμόνια ἐκβάλλων.
Καὶ ἔρχεται πρὸς αὐτὸν λεπρὸς παρακα-
λῶν αὐτὸν καὶ γονυπετῶν αὐτὸν καὶ λέγων
αὐτῷ ὅτι ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.
41ὁ δὲ Ἰησοῦς σπλαγχνισθείς, ἐκτείνας τὴν

Ție, Iisuse Nazarinene? Ai venit ca să ne
pierzi? Te ştiu Cine eşti: Sfântul lui Dum-
nezeu. 25Şi Iisus l-a certat, zicând: Taci şi
ieşi din el. 26Şi scuturându-l duhul cel ne-
curat şi strigând cu glas mare, a ieşit din el.
27Şi s-au spăimântat toţi, încât se întrebau
între ei, zicând: Ce este aceasta? Ce este
învăţătura aceasta nouă, că şi duhurilor
necurate le porunceşte cu putere şi Îl as-
cultă? 28Şi a ieşit vestea despre El îndată
în toată împrejurimea Galileii.

Şi îndată ieşind din sinagogă, au venit
în casa lui Simon şi a lui Andrei, cu
Iacov şi cu Ioan. 30Iar soacra lui Simon zăcea aprinsă de friguri. Şi îndată I-au vorbit
despre ea. 31Şi apropiindu-Se, a ridicat-o,
ţinând-o de mână. Şi au lăsat-o friguri-
le îndată şi le slujea lor. 32Şi făcându-se
seară, când apusese soarele, au început
să aducă la El pe toţi cei ce se aflau în
suferinţe şi pe îndrăciţi; 33şi era cetatea
toată adunată la uşă. 34Şi a tămăduit pe
mulţi care pătimeau de felurite boli şi
draci mulţi a scos; şi nu-i lăsa pe draci să
vorbească, că Îl ştiau pe El că este Hristos.
Şi dimineaţă, foarte de noapte sculân-
du-Se, a ieşit şi a plecat într-un loc
pustiu, şi Se ruga acolo. 36Şi au mers să-L
caute Simon şi cei dimpreună cu el. 37Şi
aflându-L, I-au zis: Toţi Te caută. 38Şi le-a
zis lor: Să mergem în târgurile învecina-
te, ca să propovăduiesc şi acolo; căci pen-
tru aceasta am ieşit. 39Şi propovăduia în
sinagogile lor, în toată Galileea, şi-i sco-
tea pe draci.
Şi a venit la El un lepros, rugându-L şi
îngenunchind în faţa Lui şi zicându-I:
Dacă voieşti, poţi să mă curăţeşti. 41Iar
Iisus, milostivindu-Se, a întins mâna, S-a

χεῖρα ἥψατο αὐτοῦ καὶ λέγει αὐτῷ· θέλω, καθαρίσθητι. 42καὶ εἰπόντος αὐτοῦ εὐθέως ἀπῆλθεν ἀπ' αὐτοῦ ἡ λέπρα, καὶ ἐκαθαρίσθη. 43καὶ ἐμβριμησάμενος αὐτῷ εὐθέως ἐξέβαλεν αὐτὸν καὶ λέγει αὐτῷ· 44ὅρα μηδενὶ μηδὲν εἴπῃς, ἀλλ' ὕπαγε σεαυτὸν δεῖξον τῷ ἱερεῖ καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου ἃ προσέταξε Μωϋσῆς εἰς μαρτύριον αὐτοῖς. 45ὁ δὲ ἐξελθὼν ἤρξατο κηρύσσειν πολλὰ καὶ διαφημίζειν τὸν λόγον, ὥστε μηκέτι αὐτὸν δύνασθαι φανερῶς εἰς πόλιν εἰσελθεῖν, ἀλλ' ἔξω ἐν ἐρήμοις τόποις ἦν· καὶ ἤρχοντο πρὸς αὐτὸν πανταχόθεν.

atins de el şi i-a zis: Voiesc, curăţeşte-te. 42Şi zicând El acestea, îndată s-a dus lepra de la el şi s-a curăţit. 43Şi vorbindu-i cu asprime, îndată l-a scos afară şi i-a zis: 44Vezi, nimănui să nu spui nimic, ci mergi de te arată preotului şi adu, pentru curăţirea ta, cele ce a rânduit Moise, spre mărturie lor. 45El însă, ieşind, a început să propovăduiască multe şi să răspândească cuvântul, încât Iisus nu mai putea să intre pe faţă în cetate, ci stătea afară, în locuri pustii; şi veneau la El de pretutindeni.

Κεφάλαιον Β΄

Καὶ εἰσῆλθε πάλιν εἰς Καπερναοὺμ δι' ἡμερῶν καὶ ἠκούσθη ὅτι εἰς οἶκόν ἐστι. 2καὶ εὐθέως συνήχθησαν πολλοί, ὥστε μηκέτι χωρεῖν μηδὲ τὰ πρὸς τὴν θύραν· καὶ ἐλάλει αὐτοῖς τὸν λόγον. 3καὶ ἔρχονται πρὸς αὐτὸν παραλυτικὸν φέροντες, αἰρόμενον ὑπὸ τεσσάρων· 4καὶ μὴ δυνάμενοι προσεγγίσαι αὐτῷ διὰ τὸν ὄχλον, ἀπεστέγασαν τὴν στέγην ὅπου ἦν, καὶ ἐξορύξαντες χαλῶσι τὸν κράβαττον, ἐφ' ᾧ ὁ παραλυτικὸς κατέκειτο. 5Ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ· τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. 6ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι καὶ διαλογιζόμενοι ἐν ταῖς καρδίαις αὐτῶν· 7τί οὗτος οὕτω λαλεῖ βλασφημίας; τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ εἷς ὁ Θεός; 8καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ ὅτι οὕτως αὐτοὶ διαλογίζονται ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς· τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; 9τί ἐστιν εὐκοπώτερον, εἰπεῖν τῷ παραλυτικῷ, ἀφέωνταί σου αἱ ἁμαρτίαι, ἢ εἰπεῖν, ἔγειρε καὶ ἆρον τὸν κράβαττόν σου καὶ

Capitolul 2

Şi a intrat iarăşi în Capernaum după câteva zile şi s-a auzit că este în casă. 2Şi îndată s-au adunat mulţi, încât nu mai încăpeau nici înaintea uşii; şi le grăia lor cuvântul. 3Şi au venit la El, aducând un paralitic, purtat de patru. 4Şi neputând ei să se apropie de El din pricina mulţimii, au desfăcut acoperişul unde era şi, spărgând, au lăsat în jos patul în care zăcea paraliticul. 5Şi văzând Iisus credinţa lor, i-a zis paraliticului: Fiule, iertate îţi sunt păcatele tale! 6Şi erau acolo unii dintre cărturari, care şedeau şi cugetau în inimile lor: 7Pentru ce Acesta grăieşte hule astfel? Cine poate să ierte păcatele, fără numai Unul Dumnezeu? 8Şi îndată cunoscând Iisus cu duhul Lui că aşa cugetau ei în sine, le-a zis: De ce cugetaţi acestea în inimile voastre? 9Ce este mai lesne: a zice paraliticului: Iertate îţi sunt păcatele, sau a zice: Scoală-te, ridică-ţi patul tău şi umblă? 10Dar ca să ştiţi că putere are Fiul

περιπάτει; 10ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ
υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἐπὶ τῆς γῆς ἁμαρ-
τίας –λέγει τῷ παραλυτικῷ· 11σοὶ λέγω, ἔγειρε
καὶ ἆρον τὸν κράβαττόν σου καὶ ὕπαγε εἰς τὸν
οἶκόν σου. 12καὶ ἠγέρθη εὐθέως, καὶ ἄρας τὸν
κράβαττον ἐξῆλθεν ἐναντίον πάντων, ὥστε
ἐξίστασθαι πάντας καὶ δοξάζειν τὸν Θεὸν
λέγοντας ὅτι οὐδέποτε οὕτως εἴδομεν.

Καὶ ἐξῆλθε πάλιν παρὰ τὴν θάλασσαν· καὶ
πᾶς ὁ ὄχλος ἤρχετο πρὸς αὐτόν, καὶ ἐδί-
δασκεν αὐτούς. 14Καὶ παράγων εἶδε Λευὶν
τὸν τοῦ Ἁλφαίου, καθήμενον ἐπὶ τὸ τελώνιον,
καὶ λέγει αὐτῷ· ἀκολούθει μοι. καὶ ἀναστὰς
ἠκολούθησεν αὐτῷ. 15καὶ ἐγένετο ἐν τῷ κατα-
κεῖσθαι αὐτὸν ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ πολλοὶ
τελῶναι καὶ ἁμαρτωλοὶ συνανέκειντο τῷ Ἰη-
σοῦ καὶ τοῖς μαθηταῖς αὐτοῦ· ἦσαν γὰρ πολλοί,
καὶ ἠκολούθησαν αὐτῷ. 16καὶ οἱ γραμματεῖς
καὶ οἱ Φαρισαῖοι ἰδόντες αὐτὸν ἐσθίοντα μετὰ
τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἔλεγον τοῖς μα-
θηταῖς αὐτοῦ· τί ὅτι μετὰ τῶν τελωνῶν καὶ
ἁμαρτωλῶν ἐσθίει καὶ πίνει; 17καὶ ἀκούσας
ὁ Ἰησοῦς λέγει αὐτοῖς· οὐ χρείαν ἔχουσιν οἱ
ἰσχύοντες ἰατροῦ, ἀλλ᾽ οἱ κακῶς ἔχοντες· οὐκ
ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς
εἰς μετάνοιαν.

Καὶ ἦσαν οἱ μαθηταὶ Ἰωάννου καὶ οἱ τῶν
Φαρισαίων νηστεύοντες. καὶ ἔρχονται
καὶ λέγουσιν αὐτῷ· διατί οἱ μαθηταὶ Ἰωάννου
καὶ οἱ τῶν Φαρισαίων νηστεύουσιν, οἱ δὲ σοὶ
μαθηταὶ οὐ νηστεύουσι; 19καὶ εἶπεν αὐτοῖς ὁ
Ἰησοῦς· μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος,
ἐν ᾧ ὁ νυμφίος μετ᾽ αὐτῶν ἐστι, νηστεύειν;
ὅσον χρόνον μεθ᾽ ἑαυτῶν ἔχουσι τὸν νυμφί-
ον, οὐ δύνανται νηστεύειν. 20ἐλεύσονται δὲ
ἡμέραι ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος,
καὶ τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέ-
ραις. 21οὐδεὶς ἐπίβλημα ῥάκους ἀγνάφου ἐπιρ-
ράπτει ἐπὶ ἱματίῳ παλαιῷ· εἰ δὲ μήγε, αἴρει
τὸ πλήρωμα αὐτοῦ, τὸ καινὸν τοῦ παλαιοῦ,

Omului a iertat păcatele pe pământ, a zis
paraliticului: 11Zic ţie: Scoală-te, ia-ţi pa-
tul tău şi mergi la casa ta. 12Şi s-a sculat
îndată şi, ridicându-şi patul, a ieşit în faţa
tuturor, încât erau toţi uimiţi şi slăveau
pe Dumnezeu, zicând: Niciodată n-am
văzut aşa ceva.

Şi a ieşit iarăşi la mare; şi toată mulţi-
mea venea la El, iar El îi învăţa. 14Şi
trecând, a văzut pe Levi al lui Alfeu, care
şedea la vamă, şi i-a zis: Urmează Mie! Iar
el, sculându-se, a urmat Lui. 15Şi a fost,
când şedea El în casa aceluia, că mulţi va-
meşi şi păcătoşi şedeau la masă cu Iisus şi
cu ucenicii Lui; căci erau mulţi şi urma-
seră Lui. 16Iar cărturarii şi fariseii, văzân-
du-L că mănâncă împreună cu vameşii şi
păcătoşii, ziceau către ucenicii Lui: De ce
mănâncă şi bea cu vameşii şi păcătoşii?
17Şi auzind, Iisus le-a zis: Nu cei în pute-
re au trebuinţă de doctor, ci cei bolnavi;
n-am venit să chem pe drepţi, ci pe păcă-
toşi la pocăinţă.

Ucenicii lui Ioan şi ai fariseilor posteau.
Şi au venit şi I-au zis: De ce ucenicii
lui Ioan şi ai fariseilor postesc, iar ucени-
cii Tăi nu postesc? 19Şi Iisus le-a zis: Pot,
oare, fiii cămării de nuntă să postească
câtă vreme este mirele cu ei? Câtă vre-
me au pe mire cu ei, nu pot să postească.
20Dar vor veni zile când va fi luat mire-
le de la ei şi atunci vor posti, în acele zile.
21Nimeni nu coase petic de pânză nouă
la haină veche; altminteri, adaosul trage
de ea, noul de vechi, şi se face o ruptură
şi mai rea. 22Şi nimeni nu pune vin nou
în burdufuri vechi, altminteri, vinul nou

καὶ χεῖρον σχίσμα γίνεται. 22καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μή, ῥήσσει ὁ οἶνος ὁ νέος τοὺς ἀσκούς, καὶ ὁ οἶνος ἐκχεῖται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον.

Καὶ ἐγένετο παραπορεύεσθαι αὐτὸν ἐν τοῖς σάββασι διὰ τῶν σπορίμων, καὶ ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν τίλλοντες τοὺς στάχυας. 24καὶ οἱ Φαρισαῖοι ἔλεγον αὐτῷ· ἴδε τί ποιοῦσιν ἐν τοῖς σάββασιν ὃ οὐκ ἔξεστι. 25καὶ αὐτὸς ἔλεγεν αὐτοῖς· οὐδέποτε ἀνέγνωτε τί ἐποίησε Δαυὶδ ὅτε χρείαν ἔσχε καὶ ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; 26πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ ἀρχιερέως καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ τοῖς ἱερεῦσι, καὶ ἔδωκε καὶ τοῖς σὺν αὐτῷ οὖσι; 27καὶ ἔλεγεν αὐτοῖς· τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον· 28ὥστε κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

sparge burdufurile şi vinul se varsă şi burdufurile se strică; ci vinul nou trebuie pus în burdufuri noi.

Şi a fost, când mergea El într-o sâmbătă prin semănături, că ucenicii Lui, în drumul lor, au început să smulgă spice. 24Şi fariseii Îi ziceau: Vezi ce fac sâmbăta: ce nu este îngăduit. 25Şi El le-a zis: Niciodată n-aţi citit ce a făcut David când a avut trebuinţă şi a flămânzit, el şi cei ce erau cu el? 26Cum a intrat în casa lui Dumnezeu, în zilele lui Abiatar arhiereul, şi a mâncat pâinile punerii înainte, pe care nu este îngăduit să le mănânce decât numai preoţii, şi a dat şi celor ce erau cu el? 27Şi le zicea lor: Sâmbăta a fost făcută pentru om, iar nu omul pentru sâmbătă. 28Astfel că Fiul Omului este Domn şi al sâmbetei.

Κεφάλαιον Γ΄

Καὶ εἰσῆλθε πάλιν εἰς τὴν συναγωγήν· καὶ ἦν ἐκεῖ ἄνθρωπος ἐξηραμμένην ἔχων τὴν χεῖρα. 2καὶ παρετήρουν αὐτὸν εἰ τοῖς σάββασι θεραπεύσει αὐτόν, ἵνα κατηγορήσωσιν αὐτοῦ. 3καὶ λέγει τῷ ἀνθρώπῳ τῷ ἐξηραμμένην ἔχοντι τὴν χεῖρα· ἔγειρε εἰς τὸ μέσον. 4καὶ λέγει αὐτοῖς· ἔξεστι τοῖς σάββασιν ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι; οἱ δὲ ἐσιώπων. 5καὶ περιβλεψάμενος αὐτοὺς μετ' ὀργῆς, συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῆς καρδίας αὐτῶν, λέγει τῷ ἀνθρώπῳ· ἔκτεινον τὴν χεῖρά σου. καὶ ἐξέτεινε, καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὑγιὴς ὡς ἡ ἄλλη. 6καὶ ἐξελθόντες

Capitolul 3

Şi a intrat iarăşi în sinagogă. Şi era acolo un om având mâna uscată. 2Şi Îl păndeau pe El să vadă dacă îl va vindeca sâmbăta, ca să-L învinuiască. 3Şi a zis omului care avea mâna uscată: Scoală-te în mijloc! 4Şi le-a zis: Este îngăduit sâmbăta a face bine sau a face rău, a mântui un suflet sau a-l ucide? Iar ei tăceau. 5Şi privindu-i de jur împrejur cu mânie, întristat de împietrirea inimii lor, a zis omului: Întinde mâna ta! Şi a întins-o, şi mâna lui a venit la starea cea dintâi, sănătoasă ca şi cealaltă. 6Şi ieşind fariseii,

οἱ Φαρισαῖοι εὐθέως μετὰ τῶν Ἡρῳδιανῶν συμβούλιον ἐποίουν κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσι.

Καὶ ὁ Ἰησοῦς ἀνεχώρησε μετὰ τῶν μαθητῶν αὐτοῦ πρὸς τὴν θάλασσαν· καὶ πολὺ πλῆθος ἀπὸ τῆς Γαλιλαίας ἠκολούθησαν αὐτῷ, 8καὶ ἀπὸ τῆς Ἰουδαίας καὶ ἀπὸ Ἱεροσολύμων καὶ ἀπὸ τῆς Ἰδουμαίας καὶ πέραν τοῦ Ἰορδάνου καὶ οἱ περὶ Τύρον καὶ Σιδῶνα, πλῆθος πολύ, ἀκούσαντες ὅσα ἐποίει, ἦλθον πρὸς αὐτόν. 9καὶ εἶπε τοῖς μαθηταῖς αὐτοῦ ἵνα πλοιάριον προσκαρτερῇ αὐτῷ διὰ τὸν ὄχλον, ἵνα μὴ θλίβωσιν αὐτόν· 10πολλοὺς γὰρ ἐθεράπευσεν, ὥστε ἐπιπίπτειν αὐτῷ ἵνα αὐτοῦ ἅψωνται ὅσοι εἶχον μάστιγας· 11καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα, ὅταν αὐτὸν ἐθεώρουν, προσέπιπτον αὐτῷ καὶ ἔκραζον λέγοντα ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ. 12καὶ πολλὰ ἐπετίμα αὐτοῖς ἵνα μὴ φανερὸν αὐτὸν ποιήσωσι.

Καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός, καὶ ἀπῆλθον πρὸς αὐτόν. 14καὶ ἐποίησε δώδεκα, ἵνα ὦσι μετ' αὐτοῦ καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν 15καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους καὶ ἐκβάλλειν τὰ δαιμόνια· 16καὶ ἐπέθηκεν ὄνομα τῷ Σίμωνι Πέτρον, 17καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου· καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα Βοανεργές, ὅ ἐστιν υἱοὶ βροντῆς· 18καὶ Ἀνδρέαν καὶ Φίλιππον καὶ Βαρθολομαῖον καὶ Ματθαῖον καὶ Θωμᾶν καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου καὶ Θαδδαῖον καὶ Σίμωνα τὸν Κανανίτην 19καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ παρέδωκεν αὐτόν.

Καὶ ἔρχονται εἰς οἶκον· καὶ συνέρχεται πάλιν ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς μηδὲ ἄρτον φαγεῖν. 21καὶ ἀκούσαντες οἱ παρ' αὐτοῦ ἐξῆλθον κρατῆσαι αὐτόν· ἔλεγον γὰρ ὅτι ἐξέστη. 22καὶ οἱ γραμματεῖς οἱ ἀπὸ Ἱεροσολύμων καταβάντες ἔλεγον ὅτι Βεελζεβοὺλ ἔχει, καὶ ὅτι ἐν τῷ ἄρχοντι τῶν

îndată au făcut sfat cu irodienii împotriva Lui, ca să-L piardă.

Şi Iisus a plecat împreună cu ucenicii Lui spre mare; şi mulţime multă din Galileea a urmat Lui, 8şi din Iudeea şi din Ierusalim şi din Idumeea şi de dincolo de Iordan şi cei dimprejurul Tirului şi Sidonului, mulţime multă, auzind câte făcea, au venit la El. 9Şi a zis ucenicilor Lui ca să-I pregătească o corabie, din pricina mulţimii, ca să nu-L îmbulzească; 10căci pe mulţi îi tămăduise, încât năvăleau asupra Lui, ca să se atingă de El toţi câţi aveau suferinţe; 11iar duhurile cele necurate, când Îl vedeau, căzeau înaintea Lui şi strigau, zicând: Tu eşti Fiul lui Dumnezeu. 12Şi El le poruncea cu asprime să nu-L facă vădit.

Şi S-a suit în munte şi a chemat la Sine pe cine a voit El, şi au venit la El. 14Şi a rânduit doisprezece, ca să fie cu El şi ca să-i trimită pe ei să propovăduiască 15şi să aibă putere să tămăduiască bolile şi să scoată dracii. 16Şi i-a pus lui Simon numele Petru; 17şi pe Iacov al lui Zevedeu şi pe Ioan, fratele lui Iacov; şi le-a pus lor numele Boanerghes, adică fiii tunetului. 18Şi pe Andrei, şi pe Filip, şi pe Bartolomeu, pe Matei, şi pe Toma, şi pe Iacov al lui Alfeu, şi pe Tadeu, şi pe Simon Cananeul; 19şi pe Iuda Iscarioteanul, care L-a şi vândut.

Şi au venit în casă; şi iarăşi mulţimea s-a adunat, încât ei nu puteau nici să mănânce pâine. 21Şi auzind ai Lui, au ieşit ca să-L prindă, că ziceau: Şi-a ieşit din minţi. 22Iar cărturarii care se coborâseră din Ierusalim ziceau că are pe Beelzebul şi că scoate pe draci cu căpetenia dracilor.

δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. 23καὶ προσκαλεσάμενος αὐτοὺς ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς· πῶς δύναται σατανᾶς σατανᾶν ἐκβάλλειν; 24καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ βασιλεία ἐκείνη· 25καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ, οὐ δύναται σταθῆναι ἡ οἰκία ἐκείνη. 26καὶ εἰ ὁ σατανᾶς ἀνέστη ἐφ' ἑαυτὸν καὶ μεμέρισται, οὐ δύναται σταθῆναι, ἀλλὰ τέλος ἔχει. 27οὐδεὶς δύναται τὰ σκεύη τοῦ ἰσχυροῦ εἰσελθὼν εἰς τὴν οἰκίαν αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ, καὶ τότε τὴν οἰκίαν αὐτοῦ διαρπάσει.

Ἀμὴν λέγω ὑμῖν ὅτι πάντα ἀφεθήσεται τοῖς υἱοῖς τῶν ἀνθρώπων τὰ ἁμαρτήματα καὶ αἱ βλασφημίαι ὅσας ἐὰν βλασφημήσωσιν· 29ὃς δ' ἂν βλασφημήσῃ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, οὐκ ἔχει ἄφεσιν εἰς τὸν αἰῶνα, ἀλλ' ἔνοχός ἐστιν αἰωνίου κρίσεως· 30ὅτι ἔλεγον, πνεῦμα ἀκάθαρτον ἔχει.

Ἔρχονται οὖν ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ἔξω ἑστῶτες ἀπέστειλαν πρὸς αὐτὸν φωνοῦντες αὐτόν. 32καὶ ἐκάθητο περὶ αὐτὸν ὄχλος· εἶπον δὲ αὐτῷ· ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ζητοῦσί σε. 33καὶ ἀπεκρίθη αὐτοῖς λέγων· τίς ἐστιν ἡ μήτηρ μου ἢ οἱ ἀδελφοί μου; 34καὶ περιβλεψάμενος κύκλῳ τοὺς περὶ αὐτὸν καθημένους λέγει· ἴδε ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου· 35ὃς γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ Θεοῦ, οὗτος ἀδελφός μου καὶ ἀδελφή μου καὶ μήτηρ ἐστί.

23Şi chemându-i la Sine, le zicea în pilde: Cum poate satana să scoată pe satana? 24Şi dacă o împărăţie se va dezbina în sine, nu mai poate să stea împărăţia aceea. 25Şi dacă o casă se va dezbina în sine, nu mai poate să stea casa aceea. 26Şi dacă satana s-a sculat împotriva lui însuşi şi s-a dezbinat, nu poate să stea, ci are sfârşit. 27Nimeni nu poate, intrând în casa celui tare, să-i jefuiască vasele, de nu va lega întâi pe cel tare, şi atunci va jefui casa lui.

Amin zic vouă: Toate se vor ierta fiilor oamenilor, păcatele şi hulele câte vor fi hulit; 29dar cine va huli împotriva Duhului celui Sfânt nu are iertare în veac, ci vinovat este de osânda veşnică; 30că ziceau: Are duh necurat.

Au venit, aşadar, mama Lui şi fraţii Lui şi, stând afară, au trimis la El ca să-L cheme. 32Iar mulţimea şedea împrejurul Lui. Şi I-au zis: Iată, mama Ta şi fraţii Tăi afară Te caută. 33Şi răspunzând lor, le-a zis: Cine este mama Mea sau fraţii Mei? 34Şi privind pe cei ce şedeau în jurul Lui, a zis: Iată, mama Mea şi fraţii Mei. 35Căci oricine va face voia lui Dumnezeu, aceasta este fratele Meu şi sora Mea şi mamă.

Κεφάλαιον Δ΄

Καὶ πάλιν ἤρξατο διδάσκειν παρὰ τὴν θάλασσαν· καὶ συνήχθη πρὸς αὐτὸν ὄχλος πολύς, ὥστε αὐτὸν ἐμβάντα εἰς τὸ πλοῖον καθῆσθαι ἐν τῇ θαλάσσῃ· καὶ πᾶς ὁ ὄχλος πρὸς τὴν θάλασσαν

Capitolul 4

Si iarăşi a început să înveţe, lângă mare. Şi s-a adunat la El mulţime multă, încât, urcând El în corabie, şedea pe mare; şi toată mulţimea era lângă mare, pe uscat. 2Şi îi învă-

ἐπὶ τῆς γῆς ἦσαν. 2καὶ ἐδίδασκεν αὐτοὺς ἐν
παραβολαῖς πολλά, καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ
διδαχῇ αὐτοῦ· 3ἀκούετε. ἰδοὺ ἐξῆλθεν ὁ σπεί-
ρων τοῦ σπεῖραι. 4καὶ ἐγένετο ἐν τῷ σπείρειν ὃ
μὲν ἔπεσεν ἐπὶ τὴν ὁδόν, καὶ ἦλθον τὰ πετεινὰ
καὶ κατέφαγεν αὐτό· 5καὶ ἄλλο ἔπεσεν ἐπὶ
τὸ πετρῶδες, ὅπου οὐκ εἶχε γῆν πολλήν, καὶ
εὐθέως ἐξανέτειλε διὰ τὸ μὴ ἔχειν βάθος γῆς,
6ἡλίου δὲ ἀνατείλαντος ἐκαυματίσθη, καὶ διὰ
τὸ μὴ ἔχειν ῥίζαν ἐξηράνθη· 7καὶ ἄλλο ἔπεσεν
εἰς τὰς ἀκάνθας, καὶ ἀνέβησαν αἱ ἄκανθαι
καὶ συνέπνιξαν αὐτό, καὶ καρπὸν οὐκ ἔδωκε·
8καὶ ἄλλο ἔπεσεν εἰς τὴν γῆν τὴν καλὴν καὶ
ἐδίδου καρπὸν ἀναβαίνοντα καὶ αὐξάνοντα,
καὶ ἔφερεν ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ
ἐν ἑκατόν. 9καὶ ἔλεγεν αὐτοῖς· ὁ ἔχων ὦτα
ἀκούειν ἀκουέτω.

Ὅτε δὲ ἐγένετο κατὰ μόνας, ἠρώτησαν αὐ-
τὸν οἱ περὶ αὐτὸν σὺν τοῖς δώδεκα τὴν
παραβολήν. 11καὶ ἔλεγεν αὐτοῖς· ὑμῖν δέδο-
ται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τοῦ
Θεοῦ· ἐκείνοις δὲ τοῖς ἔξω ἐν παραβολαῖς
τὰ πάντα γίνεται, 12ἵνα βλέποντες βλέπωσι
καὶ μὴ ἴδωσι, καὶ ἀκούοντες ἀκούωσι καὶ μὴ
συνιῶσι, μήποτε ἐπιστρέψωσι καὶ ἀφεθῇ αὐ-
τοῖς τὰ ἁμαρτήματα.

Καὶ λέγει αὐτοῖς· οὐκ οἴδατε τὴν παραβολὴν
ταύτην, καὶ πῶς πάσας τὰς παραβολὰς
γνώσεσθε; 14ὁ σπείρων τὸν λόγον σπείρει.
15οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδόν, ὅπου σπεί-
ρεται ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν, εὐθὺς
ἔρχεται ὁ σατανᾶς καὶ αἴρει τὸν λόγον τὸν
ἐσπαρμένον ἐν ταῖς καρδίαις αὐτῶν. 16καὶ
οὗτοι ὁμοίως εἰσὶν οἱ ἐπὶ τὰ πετρώδη σπει-
ρόμενοι, οἳ ὅταν ἀκούσωσι τὸν λόγον, εὐθέως
μετὰ χαρᾶς λαμβάνουσιν αὐτόν, 17καὶ οὐκ
ἔχουσι ῥίζαν ἐν ἑαυτοῖς, ἀλλὰ πρόσκαιροί
εἰσιν· εἶτα γενομένης θλίψεως ἢ διωγμοῦ διὰ
τὸν λόγον, εὐθὺς σκανδαλίζονται. 18καὶ οὗ-
τοί εἰσιν οἱ εἰς τὰς ἀκάνθας σπειρόμενοι, οἱ

ța multe în pilde, şi le zicea în învăţătura
Sa: 3Ascultaţi: Iată, ieşit-a semănătorul
să semene. 4Şi a fost, când semăna el, că
una a căzut pe drum, şi au venit păsările
şi au mâncat-o. 5Şi alta a căzut pe loc pie-
tros, unde nu avea pământ mult, şi îndată
a răsărit, pentru că nu avea pământ adânc.
6Şi când a răsărit soarele, s-a pârjolit şi,
neavând rădăcină, s-a uscat. 7Şi alta a că-
zut în spini şi s-au înălţat spinii şi au îna-
buşit-o, şi rod nu a dat. 8Şi alta a căzut
pe pământul cel bun şi a dat rod, care s-a
înălţat şi a crescut, şi a rodit de treizeci
de ori şi de şaizeci de ori şi de o sută de
ori. 9Şi le zicea: Cel ce are urechi de au-
zit să audă.

Iar când a rămas singur, cei ce erau împre-
jurul Lui, împreună cu cei doisprezece,
L-au întrebat despre pildă. 11Şi le-a zis:
Vouă vă este dat să cunoaşteţi tainele Îm-
părăţiei lui Dumnezeu; dar pentru cei de
afară toate sunt în pilde, 12ca privind, să
privească şi să nu vadă, şi, auzind, să audă
şi să nu înţeleagă, ca nu cumva să se în-
toarcă şi să li se ierte păcatele.

Şi le-a zis: Nu ştiţi pilda aceasta, cum
veţi cunoaşte toate pildele? 14Semănă-
torul seamănă cuvântul. 15Iar cele de lângă
cale sunt cei în care se seamănă cuvântul,
şi când îl aud, îndată vine satana şi ia cu-
vântul cel semănat în inimile lor. 16Ase-
menea, cele semănate pe locuri pietroase
sunt cei care, când aud cuvântul, îndată îl
primesc cu bucurie, 17dar n-au rădăcină în
ei, ci sunt nestatornici; apoi, făcându-se
strâmtorare sau prigoană pentru cuvânt,
îndată se smintesc. 18Şi cele semănate în-
tre spini sunt cei ce aud cuvântul, 19dar gri-
jile veacului acestuia şi amăgirea bogăţiei

τὸν λόγον ἀκούοντες, 19καὶ αἱ μέριμναι τοῦ αἰῶνος τούτου καὶ ἡ ἀπάτη τοῦ πλούτου καὶ αἱ περὶ τὰ λοιπὰ ἐπιθυμίαι εἰσπορευόμεναι συμπνίγουσι τὸν λόγον, καὶ ἄκαρπος γίνεται. 20καὶ οὗτοί εἰσιν οἱ ἐπὶ τὴν γῆν τὴν καλὴν σπαρέντες, οἵτινες ἀκούουσι τὸν λόγον καὶ παραδέχονται, καὶ καρποφοροῦσιν ἐν τριάκοντα καὶ ἐν ἑξήκοντα καὶ ἐν ἑκατόν.

Καὶ ἔλεγεν αὐτοῖς· μήτι ἔρχεται ὁ λύχνος ἵνα ὑπὸ τὸν μόδιον τεθῇ ἢ ὑπὸ τὴν κλίνην; οὐχ ἵνα ἐπὶ τὴν λυχνίαν ἐπιτεθῇ; 22οὐ γάρ ἐστι κρυπτὸν ὃ ἐὰν μὴ φανερωθῇ, οὐδὲ ἐγένετο ἀπόκρυφον ἀλλ' ἵνα ἔλθῃ εἰς φανερόν. 23εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω. 24Καὶ ἔλεγεν αὐτοῖς· βλέπετε τί ἀκούετε. ἐν ᾧ μέτρῳ μετρεῖτε, μετρηθήσεται ὑμῖν, καὶ προστεθήσεται ὑμῖν τοῖς ἀκούουσιν. 25ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς οὐκ ἔχει, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ.

Καὶ ἔλεγεν· οὕτως ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, ὡς ἂν ἄνθρωπος βάλῃ τὸν σπόρον ἐπὶ τῆς γῆς, 27καὶ καθεύδῃ καὶ ἐγείρηται νύκτα καὶ ἡμέραν, καὶ ὁ σπόρος βλαστάνῃ καὶ μηκύνηται ὡς οὐκ οἶδεν αὐτός. 28αὐτομάτη γὰρ ἡ γῆ καρποφορεῖ, πρῶτον χόρτον, εἶτα στάχυν, εἶτα πλήρη σῖτον ἐν τῷ στάχυϊ. 29ὅταν δὲ παραδῷ ὁ καρπός, εὐθέως ἀποστέλλει τὸ δρέπανον, ὅτι παρέστηκεν ὁ θερισμός.

Καὶ ἔλεγε· πῶς ὁμοιώσωμεν τὴν βασιλείαν τοῦ Θεοῦ; ἢ ἐν τίνι παραβολῇ παραβάλωμεν αὐτήν; 31ὡς κόκκον σινάπεως, ὃς ὅταν σπαρῇ ἐπὶ τῆς γῆς, μικρότερος πάντων τῶν σπερμάτων ἐστὶ τῶν ἐπὶ τῆς γῆς· 32καὶ ὅταν σπαρῇ, ἀναβαίνει καὶ γίνεται μείζων πάντων τῶν λαχάνων, καὶ ποιεῖ κλάδους μεγάλους, ὥστε δύνασθαι ὑπὸ τὴν σκιὰν αὐτοῦ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνοῦν. 33Καὶ τοιαύταις παραβολαῖς πολλαῖς ἐλάλει αὐτοῖς τὸν λόγον, καθὼς ἠδύναντο ἀκούειν, 34χωρὶς δὲ

şi poftele după celelalte, intrând în ei, înăbuşă cuvântul şi se face neroditor. 20Iar cele semănate pe pământul cel bun sunt cei ce aud cuvântul şi-l primesc şi rodesc: de treizeci de ori şi de şaizeci de ori şi de o sută de ori.

Şi le zicea: Oare vine făclia ca să fie pusă sub obroc sau sub pat? Nu ca să fie pusă în sfeşnic? 22Căci nu este nimic ascuns care să nu fie vădit; nici n-a fost tăinuit, ci ca să iasă la iveală. 23De are cineva urechi de auzit, să audă. 24Şi le zicea: Luaţi seama la ce auziţi. Cu ce măsură măsuraţi, vi se va măsura, şi vi se va adăuga vouă celor ce ascultaţi. 25Căci celui ce are i se va da; iar celui ce nu are, şi ce are i se va lua.

Şi zicea: Aşa este Împărăţia lui Dumnezeu, cum ar arunca un om sămânţa în pământ; 27şi doarme şi se scoală, noapte şi zi, şi sămânţa răsare şi creşte, cum nu ştie el. 28Căci de la sine rodeşte pământul: mai întâi fir, apoi spic, după aceea grâu deplin în spic. 29Iar când rodul se coace, îndată trimite secera, că a sosit secerişul.

Şi zicea: Cum să asemănăm Împărăţia lui Dumnezeu? Sau în ce pildă să o înfăţişăm? 31Ca grăuntele de muştar care, când se seamănă în pământ, este mai mic decât toate seminţele de pe pământ; 32Dar, după ce s-a semănat, se înalţă şi se face mai mare decât toate legumele şi face ramuri mari, încât sub umbra lui pot să se sălăşluiască păsările cerului. 33Şi cu multe asemenea pilde le grăia lor cuvântul, pe cât puteau să audă. 34Iar fără pil-

παραβολῆς οὐκ ἐλάλει αὐτοῖς τὸν λόγον· κατ᾽ ἰδίαν δὲ τοῖς μαθηταῖς αὐτοῦ ἐπέλυε πάντα.

Καὶ λέγει αὐτοῖς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὀψίας γενομένης· διέλθωμεν εἰς τὸ πέραν. 36καὶ ἀφέντες τὸν ὄχλον παραλαμβάνουσιν αὐτὸν ὡς ἦν ἐν τῷ πλοίῳ· καὶ ἄλλα δὲ πλοῖα ἦν μετ᾽ αὐτοῦ. 37καὶ γίνεται λαῖλαψ ἀνέμου μεγάλη, τὰ δὲ κύματα ἐπέβαλλεν εἰς τὸ πλοῖον, ὥστε ἤδη αὐτὸ βυθίζεσθαι. 38καὶ ἦν αὐτὸς ἐπὶ τῇ πρύμνῃ ἐπὶ τὸ προσκεφάλαιον καθεύδων· καὶ διεγείρουσιν αὐτὸν καὶ λέγουσιν αὐτῷ· διδάσκαλε, οὐ μέλει σοι ὅτι ἀπολλύμεθα; 39καὶ διεγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ εἶπε τῇ θαλάσσῃ· σιώπα, πεφίμωσο. καὶ ἐκόπασεν ὁ ἄνεμος, καὶ ἐγένετο γαλήνη μεγάλη. 40καὶ εἶπεν αὐτοῖς· τί δειλοί ἐστε οὕτω; πῶς οὐκ ἔχετε πίστιν; 41καὶ ἐφοβήθησαν φόβον μέγαν καὶ ἔλεγον πρὸς ἀλλήλους· τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ ὁ ἄνεμος καὶ ἡ θάλασσα ὑπακούουσιν αὐτῷ;

dă nu le grăia lor cuvântul; însă, deoparte, ucenicilor Săi le dezlega toate.

Şi în ziua aceea, făcându-se seară, a zis către ei: Să trecem de cealaltă parte. 36Şi lăsând ei mulţimea, L-au luat cu ei aşa cum era, în corabie; şi alte corăbii erau cu El. 37Şi s-a pornit o furtună mare de vânt şi valurile se năpusteau peste corabie, încât de acum se scufunda. 38Iar El era în partea din spate a corăbiei, dormind pe căpătâi. Şi L-au sculat şi I-au zis: Învăţătorule, nu-Ţi pasă că pierim? 39Şi sculându-Se, a certat vântul şi a zis mării: Taci! Încetează! Şi s-a potolit vântul şi s-a făcut linişte mare. 40Şi le-a zis lor: Pentru ce sunteţi aşa de fricoşi? Cum de nu aveţi credinţă? 41Şi s-au înfricoşat cu frică mare şi ziceau unul către altul: Cine este oare Acesta, că şi vântul şi marea ascultă de El?

Κεφάλαιον Ε΄

Καὶ ἦλθον εἰς τὸ πέραν τῆς θαλάσσης εἰς τὴν χώραν τῶν Γεργεσηνῶν. 2καὶ ἐξελθόντος αὐτοῦ ἐκ τοῦ πλοίου εὐθέως ἀπήντησεν αὐτῷ ἐκ τῶν μνημείων ἄνθρωπος ἐν πνεύματι ἀκαθάρτῳ, 3ὃς τὴν κατοίκησιν εἶχεν ἐν τοῖς μνήμασι, καὶ οὔτε ἁλύσεσιν οὐδεὶς ἠδύνατο αὐτὸν δῆσαι, 4διὰ τὸ αὐτὸν πολλάκις πέδαις καὶ ἁλύσεσι δεδέσθαι, καὶ διεσπάσθαι ὑπ᾽ αὐτοῦ τὰς ἁλύσεις καὶ τὰς πέδας συντετρῖφθαι, καὶ οὐδεὶς ἴσχυεν αὐτὸν δαμάσαι· 5καὶ διὰ παντὸς νυκτὸς καὶ ἡμέρας ἐν τοῖς μνήμασι καὶ ἐν τοῖς ὄρεσιν ἦν κράζων καὶ κατακόπτων ἑαυτὸν λίθοις. 6ἰδὼν δὲ τὸν Ἰησοῦν ἀπὸ μακρόθεν ἔδρα-

Capitolul 5

Şi a venit de cealaltă parte a mării în ţinutul Gherghesenilor. 2Şi ieşind El din corabie, îndată L-a întâmpinat din morminte un om cu duh necurat, 3care îşi avea locuinţa în morminte şi nimeni nu putea să-l lege nici măcar în lanţuri, 4pentru că de multe ori, fiind legat în obezi şi lanţuri, lanţurile erau rupte de el şi obezile sfărâmate, şi nimeni nu putea să-l îmblânzească; 5şi neîncetat noaptea şi ziua era în morminte şi în munţi, strigând şi tăindu-se cu pietre. 6Văzându-L însă pe Iisus de departe, a alergat şi s-a închinat Lui. 7Şi strigând cu

με καὶ προσεκύνησεν αὐτόν, 7καὶ κράξας φωνῇ μεγάλῃ λέγει· τί ἐμοὶ καὶ σοί, Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; ὁρκίζω σε τὸν Θεόν, μή με βασανίσῃς. 8ἔλεγε γὰρ αὐτῷ· ἔξελθε τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐκ τοῦ ἀνθρώπου. 9καὶ ἐπηρώτα αὐτόν· τί ὄνομά σοι; καὶ ἀπεκρίθη λέγων· λεγεὼν ὄνομά μοι, ὅτι πολλοί ἐσμεν. 10καὶ παρεκάλει αὐτὸν πολλὰ ἵνα μὴ ἀποστείλῃ αὐτοὺς ἔξω τῆς χώρας. 11ἦν δὲ ἐκεῖ ἀγέλη χοίρων μεγάλη βοσκομένη πρὸς τῷ ὄρει· 12καὶ παρεκάλεσαν αὐτὸν πάντες οἱ δαίμονες λέγοντες· πέμψον ἡμᾶς εἰς τοὺς χοίρους, ἵνα εἰς αὐτοὺς εἰσέλθωμεν. 13καὶ ἐπέτρεψεν αὐτοῖς εὐθέως ὁ Ἰησοῦς. καὶ ἐξελθόντα τὰ πνεύματα τὰ ἀκάθαρτα εἰσῆλθον εἰς τοὺς χοίρους· καὶ ὥρμησεν ἡ ἀγέλη κατὰ τοῦ κρημνοῦ εἰς τὴν θάλασσαν· ἦσαν δὲ ὡς δισχίλιοι· καὶ ἐπνίγοντο ἐν τῇ θαλάσσῃ. 14καὶ οἱ βόσκοντες τοὺς χοίρους ἔφυγον καὶ ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς ἀγρούς· καὶ ἐξῆλθον ἰδεῖν τί ἐστι τὸ γεγονός. 15καὶ ἔρχονται πρὸς τὸν Ἰησοῦν, καὶ θεωροῦσι τὸν δαιμονιζόμενον καθήμενον καὶ ἱματισμένον καὶ σωφρονοῦντα, τὸν ἐσχηκότα τὸν λεγεῶνα, καὶ ἐφοβήθησαν. 16καὶ διηγήσαντο αὐτοῖς οἱ ἰδόντες πῶς ἐγένετο τῷ δαιμονιζομένῳ καὶ περὶ τῶν χοίρων. 17καὶ ἤρξαντο παρακαλεῖν αὐτὸν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν. 18καὶ ἐμβαίνοντος αὐτοῦ εἰς τὸ πλοῖον παρεκάλει αὐτὸν ὁ δαιμονισθεὶς ἵνα μετ' αὐτοῦ ᾖ. 19καὶ οὐκ ἀφῆκεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ· ὕπαγε εἰς τὸν οἶκόν σου πρὸς τοὺς σοὺς καὶ ἀνάγγειλον αὐτοῖς ὅσα σοι ὁ Κύριος πεποίηκε καὶ ἠλέησέ σε. 20καὶ ἀπῆλθε καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπόλει ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς, καὶ πάντες ἐθαύμαζον.

Καὶ διαπεράσαντος τοῦ Ἰησοῦ ἐν τῷ πλοίῳ πάλιν εἰς τὸ πέραν συνήχθη ὄχλος πολὺς ἐπ' αὐτόν, καὶ ἦν παρὰ τὴν θάλασσαν. 22Καὶ ἔρχεται εἷς τῶν ἀρχισυναγώγων, ὀνόματι Ἰάειρος, καὶ ἰδὼν αὐτὸν πίπτει πρὸς τοὺς πόδας αὐτοῦ 23καὶ παρεκάλει αὐτὸν πολλά, λέglas mare, a zis: Ce este mie şi Ţie, Iisuse, Fiule al lui Dumnezeu Celui Preaînalt? Te jur pe Dumnezeu să nu mă chinuieşti. 8Căci îi zicea: Ieşi duh necurat din om! 9Şi l-a întrebat: Care îţi este numele? Şi I-a răspuns, zicând: Legiune îmi este numele, căci suntem mulţi. 10Şi Îl ruga mult să nu-i trimită pe ei afară din acel ţinut. 11Iar acolo era o turmă mare de porci păscând lângă munte. 12Şi L-au rugat dracii toţi zicând: Trimite-ne în porci, ca să intrăm în ei. 13Şi Iisus le-a îngăduit îndată. Şi, ieşind, duhurile necurate au intrat în porci şi turma s-a năpustit de pe marginea râpei în mare. Şi erau ca la două mii; şi s-au înecat în mare. 14Iar cei care păzeau porcii au fugit şi au vestit în cetate şi prin sate; şi au ieşit să vadă ce s-a întâmplat. 15Şi au venit la Iisus şi au văzut şezând şi îmbrăcat şi întreg la minte pe cel îndrăcit, care avusese legiunea, şi s-au înfricoşat. 16Iar cei ce au văzut le-au povestit cum s-a întâmplat cu îndrăcitul şi despre porci. 17Şi au început să-L roage să plece din hotarele lor. 18Şi intrând El în corabie, cel ce fusese îndrăcit Îl ruga ca să rămână cu El. 19Şi nu l-a lăsat, ci i-a zis: Mergi în casa ta, la ai tăi, şi vesteşte-le câte ţi-a făcut ţie Domnul şi te-a miluit. 20Iar el a plecat şi a început să vestească în Decapole câte i-a făcut lui Iisus; şi toţi se minunau.

Şi trecând Iisus cu corabia iarăşi de partea cealaltă, s-a adunat la El mulţime multă, şi era lângă mare. 22Şi a venit unul din mai-marii sinagogii, pe nume Iair, şi văzându-L, a căzut la picioarele Lui, 23şi Îl ruga mult, zicând: Fiica mea este pe sfâr-

γων ὅτι τὸ θυγάτριόν μου ἐσχάτως ἔχει, ἵνα ἐλθὼν ἐπιθῇς αὐτῇ τὰς χεῖρας, ὅπως σωθῇ καὶ ζήσεται. 24καὶ ἀπῆλθε μετ' αὐτοῦ· καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. 25Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, 26καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, 27ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ· 28ἔλεγε γὰρ ἐν ἑαυτῇ ὅτι ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ, σωθήσομαι. 29καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. 30καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε· τίς μου ἥψατο τῶν ἱματίων; 31καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις τίς μου ἥψατο; 32καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. 33ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. 34ὁ δὲ εἶπεν αὐτῇ· θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου. 35Ἔτι αὐτοῦ λαλοῦντος ἔρχονται ἀπὸ τοῦ ἀρχισυναγώγου λέγοντες ὅτι ἡ θυγάτηρ σου ἀπέθανε· τί ἔτι σκύλλεις τὸν διδάσκαλον; 36ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας τὸν λόγον λαλούμενον λέγει τῷ ἀρχισυναγώγῳ· μὴ φοβοῦ, μόνον πίστευε. 37καὶ οὐκ ἀφῆκεν αὐτῷ οὐδένα συνακολουθῆσαι εἰ μὴ Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην τὸν ἀδελφὸν Ἰακώβου. 38καὶ ἔρχεται εἰς τὸν οἶκον τοῦ ἀρχισυναγώγου, καὶ θεωρεῖ θόρυβον, καὶ κλαίοντας καὶ ἀλαλάζοντας πολλά, 39καὶ εἰσελθὼν λέγει αὐτοῖς· τί θορυβεῖσθε καὶ κλαίετε; τὸ παιδίον οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει. καὶ κατεγέλων αὐτοῦ. 40ὁ δὲ ἐκβαλὼν πάντας παραλαμβάνει

şite; vino şi pune mâinile peste ea, ca să se mântuiască, şi va fi vie. 24Şi a plecat cu el; şi a urmat Lui mulţime multă, şi Îl îmbulzea. 25Şi o femeie, care era cu scurgere de sânge de doisprezece ani 26şi multe pătimise de la mulţi doctori, cheltuindu-şi toate ale sale fără să aibă vreun folos, ci mai degrabă mergând înspre mai rău, 27auzind despre Iisus, a venit în mulţime din spate şi s-a atins de haina Lui; 28căci zicea în sine: De mă voi atinge măcar de hainele Lui, mă voi mântui! 29Şi îndată a secat izvorul sângelui ei, şi ea a simţit în trup că s-a tămăduit de suferinţă. 30Şi îndată, cunoscând Iisus în Sine puterea ieşită din El, întorcându-Se către mulţime, a întrebat: Cine s-a atins de hainele Mele? 31Şi I-au zis ucenicii Lui: Vezi mulţimea îmbulzindu-Te şi zici: Cine s-a atins de Mine? 32Şi Se uita împrejur să vadă pe cea care făcuse aceasta. 33Iar femeia, înfricoşându-se şi tremurând, ştiind ce se făcuse asupra ei, a venit şi a căzut înaintea Lui şi I-a spus tot adevărul; 34Iar El i-a zis: Fiică, credinţa ta te-a mântuit; mergi în pace şi fii sănătoasă de suferinţa ta! 35Încă vorbind El, au venit de la mai-marele sinagogii, zicând: Fiica ta a murit. Pentru ce mai superi pe Învăţătorul? 36Dar Iisus, îndată, auzind cuvântul grăit, a zis mai-marelui sinagogii: Nu te teme, crede numai. 37Şi n-a lăsat pe nimeni să meargă cu El, decât numai pe Petru şi pe Iacov şi pe Ioan, fratele lui Iacov. 38Şi a venit la casa mai-marelui sinagogii şi a văzut tulburare, oameni plângând şi tânguindu-se mult. 39Şi intrând, le-a zis: De ce vă tulburaţi şi plângeţi? Copila n-a murit, ci doarme. Şi Îl luau în râs. 40Iar El, scoţându-i pe toţi afară, a luat cu Sine pe tatăl copilei şi pe mamă

τὸν πατέρα τοῦ παιδίου καὶ τὴν μητέρα καὶ τοὺς μετ' αὐτοῦ, καὶ εἰσπορεύεται ὅπου ἦν τὸ παιδίον ἀνακείμενον, 41καὶ κρατήσας τῆς χειρὸς τοῦ παιδίου λέγει αὐτῇ· ταλιθά, κοῦμι· ὅ ἐστι μεθερμηνευόμενον, τὸ κοράσιον, σοὶ λέγω, ἔγειρε. 42καὶ εὐθέως ἀνέστη τὸ κοράσιον καὶ περιεπάτει· ἦν γὰρ ἐτῶν δώδεκα. καὶ ἐξέστησαν ἐκστάσει μεγάλῃ. 43καὶ διεστείλατο αὐτοῖς πολλὰ ἵνα μηδεὶς γνῷ τοῦτο· καὶ εἶπε δοθῆναι αὐτῇ φαγεῖν.

şi pe cei care erau cu El, şi a intrat unde era copila culcată. 41Şi apucând mâna copilei, i-a zis: Talithá koúmi; care se tâlcuieşte: Copilă, ţie zic, scoală-te! 42Şi îndată a înviat copila şi a început să umble; căci era de doisprezece ani. Şi s-au minunat cu minunare mare. 43Şi El le-a poruncit mult, ca nimeni să nu cunoască aceasta; şi le-a zis să-i dea ei să mănânce.

Κεφάλαιον ς΄

Καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ ἦλθεν εἰς τὴν πατρίδα ἑαυτοῦ· καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. 2καὶ γενομένου σαββάτου ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν· καὶ πολλοὶ ἀκούοντες ἐξεπλήσσοντο λέγοντες· πόθεν τούτῳ ταῦτα; καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται; 3οὐχ οὗτός ἐστιν ὁ τέκτων, ὁ υἱὸς τῆς Μαρίας, ἀδελφὸς δὲ Ἰακώβου καὶ Ἰωσῆ καὶ Ἰούδα καὶ Σίμωνος; καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ ὧδε πρὸς ἡμᾶς; καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. 4ἔλεγε δὲ αὐτοῖς ὁ Ἰησοῦς ὅτι οὐκ ἔστι προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τοῖς συγγενέσι καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. 5καὶ οὐκ ἠδύνατο ἐκεῖ οὐδεμίαν δύναμιν ποιῆσαι, εἰ μὴ ὀλίγοις ἀρρώστοις ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσε· 6καὶ ἐθαύμαζε διὰ τὴν ἀπιστίαν αὐτῶν.

Καὶ περιῆγε τὰς κώμας κύκλῳ διδάσκων. 7Καὶ προσκαλεῖται τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς ἀποστέλλειν δύο δύο, καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκα-

Capitolul 6

Şi a ieşit de acolo şi a venit în patria Sa; şi I-au urmat Lui ucenicii Lui. 2Şi făcându-se sâmbătă, a început să înveţe în sinagogă. Şi mulţi, auzind, erau uimiţi şi ziceau: De unde are El acestea? Şi ce este înţelepciunea dată Lui, şi cum se fac puteri ca acestea prin mâinile Lui? 3Nu este Acesta tâmplarul, fiul Mariei, frate al lui Iacov şi al lui Iosi şi al lui Iuda şi al lui Simon? Şi nu sunt surorile Lui aici la noi? Şi se sminteau întru El. 4Şi le zicea lor Iisus: Nu este prooroc întru necinste decât în patria sa şi între rude şi în casa sa. 5Şi n-a putut acolo să facă nici o minune, decât că, punându-Şi mâinile peste puţini bolnavi, i-a tămăduit. 6Şi se minuna de necredinţa lor.

Şi străbătea satele dimprejur învăţând. 7Şi a chemat la Sine pe cei doisprezece şi a început să-i trimită doi câte doi şi le-a dat stăpânire asupra duhurilor necu-

θάρτων, 8καὶ παρήγγειλεν αὐτοῖς ἵνα μηδὲν
αἴρωσιν εἰς ὁδὸν εἰ μὴ ῥάβδον μόνον, μὴ πή-
ραν, μὴ ἄρτον, μὴ εἰς τὴν ζώνην χαλκόν, 9ἀλλ'
ὑποδεδεμένους σανδάλια, καὶ μὴ ἐνδεδύσθαι
δύο χιτῶνας. 10καὶ ἔλεγεν αὐτοῖς· ὅπου ἐὰν
εἰσέλθητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν ἐξέλ-
θητε ἐκεῖθεν· 11καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς
μηδὲ ἀκούσωσιν ὑμῶν, ἐκπορευόμενοι ἐκεῖθεν
ἐκτινάξατε τὸν χοῦν τὸν ὑποκάτω τῶν ποδῶν
ὑμῶν εἰς μαρτύριον αὐτοῖς· ἀμὴν λέγω ὑμῖν,
ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόρροις ἐν
ἡμέρᾳ κρίσεως ἢ τῇ πόλει ἐκείνῃ. 12Καὶ ἐξ-
ελθόντες ἐκήρυσσον ἵνα μετανοήσωσι, 13καὶ
δαιμόνια πολλὰ ἐξέβαλλον, καὶ ἤλειφον ἐλαίῳ
πολλοὺς ἀρρώστους καὶ ἐθεράπευον.

Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρῴδης· φανερὸν
γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ· καὶ ἔλεγεν ὅτι
Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρθη, καί διὰ
τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ. 15ἄλλοι
ἔλεγον ὅτι Ἠλίας ἐστίν· ἄλλοι δὲ ἔλεγον ὅτι προ-
φήτης ἐστὶν ὡς εἷς τῶν προφητῶν. 16ἀκούσας
δὲ ὁ Ἡρῴδης εἶπεν ὅτι ὃν ἐγὼ ἀπεκεφάλισα
Ἰωάννην, οὗτός ἐστιν· αὐτὸς ἠγέρθη ἐκ νεκρῶν.
17αὐτὸς γὰρ ὁ Ἡρῴδης ἀποστείλας ἐκράτησε
τὸν Ἰωάννην καὶ ἔδησεν αὐτὸν ἐν φυλακῇ διὰ
Ἡρῳδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ
αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν. 18ἔλεγε γὰρ ὁ Ἰω-
άννης τῷ Ἡρῴδῃ ὅτι οὐκ ἔξεστί σοι ἔχειν τὴν
γυναῖκα τοῦ ἀδελφοῦ σου. 19ἡ δὲ Ἡρῳδιὰς
ἐνεῖχεν αὐτῷ καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι,
καὶ οὐκ ἠδύνατο· 20ὁ γὰρ Ἡρῴδης ἐφοβεῖτο
τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ
ἅγιον, καὶ συνετήρει αὐτόν, καὶ ἀκούσας αὐτοῦ
πολλὰ ἐποίει καὶ ἡδέως αὐτοῦ ἤκουε. 21καὶ γε-
νομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρῴδης τοῖς
γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς μεγιστᾶσιν
αὐτοῦ καὶ τοῖς χιλιάρχοις καὶ τοῖς πρώτοις τῆς
Γαλιλαίας, 22καὶ εἰσελθούσης τῆς θυγατρὸς
αὐτῆς τῆς Ἡρῳδιάδος καὶ ὀρχησαμένης καὶ
ἀρεσάσης τῷ Ἡρῴδῃ καὶ τοῖς συνανακειμέ-

rate, 8şi le-a poruncit să nu ia nimic cu ei
pe cale, ci numai toiag; nu traistă, nu pâi-
ne, nu bani la cingătoare, 9ci să se încalțe
cu sandale şi să nu ia de îmbrăcat două
cămăşi. 10Şi le zicea: Oriunde veți intra
într-o casă, rămâneți acolo până ce veți
ieşi de acolo. 11Şi câți nu vă vor primi pe
voi, nici nu vă vor asculta, ieşind de aco-
lo, scuturați praful de sub picioarele voas-
tre, spre mărturie lor. Amin zic vouă: Mai
uşor va fi Sodomei şi Gomorei în ziua ju-
decății, decât cetății aceleia. 12Şi ieşind ei,
propovăduiau să se pocăiască 13şi scoteau
draci mulți şi ungeau cu untdelemn mulți
bolnavi şi-i tămăduiau.

Şi a auzit împăratul Irod – căci nume-
le Lui se făcuse cunoscut – şi zicea:
Ioan Botezătorul s-a sculat din morți şi
de aceea puterile lucrează întru el. 15Al-
ții ziceau: Ilie este; iar alții ziceau: Proo-
roc este, ca unul din prooroci. 16Iar Irod,
auzind, a zis: Ioan, căruia eu i-am tăiat
capul, acesta este; el s-a sculat din mor-
ți. 17Căci însuşi Irod trimițând, îl prinsese
pe Ioan şi îl legase în temniță, din pricina
Irodiadei, femeia lui Filip, fratele său, că
se însurase cu ea. 18Căci Ioan îi zicea lui
Irod: Nu-ți este îngăduit să ai pe femeia
fratelui tău. 19Iar Irodiada îl ura şi voia
să-l omoare, dar nu putea; 20căci Irod se
temea de Ioan, ştiindu-l bărbat drept şi
sfânt, şi-l ocrotea, şi ascultându-l multe
făcea; şi îl asculta bucuros. 21Şi ivindu-se
o zi cu bun prilej, când Irod, de ziua sa
de naştere, a făcut cină dregătorilor lui şi
tribunilor şi fruntaşilor din Galileea, 22şi
intrând chiar fiica Irodiadei şi jucând, a
plăcut lui Irod şi celor ce şedeau cu el la
masă. Iar împăratul a zis fetei: Cere de
la mine orice vei voi şi îți voi da. 23Şi s-a

νοις, εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ· αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοι. 23καὶ ὤμοσεν αὐτῇ ὅτι ὃ ἐάν με αἰτήσῃς δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας μου. 24ἡ δὲ ἐξελθοῦσα εἶπε τῇ μητρὶ αὐτῆς· τί αἰτήσομαι; ἡ δὲ εἶπε· τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. 25καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς τὸν βασιλέα ᾐτήσατο λέγουσα· θέλω ἵνα μοι δῷς ἐξαυτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. 26καὶ περίλυπος γενόμενος ὁ βασιλεύς, διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. 27καὶ εὐθέως ἀποστείλας ὁ βασιλεὺς σπεκουλάτωρα ἐπέταξεν ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ. 28ὁ δὲ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ, καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. 29καὶ ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ ἦλθον καὶ ἦραν τὸ πτῶμα αὐτοῦ, καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ.

Καὶ συνάγονται οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποίησαν καὶ ὅσα ἐδίδαξαν. 31καὶ εἶπεν αὐτοῖς· δεῦτε ὑμεῖς αὐτοὶ κατ' ἰδίαν εἰς ἔρημον τόπον, καὶ ἀναπαύεσθε ὀλίγον· ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί, καὶ οὐδὲ φαγεῖν εὐκαίρουν· 32καὶ ἀπῆλθον εἰς ἔρημον τόπον ἐν πλοίῳ κατ' ἰδίαν. 33καὶ εἶδον αὐτοὺς ὑπάγοντας, καὶ ἐπέγνωσαν αὐτοὺς πολλοί, καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ καὶ προῆλθον αὐτοὺς καὶ συνῆλθον πρὸς αὐτόν. 34Καὶ ἐξελθὼν ὁ Ἰησοῦς εἶδε πολὺν ὄχλον καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, ὅτι ἦσαν ὡς πρόβατα μὴ ἔχοντα ποιμένα, καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά. 35Καὶ ἤδη ὥρας πολλῆς γενομένης προσελθόντες αὐτῷ οἱ μαθηταὶ αὐτοῦ λέγουσιν ὅτι ἔρημός ἐστιν ὁ τόπος καὶ ἤδη ὥρα πολλή· 36ἀπόλυσον αὐτούς, ἵνα ἀπελθόντες εἰς τοὺς κύκλῳ ἀγροὺς καὶ κώμας ἀγοράσωσιν ἑαυτοῖς ἄρτους· τί γὰρ φάjurat ei: Orice vei cere de la mine îți voi da, până la jumătate din împărăția mea. 24Şi ca, ieşind, a zis mamei sale: Ce să cer? Iar ea i-a zis: Capul lui Ioan Botezătorul. 25Şi intrând îndată cu grabă la împărat, i-a cerut, zicând: Vreau să-mi dai îndată, pe tipsie, capul lui Ioan Botezătorul. 26Şi împăratul s-a întristat tare, dar, din pricina jurământului şi a celor ce şedeau cu el la masă, n-a voit s-o nesocotească. 27Şi îndată trimițând împăratul un ostaş, a poruncit să-i fie adus capul. 28Iar acela plecând, i-a tăiat capul în temniță şi l-a adus pe tipsie şi l-a dat fetei, iar fata l-a dat mamei sale. 29Şi auzind ucenicii lui, au venit şi i-au luat trupul şi l-au pus în mormânt.

Şi s-au adunat apostolii la Iisus şi I-au vestit Lui toate, şi câte au făcut şi câte au învățat. 31Şi le-a zis: Veniți voi înşivă deoparte, în loc pustiu, şi odihniți-vă puțin. Căci erau mulți cei ce veneau şi plecau, şi nu mai aveau timp nici să mănânce. 32Şi au plecat cu corabia spre un loc pustiu, deoparte. 33Şi i-au văzut pe ei plecând, şi mulți i-au cunoscut şi au alergat acolo pe jos de prin toate cetățile, şi au sosit înaintea lor şi s-au adunat la El. 34Şi ieşind, Iisus a văzut mulțime mare şi S-a milostivit de ei, căci erau ca nişte oi care nu au păstor, şi a început să-i învețe multe. 35Dar făcându-se de acum ceasul târziu, apropiindu-se de El, ucenicii Lui au zis: Locul este pustiu şi ceasul este de acum târziu; 36slobozeşte-i, ca mergând prin cătunele şi satele dimprejur, să-şi cumpere pâini; că nu au ce să mănânce. 37Iar El răs-

γωσιν οὐκ ἔχουσιν. 37ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· δότε αὐτοῖς ὑμεῖς φαγεῖν. καὶ λέγουσιν αὐτῷ· ἀπελθόντες ἀγοράσωμεν δηναρίων διακοσίων ἄρτους καὶ δῶμεν αὐτοῖς φαγεῖν; 38ὁ δὲ λέγει αὐτοῖς· πόσους ἄρτους ἔχετε; ὑπάγετε καὶ ἴδετε. καὶ γνόντες λέγουσι· πέντε, καὶ δύο ἰχθύας. 39καὶ ἐπέταξεν αὐτοῖς ἀνακλῖναι πάντας συμπόσια συμπόσια ἐπὶ τ�ῳ χλωρῳ χόρτῳ. 40καὶ ἀνέπεσον πρασιαὶ πρασιαὶ ἀνὰ ἑκατὸν καὶ ἀνὰ πεντήκοντα. 41καὶ λαβὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγησε, καὶ κατέκλασε τοὺς ἄρτους καὶ ἐδίδου τοῖς μαθηταῖς ἵνα παραθῶσιν αὐτοῖς, καὶ τοὺς δύο ἰχθύας ἐμέρισε πᾶσι. 42καὶ ἔφαγον πάντες καὶ ἐχορτάσθησαν, 43καὶ ἦραν κλασμάτων δώδεκα κοφίνους πλήρεις, καὶ ἀπὸ τῶν ἰχθύων. 44καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους πεντακισχίλιοι ἄνδρες.

Καὶ εὐθέως ἠνάγκασε τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς τὸ πλοῖον καὶ προάγειν εἰς τὸ πέραν πρὸς Βηθσαϊδάν, ἕως αὐτὸς ἀπολύσῃ τὸν ὄχλον· 46καὶ ἀποταξάμενος αὐτοῖς ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι. 47καὶ ὀψίας γενομένης ἦν τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ αὐτὸς μόνος ἐπὶ τῆς γῆς· 48καὶ εἶδεν αὐτοὺς βασανιζομένους ἐν τῷ ἐλαύνειν· ἦν γὰρ ὁ ἄνεμος ἐναντίος αὐτοῖς. καὶ περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρχεται πρὸς αὐτοὺς περιπατῶν ἐπὶ τῆς θαλάσσης, καὶ ἤθελε παρελθεῖν αὐτούς. 49οἱ δὲ ἰδόντες αὐτὸν περιπατοῦντα ἐπὶ τῆς θαλάσσης ἔδοξαν φάντασμα εἶναι, καὶ ἀνέκραξαν· 50πάντες γὰρ αὐτὸν εἶδον καὶ ἐταράχθησαν. καὶ εὐθέως ἐλάλησε μετ' αὐτῶν καὶ λέγει αὐτοῖς· θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε. 51καὶ ἀνέβη εἰς τὸ πλοῖον πρὸς αὐτούς, καὶ ἐκόπασεν ὁ ἄνεμος· καὶ λίαν ἐκ περισσοῦ ἐν ἑαυτοῖς ἐξίσταντο καὶ ἐθαύμαζον. 52οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις, ἀλλ' ἦν αὐτῶν ἡ καρδία πεπωρωμένη.

punzând, le-a zis: Daţi-le voi să mănânce. Şi I-au zis Lui: Să mergem şi să cumpărăm pâini de două sute de dinari şi să le dăm să mănânce? 38Iar El le-a zis: Câte pâini aveţi? Mergeţi şi vedeţi. Şi aflând, I-au spus: Cinci şi doi peşti. 39Şi le-a poruncit să-i aşeze pe toţi cete-cete pe iarba verde. 40Şi s-au aşezat cete-cete, câte o sută şi câte cincizeci. 41Şi luând cele cinci pâini şi cei doi peşti, privind la cer, a binecuvântat şi a frânt pâinile şi le-a dat ucenicilor, ca să le pună înaintea lor, şi cei doi peşti i-a împărţit tuturor. 42Şi au mâncat toţi şi s-au săturat, 43şi au strâns douăsprezece coşuri pline cu rămăşiţe de bucate şi cu ce a rămas din peşti. 44Şi erau cei ce au mâncat pâinile cinci mii de bărbaţi.

Şi îndată i-a silit pe ucenicii Lui să intre în corabie şi să meargă înaintea Lui, de cealaltă parte, spre Betsaida, până ce El va slobozi mulţimea. 46Şi despărţindu-se de ei, a plecat în munte ca să Se roage. 47Şi făcându-se seară, era corabia în mijlocul mării, iar El singur pe uscat; 48şi i-a văzut cum se chinuiau vâslind, căci vântul le era potrivnic. Şi pe la a patra strajă a nopţii a venit la ei, umblând pe mare, şi voia să treacă pe lângă ei. 49Iar ei, văzându-L umblând pe mare, au crezut că este o nălucă şi au strigat; 50căci toţi L-au văzut şi s-au tulburat. Şi îndată a vorbit cu ei şi le-a zis: Îndrăzniţi, Eu sunt, nu vă temeţi! 51Şi S-a suit în corabie la ei şi s-a potolit vântul. Şi erau uimiţi şi se minunau foarte în sinea lor, peste măsură; 52căci nu înţeleseseră cele cu pâinile, ci inima lor era împietrită.

Καὶ διαπεράσαντες ἀπῆλθον ἐπὶ τὴν γῆν Γεννησαρὲτ καὶ προσωρμίσθησαν. 54καὶ ἐξελθόντων αὐτῶν ἐκ τοῦ πλοίου εὐθέως ἐπιγνόντες αὐτὸν 55περιέδραμον ὅλην τὴν περίχωρον ἐκείνην καὶ ἤρξαντο ἐπὶ τοῖς κραβάττοις τοὺς κακῶς ἔχοντας περιφέρειν ὅπου ἤκουον ὅτι ἐκεῖ ἐστι· 56καὶ ὅπου ἂν εἰσεπορεύετο εἰς κώμας ἢ πόλεις ἢ ἀγρούς, ἐν ταῖς ἀγοραῖς ἐτίθεσαν τοὺς ἀσθενοῦντας καὶ παρεκάλουν αὐτὸν ἵνα κἂν τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ ἅψωνται· καὶ ὅσοι ἂν ἥπτοντο αὐτοῦ, ἐσῴζοντο.

Şi trecând de cealaltă parte, s-au dus în pământul Ghenizaretului şi au tras la ţărm. 54Şi după ce au ieşit ei din corabie, îndată cunoscându-L, 55au alergat prin tot ţinutul acela şi au început să-I aducă pe paturi pe cei aflaţi în suferinţă acolo unde auzeau că este El. 56Şi oriunde intra în sate sau în cetăţi sau în cătune, puneau pe cei bolnavi în pieţe şi-L rugau ca măcar de poala hainei Lui să se atingă. Şi câţi se atingeau de El se mântuiau.

Κεφάλαιον Ζ΄

Capitolul 7

Καὶ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι καί τινες τῶν γραμματέων ἐλθόντες ἀπὸ Ἱεροσολύμων· 2καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ κοιναῖς χερσί, τοῦτ' ἔστιν ἀνίπτοις, ἐσθίοντας ἄρτους, ἐμέμψαντο· 3οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ πυγμῇ νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦντες τὴν παράδοσιν τῶν πρεσβυτέρων· 4καὶ ἀπὸ ἀγορᾶς, ἐὰν μὴ βαπτίσωνται, οὐκ ἐσθίουσι· καὶ ἄλλα πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν, βαπτισμοὺς ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων καὶ κλινῶν· 5ἔπειτα ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς· διατί οὐ περιπατοῦσιν οἱ μαθηταί σου κατὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλ' ἀνίπτοις χερσὶν ἐσθίουσι τὸν ἄρτον; 6ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς ὅτι καλῶς προεφήτευσεν Ἡσαΐας περὶ ὑμῶν τῶν ὑποκριτῶν, ὡς γέγραπται· *οὗτος ὁ λαὸς τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ· 7μάτην δὲ σέβονταί*

Şi s-au adunat la El fariseii şi unii dintre cărturari, care veniseră din Ierusalim. 2Şi văzând pe unii din ucenicii Lui mâncând pâine cu mâinile necurate, adică nespălate, îi învinuiau; 3Căci fariseii şi toţi iudeii, dacă nu-şi spală mâinile până la cot, nu mănâncă, ţinând predania bătrânilor. 4Şi când vin din piaţă, dacă nu se afundă în apă, nu mănâncă; şi alte multe sunt pe care au primit să le ţină: afundările paharelor şi urcioarelor şi vaselor de aramă şi paturilor. 5Apoi L-au întrebat pe El fariseii şi cărturarii: Pentru ce nu umblă ucenicii Tăi după predania bătrânilor, ci mănâncă pâinea cu mâinile nespălate? 6Iar El, răspunzând, le-a zis: Bine a proorocit Isaia despre voi, făţarnicii, precum este scris: *Acest popor Mă cinsteşte cu buzele, dar inima lor este departe de Mine.* 7*Şi în zadar Mă cinstesc, învăţând drept învăţă-*

με, διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων. 8ἀφέντες γὰρ τὴν ἐντολὴν τοῦ Θεοῦ κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων, βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε. 9καὶ ἔλεγεν αὐτοῖς· καλῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ Θεοῦ ἵνα τὴν παράδοσιν ὑμῶν τηρήσητε. 10Μωϋσῆς γὰρ εἶπε· *τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου·* καί· *ὁ κακολογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω·* 11ὑμεῖς δὲ λέγετε· ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρί, κορβᾶν, ὅ ἐστι δῶρον, ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς, 12καὶ οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ αὐτοῦ ἢ τῇ μητρὶ αὐτοῦ, 13ἀκυροῦντες τὸν λόγον τοῦ Θεοῦ τῇ παραδόσει ὑμῶν ᾗ παρεδώκατε· καὶ παρόμοια τοιαῦτα πολλὰ ποιεῖτε.

Καὶ προσκαλεσάμενος πάντα τὸν ὄχλον ἔλεγεν αὐτοῖς· ἀκούετέ μου πάντες καὶ συνίετε. 15οὐδέν ἐστιν ἔξωθεν τοῦ ἀνθρώπου εἰσπορευόμενον εἰς αὐτὸν ὃ δύναται αὐτὸν κοινῶσαι, ἀλλὰ τὰ ἐκπορευόμενά ἐστι τὰ κοινοῦντα τὸν ἄνθρωπον. 16εἴ τις ἔχει ὦτα ἀκούειν, ἀκουέτω. 17Καὶ ὅτε εἰσῆλθεν εἰς οἶκον ἀπὸ τοῦ ὄχλου, ἐπηρώτων αὐτὸν οἱ μαθηταὶ αὐτοῦ περὶ τῆς παραβολῆς. 18καὶ λέγει αὐτοῖς· οὕτω καὶ ὑμεῖς ἀσύνετοί ἐστε; οὔπω νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον εἰς τὸν ἄνθρωπον οὐ δύναται αὐτὸν κοινῶσαι; 19ὅτι οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ' εἰς τὴν κοιλίαν, καὶ εἰς τὸν ἀφεδρῶνα ἐκπορεύεται, καθαρίζον πάντα τὰ βρώματα. 20ἔλεγε δὲ ὅτι τὸ ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄνθρωπον. 21ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι, 22κλοπαί, πλεονεξίαι, πονηρίαι, δόλος, ἀσέλγεια, ὀφθαλμὸς πονηρός, βλασφημία, ὑπερηφανία, ἀφροσύνη· 23πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν ἐκπορεύεται καὶ κοινοῖ τὸν ἄνθρωπον.

turi porunci ale oamenilor. 8Căci lăsând porunca lui Dumnezeu, țineți predania oamenilor: afundările urcioarelor şi ale paharelor şi multe altele asemenea acestora faceți. 9Şi le zicea lor: Cât de bine lepădați porunca lui Dumnezeu ca să țineți predania voastră! 10Căci Moise a zis: *Cinsteşte pe tatăl tău şi pe mama ta,* şi *Cel ce vorbeşte de rău pe tată sau pe mamă, cu moarte să se sfârşească.* 11Voi însă ziceți: De va spune un om tatălui sau mamei sale: Cu ce te-ai fi putut folosi de la mine este Corban, adică dăruit lui Dumnezeu, 12şi nu-l mai lăsați să facă nimic pentru tatăl său sau pentru mama sa, 13desființând cuvântul lui Dumnezeu cu predania voastră, pe care ați dat-o. Şi multe asemenea faceți.

Şi chemând toată mulțimea la El, le zicea: Ascultați-Mă toți şi înțelegeți: 15Nu este nimic din afara omului care, intrând în el, să-l poată spurca, ci cele ce ies din el sunt cele care îl spurcă pe om. 16De are cineva urechi de auzit, să audă. 17Şi când a intrat în casă de la mulțime, L-au întrebat ucenicii Lui despre pildă. 18Şi El le-a zis: Şi voi sunteți aşa lipsiți de înțelegere? Încă nu pricepeți că tot ce intră în om din afară nu poate să-l spurce? 19Că nu intră în inima lui, ci în pântece, şi iese în hazna, curățind toate bucatele. 20Şi zicea că ceea ce iese din om, aceea îl spurcă pe om. 21Căci dinăuntru, din inima oamenilor, ies cugetele rele, adultere, desfrânări, uciderи, 22hoții, lăcomii, viclenii, înşelăciune, destrăbălare, ochiul rău, hulă, mândrie, nesăbuință. 23Toate aceste răutăți ies dinăuntru şi-l spurcă pe om.

Καὶ ἐκεῖθεν ἀναστὰς ἀπῆλθεν εἰς τὰ μεθόρια Τύρου καὶ Σιδῶνος. καὶ εἰσελθὼν εἰς οἰκίαν οὐδένα ἤθελε γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν. 25ἀκούσασα γὰρ γυνὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγάτριον αὐτῆς πνεῦμα ἀκάθαρτον, ἐλθοῦσα προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ· 26ἡ δὲ γυνὴ ἦν Ἑλληνίς, Συροφοινίκισσα τῷ γένει· καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον ἐκβάλῃ ἐκ τῆς θυγατρὸς αὐτῆς. 27ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῇ· ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα· οὐ γάρ ἐστι καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ τοῖς κυναρίοις βαλεῖν. 28ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ· ναί, Κύριε· καὶ τὰ κυνάρια ὑποκάτω τῆς τραπέζης ἐσθίουσιν ἀπὸ τῶν ψιχίων τῶν παιδίων. 29καὶ εἶπεν αὐτῇ· διὰ τοῦτον τὸν λόγον ὕπαγε· ἐξελήλυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου. 30καὶ ἀπελθοῦσα εἰς τὸν οἶκον αὐτῆς εὗρε τὸ παιδίον βεβλημένον ἐπὶ τὴν κλίνην καὶ τὸ δαιμόνιον ἐξεληλυθός.

Şi ridicându-Se de acolo, a plecat în hotarele Tirului şi Sidonului. Şi intrând într-o casă, voia ca nimeni să nu ştie, dar n-a putut să Se tăinuiască. 25Căci auzind despre El o femeie a cărei fiică avea duh necurat, venind, a căzut la picioarele Lui. 26Şi femeia era păgână, siro-feniciană de neam; şi Îl ruga să scoată dracul din fiica ei. 27Iar Iisus i-a spus: Lasă întâi să se satureze fiii; căci nu este bine să iei pâinea fiilor şi s-o arunci câinilor. 28Ea însă a răspuns şi I-a zis: Da, Doamne; dar şi câinii, sub masă, mănâncă din fărâmiturile copiilor. 29Şi i-a zis: Pentru acest cuvânt, mergi; a ieşit dracul din fiica ta. 30Iar ea, plecând la casa ei, a găsit copila culcată în pat şi dracul ieşit.

Καὶ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων Τύρου καὶ Σιδῶνος ἦλθε πρὸς τὴν θάλασσαν τῆς Γαλιλαίας ἀνὰ μέσον τῶν ὁρίων Δεκαπόλεως. 32καὶ φέρουσιν αὐτῷ κωφὸν μογιλάλον καὶ παρακαλοῦσιν αὐτὸν ἵνα ἐπιθῇ αὐτῷ τὴν χεῖρα. 33καὶ ἀπολαβόμενος αὐτὸν ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν ἔβαλε τοὺς δακτύλους αὐτοῦ εἰς τὰ ὦτα αὐτοῦ, καὶ πτύσας ἥψατο τῆς γλώσσης αὐτοῦ, 34καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν ἐστέναξε καὶ λέγει αὐτῷ· ἐφφαθά, ὅ ἐστι διανοίχθητι. 35καὶ εὐθέως διηνοίχθησαν αὐτοῦ αἱ ἀκοαὶ καὶ ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ ἐλάλει ὀρθῶς. 36καὶ διεστείλατο αὐτοῖς ἵνα μηδενὶ εἴπωσιν· ὅσον δὲ αὐτὸς αὐτοῖς διεστέλλετο, μᾶλλον περισσότερον ἐκήρυσσον. 37καὶ ὑπερπερισσῶς ἐξεπλήσσοντο λέγοντες· καλῶς πάντα πεποίηκε· καὶ τοὺς κωφοὺς ποιεῖ ἀκούειν καὶ τοὺς ἀλάλους λαλεῖν.

Şi iarăşi ieşind din hotarele Tirului şi Sidonului, a venit la Marea Galileii, între hotarele Decapolei. 32Şi I-au adus un surd gângav şi L-au rugat să-Şi pună mâna peste el. 33Şi luându-l din mulţime, deoparte, Şi-a pus degetele în urechile lui, şi scuipând, S-a atins de limba lui. 34Şi ridicându-Şi privirea la cer, a suspinat şi i-a zis: Effathá! adică: Deschide-te! 35Şi îndată s-a deschis auzul lui şi s-a dezlegat legătura limbii lui, şi vorbea bine. 36Şi le-a poruncit să nu spună nimănui. Dar, cu cât El le poruncea, ei mai mult propovăduiau. 37Şi peste măsură se uimeau zicând: Toate le-a făcut bine: şi pe surzi îi face să audă şi pe muţi să vorbească.

Κεφάλαιον Η΄

Ἐν ἐκείναις ταῖς ἡμέραις πάλιν πολλοῦ ὄχλου ὄντος καὶ μὴ ἐχόντων τί φάγωσι, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς μαθητὰς αὐτοῦ λέγει αὐτοῖς· 2σπλαγχνίζομαι ἐπὶ τὸν ὄχλον, ὅτι ἤδη ἡμέραι τρεῖς προσμένουσί μοι καὶ οὐκ ἔχουσι τί φάγωσι· 3καὶ ἐὰν ἀπολύσω αὐτοὺς νήστεις εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται ἐν τῇ ὁδῷ· τινὲς γὰρ αὐτῶν ἀπὸ μακρόθεν ἥκασι. 4καὶ ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· πόθεν τούτους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ' ἐρημίας; 5καὶ ἐπηρώτα αὐτούς· πόσους ἔχετε ἄρτους; οἱ δὲ εἶπον· ἑπτά. 6καὶ παρήγγειλε τῷ ὄχλῳ ἀναπεσεῖν ἐπὶ τῆς γῆς· καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους εὐχαριστήσας ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ ἵνα παρατιθῶσι· καὶ παρέθηκαν τῷ ὄχλῳ. 7καὶ εἶχον ἰχθύδια ὀλίγα· καὶ αὐτὰ εὐλογήσας εἶπε παρατιθέναι καὶ αὐτά. 8ἔφαγον δὲ καὶ ἐχορτάσθησαν, καὶ ἦραν περισσεύματα κλασμάτων ἑπτὰ σπυρίδας. 9ἦσαν δὲ ὡς τετρακισχίλιοι· καὶ ἀπέλυσεν αὐτούς. 10Καὶ ἐμβὰς εὐθὺς εἰς τὸ πλοῖον μετὰ τῶν μαθητῶν αὐτοῦ ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά.

Καὶ ἐξῆλθον οἱ Φαρισαῖοι καὶ ἤρξαντο συζητεῖν αὐτῷ, ζητοῦντες παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πειράζοντες αὐτόν. 12καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ λέγει· τί ἡ γενεὰ αὕτη σημεῖον ἐπιζητεῖ; ἀμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον. 13καὶ ἀφεὶς αὐτοὺς εἰς τὸ πλοῖον ἀπῆλθε πάλιν.

Καὶ ἐπελάθοντο λαβεῖν ἄρτους, καὶ εἰ μὴ ἕνα ἄρτον οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ. 15καὶ διεστέλλετο αὐτοῖς λέγων· ὁρᾶτε, βλέπετε ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων καὶ τῆς ζύμης Ἡρῴδου. 16καὶ διελογίζοντο πρὸς

Capitolul 8

În zilele acelea, fiind iarăşi mulţime multă şi neavând ce să mănânce, chemând Iisus la Sine pe ucenicii Săi, le-a zis: 2Milă Îmi este de mulţime, că de-acum sunt trei zile de când aşteaptă lângă Mine şi n-au ce să mănânce. 3Şi de-i voi slobozi flămânzi la casa lor, se vor istovi pe drum; că unii dintre ei au venit de departe. 4Şi I-au răspuns ucenicii Lui: De unde va putea cineva să-i sature pe aceştia cu pâini aici în pustie? 5Şi i-a întrebat: Câte pâini aveţi? Iar ei au zis: şapte. 6Şi a poruncit mulţimii să se aşeze pe pământ. Şi luând cele şapte pâini, mulţumind, a frânt şi a dat ucenicilor Săi, ca să le pună înainte. Şi ei le-au pus înaintea mulţimii. 7Şi aveau şi puţini peşti. Şi binecuvântându-i, a zis să-i pună înaintea lor şi pe aceştia. 8Şi au mâncat şi s-au săturat şi au strâns şapte coşuri cu rămăşiţe de bucate. 9Şi ei erau ca la patru mii. Şi i-a slobozit. 10Şi îndată intrând în corabie cu ucenicii Săi, a venit în părţile Dalmanutei.

Şi au ieşit fariseii şi au început să-L întrebe, cerând de la El semn din cer, ispitindu-L. 12Şi Iisus, suspinând cu duhul Său, a zis: Pentru ce neamul acesta cere semn? Amin zic vouă: Nu se va da neamului acestuia semn. 13Şi lăsându-i, a plecat iarăşi în corabie.

Şi au uitat să ia pâini şi nu aveau decât o pâine cu ei în corabie. 15Şi El le-a poruncit, zicând: Vedeţi, păziţi-vă de aluatul fariseilor şi de aluatul lui Irod. 16Şi vorbeau între ei, zicând: Nu avem pâini.

ἀλλήλους λέγοντες ὅτι ἄρτους οὐκ ἔχομεν.
17καὶ γνοὺς ὁ Ἰησοῦς λέγει αὐτοῖς· τί διαλογίζεσθε ὅτι ἄρτους οὐκ ἔχετε; οὔπω νοεῖτε οὐδὲ συνίετε; ἔτι πεπωρωμένην ἔχετε τὴν καρδίαν ὑμῶν; 18ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε, καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ μνημονεύετε; 19ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλίους, καὶ πόσους κοφίνους κλασμάτων πλήρεις ἤρατε; λέγουσιν αὐτῷ· δώδεκα. 20ὅτε δὲ τοὺς ἑπτὰ εἰς τοὺς τετρακισχιλίους, πόσων σπυρίδων πληρώματα κλασμάτων ἤρατε; οἱ δὲ εἶπον· ἑπτά. 21καὶ ἔλεγεν αὐτοῖς· οὔπω συνίετε;

Καὶ ἔρχεται εἰς Βηθσαϊδά. καὶ φέρουσιν αὐτῷ τυφλὸν καὶ παρακαλοῦσιν αὐτὸν ἵνα αὐτοῦ ἅψηται. 23καὶ ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ ἐξήγαγεν αὐτὸν ἔξω τῆς κώμης, καὶ πτύσας εἰς τὰ ὄμματα αὐτοῦ, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ ἐπηρώτα αὐτὸν εἴ τι βλέπει. 24καὶ ἀναβλέψας ἔλεγε· βλέπω τοὺς ἀνθρώπους ὡς δένδρα περιπατοῦντας. 25εἶτα πάλιν ἐπέθηκε τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι, καὶ ἀποκατεστάθη, καὶ ἐνέβλεψε τηλαυγῶς ἅπαντας. 26καὶ ἀπέστειλεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ λέγων· μηδὲ εἰς τὴν κώμην εἰσέλθῃς μηδὲ εἴπῃς τινὶ ἐν τῇ κώμῃ.

Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας Καισαρείας τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ λέγων αὐτοῖς· τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; 28οἱ δὲ ἀπεκρίθησαν· Ἰωάννην τὸν βαπτιστήν, καὶ ἄλλοι Ἠλίαν, ἄλλοι δὲ ἕνα τῶν προφητῶν. 29καὶ αὐτὸς λέγει αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς δὲ ὁ Πέτρος λέγει αὐτῷ· σὺ εἶ ὁ Χριστός. 30καὶ ἐπετίμησεν αὐτοῖς ἵνα μηδενὶ λέγωσι περὶ αὐτοῦ.

Καὶ ἤρξατο διδάσκειν αὐτοὺς ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῶν πρεσβυτέρων

17Şi cunoscând Iisus, le-a zis: De ce vorbiţi între voi că nu aveţi pâine? Tot nu înţelegeţi, nici nu pricepeţi? Încă aveţi inima împietrită? 18Ochi având, nu vedeţi, şi urechi având, nu auziţi? Şi nu vă aduceţi aminte? 19Când am frânt cele cinci pâini la cei cinci mii, câte coşuri pline de rămăşiţe aţi strâns? Zis-au Lui: Douăsprezece. 20Şi cele şapte pâini la cei patru mii de oameni, câte coşuri pline de rămăşiţe aţi strâns? Iar ei au zis: Şapte. 21Şi le zicea: Tot nu pricepeţi?

Şi a venit la Betsaida. Şi I-au adus Lui un orb şi L-au rugat să Se atingă de el. 23Şi luând pe orb de mână, l-a scos afară din sat şi, scuipând pe ochii lui, punându-Şi mâinile peste el, l-a întrebat dacă vede ceva. 24Şi el, ridicându-şi ochii, a zis: Văd oamenii ca pe nişte copaci, umblând. 25După aceea iarăşi a pus mâinile pe ochii lui şi l-a făcut să-şi ridice ochii, şi a venit la starea lui dintâi, şi-i vedea pe toţi lămurit. 26Şi l-a trimis la casa lui, zicându-i: Să nu intri în sat, nici să spui cuiva din sat.

Şi a ieşit Iisus şi ucenicii Lui prin satele Cezareii lui Filip. Şi pe drum îi întreba pe ucenicii Săi, zicându-le: Cine zic oamenii că sunt? 28Iar ei I-au răspuns: Ioan Botezătorul, şi alţii Ilie, iar alţii unul din prooroci. 29Şi El le-a zis: Dar voi cine ziceţi că sunt Eu? Şi răspunzând Petru, I-a zis: Tu eşti Hristosul. 30Şi El le-a dat poruncă să nu spună nimănui despre El.

Şi a început să-i înveţe că Fiul Omului trebuie să pătimească multe şi să fie nesocotit de bătrâni şi de arhierei şi de

καὶ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι· 32καὶ παρρησίᾳ τὸν λόγον ἐλάλει. καὶ προσλαβόμενος αὐτὸν ὁ Πέτρος ἤρξατο ἐπιτιμᾶν αὐτῷ. 33ὁ δὲ ἐπιστραφεὶς καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ ἐπετίμησε τῷ Πέτρῳ λέγων· ὕπαγε ὀπίσω μου, σατανᾶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων.

Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν αὐτοῖς· ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. 35ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν. 36τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; 37ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; 38ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων.

cărturari, şi să fie omorât, şi după trei zile să învieze. 32Şi grăia cuvântul pe faţă. Şi luându-L Petru de o parte, a început să-L certe. 33Dar El, întorcându-Se şi văzându-i pe ucenicii Săi, l-a certat pe Petru, zicând: Mergi înapoia mea, satano! Că tu nu cugeţi cele ale lui Dumnezeu, ci cele ale oamenilor.

Şi chemând la Sine mulţimea împreună cu ucenicii Săi, le-a zis: Oricine voieşte să vină după Mine să se lepede de sine, să-şi ia crucea şi să-Mi urmeze Mie. 35Căci cine va voi să-şi mântuiască sufletul îl va pierde; iar cine va pierde sufletul său pentru Mine şi pentru Evanghelie, acesta îl va mântui. 36Căci ce-i va folosi omului de va câştiga lumea întreagă, dacă va fi păgubit de sufletul său? 37Sau ce va da omul în schimb pentru sufletul său? 38Căci cel ce se va ruşina de Mine şi de cuvintele Mele în neamul acesta adulter şi păcătos, şi Fiul Omului Se va ruşina de el când va veni în slava Tatălui Său cu sfinţii îngeri.

Κεφάλαιον Θ΄

Καὶ ἔλεγεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.

Καὶ μεθ' ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους· καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, 3καὶ τὰ ἱμάτια αὐτοῦ ἐγένετο

Capitolul 9

Şi le zicea lor: Amin zic vouă: Sunt unii din cei ce stau aici care nu vor gusta moartea, până ce nu vor vedea Împărăţia lui Dumnezeu venind întru putere.

Şi după şase zile a luat Iisus cu Sine pe Petru şi pe Iacov şi pe Ioan şi i-a dus într-un munte înalt, deoparte, pe ei singuri; şi S-a schimbat la faţă înaintea lor 3şi veşmintele Lui s-au făcut strălucitoare,

στίλβοντα, λευκὰ λίαν ὡς χιών, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται οὕτω λευκᾶναι. 4καὶ ὤφθη αὐτοῖς Ἠλίας σὺν Μωϋσεῖ, καὶ ἦσαν συλλαλοῦντες τῷ Ἰησοῦ. καὶ ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· 5ῥαββί, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, σοὶ μίαν καὶ Μωϋσεῖ μίαν καὶ Ἠλίᾳ μίαν. 6οὐ γὰρ ᾔδει τί λαλήσῃ· ἦσαν γὰρ ἔκφοβοι. 7καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐτοῖς, καὶ ἦλθε φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε. 8καὶ ἐξάπινα περιβλεψάμενοι οὐκέτι οὐδένα εἶδον, ἀλλὰ τὸν Ἰησοῦν μόνον μεθ' ἑαυτῶν. 9Καταβαινόντων δὲ αὐτῶν ἀπὸ τοῦ ὄρους διεστείλατο αὐτοῖς ἵνα μηδενὶ διηγήσωνται ἃ εἶδον, εἰ μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. 10καὶ τὸν λόγον ἐκράτησαν, πρὸς ἑαυτοὺς συζητοῦντες τί ἐστι τὸ ἐκ νεκρῶν ἀναστῆναι. 11καὶ ἐπηρώτων αὐτὸν λέγοντες, ὅτι λέγουσιν οἱ γραμματεῖς ὅτι Ἠλίαν δεῖ ἐλθεῖν πρῶτον. 12ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· Ἠλίας μὲν ἐλθὼν πρῶτον ἀποκαθιστᾷ πάντα· καὶ πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἵνα πολλὰ πάθῃ καὶ ἐξουδενωθῇ; 13ἀλλὰ λέγω ὑμῖν ὅτι καὶ Ἠλίας ἐλήλυθε, καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν, καθὼς γέγραπται ἐπ' αὐτόν.

Καὶ ἐλθὼν πρὸς τοὺς μαθητὰς εἶδεν ὄχλον πολὺν περὶ αὐτούς, καὶ γραμματεῖς συζητοῦντας αὐτοῖς. 15καὶ εὐθέως πᾶς ὁ ὄχλος ἰδόντες αὐτὸν ἐξεθαμβήθησαν, καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν. 16καὶ ἐπηρώτησε τοὺς γραμματεῖς· τί συζητεῖτε πρὸς ἑαυτούς; 17καὶ ἀποκριθεὶς εἷς ἐκ τοῦ ὄχλου εἶπε· διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρὸς σέ, ἔχοντα πνεῦμα ἄλαλον. 18καὶ ὅπου ἂν αὐτὸν καταλάβῃ, ῥήσσει αὐτόν, καὶ ἀφρίζει καὶ τρίζει τοὺς ὀδόντας αὐτοῦ, καὶ ξηραίνεται· καὶ εἶπον τοῖς μαθηταῖς σου ἵνα αὐτὸ ἐκβάλωσι, καὶ οὐκ ἴσχυσαν. 19ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει· ὦ γενεὰ ἄπιστος, ἕως πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως πότε ἀνέξομαι

albe foarte, ca zăpada, cum nu poate înălbi pe pământ vreun înălbitor. 4Şi li s-a arătat Ilie împreună cu Moise, şi vorbeau cu Iisus. Şi răspunzând Petru, a zis lui Iisus: 5Rabbi, bine este să fim noi aici; şi să facem trei corturi: Ţie unul şi lui Moise unul şi lui Ilie unul. 6Căci nu ştia ce să spună; că erau înfricoşaţi. 7Şi s-a făcut un nor care îi umbrea, şi a venit glas din nor, zicând: Acesta este Fiul Meu cel iubit; pe Acesta să-L ascultaţi. 8Şi deodată, privind ei împrejur, n-au mai văzut pe nimeni, ci pe Iisus singur cu ei. 9Şi, pe când coborau din munte, le-a poruncit ca nimănui să nu povestească ce au văzut, decât numai când Fiul Omului va învia din morţi. 10Şi au ţinut cuvântul, întrebându-se între ei ce înseamnă a învia din morţi? 11Şi L-au întrebat pe El, zicând: Zic cărturarii că Ilie trebuie să vină mai întâi. 12Iar El răspunzând, le-a zis: Ilie, venind întâi, va aduce toate la starea cea dintâi; şi cum este scris pentru Fiul Omului că va să pătimească multe şi să fie disprețuit? 13Dar zic vouă că Ilie a şi venit şi i-au făcut toate câte au voit, precum este scris despre el.

Şi venind la ucenici, a văzut mulţime multă împrejurul lor şi pe cărturari vorbind cu ei. 15Şi îndată toată mulţimea, văzându-L, a fost cuprinsă de uimire şi a alergat să I se închine. 16Şi i-a întrebat pe cărturari: Ce vorbiţi între voi? 17Şi răspunzând unul din mulţime, a zis: Învăţătorule, am adus la Tine pe fiul meu, care are duh mut. 18Şi oriunde-l apucă, îl trânteşte şi spumegă şi scrâşneşte din dinţi şi înţepeneşte. Şi am zis ucenicilor Tăi să-l scoată, dar ei n-au putut. 19Iar El, răspunzându-i, a zis: O, neam necredincios, până când voi fi cu voi? Până când vă voi răbda pe

ὑμῶν; φέρετε αὐτὸν πρός με. καὶ ἤνεγκαν αὐτὸν πρὸς αὐτόν. 20καὶ ἰδὼν αὐτὸν εὐθέως τὸ πνεῦμα ἐσπάραξεν αὐτόν, καὶ πεσὼν ἐπὶ τῆς γῆς ἐκυλίετο ἀφρίζων. 21καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ· πόσος χρόνος ἐστὶν ὡς τοῦτο γέγονεν αὐτῷ; ὁ δὲ εἶπε· παιδιόθεν. 22καὶ πολλάκις αὐτὸν καὶ εἰς πῦρ ἔβαλε καὶ εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν· ἀλλ᾽ εἴ τι δύνασαι, βοήθησον ἡμῖν σπλαγχνισθεὶς ἐφ᾽ ἡμᾶς. 23ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ τὸ εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατὰ τῷ πιστεύοντι. 24καὶ εὐθέως κράξας ὁ πατὴρ τοῦ παιδίου μετὰ δακρύων ἔλεγε· πιστεύω, κύριε· βοήθει μου τῇ ἀπιστίᾳ. 25ἰδὼν δὲ ὁ Ἰησοῦς ὅτι ἐπισυντρέχει ὄχλος, ἐπετίμησε τῷ πνεύματι τῷ ἀκαθάρτῳ λέγων αὐτῷ· τὸ πνεῦμα τὸ ἄλαλον καὶ κωφόν, ἐγώ σοι ἐπιτάσσω, ἔξελθε ἐξ αὐτοῦ καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν. 26καὶ κράξαν καὶ πολλὰ σπαράξαν αὐτὸν ἐξῆλθε, καὶ ἐγένετο ὡσεὶ νεκρός, ὥστε πολλοὺς λέγειν ὅτι ἀπέθανεν. 27ὁ δὲ Ἰησοῦς κρατήσας αὐτὸν τῆς χειρὸς ἤγειρεν αὐτόν, καὶ ἀνέστη. 28Καὶ εἰσελθόντα αὐτὸν εἰς οἶκον οἱ μαθηταὶ αὐτοῦ ἐπηρώτων αὐτὸν κατ᾽ ἰδίαν, ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό. 29καὶ εἶπεν αὐτοῖς· τοῦτο τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν εἰ μὴ ἐν προσευχῇ καὶ νηστείᾳ.

Καὶ ἐκεῖθεν ἐξελθόντες παρεπορεύοντο διὰ τῆς Γαλιλαίας, καὶ οὐκ ἤθελεν ἵνα τις γνῷ· 31ἐδίδασκε γὰρ τοὺς μαθητὰς αὐτοῦ καὶ ἔλεγεν αὐτοῖς ὅτι ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων, καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ ἀποκτανθεὶς τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. 32οἱ δὲ ἠγνόουν τὸ ῥῆμα, καὶ ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι.

Καὶ ἦλθεν εἰς Καπερναούμ· καὶ ἐν τῇ οἰκίᾳ γενόμενος ἐπηρώτα αὐτούς· τί ἐν τῇ ὁδῷ πρὸς ἑαυτοὺς διελογίζεσθε; 34οἱ δὲ ἐσιώπων· πρὸς ἀλλήλους γὰρ διελέχθησαν ἐν τῇ ὁδῷ τίς μείζων. 35καὶ καθίσας ἐφώνησε τοὺς δώδεκα καὶ λέγει αὐτοῖς· εἴ τις θέλει πρῶτος

voi? Aduceți-l la Mine. Şi l-au adus la El. 20Şi văzându-L, îndată duhul l-a scuturat, iar el, căzând la pământ, se zvârcolea spumegând. 21Şi l-a întrebat pe tatăl lui: Câtă vreme este de când i s-a întâmplat aceasta? Iar el a spus: Din copilărie. 22Şi de multe ori l-a aruncat şi în foc şi în apă ca să-l piardă; dar de poți ceva, ajută-ne, milostivindu-Te spre noi. 23Iar Iisus i-a zis: De poți crede, toate sunt cu putință celui ce crede. 24Şi îndată, strigând, tatăl copilului a zis cu lacrimi: Cred, Doamne! Ajută necredinței mele. 25Şi văzând Iisus că mulțimea dă năvală, a certat duhul cel necurat, zicându-i: Duh mut şi surd, Eu îți poruncesc: Ieşi din el şi să nu mai intri în el! 26Şi răcnind şi scuturându-l tare a ieşit; şi s-a făcut ca mort, încât mulți ziceau că a murit. 27Iar Iisus, apucându-l de mână, l-a ridicat, şi el s-a sculat. 28Şi intrând El în casă, ucenicii Lui L-au întrebat deoparte: Noi n-am putut să-l scoatem. 29Şi le-a zis lor: Acest neam cu nimic nu poate ieşi, decât numai cu rugăciune şi cu post.

Şi, ieşind ei de acolo, străbăteau Galileea, iar El nu voia să ştie cineva. 31Căci învăța pe ucenicii Săi şi le spunea că Fiul Omului Se va da în mâinile oamenilor şi-L vor omorî, iar după ce va fi omorît, a treia zi va învia. 32Ei însă nu înțelegeau cuvântul şi se temeau să-L întrebe.

Şi a venit în Capernaum; şi fiind în casă, i-a întrebat: Ce vorbeați între voi pe drum? 34Iar ei tăceau; căci pe cale se sfădiseră între ei cine este mai mare. 35Şi aşezându-se, a chemat pe cei doisprezece şi le-a zis: Dacă cineva vrea să fie cel dintâi,

εἶναι, ἔσται πάντων ἔσχατος καὶ πάντων διάκονος. 36καὶ λαβὼν παιδίον ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν, καὶ ἐναγκαλισάμενος αὐτὸ εἶπεν αὐτοῖς· 37ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με.

Ἀπεκρίθη αὐτῷ ὁ Ἰωάννης λέγων· διδάσκαλε, εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, ὃς οὐκ ἀκολουθεῖ ἡμῖν, καὶ ἐκωλύσαμεν αὐτόν, ὅτι οὐκ ἀκολουθεῖ ἡμῖν. 39ὁ δὲ Ἰησοῦς εἶπε· μὴ κωλύετε αὐτόν· οὐδεὶς γάρ ἐστιν ὃς ποιήσει δύναμιν ἐπὶ τῷ ὀνόματί μου καὶ δυνήσεται ταχὺ κακολογῆσαί με. 40ὃς γὰρ οὐκ ἔστι καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστιν. 41ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδατος ἐν τῷ ὀνόματί μου, ὅτι Χριστοῦ ἐστε, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ.

Καὶ ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμέ, καλόν ἐστιν αὐτῷ μᾶλλον εἰ περίκειται λίθος μυλικὸς περὶ τὸν τράχηλον αὐτοῦ καὶ βέβληται εἰς τὴν θάλασσαν. 43καὶ ἐὰν σκανδαλίζῃ σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν· καλόν σοί ἐστιν κυλλὸν εἰς τὴν ζωὴν εἰσελθεῖν, ἢ τὰς δύο χεῖρας ἔχοντα ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον, 44ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται. 45καὶ ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, ἀπόκοψον αὐτόν· καλόν σοί ἐστιν εἰσελθεῖν εἰς τὴν ζωὴν χωλόν, ἢ τοὺς δύο πόδας ἔχοντα βληθῆναι εἰς τὴν γέενναν, εἰς τὸ πῦρ τὸ ἄσβεστον, 46ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται. 47καὶ ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκβαλε αὐτόν· καλόν σοί ἐστιν μονόφθαλμον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ἢ τοὺς δύο ὀφθαλμοὺς ἔχοντα ἀπελθεῖν εἰς τὴν γέενναν τοῦ πυρός, 48ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ καὶ τὸ πῦρ οὐ σβέννυται. 49πᾶς γὰρ πυρὶ ἁλισθήσεται,

să fie cel din urmă dintre toți și slujitor al tuturor. 36Și luând un copil, l-a pus în mijlocul lor și, luându-l în brațe, le-a zis: 37Cel care va primi în numele Meu pe unul din aceștia copii pe Mine Mă primește; și cel care Mă va primi pe Mine, nu pe Mine Mă primește, ci pe Cel ce M-a trimis pe Mine.

Ioan I-a răspuns, zicând: Învățătorule, am văzut pe cineva scoțând draci în numele Tău, care nu ne urmează nouă, și l-am împiedicat, că nu ne urmează. 39Iar Iisus a zis: Nu-l împiedicați; căci nu este nimeni care să facă vreo minune în numele Meu și să poată degrabă să Mă vorbească de rău. 40Căci cine nu este împotriva voastră este pentru voi. 41Iar cine vă va da să beți un pahar de apă în numele Meu, pentru că sunteți ai lui Hristos, Amin zic vouă, nu-și va pierde plata sa.

Și cine va sminti pe unul dintre aceștia mici, care cred în Mine, mai bine i-ar fi lui dacă i s-ar pune de gât o piatră de moară și ar fi aruncat în mare. 43Și de te smintește mâna ta, tai-o; că mai bine îți este să intri ciung în viață, decât, amândouă mâinile având, să te duci în gheena, în focul cel nestins, 44unde viermele lor nu moare și focul nu se stinge. 45Și dacă piciorul tău te smintește, taie-l; mai bine îți este ție să intri în viață olog decât, amândouă picioarele având, să fii azvârlit în gheena, în focul cel nestins, 46unde viermele lor nu moare și focul nu se stinge. 47Și dacă ochiul tău te smintește, scoate-l; mai bine îți este ție cu un singur ochi să intri în Împărăția lui Dumnezeu, decât, amândoi ochii având, să te duci în gheena focului, 48unde viermele lor nu moare și focul nu se stinge. 49Căci tot omul se va săra cu foc, și toată jertfa se va săra cu

καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται. 50καλὸν τὸ ἅλας· ἐὰν δὲ τὸ ἅλας ἄναλον γένηται, ἐν τίνι αὐτὸ ἀρτύσετε; ἔχετε ἐν ἑαυτοῖς ἅλας καὶ εἰρηνεύετε ἐν ἀλλήλοις.

sare. 50Bună este sarea; dar dacă sarea se face nesărată, cu ce o veți drege? Aveți în voi înşivă sare şi fiți în pace unii cu alții.

Κεφάλαιον Ι΄

Καὶ ἐκεῖθεν ἀναστὰς ἔρχεται εἰς τὰ ὅρια τῆς Ἰουδαίας διὰ τοῦ πέραν τοῦ Ἰορδάνου, καὶ συμπορεύονται πάλιν ὄχλοι πρὸς αὐτόν, καὶ ὡς εἰώθει, πάλιν ἐδίδασκεν αὐτούς. 2καὶ προσελθόντες οἱ Φαρισαῖοι ἐπηρώτων αὐτὸν εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι, πειράζοντες αὐτόν. 3ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· τί ὑμῖν ἐνετείλατο Μωϋσῆς; 4οἱ δὲ εἶπον· ἐπέτρεψε Μωϋσῆς βιβλίον ἀποστασίου γράψαι καὶ ἀπολῦσαι. 5καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν ἐντολὴν ταύτην· 6ἀπὸ δὲ ἀρχῆς κτίσεως ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς ὁ Θεός· 7*ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.* 8ὥστε οὐκέτι εἰσὶ δύο, ἀλλὰ μία σάρξ· 9ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. 10καὶ εἰς τὴν οἰκίαν πάλιν οἱ μαθηταὶ περὶ τούτου ἐπηρώτων αὐτόν, 11καὶ λέγει αὐτοῖς· ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ καὶ γαμήσῃ ἄλλην, μοιχᾶται ἐπ᾽ αὐτήν· 12καὶ ἐὰν γυνὴ ἀπολύσασα τὸν ἄνδρα γαμηθῇ ἄλλῳ, μοιχᾶται.

Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα αὐτῶν ἅψηται· οἱ δὲ μαθηταὶ ἐπετίμων τοῖς προσφέρουσιν. 14ἰδὼν δὲ ὁ Ἰησοῦς ἠγανάκτησε καὶ εἶπεν αὐτοῖς· ἄφετε τὰ παιδία ἔρχεσθαι πρός με, καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων

Capitolul 10

Şi de acolo, sculându-Se, a venit în hotarele Iudeii, prin ținutul de dincolo de Iordan, şi mulțimile s-au adunat iarăşi la El şi, după cum obişnuia, iarăşi le învăța. 2Şi apropiindu-se fariseii, Îl întrebau, ispitindu-L: Este îngăduit, oare, bărbatului să-şi lase femeia? 3Iar El, răspunzând, le-a zis: Ce v-a poruncit vouă Moise? 4Iar ei au zis: Moise a îngăduit să-i scrie carte de despărțire şi să o lase. 5Şi răspunzând, Iisus le-a zis: Pentru învârtoşarea inimii voastre v-a scris porunca aceasta; 6Dar, de la începutul zidirii, bărbat şi femeie i-a făcut pe ei Dumnezeu. 7*Pentru aceea va lăsa omul pe tatăl său şi pe mama sa şi se va alipi de femeia sa şi vor fi amândoi un singur trup.* 8Încât nu mai sunt doi, ci un singur trup; 9aşadar, ceea ce a însoțit Dumnezeu omul să nu despartă. 10Şi în casă ucenicii L-au întrebat iarăşi despre aceasta. 11Şi El le-a zis: Oricine-şi va lăsa femeia şi se va însura cu alta, săvârşeşte adulter față de ea; 12iar dacă femeia, lăsându-şi bărbatul, se va mărita cu altul, săvârşeşte adulter.

Şi aduceau la El copii, ca să Se atingă de ei; iar ucenicii îi certau pe cei ce-i aduceau. 14Şi văzând Iisus, S-a mâniat şi le-a zis: Lăsați copiii să vină la Mine şi nu-i împiedicați; căci a unora ca aceştia

ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. 15ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. 16καὶ ἐναγκαλισάμενος αὐτὰ κατηυλόγει τιθεὶς τὰς χεῖρας ἐπ᾽ αὐτά.

Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδὸν προσδραμὼν εἷς καὶ γονυπετήσας αὐτὸν ἐπηρώτα αὐτόν· διδάσκαλε ἀγαθέ, τί ποιήσω ἵνα ζωὴν αἰώνιον κληρονομήσω; 18ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός. 19τὰς ἐντολὰς οἶδας· *μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ κλέψῃς, μὴ ψευδομαρτυρήσῃς, μὴ ἀποστερήσῃς, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα.* 20ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· διδάσκαλε, ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου. 21ὁ δὲ Ἰησοῦς ἐμβλέψας αὐτῷ ἠγάπησεν αὐτὸν καὶ εἶπεν αὐτῷ· ἕν σε ὑστερεῖ· εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, ὅσα ἔχεις πώλησον καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι, ἄρας τὸν σταυρόν σου. 22ὁ δὲ στυγνάσας ἐπὶ τῷ λόγῳ ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα πολλά. 23καὶ περιβλεψάμενος ὁ Ἰησοῦς λέγει τοῖς μαθηταῖς αὐτοῦ· πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελεύσονται. 24οἱ δὲ μαθηταὶ ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς λέγει αὐτοῖς· τέκνα, πῶς δύσκολόν ἐστι τοὺς πεποιθότας ἐπὶ χρήμασιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν· 25εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. 26οἱ δὲ περισσῶς ἐξεπλήσσοντο λέγοντες πρὸς ἑαυτούς· καὶ τίς δύναται σωθῆναι; 27ἐμβλέψας αὐτοῖς ὁ Ἰησοῦς λέγει· παρὰ ἀνθρώποις ἀδύνατον, ἀλλ᾽ οὐ παρὰ Θεῷ· πάντα γὰρ δυνατά ἐστι παρὰ τῷ Θεῷ. 28Ἤρξατο ὁ Πέτρος λέγειν αὐτῷ· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι. 29ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· ἀμήν λέγω

este Împărăția lui Dumnezeu. 15Amin zic vouă: Cine nu va primi Împărăția lui Dumnezeu ca un copil nu va intra în ea. 16Şi luându-i în brațe, i-a binecuvântat, punându-Şi mâinile peste ei.

Şi când ieşea El în drum, alergând la El unul şi îngenunchind înaintea Lui, Îl întreba: Bunule Învățător, ce să fac ca să moştenesc viața veşnică? 18Iar Iisus i-a zis: De ce Îmi zici bun? Nimeni nu este bun decât Unul Dumnezeu. 19Ştii poruncile: *Să nu săvârşeşti adulter, să nu ucizi, să nu furi, să nu mărturiseşti strâmb, să nu păgubeşti pe nimeni, cinsteşte pe tatăl tău şi pe mama ta.* 20Iar el, răspunzând, I-a zis: Învățătorule, acestea toate le-am păzit din tinerețea mea. 21Iar Iisus, l-a privit cu drag şi i-a zis: Un singur lucru îți mai lipseşte; dacă voieşti să fii desăvârşit, mergi, vinde toate câte ai şi dă săracilor şi vei avea comoară în cer; şi vino, urmează Mie, ridicându-ți crucea ta. 22Dar el, întunecându-se la cuvântul acesta, a plecat întristat; căci avea multe avuții. 23Şi, uitându-Se în jur, Iisus a zis ucenicilor Săi: Cât de greu vor intra în Împărăția lui Dumnezeu cei ce au avuții! 24Şi ucenicii erau uimiți de cuvintele Lui. Şi Iisus, iarăşi răspunzând, le-a zis: Fiilor, cât de greu este celor ce se încred în avuții să intre în Împărăția lui Dumnezeu! 25Mai lesne este cămilei să intre prin urechile acului, decât bogatului să intre în Împărăția lui Dumnezeu. 26Iar ei, mai mult se uimeau, zicând unii către alții: Şi cine poate să se mântuiască? 27Iisus, privind la ei, a zis: La oameni este cu neputință, dar nu la Dumnezeu; căci toate sunt cu putință la Dumnezeu. 28Şi a început Petru să-I zică: Iată, noi am lăsat toate

ὑμῖν, οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν ἢ ἀδελφοὺς ἢ ἀδελφὰς ἢ πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἢ ἀγροὺς ἕνεκεν ἐμοῦ καὶ ἕνεκεν τοῦ εὐαγγελίου, 30ἐὰν μὴ λάβῃ ἑκατονταπλασίονα νῦν ἐν τῷ καιρῷ τούτῳ οἰκίας καὶ ἀδελφοὺς καὶ ἀδελφὰς καὶ πατέρα καὶ μητέρα καὶ τέκνα καὶ ἀγροὺς μετὰ διωγμῶν, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον. 31πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι καὶ ἔσχατοι πρῶτοι.

Ἦσαν δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἰερουσόλυμα· καὶ ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς, καὶ ἐθαμβοῦντο, καὶ ἀκολουθοῦντες ἐφοβοῦντο. καὶ παραλαβὼν πάλιν τοὺς δώδεκα ἤρξατο αὐτοῖς λέγειν τὰ μέλλοντα αὐτῷ συμβαίνειν, 33ὅτι ἰδοὺ ἀναβαίνομεν εἰς Ἰερουσόλυμα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ καὶ παραδώσουσιν αὐτὸν τοῖς ἔθνεσι, 34καὶ ἐμπαίξουσιν αὐτῷ καὶ μαστιγώσουσιν αὐτὸν καὶ ἐμπτύσουσιν αὐτῷ καὶ ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.

Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης υἱοὶ Ζεβεδαίου λέγοντες· διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμεν ποιήσῃς ἡμῖν. 36ὁ δὲ εἶπεν αὐτοῖς· τί θέλετε ποιῆσαί με ὑμῖν; 37οἱ δὲ εἶπον αὐτῷ· δὸς ἡμῖν ἵνα εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων σου καθίσωμεν ἐν τῇ δόξῃ σου. 38ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; 39οἱ δὲ εἶπον αὐτῷ· δυνάμεθα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε· 40τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ᾽ οἷς ἡτοίμασται. 41καὶ ἀκούσαντες οἱ δέκα ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. 42ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος

şi am urmat Ţie. 29Şi răspunzând Iisus, a zis: Amin zic vouă: Nu este niciunul care a lăsat casă, sau fraţi, sau surori, sau tată, sau mamă, sau femeie, sau copii, sau ţarini pentru Mine şi pentru Evanghelie, 30şi să nu ia însutit acum, în vremea aceasta, case, şi fraţi, şi surori, şi tată, şi mamă, şi copii, şi ţarini, cu prigoniri, iar în veacul ce va să vină, viaţă veşnică. 31Şi mulţi dintre cei dintâi vor fi cei de pe urmă, iar cei de pe urmă cei dintâi.

Şi erau pe cale, suind la Ierusalim; şi Iisus mergea înaintea lor, iar ei erau uimiţi şi, urmând Lui, se temeau. Şi luând la Sine iarăşi pe cei doisprezece, a început să le spună cele ce aveau să I se întâmple: 33Iată, ne suim la Ierusalim şi Fiul Omului Se va da arhiereilor şi cărturarilor; şi-L vor osândi la moarte şi-L vor da neamurilor, 34şi-L vor batjocori, şi-L vor biciui, şi-L vor scuipa, şi-L vor omorî, şi a treia zi va învia.

Şi au venit la El Iacov şi Ioan, fiii lui Zevedeu, zicând: Învăţătorule, voim să ne faci ceea ce vom cere. 36Iar El le-a zis: Ce voiţi să vă fac? 37Iar ei I-au zis: Dă-ne nouă să şedem unul de-a dreapta Ta şi altul de-a stânga Ta, întru slava Ta. 38Dar Iisus le-a zis: Nu ştiţi ce cereţi! Puteţi să beţi paharul pe care îl beau Eu şi să vă botezaţi cu botezul cu care Mă botez Eu? 39Iar ei I-au zis: Putem. Şi Iisus le-a zis: Paharul pe care Eu îl beau îl veţi bea şi cu botezul cu care Eu mă botez vă veţi boteza; 40dar a şedea de-a dreapta Mea şi de-a stânga Mea nu este al Meu a da, ci celor pentru care s-a pregătit. 41Şi auzind cei zece, au început a se mânia pe Iacov şi pe Ioan. 42Iar Iisus, chemându-i

αὐτοὺς λέγει αὐτοῖς· οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν· 43οὐχ οὕτω δὲ ἔσται ἐν ὑμῖν, ἀλλ' ὃς ἐὰν θέλῃ γενέσθαι μέγας ἐν ὑμῖν, ἔσται ὑμῶν διάκονος, 44καὶ ὃς ἐὰν θέλῃ ὑμῶν γενέσθαι πρῶτος, ἔσται πάντων δοῦλος· 45καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

Καὶ ἔρχονται εἰς Ἰεριχώ. καὶ ἐκπορευομένου αὐτοῦ ἀπὸ Ἰεριχὼ καὶ τῶν μαθητῶν αὐτοῦ καὶ ὄχλου ἱκανοῦ, ὁ υἱὸς Τιμαίου Βαρτιμαῖος τυφλὸς ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν. 47καὶ ἀκούσας ὅτι Ἰησοῦς ὁ Ναζωραῖός ἐστιν, ἤρξατο κράζειν καὶ λέγειν· υἱὲ Δαυὶδ Ἰησοῦ, ἐλέησόν με. 48καὶ ἐπετίμων αὐτῷ πολλοὶ ἵνα σιωπήσῃ· ὁ δὲ πολλῷ μᾶλλον ἔκραζεν· υἱὲ Δαυὶδ, ἐλέησόν με. 49καὶ στὰς ὁ Ἰησοῦς εἶπε· φωνήσατε αὐτόν· καὶ φωνοῦσι τὸν τυφλὸν λέγοντες αὐτῷ· θάρσει, ἔγειρε· φωνεῖ σε. 50ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ ἀναστὰς ἦλθε πρὸς τὸν Ἰησοῦν. 51καὶ ἀποκριθεὶς λέγει αὐτῷ ὁ Ἰησοῦς· τί σοι θέλεις ποιήσω; ὁ δὲ τυφλὸς εἶπεν αὐτῷ· ῥαββουνί, ἵνα ἀναβλέψω. 52καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· ὕπαγε, ἡ πίστις σου σέσωκέ σε. καὶ εὐθέως ἀνέβλεψε, καὶ ἠκολούθει τῷ Ἰησοῦ ἐν τῇ ὁδῷ.

la Sine, le-a zis: Ştiţi că cei ce se socotesc cârmuitori ai neamurilor domnesc peste ele şi cei mari ai lor le stăpânesc. 43Dar între voi să nu fie aşa, ci cel care va vrea să fie mare între voi să fie slujitor al vostru, 44şi cel care va vrea să fie cel dintâi între voi, să fie rob al tuturor. 45Căci nici Fiul Omului nu a venit să I se slujească, ci ca să slujească şi să-Şi dea sufletul răscumpărare pentru mulţi.

Şi au venit în Ierihon. Şi ieşind El din Ierihon cu ucenicii Lui şi mulţime multă, fiul lui Timeu, Bartimeu orbul, şedea lângă drum, cerşind. 47Şi auzind că este Iisus Nazarineanul, a început să strige şi să zică: Fiule al lui David, Iisuse, miluieşte-mă! 48Şi mulţi îl certau ca să tacă, el însă cu mult mai tare striga: Fiule al lui David, miluieşte-mă! 49Şi oprindu-se Iisus, a zis: Chemaţi-l! Şi l-au chemat pe orb, zicându-i: Îndrăzneşte, scoală-te! Te cheamă. 50Iar el, lepădându-şi haina, ridicându-se, a venit la Iisus. 51Şi răspunzând Iisus, i-a zis: Ce voieşti să-ţi fac? Iar orbul I-a zis: Rabbuni, să văd iarăşi. 52Iar Iisus i-a zis: Mergi, credinţa ta te-a mântuit. Şi îndată a văzut şi urma lui Iisus pe cale.

Κεφάλαιον ΙΑ΄

Καὶ ὅτε ἐγγίζουσιν εἰς Ἰερουσαλὴμ εἰς Βηθσφαγῆ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τῶν ἐλαιῶν, ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ 2καὶ λέγει αὐτοῖς· ὑπάγετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν, καὶ εὐθέως εἰσπορευόμενοι εἰς αὐτὴν εὑρήσετε πῶλον δεδεμένον, ἐφ' ὃν

Capitolul 11

Şi când s-au apropiat de Ierusalim, în Betsfaghe şi Betania, la Muntele Măslinilor, a trimis pe doi dintre ucenicii Săi 2şi le-a zis: Mergeţi în satul din faţa voastră şi, intrând în el, îndată veţi afla un mânz legat, pe care nimeni dintre oameni n-a şezut;

οὐδεὶς ἀνθρώπων κεκάθικε· λύσαντες αὐτὸν ἀγάγετε. 3καὶ ἐάν τις ὑμῖν εἴπῃ· τί ποιεῖτε τοῦτο; εἴπατε ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει, καὶ εὐθέως αὐτὸν ἀποστέλλει πάλιν ὧδε. 4ἀπῆλθον δὲ καὶ εὗρον τὸν πῶλον δεδεμένον πρὸς τὴν θύραν ἔξω ἐπὶ τοῦ ἀμφόδου, καὶ λύουσιν αὐτόν. 5καί τινες τῶν ἐκεῖ ἑστηκότων ἔλεγον αὐτοῖς· τί ποιεῖτε λύοντες τὸν πῶλον; 6οἱ δὲ εἶπον αὐτοῖς καθὼς ἐνετείλατο ὁ Ἰησοῦς, καὶ ἀφῆκαν αὐτούς. 7καὶ ἤγαγον τὸν πῶλον πρὸς τὸν Ἰησοῦν καὶ ἐπέβαλον αὐτῷ τὰ ἱμάτια αὐτῶν, καὶ ἐκάθισεν ἐπ᾽ αὐτῷ. 8πολλοὶ δὲ τὰ ἱμάτια αὐτῶν ἔστρωσαν εἰς τὴν ὁδόν, ἄλλοι δὲ στοιβάδας ἔκοπτον ἐκ τῶν δένδρων καὶ ἐστρώννυον εἰς τὴν ὁδόν. 9καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκραζον λέγοντες· *ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.* 10εὐλογημένη ἡ ἐρχομένη βασιλεία ἐν ὀνόματι Κυρίου τοῦ πατρὸς ἡμῶν Δαυὶδ· ὡσαννὰ ἐν τοῖς ὑψίστοις. 11Καὶ εἰσῆλθεν εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς καὶ εἰς τὸ ἱερόν· καὶ περιβλεψάμενος πάντα, ὀψίας ἤδη οὔσης τῆς ὥρας, ἐξῆλθεν εἰς Βηθανίαν μετὰ τῶν δώδεκα.

Καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας ἐπείνασε· 13καὶ ἰδὼν συκῆν ἀπὸ μακρόθεν ἔχουσαν φύλλα, ἦλθεν εἰ ἄρα τι εὑρήσει ἐν αὐτῇ· καὶ ἐλθὼν ἐπ᾽ αὐτὴν οὐδὲν εὗρεν εἰ μὴ φύλλα· οὐ γὰρ ἦν καιρὸς σύκων. 14καὶ ἀποκριθεὶς εἶπεν αὐτῇ· μηκέτι ἐκ σοῦ εἰς τὸν αἰῶνα μηδεὶς καρπὸν φάγοι. καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ.

Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα· καὶ εἰσελθὼν ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ τοὺς ἀγοράζοντας ἐν τῷ ἱερῷ, καὶ τὰς τραπέζας τῶν κολλυβιστῶν καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περιστερὰς κατέστρεψε, 16καὶ οὐκ ἤφιεν ἵνα τις διενέγκῃ σκεῦος διὰ τοῦ ἱεροῦ, 17καὶ ἐδίδασκε λέγων αὐτοῖς· οὐ γέγραπται ὅτι *ὁ*

dezlegați-l și aduceți-l. 3Și dacă cineva vă va zice: De ce faceți aceasta? Spuneți că Domnul are trebuință de el și îndată îl va trimite înapoi aici. 4Și au plecat și, găsind mânzul legat la poartă, afară, la răspântie, l-au dezlegat. 5Și unii dintre cei ce stăteau acolo au zis lor: Ce faceți, de ce dezlegați mânzul? 6Iar ei le-au zis precum le poruncise Iisus, și i-au lăsat. 7Și au adus mânzul la Iisus și și-au pus pe el veșmintele lor, și a șezut pe el. 8Și mulți și-au așternut veșmintele pe cale, iar alții tăiau ramuri din copaci și le așterneau pe cale. 9Iar cei care mergeau înainte și cei care veneau în urmă strigau, zicând: *Osana! Binecuvântat este Cel ce vine întru numele Domnului!* 10Binecuvântată este Împărăția care vine întru numele Domnului părintelui nostru David! Osana întru cei de sus! 11Și a intrat Iisus în Ierusalim și în templu; și privind împrejur la toate, fiind deja ceas de seară, a ieșit spre Betania împreună cu cei doisprezece.

Și a doua zi, ieșind ei din Betania, a flămânzit. 13Și văzând de departe un smochin înfrunzit, a venit, doar va găsi ceva în el; și venind la el, n-a găsit nimic decât frunze, căci nu era vremea smochinelor. 14Și răspunzând, i-a zis: Nimeni în veac să nu mai mănânce rod din tine! Și ucenicii Lui auzeau.

Și au venit iarăși în Ierusalim; și intrând Iisus în templu, a început să-i scoată afară pe cei care vindeau și pe cei care cumpărau în templu, iar mesele schimbătorilor de bani și scaunele celor care vindeau porumbei le-a răsturnat, 16și nu lăsa pe nimeni să mai treacă prin templu cu vreun vas. 17Și învăța, zicându-le: Oare nu

οἰκός μου οἶκος προσευχῆς κληθήσεται πᾶσι τοῖς ἔθνεσιν; ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. 18καὶ ἤκουσαν οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς, καὶ ἐζήτουν πῶς αὐτὸν ἀπολέσωσιν· ἐφοβοῦντο γὰρ αὐτόν, ὅτι πᾶς ὁ ὄχλος ἐξεπλήσσετο ἐπὶ τῇ διδαχῇ αὐτοῦ. 19καὶ ὅτε ὀψὲ ἐγένετο, ἐξεπορεύετο ἔξω τῆς πόλεως.

Καὶ παραπορευόμενοι πρωῒ εἶδον τὴν συκῆν ἐξηραμμένην ἐκ ῥιζῶν. 21καὶ ἀναμνησθεὶς ὁ Πέτρος λέγει αὐτῷ· ῥαββί, ἴδε ἡ συκῆ ἣν κατηράσω ἐξήρανται. 22καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς λέγει αὐτοῖς· ἔχετε πίστιν Θεοῦ. 23ἀμὴν γὰρ λέγω ὑμῖν ὅτι ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, ἄρθητι καὶ βλήθητι εἰς τὴν θάλασσαν, καὶ μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ, ἀλλὰ πιστεύσει ὅτι ἃ λέγει γίνεται, ἔσται αὐτῷ ὃ ἐὰν εἴπῃ. 24διὰ τοῦτο λέγω ὑμῖν, πάντα ὅσα ἂν προσευχόμενοι αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε, καὶ ἔσται ὑμῖν. 25καὶ ὅταν στήκητε προσευχόμενοι, ἀφίετε εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν. 26εἰ δὲ ὑμεῖς οὐκ ἀφίετε, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.

Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα· καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ ἔρχονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι 28καὶ λέγουσιν αὐτῷ· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἢ τίς σοι ἔδωκε τὴν ἐξουσίαν ταύτην ἵνα ταῦτα ποιῇς; 29ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτοῖς· ἐπερωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. 30τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων; ἀποκρίθητέ μοι. 31καὶ ἐλογίζοντο πρὸς ἑαυτοὺς λέγοντες· ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ· διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; 32ἀλλὰ εἴπωμεν, ἐξ ἀνθρώπων; –ἐφοβοῦντο τὸν λαόν·

este scris: *Casa Mea casă de rugăciune se va chema pentru toate neamurile*? Dar voi aţi făcut-o peşteră de tâlhari. 18Şi au auzit cărturarii şi fariseii şi arhierii şi căutau cum să-L piardă; căci se temeau de El, că toată mulţimea se minuna de învăţătura Lui. 19Şi când s-a făcut seară, a ieşit afară din cetate.

Şi trecând dimineaţa pe acolo, au văzut smochinul uscat din rădăcini. 21Şi amintindu-şi, Petru I-a zis: Rabbi, iată, smochinul pe care l-ai blestemat s-a uscat. 22Şi răspunzând Iisus, le-a zis: Aveţi credinţă în Dumnezeu. 23Căci amin zic vouă: Oricine va zice muntelui acestuia: Ridică-te şi aruncă-te în mare! şi nu se va îndoi în inima sa, ci va crede că ceea ce zice se face, va fi lui ceea ce va zice. 24Pentru aceasta zic vouă: Toate câte cereţi, rugându-vă, să credeţi că le veţi primi, şi vor fi vouă. 25Şi când staţi de vă rugaţi, iertaţi dacă aveţi ceva împotriva cuiva, ca şi Tatăl vostru Cel din ceruri să vă ierte vouă greşelile voastre. 26Iar dacă voi nu iertaţi, nici Tatăl vostru nu vă va ierta greşelile voastre.

Şi au venit iarăşi în Ierusalim; şi mergând El prin templu, au venit la El arhiereii şi cărturarii şi bătrânii 28şi I-au zis: Cu ce putere faci acestea? Sau cine Ţi-a dat Ţie puterea aceasta, ca să faci acestea? 29Iar Iisus, răspunzând, le-a zis: Vă voi întreba şi Eu pe voi un cuvânt şi să-Mi răspundeţi şi vă voi spune cu ce putere fac acestea. 30Botezul lui Ioan din cer a fost sau de la oameni? Răspundeţi-Mi! 31Şi cugetau între ei, zicând: De vom zice: Din cer, va spune: De ce, atunci, n-aţi crezut lui? 32Să zicem oare: De la oameni? – se temeau de popor; căci toţi îl aveau pe Ioan

ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην ὅτι προφήτης ἦν. 33καὶ ἀποκριθέντες λέγουσι τῷ Ἰησοῦ· οὐκ οἴδαμεν. καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς λέγει αὐτοῖς· οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

de prooroc. 33Şi răspunzând, I-au zis lui Iisus: Nu ştim. Iar Iisus, răspunzând, le-a zis: Nici Eu nu vă spun cu ce putere fac acestea.

Κεφάλαιον ΙΒ΄

Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λέγειν· ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος καὶ περιέθηκε φραγμὸν καὶ ὤρυξεν ὑπολήνιον καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησε. 2καὶ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος. 3καὶ λαβόντες αὐτὸν ἔδειραν καὶ ἀπέστειλαν κενόν. 4καὶ πάλιν ἀπέστειλε πρὸς αὐτοὺς ἄλλον δοῦλον· κἀκεῖνον λιθοβολήσαντες ἐκεφαλαίωσαν καὶ ἀπέστειλαν ἠτιμωμένον. 5καὶ πάλιν ἄλλον ἀπέστειλε· κἀκεῖνον ἀπέκτειναν, καὶ πολλοὺς ἄλλους, οὓς μὲν δέροντες, οὓς δὲ ἀποκτέννοντες. 6ἔτι οὖν ἕνα υἱὸν ἔχων, ἀγαπητὸν αὐτοῦ, ἀπέστειλε καὶ αὐτὸν ἔσχατον πρὸς αὐτοὺς λέγων ὅτι ἐντραπήσονται τὸν υἱόν μου. 7ἐκεῖνοι δὲ οἱ γεωργοί, θεασάμενοι αὐτὸν ἐρχόμενον, πρὸς ἑαυτοὺς εἶπον ὅτι οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτόν, καὶ ἡμῶν ἔσται ἡ κληρονομία. 8καὶ λαβόντες ἀπέκτειναν αὐτὸν καὶ ἐξέβαλον αὐτὸν ἔξω τοῦ ἀμπελῶνος. 9τί οὖν ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος; ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. 10οὐδὲ τὴν γραφὴν ταύτην ἀνέγνωτε, *λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν*

Capitolul 12

Şi a început să le vorbească lor în pilde: Un om a sădit vie şi a împrejmuit-o cu gard şi a săpat teasc şi a clădit turn, şi a dat-o lucrătorilor şi a plecat departe. 2Şi, la vreme, a trimis la lucrători un rob, ca să ia de la lucrători din rodul viei. 3 Iar ei, prinzându-l, l-au bătut şi l-au trimis înapoi deşert. 4Şi iarăşi a trimis la ei alt rob; şi pe acela, bătându-l cu pietre, i-au spart capul şi l-au trimis batjocorit. 5Şi iarăşi a trimis altul; şi pe acela l-au omorât, şi pe mulţi alţii, pe unii bătându-i, pe alţii omorându-i. 6Mai mult încă, având un fiu, iubit lui, l-a trimis şi pe el la urmă la ei, zicând: Se vor ruşina de fiul meu. 7Iar lucrătorii aceia, văzându-l venind, au zis între ei: Acesta este moştenitorul; veniţi să-l omorâm şi a noastră va fi moştenirea. 8Şi prinzându-l, l-au omorât şi l-au scos afară din vie. 9Deci, ce va face domnul viei? Va veni şi va pierde pe lucrătorii aceştia şi va da via altora. 10Nici scriptura aceasta n-aţi citit-o: *Piatra pe care au nesocotit-o ziditorii, aceasta a ajuns în capul unghiului;* 11*de la Domnul s-a făcut aceasta şi este minunată în ochii noştri*? 12Şi căutau să-L prindă, dar s-au temut de mulţime; căci

γωνίας· 11παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν; 12Καὶ ἐζήτουν αὐτὸν κρατῆσαι, καὶ ἐφοβήθησαν τὸν ὄχλον· ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν εἶπε. καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.

Καὶ ἀποστέλλουσι πρὸς αὐτόν τινας τῶν Φαρισαίων καὶ τῶν Ἡρῳδιανῶν ἵνα αὐτὸν ἀγρεύσωσι λόγῳ. 14οἱ δὲ ἐλθόντες λέγουσιν αὐτῷ· διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις. εἶπον οὖν ἡμῖν· ἔξεστι δοῦναι κῆνσον Καίσαρι ἢ οὔ; δῶμεν ἢ μὴ δῶμεν; 15ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν εἶπεν αὐτοῖς· τί με πειράζετε; φέρετέ μοι δηνάριον ἵνα ἴδω. 16οἱ δὲ ἤνεγκαν. καὶ λέγει αὐτοῖς· τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; οἱ δὲ εἶπον· Καίσαρος. 17καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀπόδοτε τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. καὶ ἐθαύμασαν ἐπ' αὐτῷ.

Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτόν, οἵτινες λέγουσιν ἀνάστασιν μὴ εἶναι, καὶ ἐπηρώτων αὐτὸν λέγοντες· 19διδάσκαλε, Μωϋσῆς ἔγραψεν ἡμῖν ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ καὶ καταλίπῃ γυναῖκα, καὶ τέκνα μὴ ἀφῇ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. 20ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν. καὶ ὁ πρῶτος ἔλαβε γυναῖκα, καὶ ἀποθνήσκων οὐκ ἀφῆκε σπέρμα. 21καὶ ὁ δεύτερος ἔλαβεν αὐτήν, καὶ ἀπέθανε, καὶ οὐδὲ αὐτὸς οὐκ ἀφῆκε σπέρμα. καὶ ὁ τρίτος ὡσαύτως. 22καὶ ἔλαβον αὐτὴν οἱ ἑπτά, καὶ οὐκ ἀφῆκαν σπέρμα. ἐσχάτη πάντων ἀπέθανε καὶ ἡ γυνή. 23ἐν τῇ οὖν ἀναστάσει, ὅταν ἀναστῶσι, τίνος αὐτῶν ἔσται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. 24καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐ διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰς γραφὰς μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ; 25ὅταν γὰρ ἐκ νεκρῶν ἀναau cunoscut că pentru ei a spus pilda. Şi lăsându-L, au plecat.

Şi au trimis la El pe unii dintre farisei şi irodieni ca să-L prindă în cuvânt. 14Iar ei, venind, I-au zis: Învăţătorule, ştim că eşti neprefăcut şi nu-Ţi pasă de nimeni; căci nu cauţi la faţa oamenilor, ci înveţi cu adevărat calea lui Dumnezeu. Spune-ne nouă, deci: Este îngăduit să dăm dajdie Cezarului sau nu? Să dăm sau să nu dăm? 15Iar El, cunoscând făţărnicia lor, le-a zis: De ce Mă ispitiţi? Aduceţi-Mi un dinar ca să văd. 16Iar ei au adus. Şi le-a zis lor: Al cui este chipul acesta şi inscripţia? Iar ei au zis: Ale Cezarului. 17Şi răspunzând Iisus, le-a zis: Daţi Cezarului cele ale Cezarului şi lui Dumnezeu cele ale lui Dumnezeu. Şi s-au minunat de El.

Şi au venit la El saducheii, care zic că nu este înviere, şi L-au întrebat pe El zicând: 19Învăţătorule, Moise ne-a scris nouă că, dacă fratele cuiva moare şi lasă în urmă femeie, iar copii nu lasă, să ia fratele lui pe femeia lui şi să ridice sămânţă fratelui său. 20Erau, deci, şapte fraţi. Şi cel dintâi a luat femeie şi, murind, nu a lăsat sămânţă. 21 Şi al doilea a luat-o pe ea, şi a murit, şi nici el nu a lăsat sămânţă. Şi al treilea asemenea. 22Şi au luat-o pe ea cei şapte şi nu au lăsat sămânţă. La urma tuturor a murit şi femeia. 23Deci, la înviere, când vor învia, a căruia dintre ei va fi femeia? Căci cei şapte au avut-o pe ea femeie. 24Şi răspunzând Iisus, le-a zis: Nu pentru aceasta rătăciţi, neştiind Scripturile, nici puterea lui Dumnezeu? 25Căci, când vor învia din morţi, nici nu

στῶσιν, οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι οἱ ἐν τοῖς οὐρανοῖς. 26περὶ δὲ τῶν νεκρῶν ὅτι ἐγείρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ Μωϋσέως, ἐπὶ τοῦ βάτου πῶς εἶπεν αὐτῷ ὁ Θεὸς λέγων, *ἐγὼ ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ καὶ ὁ Θεὸς Ἰακώβ*; 27οὐκ ἔστιν ὁ Θεὸς νεκρῶν, ἀλλὰ ζώντων· ὑμεῖς οὖν πολὺ πλανᾶσθε.

Καὶ προσελθὼν εἷς τῶν γραμματέων, ἀκούσας αὐτῶν συζητούντων, ἰδὼν ὅτι καλῶς αὐτοῖς ἀπεκρίθη, ἐπηρώτησεν αὐτόν· ποία ἐστὶ πρώτη πάντων ἐντολή; 29ὁ δὲ Ἰησοῦς ἀπεκρίθη αὐτῷ ὅτι πρώτη πάντων ἐντολή· *ἄκουε, Ἰσραήλ, Κύριος ὁ Θεὸς ἡμῶν Κύριος εἷς ἐστι·* 30*καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς διανοίας σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου.* αὕτη πρώτη ἐντολή. 31καὶ δευτέρα ὁμοία, αὕτη· *ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.* μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστι. 32καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς· καλῶς, διδάσκαλε, ἐπ' ἀληθείας εἶπας ὅτι εἷς ἐστι καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ· 33καὶ τὸ ἀγαπᾶν αὐτὸν ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς συνέσεως καὶ ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν πλεῖόν ἐστι πάντων τῶν ὁλοκαυτωμάτων καὶ θυσιῶν. 34καὶ ὁ Ἰησοῦς ἰδὼν ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ· οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ Θεοῦ. καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι.

se însoară, nici nu se mărită, ci sunt ca îngerii cei din ceruri. 26Iar despre morți, că se vor scula, nu ați citit în cartea lui Moise, cum i-a zis Dumnezeu lui, la rug, zicând: *Eu sunt Dumnezeul lui Avraam şi Dumnezeul lui Isaac şi Dumnezeul lui Iacov*? 27Dumnezeu nu este al morților, ci al viilor; voi, aşadar, mult rătăciți.

Şi apropiindu-se unul din cărturari, auzindu-i pe ei vorbind, văzând că le-a răspuns bine, L-a întrebat: Care este întâia poruncă dintre toate? 29Iar Iisus i-a răspuns: Cea dintâi poruncă dintre toate este: *Ascultă, Israele, Domnul Dumnezeul nostru este Unul Domn;* 30*şi Să iubeşti pe Domnul Dumnezeul tău din toată inima ta şi din tot sufletul tău şi din tot cugetul tău şi din toată tăria ta.* Aceasta este cea dintâi poruncă. 31Şi cea de-a doua, asemenea, aceasta este: *Să iubeşti pe aproapele tău ca pe tine însuți.* Mai mare decât acestea altă poruncă nu este. 32Şi I-a zis Lui cărturarul: Bine, Învățătorule, după adevăr ai spus că unul este şi nu este altul afară de El; 33şi să-L iubeşti pe El din toată inima şi din toată înțelegerea şi din tot sufletul şi din toată tăria, şi să iubeşti pe aproapele ca pe tine însuți este mai mult decât toate arderile de tot şi jertfele. 34Şi Iisus, văzând că a răspuns cu înțelepciune, a zis lui: Nu eşti departe de Împărăția lui Dumnezeu. Şi nimeni nu mai îndrăznea să-L întrebe.

Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγε διδάσκων ἐν τῷ ἱερῷ· πῶς λέγουσιν οἱ γραμματεῖς ὅτι ὁ Χριστὸς υἱὸς Δαυὶδ ἐστι; 36αὐτὸς γὰρ Δαυὶδ εἶπεν ἐν Πνεύματι Ἁγίῳ· *λέγει ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.* 37αὐτὸς οὖν Δαυὶδ λέγει αὐτὸν Κύριον·

Şi răspunzând Iisus, zicea învățând în templu: Cum zic cărturarii că Hristos este Fiul lui David? 36Căci însuşi David a spus în Duhul Sfânt: *Zice Domnul Domnului meu, şezi de-a dreapta Mea până ce voi pune pe vrăjmaşii Tăi aşternut picioarelor Tale.* 37Deci, însuşi David Îl numeşte pe

καὶ πόθεν υἱὸς αὐτοῦ ἐστι; καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως.

Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ· βλέπετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων ἐν στολαῖς περιπατεῖν καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς 39καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις. 40οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσευχόμενοι· οὗτοι λήψονται περισσότερον κρῖμα.

Καὶ καθίσας ὁ Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακίου ἐθεώρει πῶς ὁ ὄχλος βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον. 42καὶ πολλοὶ πλούσιοι ἔβαλλον πολλά· καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλε λεπτὰ δύο, ὅ ἐστι κοδράντης. 43καὶ προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων ἔβαλε τῶν βαλλόντων εἰς τὸ γαζοφυλάκιον· 44πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον· αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς.

El Domn; de unde, dar, este fiu al lui? Şi mulţimea cea multă Îl asculta cu bucurie.

Şi le zicea lor în învăţătura Lui: Păziţi-vă de cărturari, care vor să se plimbe în haine lungi şi caută plecăciunile în pieţe 39şi scaunele din faţă în sinagogi şi locul cel dintâi la ospeţe. 40Cei ce le mănâncă văduvelor casele şi se roagă îndelung cu făţărnicie, aceştia vor lua mai mare osândă.

Şi şezând Iisus în faţa cutiei darurilor, vedea cum mulţimea pune bani de aramă în cutia darurilor. 42Şi mulţi bogaţi puneau mulţi bani; şi venind o văduvă săracă a pus doi bănuţi, adică un codrant. 43Şi chemând pe ucenicii Săi, le-a zis: Amin zic vouă, că văduva aceasta săracă a pus mai mult decât toţi cei care pun în cutia darurilor; 44căci toţi din prisosul lor au pus; iar aceasta din sărăcia ei a pus tot ce avea, toată avuţia ei.

Κεφάλαιον ΙΓ΄

Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ· διδάσκαλε, ἴδε ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί. 2καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτῷ· βλέπεις ταύτας τὰς μεγάλας οἰκοδομάς; οὐ μὴ ἀφεθῇ ὧδε λίθος ἐπὶ λίθον ὃς οὐ μὴ καταλυθῇ.

Καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ, ἐπηρώτων αὐτὸν κατ' ἰδίαν Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας· 4εἰπὲ ἡμῖν πότε ταῦτα ἔσται,

Capitolul 13

Şi ieşind El din templu, I-a zis unul dintre ucenicii Lui: Învăţătorule, uite ce pietre şi ce zidiri. 2Şi Iisus, răspunzând, i-a zis: Vezi aceste zidiri mari? Nu se va lăsa aici piatră pe piatră, care să nu fie risipită.

Şi şezând El pe Muntele Măslinilor, faţă în faţă cu templul, L-au întrebat deoparte Petru şi Iacov şi Ioan şi Andrei: 4Spune-ne nouă când vor fi acestea şi ce

καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ πάντα ταῦτα συντελεῖσθαι; 5ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς ἤρξατο λέγειν αὐτοῖς· βλέπετε μή τις ὑμᾶς πλανήσῃ. 6πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι ἐγώ εἰμι, καὶ πολλοὺς πλανήσουσιν. 7ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκοὰς πολέμων, μὴ θροεῖσθε· δεῖ γὰρ γενέσθαι, ἀλλ' οὔπω τὸ τέλος. 8ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται σεισμοὶ κατὰ τόπους, καὶ ἔσονται λιμοὶ καὶ ταραχαί. 9ἀρχαὶ ὠδίνων ταῦτα. Βλέπετε δὲ ὑμεῖς ἑαυτούς. παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν δαρήσεσθε, καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων σταθήσεσθε ἕνεκεν ἐμοῦ εἰς μαρτύριον αὐτοῖς· 10καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον κηρυχθῆναι τὸ εὐαγγέλιον. 11ὅταν δὲ ἀγάγωσιν ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε τί λαλήσητε, μηδὲ μελετᾶτε, ἀλλ' ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε· οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τὸ Ἅγιον. 12παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς. 13καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται. 14Ὅταν δὲ ἴδητε *τὸ βδέλυγμα τῆς ἐρημώσεως* τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου ἑστὼς ὅπου οὐ δεῖ –ὁ ἀναγινώσκων νοείτω– τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, 15ὁ δὲ ἐπὶ τοῦ δώματος μὴ καταβάτω εἰς τὴν οἰκίαν μηδὲ εἰσελθέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, 16καὶ ὁ εἰς τὸν ἀγρὸν ὢν μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω ἆραι τὸ ἱμάτιον αὐτοῦ. 17οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. 18προσεύχεσθε δὲ ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν χειμῶνος. 19ἔσονται γὰρ αἱ ἡμέραι ἐκεῖναι θλῖψις, οἵα οὐ γέγονε τοιαύτη ἀπ' ἀρχῆς κτίσεως ἧς ἔκτισεν ὁ Θεὸς ἕως τοῦ νῦν καὶ οὐ μὴ γένηται. 20καὶ εἰ μὴ

semn va fi când toate acestea au să se săvârşească? 5Iar Iisus, răspunzând, a început să le spună: Vedeţi să nu vă amăgească cineva. 6Căci mulţi vor veni în numele Meu, zicând: Eu sunt, şi pe mulţi îi vor amăgi. 7Iar când veţi auzi de războaie şi de veşti de războaie să nu vă înfricoşaţi; căci trebuie să fie, dar încă nu este sfârşitul. 8Căci se va ridica neam peste neam şi împărăţie peste împărăţie, şi vor fi cutremure pe alocuri, şi vor fi foamete şi tulburări. 9Începuturile durerilor vor fi acestea. Luaţi seama la voi înşivă. Căci vă vor da în sinedrii şi veţi fi bătuţi în sinagogile lor, şi în faţa căpeteniilor şi a împăraţilor veţi sta pentru Mine, spre mărturie lor; 10şi mai întâi trebuie să se propovăduiască Evanghelia la toate neamurile. 11Iar când vă vor aduce şi vă vor da pe mâinile lor, nu vă îngrijiţi de mai înainte ce veţi vorbi, nici nu vă gândiţi, ci ceea ce se va da vouă în acel ceas, aceasta să grăiţi; căci nu voi sunteţi cei care grăiţi, ci Duhul cel Sfânt. 12Şi va da frate pe frate la moarte şi tată pe fiu, şi se vor răzvrăti fiii împotriva părinţilor şi-i vor omorî. 13Şi veţi fi urâţi de toţi pentru numele Meu; dar cel ce va răbda până la sfârşit, acela se va mântui. 14Iar când veţi vedea *urâciunea pustiirii*, ceea ce s-a zis de Daniel proorocul, stând unde nu se cuvine – cel ce citeşte să înţeleagă! – atunci cei din Iudeea să fugă în munţi, 15iar cel de pe acoperiş să nu coboare în casă, nici să intre să-şi ia ceva din casă, 16iar cel care este la ţarină să nu se întoarcă înapoi să-şi ia haina. 17Dar vai celor ce vor avea în pântece şi celor ce vor alăpta în acele zile! 18Rugaţi-vă să nu fie fuga voastră iarna. 19Căci vor fi zilele acelea strâmtorare, cum nu a mai

ἐκολόβωσε Κύριος τὰς ἡμέρας, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· ἀλλὰ διὰ τοὺς ἐκλεκτοὺς οὓς ἐξελέξατο ἐκολόβωσε τὰς ἡμέρας. 21καὶ τότε ἐάν τις ὑμῖν εἴπῃ, Ἰδοὺ ὧδε ὁ Χριστός, Ἰδοὺ ἐκεῖ, μὴ πιστεύετε. 22ἐγερθήσονται γὰρ ψευδόχριστοι καὶ ψευδοπροφῆται καὶ δώσουσι σημεῖα καὶ τέρατα πρὸς τὸ ἀποπλανᾶν, εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς. 23ὑμεῖς δὲ βλέπετε· ἰδοὺ προείρηκα ὑμῖν ἅπαντα.

Ἀλλ' ἐν ἐκείναις ταῖς ἡμέραις, μετὰ τὴν θλῖψιν ἐκείνην ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, 25καὶ οἱ ἀστέρες ἔσονται ἐκ τοῦ οὐρανοῦ πίπτοντες, καὶ αἱ δυνάμεις αἱ ἐν τοῖς οὐρανοῖς σαλευθήσονται. 26καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλαις μετὰ δυνάμεως πολλῆς καὶ δόξης. 27καὶ τότε ἀποστελεῖ τοὺς ἀγγέλους αὐτοῦ καὶ ἐπισυνάξει τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρου τῆς γῆς ἕως ἄκρου τοῦ οὐρανοῦ.

Ἀπὸ δὲ τῆς συκῆς μάθετε τὴν παραβολήν. ὅταν αὐτῆς ὁ κλάδος ἤδη γένηται ἁπαλὸς καὶ ἐκφύῃ τὰ φύλλα, γινώσκετε ὅτι ἐγγὺς τὸ θέρος ἐστίν· 29οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. 30ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη μέχρις οὗ πάντα ταῦτα γένηται. 31ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ ἐμοὶ λόγοι οὐ μὴ παρελεύσονται. 32Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι ἐν οὐρανῷ, οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ. 33Βλέπετε, ἀγρυπνεῖτε καὶ προσεύχεσθε· οὐκ οἴδατε γὰρ πότε ὁ καιρός ἐστιν. 34ὡς ἄνθρωπος ἀπόδημος, ἀφεὶς τὴν οἰκίαν αὐτοῦ, καὶ δοὺς τοῖς δούλοις αὐτοῦ τὴν ἐξουσίαν, καὶ ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ. 35γρηγορεῖτε οὖν· οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται,

fost până acum de la începutul zidirii pe care a zidit-o Dumnezeu şi nici nu va mai fi. 20Şi dacă n-ar scurta Dumnezeu zilele, nu s-ar mântui nici un trup; dar pentru cei aleşi, pe care i-a ales, a scurtat zilele. 21Şi atunci, dacă vă va spune cineva: Iată, Hristos este aici, iată acolo, să nu credeţi. 22Căci se vor ridica hristoşi mincinoşi şi prooroci mincinoşi, şi vor face semne şi minuni, ca să-i amăgească, de va fi cu putinţă, şi pe cei aleşi. 23Voi însă luaţi seama! Iată, v-am spus de mai înainte toate.

Dar în acele zile, după strâmtorarea aceea, soarele se va întuneca şi luna nu-şi va mai da strălucirea ei, 25iar stelele vor cădea din cer, şi puterile cele din ceruri se vor clătina. 26Şi atunci vor vedea pe Fiul Omului venind în nori cu putere multă şi cu slavă. 27Şi atunci va trimite pe îngerii Săi şi va aduna pe cei aleşi ai Săi din cele patru vânturi, de la marginea pământului până la marginea cerului.

Învăţaţi de la smochin pilda. Când mlădiţa lui se face fragedă şi înfrunzeşte, ştiţi că aproape este vara; 29aşa şi voi, când veţi vedea făcându-se acestea, să ştiţi că aproape este, la uşă. 30Amin zic vouă, că nu va trece neamul acesta până nu vor fi toate acestea. 31Cerul şi pământul vor trece, dar cuvintele Mele nu vor trece. 32Iar despre ziua sau ceasul acela nimeni nu ştie, nici îngerii în cer, nici Fiul, decât numai Tatăl. 33Luaţi seama, privegheaţi şi vă rugaţi; căci nu ştiţi când este vremea. 34Ca un om plecat departe, care şi-a lăsat casa şi a dat robilor săi stăpânirea şi fiecăruia lucrul lui, iar portarului i-a poruncit să privegheze. 35Privegheaţi, deci; căci nu ştiţi când vine Domnul casei, seara, sau la miezul nopţii, sau la cântatul cocoşului, sau dimineaţa;

ὀψὲ ἢ μεσονυκτίου ἢ ἀλεκτοροφωνίας ἢ πρωΐ· 36μὴ ἐλθὼν ἐξαίφνης εὕρῃ ὑμᾶς καθεύδοντας. 37ἃ δὲ ὑμῖν λέγω, πᾶσι λέγω· γρηγορεῖτε.

36ca nu cumva, venind fără de veste, să vă afle dormind. 37Iar cele ce vă spun vouă, tuturor spun: Privegheați!

Κεφάλαιον ΙΔ΄

Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας. καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσιν. 2ἔλεγον δὲ μή ἐν τῇ ἑορτῇ, μήποτε θόρυβος ἔσται τοῦ λαοῦ.

Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ ἦλθε γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου πιστικῆς πολυτελοῦς, καὶ συντρίψασα τὸ ἀλάβαστρον κατέχεεν αὐτοῦ κατὰ τῆς κεφαλῆς. 4ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτοὺς λέγοντες· εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν; 5ἠδύνατο γὰρ τοῦτο τὸ μύρον πραθῆναι ἐπάνω τριακοσίων δηναρίων καὶ δοθῆναι τοῖς πτωχοῖς· καὶ ἐνεβριμῶντο αὐτῇ. 6ὁ δὲ Ἰησοῦς εἶπεν· ἄφετε αὐτήν· τί αὐτῇ κόπους παρέχετε; καλὸν ἔργον εἰργάσατο ἐν ἐμοί. 7πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε μεθ' ἑαυτῶν, καὶ ὅταν θέλητε δύνασθε αὐτοὺς εὖ ποιῆσαι· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. 8ὃ ἔσχεν αὕτη ἐποίησε· προέλαβε μυρίσαι μου τὸ σῶμα εἰς τὸν ἐνταφιασμόν. 9ἀμὴν λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς.

Καὶ Ἰούδας ὁ Ἰσκαριώτης, εἷς τῶν δώδεκα, ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς ἵνα παραδῷ αὐτὸν αὐτοῖς. 11οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύρια δοῦναι· καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν παραδῷ.

Capitolul 14

Și erau Paștile și Azimile după două zile. Și căutau arhiereii și cărturarii cum să-L prindă cu vicleșug și să-L omoare. 2Dar ziceau: Nu la sărbătoare, ca nu cumva să fie tulburare în popor.

Și, fiind El în Betania în casa lui Simon leprosul, șezând la masă, a venit o femeie care avea un alabastru cu mir de nard curat de mare preț și, spărgând alabastrul, a turnat mirul pe capul Lui. 4Și unii s-au mâniat, zicând între ei: Pentru ce s-a făcut această risipă de mir? 5Căci mirul acesta se putea vinde cu peste trei sute de dinari și să se dea săracilor; și îi vorbeau ei cu asprime. 6Iar Iisus a zis: Lăsați-o! Pentru ce îi faceți supărare? Bun lucru a făcut ea cu Mine. 7Căci pe săraci totdeauna îi aveți cu voi și oricând voiți puteți să le faceți bine; dar pe Mine nu Mă aveți totdeauna. 8Ce avea de făcut a făcut: a apucat să ungă de mai înainte trupul Meu spre îngropare. 9Amin zic vouă: Oriunde se va propovădui Evanghelia aceasta în toată lumea, și ceea ce a făcut ea se va spune, spre pomenirea ei.

Și Iuda Iscarioteanul, unul din cei doisprezece, a plecat la arhierei ca să-L dea pe El în mâinile lor. 11Iar ei, auzind, s-au bucurat și i-au făgăduit lui să-i dea arginți; și căuta cum să-L dea în mâinile lor la vreme potrivită.

Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν ἵνα φάγῃς τὸ πάσχα; 13καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς· ὑπάγετε εἰς τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ, 14καὶ ὅπου ἐὰν εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ ὅτι ὁ διδάσκαλος λέγει· ποῦ ἐστι τὸ κατάλυμά μου ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; 15καὶ αὐτὸς ὑμῖν δείξει ἀνώγαιον μέγα ἐστρωμένον ἕτοιμον· ἐκεῖ ἑτοιμάσατε ἡμῖν. 16καὶ ἐξῆλθον οἱ μαθηταὶ αὐτοῦ καὶ ἦλθον εἰς τὴν πόλιν, καὶ εὗρον καθὼς εἶπεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα. 17Καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα· 18καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων εἶπεν ὁ Ἰησοῦς· ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, ὁ ἐσθίων μετ' ἐμοῦ. 19οἱ δὲ ἤρξαντο λυπεῖσθαι καὶ λέγειν αὐτῷ εἷς καθ' εἷς· μήτι ἐγώ; καὶ ἄλλος· μήτι ἐγώ; 20ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς· εἷς ἐκ τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ εἰς τὸ τρυβλίον. 21ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. 22Καὶ ἐσθιόντων αὐτῶν λαβὼν ὁ Ἰησοῦς ἄρτον εὐλογήσας ἔκλασε καὶ ἔδωκεν αὐτοῖς καὶ εἶπε· λάβετε φάγετε· τοῦτό ἐστι τὸ σῶμά μου. 23καὶ λαβὼν τὸ ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς, καὶ ἔπιον ἐξ αὐτοῦ πάντες. 24καὶ εἶπεν αὐτοῖς· τοῦτό ἐστι τὸ αἷμά μου τὸ τῆς καινῆς διαθήκης τὸ περὶ πολλῶν ἐκχυνόμενον. 25ἀμὴν λέγω ὑμῖν ὅτι οὐκέτι οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. 26Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν.

Și în ziua întâia a Azimelor, când jertfeau Paştile, I-au zis ucenicii Lui: Unde voieşti să mergem şi să-Ţi pregătim ca să mănânci Paştile? 13Şi a trimis doi dintre ucenicii Lui şi le-a zis: Mergeţi în cetate şi are să vă iasă în cale un om ducând un urcior cu apă; mergeţi după el 14şi, acolo unde va intra, spuneţi stăpânului casei că Învăţătorul zice: Unde este odaia Mea în care voi mânca Paştile împreună cu ucenicii Mei? 15Şi el vă va arăta un foişor mare, gata aşternut; acolo să pregătiţi pentru noi. 16Şi au ieşit ucenicii Lui şi au venit în cetate şi au aflat aşa cum le spusese lor, şi au pregătit Paştile. 17Şi făcându-se seară, a venit împreună cu cei doisprezece. 18Şi stând ei la masă şi mâncând, a zis Iisus: Amin zic vouă, că unul dintre voi mă va vinde, cel ce mănâncă împreună cu Mine. 19Iar ei au început să se întristeze şi să-I zică unul câte unul: Nu cumva eu? şi altul: Nu cumva eu? 20Iar El răspunzând, le-a zis: Unul din cei doisprezece, cel ce întinge cu Mine în blid. 21Fiul Omului merge precum este scris despre El. Vai însă acelui om prin care Fiul Omului este vândut! Bine i-ar fi fost omului aceluia de nu s-ar fi născut. 22Şi pe când mâncau ei, luând Iisus pâine, binecuvântând, a frânt şi le-a dat lor şi a zis: Luaţi, mâncaţi, acesta este Trupul Meu. 23Şi luând paharul, mulţumind, a dat lor şi au băut din el toţi. 24Şi a zis lor: Acesta este Sângele Meu, al Noului Testament, care pentru mulţi se varsă. 25Amin zic vouă, că nu voi mai bea din rodul viţei până în ziua aceea, când îl voi bea nou în Împărăţia lui Dumnezeu. 26Şi, după ce au cântat imne, au ieşit la Muntele Măslinilor.

Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς ὅτι πάντες σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· ὅτι γέγραπται, *πατάξω τὸν ποιμένα καὶ διασκορπισθήσονται τὰ πρόβατα*· 28ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. 29ὁ δὲ Πέτρος ἔφη αὐτῷ· καὶ εἰ πάντες σκανδαλισθήσονται, ἀλλ᾽ οὐκ ἐγώ. 30καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι ὅτι σὺ σήμερον ἐν τῇ νυκτὶ ταύτῃ πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με. 31ὁ δὲ Πέτρος ἐκ περισσοῦ ἔλεγε μᾶλλον· ἐάν με δέῃ συναποθανεῖν σοι, οὐ μή σε ἀπαρνήσομαι. ὡσαύτως δὲ καὶ πάντες ἔλεγον.

Καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα Γεθσημανῆ, καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ· καθίσατε ὧδε ἕως προσεύξωμαι. 33καὶ παραλαμβάνει τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην μεθ᾽ ἑαυτοῦ, καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν 34καὶ λέγειν αὐτοῖς· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε καὶ γρηγορεῖτε. 35καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τῆς γῆς, καὶ προσηύχετο ἵνα, εἰ δυνατόν ἐστι, παρέλθῃ ἀπ᾽ αὐτοῦ ἡ ὥρα, 36καὶ ἔλεγεν· ἀββᾶ ὁ πατήρ, πάντα δυνατά σοι· παρένεγκε τὸ ποτήριον ἀπ᾽ ἐμοῦ τοῦτο· ἀλλ᾽ οὐ τί ἐγὼ θέλω, ἀλλ᾽ εἴ τι σύ. 37καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· Σίμων, καθεύδεις; οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι; 38γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. 39καὶ πάλιν ἀπελθὼν προσηύξατο τὸν αὐτὸν λόγον εἰπών. 40καὶ ὑποστρέψας εὗρεν αὐτοὺς πάλιν καθεύδοντας· ἦσαν γὰρ οἱ ὀφθαλμοὶ αὐτῶν καταβαρυνόμενοι, καὶ οὐκ ᾔδεισαν τί ἀποκριθῶσιν αὐτῷ. 41καὶ ἔρχεται τὸ τρίτον καὶ λέγει αὐτοῖς· καθεύδετε λοιπὸν καὶ ἀναπαύεσθε· ἀπέχει· ἦλθεν ἡ ὥρα· ἰδοὺ παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν. 42ἐγείρεσθε, ἄγωμεν· ἰδοὺ ὁ παραδιδούς με ἤγγικε.

Și le-a zis lor Iisus: Toți vă veți sminti întru Mine în noaptea aceasta; că scris este: *Bate-voi păstorul şi se vor risipi oile;* 28dar după ce voi învia, voi merge mai înainte de voi în Galileea. 29Iar Petru I-a zis Lui: Chiar dacă toți se vor sminti, eu nu. 30Şi i-a zis Iisus: Amin zic ție, că tu astăzi, în noaptea aceasta, mai înainte de a cânta de două ori cocoşul, de trei ori te vei lepăda de Mine. 31Iar Petru şi mai mult zicea: Şi de-ar trebui să mor împreună cu Tine, nu mă voi lepăda de Tine. Şi toți ziceau la fel.

Și au venit într-un loc al cărui nume era Ghetsimani şi a zis ucenicilor Lui: Şedeți aici până ce Mă voi ruga. 33Şi a luat cu Sine pe Petru şi pe Iacov şi pe Ioan împreună cu El şi a început a Se tulbura şi a Se nelinişti 34şi le-a zis lor: Întristat este sufletul Meu până la moarte; rămâneți aici şi privegheați. 35Şi mergând puțin mai departe, a căzut cu fața la pământ şi Se ruga dacă este cu putință să treacă de la El ceasul, 36şi zicea: Avvá, Părinte, toate Îți sunt Ție cu putință; depărtează paharul acesta de la Mine; dar nu ce voiesc Eu, ci ce voieşti Tu. 37Şi a venit şi i-a găsit dormind, şi i-a zis lui Petru: Simone, dormi? N-ați putut un ceas să privegheați? 38Privegheați şi vă rugați, ca să nu intrați în ispită; căci duhul este osârduitor, dar trupul neputincios. 39Şi iarăşi, după ce-a plecat, S-a rugat, zicând acelaşi cuvânt. 40Şi întorcându-Se, i-a găsit iarăşi dormind; căci ochii lor erau îngreuiați, şi nu ştiau ce să-I răspundă. 41Şi a venit a treia oară şi le-a zis: Dormiți de acum şi vă odihniți! Gata; a venit ceasul; iată, Fiul Omului Se dă în mâinile păcătoşilor. 42Sculați-vă, să mergem; iată, cel ce Mă vinde s-a apropiat.

Καὶ εὐθέως, ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται Ἰούδας ὁ Ἰσκαριώτης, εἷς τῶν δώδεκα, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπεσταλμένοι παρὰ τῶν ἀρχιερέων καὶ γραμματέων καὶ τῶν πρεσβυτέρων. 44δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς λέγων· ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε αὐτὸν καὶ ἀπαγάγετε ἀσφαλῶς. 45καὶ ἐλθὼν εὐθέως προσελθὼν αὐτῷ λέγει· ῥαββί, ῥαββί, καὶ κατεφίλησεν αὐτόν. 46οἱ δὲ ἐπέβαλον ἐπ' αὐτὸν τὰς χεῖρας αὐτῶν καὶ ἐκράτησαν αὐτόν. 47Εἷς δέ τις τῶν παρεστηκότων σπασάμενος τὴν μάχαιραν ἔπαισε τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. 48καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με· 49καθ' ἡμέραν πρὸς ὑμᾶς ἤμην ἐν τῷ ἱερῷ διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με. ἀλλ' ἵνα πληρωθῶσιν αἱ γραφαί. 50καὶ ἀφέντες αὐτὸν ἔφυγον πάντες. 51Καὶ εἷς τις νεανίσκος ἠκολούθησεν αὐτῷ, περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ· καὶ κρατοῦσιν αὐτὸν οἱ νεανίσκοι· 52ὁ δὲ καταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν ἀπ' αὐτῶν.

Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα· καὶ συνέρχονται αὐτῷ πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς. 54καὶ ὁ Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, καὶ ἦν συγκαθήμενος μετὰ τῶν ὑπηρετῶν καὶ θερμαινόμενος πρὸς τὸ φῶς. 55Οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ τοῦ Ἰησοῦ μαρτυρίαν εἰς τὸ θανατῶσαι αὐτόν, καὶ οὐχ εὕρισκον· 56πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ' αὐτοῦ, καὶ ἴσαι αἱ μαρτυρίαι οὐκ ἦσαν. 57καί τινες ἀναστάντες ἐψευδομαρτύρουν κατ' αὐτοῦ λέγοντες 58ὅτι ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος, ὅτι ἐγὼ καταλύσω τὸν ναὸν τοῦτον τὸν χειροποίητον καὶ διὰ τριῶν ἡμερῶν ἄλλον ἀχειροποίητον οἰκοδομήσω. 59καὶ οὐδὲ οὕτως

Şi îndată, pe când El încă vorbea, s-a apropiat Iuda Iscarioteanul, unul din cei doisprezece, şi împreună cu el mulţime multă, cu săbii şi cu ciomege, trimişi de arhierei, de cărturari şi de bătrâni. 44Iar cel ce L-a vândut le dăduse semn, zicând: Pe Care Îl voi săruta, Acela este; prindeţi-L şi luaţi-L sub pază. 45Şi, venind, apropiindu-se îndată, I-a zis: Rabbi, Rabbi, şi L-a sărutat. 46Iar ei au pus mâinile lor pe El şi L-au prins. 47Iar unul din cei de faţă, scoţând sabia, a lovit pe robul arhiereului şi i-a tăiat urechea. 48Şi răspunzând Iisus le-a zis: Ca la un tâlhar aţi ieşit cu săbii şi cu ciomege, ca să Mă prindeţi; 49în fiecare zi eram la voi, în templu, învăţând, şi nu M-aţi prins; dar, ca să se plinească Scripturile. 50Şi lăsându-L, au fugit toţi. 51Şi un tânăr I-a urmat, înfăşurat într-o pânză peste pielea goală; şi l-au prins tinerii; 52iar el, lepădând pânza, a fugit de ei gol.

Şi L-au dus pe Iisus la arhiereu; şi s-au adunat la el toţi arhiereii şi bătrânii şi cărturarii. 54Şi Petru, de departe, L-a urmat până înăuntru, în curtea arhiereului, şi şedea împreună cu slujitorii şi se încălzea la foc. 55Iar arhiereii şi tot sinedriul căutau mărturie împotriva lui Iisus ca să-L omoare şi nu găseau; 56căci mulţi aduceau mărturie mincinoasă împotriva Lui, dar mărturiile nu se potriveau. 57Şi ridicându-se unii, au adus mărturie mincinoasă împotriva Lui, zicând: 58Noi L-am auzit zicând: Eu voi dărâma templul acesta făcut de mână şi în trei zile altul, nefăcut de mână, voi zidi. 59Şi nici aşa nu se potriveau mărturiile lor. 60Şi ridicându-se

ἴση ἦν ἡ μαρτυρία αὐτῶν. 60καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς τὸ μέσον ἐπηρώτα τὸν Ἰησοῦν λέγων· οὐκ ἀποκρίνῃ οὐδέν; τί οὗτοί σου καταμαρτυροῦσιν; 61ὁ δὲ ἐσιώπα καὶ οὐδὲν ἀπεκρίνατο. πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτὸν καὶ λέγει αὐτῷ· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ εὐλογητοῦ; 62ὁ δὲ Ἰησοῦς εἶπεν· ἐγώ εἰμι· καὶ ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν καθήμενον τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. 63ὁ δὲ ἀρχιερεὺς διαρρήξας τοὺς χιτῶνας αὐτοῦ λέγει· τί ἔτι χρείαν ἔχομεν μαρτύρων; 64ἠκούσατε πάντως τῆς βλασφημίας· τί ὑμῖν φαίνεται; οἱ δὲ πάντες κατέκριναν αὐτὸν εἶναι ἔνοχον θανάτου. 65Καὶ ἤρξαντό τινες ἐμπτύειν αὐτῷ καὶ περικαλύπτειν τὸ πρόσωπον αὐτοῦ καὶ κολαφίζειν αὐτὸν καὶ λέγειν αὐτῷ· προφήτευσον ἡμῖν τίς ἐστιν ὁ παίσας σε. καὶ οἱ ὑπηρέται ῥαπίσμασιν αὐτὸν ἔβαλον.

Καὶ ὄντος τοῦ Πέτρου κάτω ἐν τῇ αὐλῇ, ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως, 67καὶ ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον ἐμβλέψασα αὐτῷ λέγει· καὶ σὺ μετὰ τοῦ Ἰησοῦ τοῦ Ναζαρηνοῦ ἦσθα. 68ὁ δὲ ἠρνήσατο λέγων· οὐκ οἶδα οὐδὲ ἐπίσταμαι τί σὺ λέγεις. καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον, καὶ ἀλέκτωρ ἐφώνησε. 69καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν πάλιν ἤρξατο λέγειν τοῖς παρεστηκόσιν ὅτι οὗτος ἐξ αὐτῶν ἐστιν. 70ὁ δὲ πάλιν ἠρνεῖτο. καὶ μετὰ μικρὸν πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ· ἀληθῶς ἐξ αὐτῶν εἶ· καὶ γὰρ Γαλιλαῖος εἶ καὶ ἡ λαλιά σου ὁμοιάζει. 71ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύναι ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε. 72καὶ ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησε. καὶ ἀνεμνήσθη ὁ Πέτρος τὸ ῥῆμα ὃ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι πρὶν ἀλέκτορα φωνῆσαι δίς, ἀπαρνήσῃ με τρίς· καὶ ἐπιβαλὼν ἔκλαιε.

arhiereul în mijloc, L-a întrebat pe Iisus zicând: Nu răspunzi nimic? Ce mărturisesc aceştia împotriva Ta? 61Iar El tăcea şi nu răspundea nimic. Iarăşi arhiereul L-a întrebat şi I-a zis: Tu eşti Hristos, Fiul Celui binecuvântat? 62Iar Iisus a zis: Eu sunt; şi veţi vedea pe Fiul Omului şezând de-a dreapta puterii şi venind pe norii cerului. 63Iar arhiereul sfâşiindu-şi hainele, a zis: Ce trebuinţă mai avem de martori? 64Aţi auzit negreşit hula; ce vi se pare? Şi toţi L-au osândit ca fiind vinovat de moarte. 65Şi au început unii să-L scuipe şi să-I acopere faţa şi să-L lovească şi să-I zică: Prooroceşte-ne, cine este cel care Te-a lovit. Şi slujitorii Îl loveau cu palma peste obraz.

Şi fiind Petru jos în curte, a venit una dintre slujnicele arhiereului 67şi, văzându-l pe Petru încălzindu-se, s-a uitat la el şi i-a zis: Şi tu erai cu Iisus Nazarineanul. 68Dar el s-a lepădat, zicând: Nu ştiu, nici nu înţeleg ce zici. Şi a ieşit afară, în faţa curţii, şi cocoşul a cântat. 69Şi slujnica, văzându-l, iarăşi a început să spună celor de faţă că acesta este dintre ei. 70Iar el iarăşi s-a lepădat. Şi după puţin, iarăşi cei de faţă îi spuneau lui Petru: Cu adevărat eşti dintre ei; căci şi galileean eşti şi graiul tău seamănă. 71Iar el a început să se lege cu anatema şi să se jure: Nu-L ştiu pe Omul Acesta despre Care ziceţi. 72Şi a cântat cocoşul a doua oară. Şi Petru şi-a adus aminte de cuvântul pe care i-l spusese Iisus: Înainte de a cânta cocoşul de două ori, te vei lepăda de Mine de trei ori. Şi a început să plângă.

Κεφάλαιον ΙΕ΄

Καὶ εὐθέως ἐπὶ τὸ πρωῒ συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ γραμματέων καὶ ὅλον τὸ συνέδριον, δήσαντες τὸν Ἰησοῦν ἀπήνεγκαν καὶ παρέδωκαν τῷ Πιλάτῳ. 2καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλᾶτος· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· σὺ λέγεις. 3καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά, αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο. 4ὁ δὲ Πιλᾶτος πάλιν ἐπηρώτα αὐτὸν λέγων· οὐκ ἀποκρίνῃ οὐδέν; ἴδε πόσα σου καταμαρτυροῦσιν. 5ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν Πιλᾶτον. 6Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅνπερ ᾐτοῦντο. 7ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν συστασιαστῶν δεδεμένος, οἵτινες ἐν τῇ στάσει φόνον πεποιήκεισαν. 8καὶ ἀναβοήσας ὁ ὄχλος ἤρξατο αἰτεῖσθαι καθὼς ἀεὶ ἐποίει αὐτοῖς. 9ὁ δὲ Πιλᾶτος ἀπεκρίθη αὐτοῖς λέγων· θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων; 10ἐγίνωσκε γὰρ ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς. 11οἱ δὲ ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον ἵνα μᾶλλον τὸν Βαραββᾶν ἀπολύσῃ αὐτοῖς. 12ὁ δὲ Πιλᾶτος ἀποκριθεὶς πάλιν εἶπεν αὐτοῖς· τί οὖν θέλετε ποιήσω ὃν λέγετε τὸν βασιλέα τῶν Ἰουδαίων; 13οἱ δὲ πάλιν ἔκραξαν· σταύρωσον αὐτόν. 14ὁ δὲ Πιλᾶτος ἔλεγεν αὐτοῖς· τί γὰρ ἐποίησε κακόν; οἱ δὲ περισσοτέρως ἔκραξαν· σταύρωσον αὐτόν. 15ὁ δὲ Πιλᾶτος βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι, ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν, καὶ παρέδωκε τὸν Ἰησοῦν φραγελλώσας ἵνα σταυρωθῇ.

Capitolul 15

Şi îndată, spre dimineaţă, arhiereii făcând sfat împreună cu bătrânii şi cărturarii şi cu întreg sinedriul, legându-L pe Iisus, L-au dus şi L-au dat în mâinile lui Pilat. 2Şi L-a întrebat pe El Pilat: Tu eşti Împăratul iudeilor? Iar El, răspunzând, i-a zis: Tu zici. 3Şi Îl învinuiau arhiereii de multe, dar El nu răspundea nimic. 4Iar Pilat iarăşi L-a întrebat, zicând: Nu răspunzi nimic? Iată câte mărturisesc împotriva Ta. 5Iar Iisus n-a mai răspuns nimic, încât se mira Pilat. 6Iar de fiecare sărbătoare le slobozea un întemniţat, pe oricare îl cereau. 7Şi era cel numit Baraba, legat cu cei răzvrătiţi împreună cu el, care în răscoală săvârşiseră omor. 8Şi, strigând mulţimea, a început să ceară aşa cum le făcea lor întotdeauna. 9Iar Pilat a răspuns lor, zicând: Voiţi să vă eliberez pe Împăratul iudeilor? 10Căci ştia că din pizmă Îl dăduseră în mâinile lui arhiereii. 11Iar arhiereii au aţâţat mulţimea ca mai curând pe Baraba să li-l slobozească. 12Iar Pilat, răspunzând, iarăşi le-a zis lor: Ce voiţi, deci, să fac cu Cel pe Care Îl numiţi Împăratul iudeilor? 13Iar ei iarăşi au strigat: Răstigneşte-L! 14Iar Pilat le zicea: Dar ce rău a făcut? Iar ei şi mai mult au strigat: Răstigneşte-L! 15Iar Pilat, vrând să facă pe plac mulţimii, le-a eliberat pe Baraba şi, biciuindu-L pe Iisus, L-a dat să fie răstignit.

Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω
τῆς αὐλῆς, ὅ ἐστι πραιτώριον, καὶ συγ-
καλοῦσιν ὅλην τὴν σπεῖραν· 17καὶ ἐνδύου-
σιν αὐτὸν πορφύραν καὶ περιτιθέασιν αὐτῷ
πλέξαντες ἀκάνθινον στέφανον, 18καὶ ἤρξαν-
το ἀσπάζεσθαι αὐτόν· χαῖρε ὁ βασιλεὺς τῶν
Ἰουδαίων· 19καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν
καλάμῳ καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ
γόνατα προσεκύνουν αὐτῷ. 20καὶ ὅτε ἐνέπαι-
ξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν τὴν πορφύραν
καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια, καὶ
ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσωσιν αὐτόν.
Καὶ ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα
Κυρηναῖον, ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν
πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ
τὸν σταυρὸν αὐτοῦ. 22Καὶ φέρουσιν αὐτὸν
ἐπὶ Γολγοθᾶ τόπον, ὅ ἐστι μεθερμηνευόμε-
νον κρανίου τόπος. 23καὶ ἐδίδουν αὐτῷ πι-
εῖν ἐσμυρνισμένον οἶνον· ὁ δὲ οὐκ ἔλαβε.
24καὶ σταυρώσαντες αὐτὸν διαμερίζονται
τὰ ἱμάτια αὐτοῦ βάλλοντες κλῆρον ἐπ' αὐτὰ
τίς τί ἄρῃ. 25ἦν δὲ ὥρα τρίτη καὶ ἐσταύρωσαν
αὐτόν. 26καὶ ἦν ἡ ἐπιγραφὴ τῆς αἰτίας αὐτοῦ
ἐπιγεγραμμένη· ὁ βασιλεὺς τῶν Ἰουδαίων.
27Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς,
ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ.
28καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· *καὶ με-
τὰ ἀνόμων ἐλογίσθη.* 29Καὶ οἱ παραπορευ-
όμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς
κεφαλὰς αὐτῶν καὶ λέγοντες· οὐά, ὁ κατα-
λύων τὸν ναὸν καὶ ἐν τρισὶν ἡμέραις οἰκοδο-
μῶν, 30σῶσον σεαυτὸν καὶ κατάβα ἀπὸ τοῦ
σταυροῦ. 31ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαί-
ζοντες πρὸς ἀλλήλους μετὰ τῶν γραμματέων
ἔλεγον· ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται
σῶσαι. 32ὁ Χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ
καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα ἴδωμεν
καὶ πιστεύσωμεν αὐτῷ. καὶ οἱ συνεσταυρω-
μένοι αὐτῷ ὠνείδιζον αὐτόν.

Iar ostaşii L-au adus înăuntrul curții, adi-
că în pretoriu, şi au chemat toată cohor-
ta; 17şi L-au îmbrăcat pe El cu porfiră şi,
împletind o cunună de spini, I-au pus-o
pe cap 18şi au început să-I facă plecăciuni:
Bucură-Te, Împăratul iudeilor! 19Şi-L lo-
veau peste cap cu o trestie şi Îl scuipau
şi, plecându-şi genunchii, se închinau Lui.
20Şi după ce L-au batjocorit, L-au dezbră-
cat de porfiră şi L-au îmbrăcat cu veşmin-
tele Lui şi L-au scos ca să-L răstignească.

Şi au silit pe un trecător oarecare, Si-
mon Cirineanul, care venea de la țară,
tatăl lui Alexandru şi al lui Ruf, ca să
ia crucea Lui. 22Şi L-au adus la locul Gol-
gotei, care se tălmăceşte Locul Căpățânii.
23Şi I-au dat să bea vin amestecat cu smir-
nă; dar El nu a luat. 24Şi răstignindu-L, au
împărțit hainele Lui aruncând sorți pen-
tru ele, cine ce să ia. 25Şi era ceasul al trei-
lea şi L-au răstignit. 26Şi însemnarea vinei
Lui era scrisă: Împăratul iudeilor. 27Şi îm-
preună cu El au răstignit doi tâlhari, unul
de-a dreapta şi unul de-a stânga Lui. 28Şi
s-a împlinit Scriptura care zice: *Şi cu cei
fără de lege S-a socotit.* 29Şi trecătorii Îl hu-
leau, clătinându-şi capetele lor şi zicând:
Huu, Cel ce dărâmi templul şi în trei zile
îl zideşti! 30Mântuieşte-Te pe Tine Însuți
şi coboară-Te de pe cruce. 31Asemenea
şi arhiereii, batjocorindu-L între ei îm-
preună cu cărturarii, ziceau: Pe alții i-a
mântuit, dar pe Sine nu Se poate mântui.
32Hristosul, Împăratul lui Israel, să Se co-
boare acum de pe cruce, ca să vedem şi
să credem Lui. Şi cei răstigniți împreună
cu El Îl ocărau.

Γενομένης δὲ ὥρας ἕκτης σκότος ἐγένετο
ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης· 34καὶ
τῇ ὥρᾳ τῇ ἐνάτῃ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ
μεγάλῃ λέγων· *Ἐλωΐ Ἐλωΐ, λιμᾶ σαβαχθα-
νί;* ὅ ἐστι μεθερμηνευόμενον, *ὁ Θεός μου ὁ
Θεός μου, εἰς τί με ἐγκατέλιπες;* 35καί τινες
τῶν παρεστηκότων ἀκούσαντες ἔλεγον· ἴδε
Ἠλίαν φωνεῖ. 36δραμὼν δὲ εἷς καὶ γεμίσας
σπόγγον ὄξους περιθείς τε καλάμῳ ἐπότιζεν
αὐτὸν λέγων· ἄφετε ἴδωμεν εἰ ἔρχεται Ἠλίας
καθελεῖν αὐτόν. 37ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν
μεγάλην ἐξέπνευσε. 38Καὶ τὸ καταπέτασμα
τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπὸ ἄνωθεν ἕως
κάτω. 39Ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς ἐξ
ἐναντίας αὐτοῦ ὅτι οὕτω κράξας ἐξέπνευσεν,
εἶπεν· ἀληθῶς ὁ ἄνθρωπος οὗτος υἱὸς ἦν
Θεοῦ. 40Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν
θεωροῦσαι, ἐν αἷς ἦν καὶ Μαρία ἡ Μαγδαληνὴ
καὶ Μαρία ἡ τοῦ Ἰακώβου τοῦ μικροῦ καὶ
Ἰωσῆ μήτηρ, καὶ Σαλώμη, 41αἳ καὶ ὅτε ἦν ἐν
τῇ Γαλιλαίᾳ ἠκολούθουν αὐτῷ καὶ διηκόνουν
αὐτῷ, καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ
εἰς Ἱεροσόλυμα.

Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν παρα-
σκευή, ὅ ἐστι προσάββατον, 43ἐλθὼν Ἰω-
σὴφ ὁ ἀπὸ Ἀριμαθαίας, εὐσχήμων βουλευτής,
ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν
τοῦ Θεοῦ, τολμήσας εἰσῆλθε πρὸς Πιλᾶτον
καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. 44ὁ δὲ Πι-
λᾶτος ἐθαύμασεν εἰ ἤδη τέθνηκε, καὶ προσ-
καλεσάμενος τὸν κεντυρίωνα ἐπηρώτησεν
αὐτὸν εἰ πάλαι ἀπέθανε· 45καὶ γνοὺς ἀπὸ τοῦ
κεντυρίωνος ἐδωρήσατο τὸ σῶμα τῷ Ἰωσήφ.
46καὶ ἀγοράσας σινδόνα καὶ καθελὼν αὐτὸν
ἐνείλησε τῇ σινδόνι καὶ κατέθηκεν αὐτὸν ἐν
μνημείῳ, ὃ ἦν λελατομημένον ἐκ πέτρας, καὶ
προσεκύλισε λίθον ἐπὶ τὴν θύραν τοῦ μνημεί-
ου. 47ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία
Ἰωσῆ ἐθεώρουν ποῦ τίθεται.

Iar când a fost ceasul al şaselea, s-a făcut întuneric peste tot pământul până la ceasul al nouălea; 34şi la ceasul al nouălea, a strigat Iisus cu glas mare, zicând: *Eloí, Eloí, limá sabahtaní?* care se tălmăceşte: *Dumnezeul Meu, Dumnezeul Meu, pentru ce M-ai părăsit?* 35Şi unii dintre cei care stăteau acolo, auzind, ziceau: Iată, pe Ilie îl strigă. 36Şi alergând unul şi înmuind un burete în oţet, punându-l într-o trestie, I-a dat să bea, zicând: Lăsaţi să vedem dacă vine Ilie să-L dea jos. 37Iar Iisus, strigând cu glas mare, Şi-a dat duhul. 38Şi catapeteasma templului s-a despicat în două, de sus până jos. 39Iar sutaşul care stătea în faţa Lui, când a văzut că, strigând aşa, Şi-a dat duhul, a zis: Cu adevărat Omul Acesta a fost Fiul lui Dumnezeu. 40Şi erau şi femei care priveau de departe, între care erau şi Maria Magdalena şi Maria, mama lui Iacov cel mic şi a lui Iosi, şi Salomeea, 41care şi atunci când erau în Galileea urmau Lui şi Îi slujeau. Şi multe altele care se suiseră cu El la Ierusalim.

Şi, făcându-se de acum seară, de vreme ce era vineri, care este înainte de sâmbătă, 43venind Iosif, cel din Arimateea, sfetnic cu bun chip, care aştepta şi el Împărăţia lui Dumnezeu, îndrăznind, a intrat la Pilat şi a cerut trupul lui Iisus. 44Iar Pilat s-a mirat că murise deja şi, chemând pe sutaş, l-a întrebat dacă a murit de mult; 45şi aflând de la sutaş, i-a dăruit lui Iosif trupul. 46Şi cumpărând giulgiu şi coborându-L, L-a înfăşurat în giulgiu şi L-a pus într-un mormânt care era săpat în stâncă şi a prăvălit o piatră la uşa mormântului. 47Iar Maria Magdalena şi Maria a lui Iosi priveau unde este pus.

Κεφάλαιον Ις΄

Καὶ διαγενομένου τοῦ σαββάτου Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ τοῦ Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν ἀρώματα ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν. [2]καὶ λίαν πρωῒ τῆς μιᾶς σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ ἡλίου. [3]καὶ ἔλεγον πρὸς ἑαυτάς· τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; [4]καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. [5]καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν. [6]ὁ δὲ λέγει αὐταῖς· μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. [7]ἀλλ᾽ ὑπάγετε εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. [8]καὶ ἐξελθοῦσαι ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις, καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ᾽ ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. [10]ἐκείνη πορευθεῖσα ἀπήγγειλε τοῖς μετ᾽ αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι. [11]κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ᾽ αὐτῆς, ἠπίστησαν. [12]Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. [13]κἀκεῖνοι ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν. [14]Ὕστερον

Capitolul 16

Şi, trecând sâmbăta, Maria Magdalena şi Maria lui Iacov şi Salomeea au cumpărat miresme, ca să vină să-L ungă. [2]Şi foarte de dimineaţă, în ziua cea dintâi a săptămânii, au venit la mormânt, pe când răsărea soarele. [3]Şi ziceau între ele: Cine ne va prăvăli nouă piatra de la uşa mormântului? [4]Şi ridicându-şi privirea, au văzut că piatra fusese răsturnată; şi era mare foarte. [5]Şi intrând în mormânt, au văzut un tânăr şezând în partea dreaptă, îmbrăcat în veşmânt alb, şi s-au spăimântat. [6]Iar el le-a zis: Nu vă spăimântaţi! Pe Iisus Îl căutaţi, pe Nazarineanul Cel răstignit; a înviat, nu este aici; iată locul unde L-au pus. [7]Ci mergeţi şi spuneţi ucenicilor Lui şi lui Petru că va merge mai înainte de voi în Galileea; acolo Îl veţi vedea, precum v-a zis vouă. [8]Şi ieşind, au fugit de la mormânt; căci erau cuprinse de cutremur şi de uimire, şi nimănui nimic n-au spus; căci se temeau.

Şi înviind dimineaţa în ziua cea dintâi a săptămânii, S-a arătat întâi Mariei Magdalena, din care scosese şapte draci. [10]Aceea, mergând, a vestit celor ce fuseseră împreună cu El, care se tânguiau şi plângeau. [11]Iar ei, auzind că trăieşte şi că a fost văzut de ea, n-au crezut. [12]După acestea S-a arătat cu alt chip la doi dintre ei care mergeau la ţarină. [13]Şi aceia, ducându-se, au vestit celorlalţi; nici pe aceia nu i-au crezut. [14]La

ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. 15καὶ εἶπεν αὐτοῖς· πορευθέντες εἰς τὸν κόσμον ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ κτίσει. 16ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ ἀπιστήσας κατακριθήσεται. 17σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς· 18ὄφεις ἀροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψει· ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. 19Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς ἀνελήφθη εἰς τὸν οὐρανὸν καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. 20ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. ἀμήν.

urmă, S-a arătat chiar celor unsprezece pe când şedeau la masă, şi a mustrat necredinţa lor şi învârtoşarea inimii, că nu i-au crezut pe cei ce-L văzuseră pe El înviat. 15Şi le-a zis: Mergeţi în toată lumea şi propovăduiţi Evanghelia la toată zidirea. 16Cel ce va crede şi se va boteza se va mântui, iar cel ce nu va crede se va osândi. 17Iar celor ce vor crede le vor urma aceste semne: În numele Meu vor scoate draci; în limbi noi vor grăi; 18şerpi vor lua în mână; şi chiar de vor bea ceva dătător de moarte nu-i va vătăma; pe bolnavi mâinile îşi vor pune şi se vor face bine. 19Deci, Domnul, după ce le-a vorbit lor, S-a înălţat la cer şi a şezut de-a dreapta lui Dumnezeu. 20Iar ei, ieşind, au propovăduit pretutindeni, Domnul lucrând împreună cu ei şi cuvântul întărindu-l prin semnele care urmau. Amin.




ΟΔ
ΛΒ ΚΑϹ

Κεφάλαιον Α΄

Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν
ἀνατάξασθαι διήγησιν περὶ τῶν
πεπληροφορημένων ἐν ἡμῖν πρα-
γμάτων 2καθὼς παρέδοσαν ἡμῖν
οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπη-
ρέται γενόμενοι τοῦ Λόγου, 3ἔδο-
ξε κἀμοί, παρηκολουθηκότι ἄνωθεν
πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι, κράτιστε
Θεόφιλε, 4ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λό-
γων τὴν ἀσφάλειαν.

Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου τοῦ βασι-
λέως τῆς Ἰουδαίας ἱερεύς τις ὀνόματι Ζα-
χαρίας ἐξ ἐφημερίας Ἀβιά, καὶ ἡ γυνὴ αὐτοῦ
ἐκ τῶν θυγατέρων Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς
Ἐλισάβετ. 6ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώ-
πιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς
ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι.
7καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ
ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν
ταῖς ἡμέραις αὐτῶν ἦσαν. 8Ἐγένετο δὲ ἐν τῷ
ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας
αὐτοῦ ἔναντι τοῦ Θεοῦ, 9κατὰ τὸ ἔθος τῆς
ἱερατείας ἔλαχε τοῦ θυμιᾶσαι εἰσελθὼν εἰς

Capitolul 1

De vreme ce mulți au încercat să întoc-
mească o istorisire despre lucrurile
adeverite întru noi, 2așa cum ni
le-au predat cei care au fost de la
început înșiși-văzători și slujitori
ai Cuvântului, 3am găsit și eu de
cuviință, urmărind de la început toate cu
de-amănuntul, să ți le scriu pe rând, prea-
puternice Teofile, 4ca să cunoști temeinicia
cuvintelor despre care ai fost învățat.

Fost-a în zilele lui Irod, împăratul Iu-
deii, un preot cu numele Zaharia, din
ceata preoțească a lui Abia; și femeia lui
era din fiicele lui Aaron, și numele ei Eli-
sabeta. 6Și erau amândoi drepți înaintea
lui Dumnezeu, umblând în toate porunci-
le și îndreptările Domnului fără prihană.
7Dar nu aveau copil, pentru că Elisabeta
era stearpă și amândoi erau înaintați în
zilele lor. 8A fost, dar, că pe când slujea
el înaintea lui Dumnezeu în rândul cetei
sale, 9după obiceiul preoției a ieșit la sorți
să tămâieze, intrând în templul Domnului.

τὸν ναὸν τοῦ Κυρίου· 10καὶ πᾶν τὸ πλῆθος
ἦν τοῦ λαοῦ προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ
θυμιάματος. 11ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου
ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμι-
άματος. 12καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ
φόβος ἐπέπεσεν ἐπ' αὐτόν. 13εἶπε δὲ πρὸς
αὐτὸν ὁ ἄγγελος· μὴ φοβοῦ, Ζαχαρία· διότι
εἰσηκούσθη ἡ δέησίς σου, καὶ ἡ γυνή σου Ἐλι-
σάβετ γεννήσει υἱόν σοι, καὶ καλέσεις τὸ ὄνο-
μα αὐτοῦ Ἰωάννην· 14καὶ ἔσται χαρά σοι καὶ
ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ
χαρήσονται. 15ἔσται γὰρ μέγας ἐνώπιον τοῦ
Κυρίου, καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ, καὶ
Πνεύματος Ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας
μητρὸς αὐτοῦ, 16καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ
ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν· 17καὶ
αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύμα-
τι καὶ δυνάμει Ἠλιοῦ, ἐπιστρέψαι καρδίας πα-
τέρων ἐπὶ τέκνα καὶ ἀπειθεῖς ἐν φρονήσει δικαί-
ων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον.
18καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον· κατὰ τί
γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης καὶ ἡ
γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς.
19καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ· ἐγώ
εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ,
καὶ ἀπεστάλην λαλῆσαι πρὸς σὲ καὶ εὐαγγελί-
σασθαί σοι ταῦτα· 20καὶ ἰδοὺ ἔσῃ σιωπῶν καὶ
μὴ δυνάμενος λαλῆσαι ἄχρι ἧς ἡμέρας γένηται
ταῦτα, ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου,
οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν.
21καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν, καὶ
ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ ναῷ.
22ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς, καὶ
ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ·
καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κω-
φός. 23καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι
τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον
αὐτοῦ. 24Μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλα-
βεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ, καὶ περιέκρυβεν
ἑαυτὴν μῆνας πέντε, 25λέγουσα ὅτι οὕτω μοι

10Şi toată mulţimea poporului era afară, rugându-se, în ceasul tămâierii. 11Şi i
s-a arătat îngerul Domnului, stând de-a
dreapta altarului tămâierii. 12Şi s-a tulburat Zaharia, văzându-l, şi frică a căzut
peste el. 13Iar îngerul a zis către el: Nu te
teme, Zaharia, că s-a auzit rugăciunea ta
şi Elisabeta, femeia ta, îţi va naşte un fiu
şi vei chema numele lui Ioan. 14Şi va fi ţie
bucurie şi veselie, şi mulţi se vor bucura
de naşterea lui. 15Căci va fi mare înaintea
Domnului şi vin şi sicheră nu va bea, şi se
va umple de Duh Sfânt încă din pântecele
maicii sale. 16Şi pe mulţi din fiii lui Israel
îi va întoarce la Domnul Dumnezeul lor;
17şi el va merge înaintea Lui în duhul şi
puterea lui Ilie, ca să întoarcă inimile părinţilor spre fii şi pe cei neascultători la
înţelepciunea dreptţilor, ca să gătească
Domnului popor bine întocmit. 18Şi a zis
Zaharia către înger: După ce voi cunoaşte aceasta? Căci eu sunt bătrân şi femeia
mea înaintată în zilele ei. 19Şi răspunzând
îngerul, i-a zis: Eu sunt Gavriil, cel ce stă
înaintea lui Dumnezeu. Şi am fost trimis
să grăiesc către tine şi să-ţi binevestesc
acestea. 20Şi iată, vei tăcea şi nu vei putea să vorbeşti până în ziua când vor fi
acestea, pentru că n-ai crezut cuvintelor
mele, care se vor împlini la vremea lor.
21Şi poporul îl aştepta pe Zaharia şi se
mira că el zăbovea în templu. 22Şi ieşind,
nu putea să le vorbească. Şi au cunoscut că a văzut vedenie în templu; şi el le
făcea semne, şi a rămas mut. 23Şi când
s-au împlinit zilele slujirii lui, a plecat la
casa sa. 24Iar după aceste zile, a zămislit Elisabeta, femeia lui, şi s-a tăinuit pe
sine cinci luni, zicând: 25Aşa mi-a făcut

πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις.

Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρέτ, 27πρὸς παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου Δαυΐδ, καὶ τὸ ὄνομα τῆς παρθένου Μαριάμ. 28καὶ εἰσελθὼν ὁ ἄγγελος πρὸς αὐτὴν εἶπε· χαῖρε, κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν. 29ἡ δὲ ἰδοῦσα διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ, καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. 30καὶ εἶπεν ὁ ἄγγελος αὐτῇ· μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. 31καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. 32οὗτος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται, καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, 33καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. 34εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον· πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; 35καὶ ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ· Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς Θεοῦ. 36καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου καὶ αὐτὴ συνειληφυῖα υἱὸν ἐν γήρει αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ· 37ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. 38εἶπε δὲ Μαριάμ· ἰδοὺ ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. καὶ ἀπῆλθεν ἀπ᾽ αὐτῆς ὁ ἄγγελος.

Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα, 40καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. 41καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν

mie Domnul în zilele în care a căutat să ridice ocara mea dintre oameni.

Iar în luna a şasea, a fost trimis îngerul Gavriil de Dumnezeu într-o cetate a Galileii, al cărei nume era Nazaret, 27la o fecioară logodită unui bărbat, al cărui nume era Iosif, din casa lui David; şi numele fecioarei era Maria. 28Şi intrând îngerul la ea, a zis: Bucură-te, cea cu har dăruită, Domnul este cu tine. Binecuvântată eşti tu între femei. 29Iar ea, văzând, s-a tulburat de cuvântul lui şi cugeta în sine: Ce fel de închinăciune să fie aceasta? 30Şi i-a zis îngerul: Nu te teme, Marie, căci ai aflat har la Dumnezeu. 31Şi iată, vei zămisli în pântece şi vei naşte fiu şi vei chema numele Lui Iisus. 32Acesta va fi mare şi Fiu al Celui Preaînalt se va chema, şi Îi va da Lui Domnul Dumnezeu tronul lui David, părintele Lui, 33şi va împărăţi peste casa lui Iacov în veci şi împărăţia Lui nu va avea sfârşit. 34Şi a zis Maria către înger: Cum va fi mie aceasta, de vreme ce bărbat nu cunosc? 35Şi răspunzând, îngerul i-a zis: Duhul Sfânt va veni peste tine şi puterea Celui Preaînalt te va umbri; pentru aceea Sfântul Care Se va naşte Fiul lui Dumnezeu Se va chema. 36Şi iată, Elisabeta, rudenia ta, şi ea a zămislit fiu la bătrâneţea ei; şi aceasta este a şasea lună pentru ea, cea numită stearpă. 37Că la Dumnezeu nu e nici un cuvânt care să nu se poată. 38Şi a zis Maria: Iată roaba Domnului. Fie mie după cuvântul tău! Şi a plecat de la ea îngerul.

Şi sculându-se Maria în zilele acelea, a mers cu grabă în ţinutul muntos, într-o cetate a lui Iuda, 40şi a intrat în casa lui Zaharia şi s-a închinat Elisabetei. 41Şi a fost, când a auzit Elisabeta închinăciunea

ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος
ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος
Ἁγίου ἡ Ἐλισάβετ 42καὶ ἀνεφώνησε φωνῇ με-
γάλῃ καὶ εἶπεν· εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ
εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. 43καὶ
πόθεν μοι τοῦτο ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου
μου πρός με; 44ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ
τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε
τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου.
45καὶ μακαρία ἡ πιστεύσασα ὅτι ἔσται τελεί-
ωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου.

Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου
τὸν Κύριον 47καὶ ἠγαλλίασε τὸ πνεῦμά μου
ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου, 48ὅτι ἐπέβλεψεν
ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. ἰδοὺ
γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενε-
αί· 49ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ
ἅγιον τὸ ὄνομα αὐτοῦ, 50καὶ τὸ ἔλεος αὐτοῦ
εἰς γενεὰς γενεῶν τοῖς φοβουμένοις αὐτόν.
51Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διε-
σκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας
αὐτῶν· 52καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ
ὕψωσε ταπεινούς, 53πεινῶντας ἐνέπλησεν
ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.
54ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆ-
ναι ἐλέους, 55καθὼς ἐλάλησε πρὸς τοὺς πατέ-
ρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ
εἰς τὸν αἰῶνα. 56Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ
ὡσεὶ μῆνας τρεῖς καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον
αὐτῆς.

Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν
αὐτήν, καὶ ἐγέννησεν υἱόν. 58καὶ ἤκουσαν
οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς ὅτι ἐμεγά-
λυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ' αὐτῆς, καὶ
συνέχαιρον αὐτῇ. 59Καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ
ἡμέρᾳ ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ
ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πατρὸς αὐ-
τοῦ Ζαχαρίαν. 60καὶ ἀποκριθεῖσα ἡ μήτηρ
αὐτοῦ εἶπεν· οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης.
61καὶ εἶπον πρὸς αὐτὴν ὅτι οὐδείς ἐστιν ἐν τῇ

Mariei, că a săltat pruncul în pântecele ei;
şi s-a umplut de Duh Sfânt Elisabeta 42şi a
strigat cu glas mare şi a zis: Binecuvântată
eşti tu între femei şi binecuvântat este
rodul pântecelui tău. 43Şi de unde mie
aceasta, ca să vină Maica Domnului meu
la mine? 44Că iată, cum a ajuns glasul în-
chinăciunii tale la urechile mele, a săltat
pruncul de bucurie în pântecele meu. 45Şi
fericită este cea care a crezut că se vor îm-
plini cele spuse ei de la Domnul.

Şi a zis Maria: Măreşte sufletul meu pe
Domnul 47şi s-a bucurat duhul meu de
Dumnezeu, Mântuitorul meu. 48Că a cău-
tat spre smerenia roabei Sale. Că, iată, de
acum mă vor ferici toate neamurile. 49Că
mi-a făcut mie măriri Cel Puternic şi sfânt
numele Lui. 50Şi mila Lui în neamul nea-
murilor spre cei ce se tem de El. 51Făcut-a
tărie cu braţul Său, risipit-a pe cei mândri
întru cugetul inimii lor. 52Surpat-a pe cei
puternici de pe scaune şi a înălţat pe cei
smeriţi, 53pe cei flămânzi i-a umplut de
bunătăţi şi pe cei bogaţi i-a trimis afară
deşerţi. 54Sprijinit-a pe Israel, sluga Sa,
ca să pomenească mila, 55precum a grăi-
it către părinţii noştri, lui Avraam şi se-
minţiei lui, în veac. 56Şi a rămas Maria
împreună cu ea ca la trei luni; şi s-a în-
tors la casa ei.

Iar Elisabetei i s-a împlinit vremea să nas-
că, şi a născut fiu. 58Şi au auzit vecinii
şi rudeniile ei că a mărit Domnul mila
Sa spre ea şi se bucurau împreună cu ea.
59Şi a fost, când s-a făcut ziua a opta, că
au venit să taie împrejur pruncul, şi vo-
iau să-l numească după numele tatălui său,
Zaharia. 60Şi răspunzând, mama lui a zis:
Nu! Ci se va chema Ioan. 61Şi au zis către
ea: Nimeni nu este în rudenia ta care să

συγγενείᾳ σου ὃς καλεῖται τῷ ὀνόματι τούτῳ· 62ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ τὸ τί ἂν θέλοι καλεῖσθαι αὐτόν. 63καὶ αἰτήσας πινακίδιον ἔγραψε λέγων·Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ· καὶ ἐθαύμασαν πάντες. 64ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλογῶν τὸν Θεόν. 65καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς, καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα, 66καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν λέγοντες· τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; καὶ χεὶρ Κυρίου ἦν μετ᾽ αὐτοῦ.

Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ ἐπλήσθη Πνεύματος Ἁγίου καὶ προεφήτευσε λέγων· 68Εὐλογητὸς Κύριος, ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ, 69καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν ἐν τῷ οἴκῳ Δαυὶδ τοῦ παιδὸς αὐτοῦ, 70καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων, τῶν ἀπ᾽ αἰῶνος προφητῶν αὐτοῦ, 71σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς, 72ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ, 73ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν 74ἀφόβως, ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ 75ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν. 76Καὶ σύ, παιδίον, προφήτης ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ, 77τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν 78διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους 79ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης. 80Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, καὶ ἦν ἐν

se cheme cu numele acesta. 62Şi au făcut semn tatălui lui cum ar vrea el să se cheme. 63Şi cerând o tăbliţă, a scris: Ioan este numele lui. Şi s-au mirat toţi. 64Şi s-a deschis gura lui îndată şi limba lui, şi a început să vorbească, binecuvântând pe Dumnezeu. 65Şi s-a făcut frică peste toţi cei care locuiau împrejurul lor, şi în tot ţinutul muntos al Iudeii se răspândeau toate cuvintele acestea 66şi toţi care le auzeau le puneau în inima lor, zicând: Ce va fi, oare, copilul acesta? Şi mâna Domnului era cu el.

Şi Zaharia, tatăl lui, s-a umplut de Duh Sfânt şi a proorocit, zicând: 68Binecuvântat este Domnul Dumnezeul lui Israel, că a cercetat şi a făcut răscumpărare poporului Său, 69şi ne-a ridicat corn de mântuire în casa lui David, sluga Sa, 70precum a grăit prin gura sfinţilor celor din veac prooroci ai săi; 71mântuire de vrăjmaşii noştri şi din mâna tuturor celor ce ne urăsc pe noi; 72să facă milă cu părinţii noştri şi să-Şi aducă aminte de testamentul cel sfânt al Lui, 73jurământul cu care S-a jurat către Avraam, părintele nostru, să ne dea nouă 74 fără de frică, izbăviţi fiind din mâna vrăjmaşilor, să ne închinăm Lui 75în cuviosie şi în dreptate, înaintea Sa, în toate zilele vieţii noastre. 76Şi tu, pruncule, prooroc al Celui Preaînalt te vei chema; că vei merge înaintea feţei Domnului, să găteşti căile Lui, 77să dai poporului Lui cunoştinţa mântuirii întru iertarea păcatelor lor, 78prin milostivirea milei Dumnezeului nostru, întru care ne-a cercetat pe noi Răsăritul din înălţime, 79ca să lumineze celor ce şedeau în întuneric şi în umbra morţii şi să îndrepteze picioarele noastre în

ταῖς ἐρήμοις ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

calea păcii. 80Iar copilul creştea şi se întărea cu duhul, şi a fost în pustie până în ziua arătării lui către Israel.

Κεφάλαιον Β΄

Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. 2αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου. 3καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν. 4ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲτ εἰς τὴν Ἰουδαίαν εἰς πόλιν Δαυὶδ, ἥτις καλεῖται Βηθλεέμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαυίδ, 5ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικί, οὔσῃ ἐγκύῳ. 6ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, 7καὶ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.

Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. 9καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη αὐτοῖς καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς, καὶ ἐφοβήθησαν φόβον μέγαν. 10καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος· μὴ φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ, 11ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτήρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν πόλει Δαυίδ. 12καὶ τοῦτο ὑμῖν τὸ σημεῖον· εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν φάτνῃ. 13καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν

Capitolul 2

Şi a fost în zilele acelea că a ieşit poruncă de la Cezarul August să se înscrie toată lumea. 2Această numărătoare dintâi s-a făcut pe când Quirinius era guvernator în Siria. 3Şi mergeau toţi să se înscrie, fiecare în cetatea sa. 4Şi s-a suit şi Iosif din Galileea, din cetatea Nazaret, în Iudeea, în cetatea lui David, care se cheamă Betleem, pentru că el era din casa şi din stirpea lui David, 5ca să se înscrie împreună cu Maria, femeia logodită cu el, care avea în pântece. 6Şi a fost, când erau ei acolo, că s-au împlinit zilele ca ea să nască. 7Şi a născut pe Fiul său cel Întâi-Născut şi L-a înfăşat şi L-a culcat în iesle, fiindcă nu mai era loc pentru ei în casa de oaspeţi.

Şi erau păstori în ţinutul acela, stând pe câmp şi făcând noaptea de strajă la turma lor. 9Şi iată, un înger al Domnului a stat lângă ei şi slava Domnului a strălucit împrejurul lor, şi s-au înfricoşat cu frică mare. 10Şi le-a zis lor îngerul: Nu vă temeţi! Că iată, vă binevestesc vouă bucurie mare, care va fi la tot poporul, 11că vi s-a născut vouă astăzi Mântuitor, Care este Hristos Domnul, în cetatea lui David. 12Şi acesta va fi vouă semnul: Veţi găsi un Prunc înfăşat, culcat în iesle. 13Şi deodată a fost împreună cu îngerul mulţime de oaste ce-

Θεὸν καὶ λεγόντων· 14δόξα ἐν ὑψίστοις Θεῷ
καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.
15καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν
οὐρανὸν οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ ποιμέ-
νες εἶπον πρὸς ἀλλήλους· διέλθωμεν δὴ ἕως
Βηθλεὲμ καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονός,
ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν. 16καὶ ἦλθον σπεύ-
σαντες, καὶ ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν
Ἰωσὴφ καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ.
17ἰδόντες δὲ διεγνώρισαν περὶ τοῦ ῥήματος
τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τού-
του· 18καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν
περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς
αὐτούς. 19ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥή-
ματα ταῦτα συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς.
20καὶ ὑπέστρεψαν οἱ ποιμένες δοξάζοντες καὶ
αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ
εἶδον καθὼς ἐλαλήθη πρὸς αὐτούς.

Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περι-
τεμεῖν τὸ παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐ-
τοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ
τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ. 22Καὶ
ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ
αὐτῶν κατὰ τὸν νόμον Μωϋσέως, ἀνήγαγον
αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ,
23καθὼς γέγραπται ἐν νόμῳ Κυρίου ὅτι *πᾶν
ἄρσεν διανοῖγον μήτραν ἅγιον τῷ Κυρίῳ
κληθήσεται,* 24καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ
εἰρημένον ἐν νόμῳ Κυρίου, *ζεῦγος τρυγόνων
ἢ δύο νεοσσοὺς περιστερῶν.* 25Καὶ ἰδοὺ ἦν
ἄνθρωπος ἐν Ἱεροσολύμοις ᾧ ὄνομα Συμεών,
καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής,
προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ, καὶ
Πνεῦμα ἦν Ἅγιον ἐπ' αὐτόν· 26καὶ ἦν αὐτῷ
κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ
Ἁγίου μὴ ἰδεῖν θάνατον πρὶν ἢ ἴδῃ τὸν Χρι-
στὸν Κυρίου. 27καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς
τὸ ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ
παιδίον Ἰησοῦν τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ
εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, 28καὶ αὐτὸς

rească, lăudând pe Dumnezeu şi zicând:
14Slavă întru cei de sus lui Dumnezeu şi pe
pământ pace, întru oameni bunăvoire! 15Şi
a fost că, după ce îngerii au plecat de la ei
în cer, şi oamenii, păstorii, au zis unii că-
tre alţii: Să mergem dar până la Betleem
şi să vedem cuvântul acesta care s-a îm-
plinit, pe care Domnul ni l-a făcut nouă
cunoscut. 16Şi au venit, grăbindu-se, şi au
aflat pe Maria şi pe Iosif şi pe Prunc, cul-
cat în iesle. 17Şi văzând, au vestit cuvântul
grăit lor despre Pruncul acesta. 18Şi toţi cei
care au auzit s-au minunat de cele grăite
lor de către păstori. 19Iar Maria ţinea toa-
te aceste cuvinte, punându-le în inima ei.
20Şi s-au întors păstorii, slăvind şi lăudând
pe Dumnezeu pentru toate câte auziseră
şi văzuseră, precum se grăise către ei.

Şi când s-au împlinit opt zile ca să taie
Pruncul împrejur, s-a chemat nume-
le Lui Iisus, cum a fost chemat de înger
mai înainte de a Se zămisli în pântece. 22Şi
când s-au împlinit zilele curăţirii lor, după
Legea lui Moise, L-au adus la Ierusalim, ca
să-L pună înaintea Domnului – 23precum
este scris în Legea Domnului: *toată par-
tea bărbătească ce deschide pântecele sfânt
Domnului se va chema* – 24şi ca să dea jert-
fă, după cum s-a zis în Legea Domnului, *o
pereche de turturele sau doi pui de porum-
bel.* 25Şi iată, era un om în Ierusalim, cu
numele Simeon; şi omul acesta era drept şi
evlavios, aşteptând mângâierea lui Israel,
şi Duhul Sfânt era peste el. 26Şi avea el în-
ştiinţare de la Duhul Sfânt că nu va vedea
moartea până ce nu va vedea pe Hristosul
Domnului. 27Şi a venit întru Duhul în tem-
plu; şi când părinţii L-au adus înăuntru pe
Pruncul Iisus, ca să facă pentru El după
obiceiul Legii, 28el L-a primit în braţele

ἐδέξατο αὐτὸν εἰς τὰς ἀγκάλας αὐτοῦ καὶ εὐλόγησε τὸν Θεὸν καὶ εἶπε· 29νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ, 30ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, 31ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, 32φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ. 33καὶ ἦν Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ. 34καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ· ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον. 35καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. 36Καὶ ἦν Ἄννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετὰ ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς, 37καὶ αὐτὴ χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν· 38καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ Κυρίῳ καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἰερουσαλήμ.

Καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν εἰς τὴν πόλιν ἑαυτῶν Ναζαρέτ. 40Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ᾽ αὐτό.

Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ᾽ ἔτος εἰς Ἰερουσαλὴμ τῇ ἑορτῇ τοῦ πάσχα. 42καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἰεροσόλυμα κατὰ τὸ ἔθος τῆς ἑορτῆς 43καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτοὺς ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἰερουσαλήμ, καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ μήτηρ αὐτοῦ. 44νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι ἦλθον ἡμέρας ὁδὸν καὶ ἀνεζήτουν αὐτὸν ἐν

sale şi a binecuvântat pe Dumnezeu şi a zis: 29Acum slobozeşti pe robul Tău, Stăpâne, după cuvântul Tău, în pace, 30că văzură ochii mei mântuirea Ta, 31pe care ai gătit-o înaintea feţei tuturor popoarelor; 32lumină spre descoperirea neamurilor şi slavă poporului Tău Israel. 33 Şi se minunau Iosif şi mama Lui de cele ce se grăiau despre El. 34Şi i-a binecuvântat pe ei Simeon şi a zis către Maria, mama Lui: Iată, Acesta este pus spre căderea şi ridicarea multora în Israel şi spre semn care va stârni împotriviri, 35şi chiar prin sufletul tău va trece sabie, ca să se descopere gândurile din multe inimi. 36Şi era Ana proorocița, fiica lui Fanuel, din seminția lui Aşer – aceasta era înaintată în zile multe, trăise cu bărbatul ei şapte ani de la fecioria sa 37şi era văduvă până la optzeci şi patru de ani –, care nu se depărta de templu, slujind noaptea şi ziua în post şi în rugăciuni. 38Şi venind ea în acel ceas, mulțumea Domnului şi vorbea despre El tuturor celor ce aşteptau răscumpărare în Ierusalim.

Şi când au săvârşit toate cele după Legea Domnului, s-au întors în Galileea, în cetatea lor Nazaret. 40Iar Pruncul creştea şi Se întărea cu duhul, umplându-Se de înțelepciune; şi harul lui Dumnezeu era peste El.

Şi mergeau părinții Lui în fiecare an în Ierusalim de praznicul Paştelui. 42Şi când a fost de doisprezece ani, suindu-se ei la Ierusalim, după obiceiul praznicului, 43şi sfârşindu-se zilele, pe când se întorceau, a rămas copilul Iisus în Ierusalim; şi n-au ştiut Iosif şi mama Lui; 44şi socotind că este în ceata călătorilor, au venit cale de o zi, şi Îl căutau printre rude şi printre

τοῖς συγγενέσι καὶ ἐν τοῖς γνωστοῖς· 45καὶ μὴ εὑρόντες αὐτὸν ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ ζητοῦντες αὐτόν. 46καὶ ἐγένετο μεθ' ἡμέρας τρεῖς εὗρον αὐτὸν ἐν τῷ ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν διδασκάλων καὶ ἀκοῦοντα αὐτῶν καὶ ἐπερωτῶντα αὐτούς· 47ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ ἐπὶ τῇ συνέσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. 48καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν, καὶ πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ εἶπε· τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ πατήρ σου κἀγὼ ὀδυνώμενοι ἐζητοῦμέν σε. 49καὶ εἶπε πρὸς αὐτούς· τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με; 50καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. 51καὶ κατέβη μετ' αὐτῶν καὶ ἦλθεν εἰς Ναζαρέτ, καὶ ἦν ὑποτασσόμενος αὐτοῖς. καὶ ἡ μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. 52Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

cunoscuți; 45şi, negăsindu-L, s-au întors la Ierusalim ca să-L caute. 46Şi după trei zile L-au găsit în templu, şezând în mijlocul învățătorilor, ascultându-i şi întrebându-i. 47Şi se minunau toți cei care Îl ascultau de înțelegerea şi de răspunsurile Lui. 48Şi văzându-L, s-au uimit, iar mama Lui a zis către El: Fiule, de ce ne-ai făcut nouă aşa? Iată, tatăl Tău şi cu mine Te-am căutat îndureraţi. 49Şi a zis către ei: Ce este de Mă căutaţi? Nu ştiaţi că în cele ale Tatălui Meu trebuie să fiu? 50Dar ei n-au înțeles cuvântul pe care l-a grăit lor. 51Şi a coborât cu ei şi a venit în Nazaret şi le era supus. Iar mama Lui păstra toate cuvintele acestea în inima ei. 52Şi Iisus sporea cu înțelepciunea şi cu vârsta şi cu harul la Dumnezeu şi la oameni.

Κεφάλαιον Γ΄

Ἐν ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρῴδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, 2ἐπ' ἀρχιερέως Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ, 3καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν, 4ὡς γέγραπται ἐν βίβλῳ λό-

Capitolul 3

Iar în anul al cincisprezecelea al domniei Cezarului Tiberiu, pe când Ponțiu Pilat era guvernator al Iudeii şi Irod era tetrarh al Galileii, iar Filip, fratele lui, tetrarh al Itureii şi al ținutului Trahonitidei, iar Lisaniu, tetrarh al Abilenei, 2în zilele arhiereilor Anna şi Caiafa, a fost cuvântul lui Dumnezeu către Ioan, fiul lui Zaharia, în pustie. 3Şi a venit el în toată împrejurimea Iordanului, propovăduind botezul pocăinței spre iertarea păcatelor, 4precum este scris în cartea cuvintelor lui Isaia

γων Ἡσαΐου τοῦ προφήτου λέγοντος· *φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ·* 5*πᾶσα φάραγξ πληρωθήσεται καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας,* 6*καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.* 7Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ· γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; 8ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. 9ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. 10Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι λέγοντες· τί οὖν ποιήσομεν; 11ἀποκριθεὶς δὲ λέγει αὐτοῖς· ὁ ἔχων δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι, καὶ ὁ ἔχων βρώματα ὁμοίως ποιείτω. 12ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι, καὶ εἶπον πρὸς αὐτόν· διδάσκαλε, τί ποιήσομεν; 13ὁ δὲ εἶπε πρὸς αὐτούς· μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε. 14ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι λέγοντες· καὶ ἡμεῖς τί ποιήσομεν; καὶ εἶπε πρὸς αὐτούς· μηδένα συκοφαντήσητε μηδὲ διασείσητε, καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν. 15Προσδοκῶντος δὲ τοῦ λαοῦ καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστός, 16ἀπεκρίνατο ὁ Ἰωάννης ἅπασι λέγων· ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί. 17οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. 18πολλὰ μὲν οὖν καὶ ἕτερα

proorocul, care zice: *Glasul celui ce strigă în pustie: Gătiți calea Domnului, drepte faceți cărările Lui.* 5*Toată valea se va umple şi tot muntele şi dealul se vor smeri; şi vor fi cele strâmbe drepte şi cele colțuroase căi netede,* 6*şi va vedea tot trupul mântuirea lui Dumnezeu.* 7Zicea, dar, mulțimilor care veneau să se boteze de către el: Pui de vipere, cine v-a arătat să fugiți de mânia ce va să fie? 8Faceți, dar, roade vrednice de pocăință şi nu începeți a zice în voi înşivă: Părinte avem pe Avraam! Căci vă spun vouă că Dumnezeu poate din pietrele acestea să ridice fii lui Avraam. 9De-acum şi securea stă la rădăcina pomilor; deci tot pomul care nu face rod bun se taie şi se aruncă în foc. 10Şi L-au întrebat mulțimile zicând: Ce să facem dar? 11Şi răspunzând, a zis lor: Cel ce are două cămăşi să dea celui ce nu are; şi cel ce are bucate asemenea să facă. 12Şi au venit şi vameşi să se boteze, şi au zis către El: Învățătorule, noi ce să facem? 13Iar el a zis către ei: Nu faceți nimic mai mult peste ce vă este poruncit. 14Şi îl întrebau şi ostaşii, zicând: Şi noi ce să facem? Şi a zis către ei: Pe nimeni să nu învinuiți pe nedrept, pe nimeni să nu năpăstuiți şi să vă mulțumiți cu soldele voastre. 15Şi fiind în aşteptare poporul şi întrebându-se toți în inimile lor despre Ioan: Nu cumva el este Hristosul? 16a răspuns Ioan tuturor, zicând: Eu vă botez în apă, dar vine Cel mai tare decât mine, Căruia nu sunt vrednic să-I dezleg cureaua încălțămintelor. El vă va boteza în Duh Sfânt şi foc, 17El are lopata în mână şi va curăța aria Sa şi va aduna grâul în hambarul Lui, iar pleava o va arde cu foc nestins. 18Încă şi multe altele îndemnând, binevestea poporu-

παρακαλῶν εὐηγγελίζετο τὸν λαόν. 19 Ὁ δὲ
Ἡρῴδης ὁ τετράρχης, ἐλεγχόμενος ὑπ' αὐτοῦ
περὶ Ἡρῳδιάδος τῆς γυναικὸς τοῦ ἀδελφοῦ
αὐτοῦ καὶ περὶ πάντων ὧν ἐποίησε πονηρῶν
ὁ Ἡρῴδης, 20προσέθηκε καὶ τοῦτο ἐπὶ πᾶσι
καὶ κατέκλεισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ.

Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν
λαὸν καὶ Ἰησοῦ βαπτισθέντος καὶ προσ-
ευχομένου ἀνεῳχθῆναι τὸν οὐρανὸν 22καὶ
καταβῆναι τὸ Πνεῦμα τὸ Ἅγιον σωματικῷ
εἴδει ὡσεὶ περιστερὰν ἐπ' αὐτόν, καὶ φωνὴν
ἐξ οὐρανοῦ γενέσθαι λέγουσαν· σὺ εἶ ὁ υἱός
μου ὁ ἀγαπητός, ἐν σοὶ εὐδόκησα.

Καὶ αὐτὸς ἦν ὁ Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα
ἀρχόμενος, ὢν, ὡς ἐνομίζετο, υἱὸς Ἰωσήφ,
τοῦ Ἡλί, 24τοῦ Ματθάν, τοῦ Λευΐ, τοῦ Μελχί,
τοῦ Ἰωαννᾶ, τοῦ Ἰωσήφ, 25τοῦ Ματταθίου,
τοῦ Ἀμώς, τοῦ Ναούμ, τοῦ Ἑσλίμ, τοῦ Ναγγαί,
26τοῦ Μαάθ, τοῦ Ματταθίου, τοῦ Σεμεΐ, τοῦ
Ἰωσήφ, τοῦ Ἰωδᾶ, 27τοῦ Ἰωαννάν, τοῦ Ῥη-
σᾶ, τοῦ Ζοροβάβελ, τοῦ Σαλαθιήλ, τοῦ Νηρί,
28τοῦ Μελχί, τοῦ Ἀδδί, τοῦ Κωσάμ, τοῦ Ἐλ-
μωδάμ, τοῦ Ἤρ, 29τοῦ Ἰωσῆ, τοῦ Ἐλιέζερ,
τοῦ Ἰωρείμ, τοῦ Ματθάτ, τοῦ Λευΐ, 30τοῦ
Συμεών, τοῦ Ἰούδα, τοῦ Ἰωσήφ, τοῦ Ἰωνᾶ,
τοῦ Ἐλιακείμ, 31τοῦ Μελεᾶ, τοῦ Μαϊνάν, τοῦ
Ματταθᾶ, τοῦ Νάθαν, τοῦ Δαυΐδ, 32τοῦ Ἰεσ-
σαί, τοῦ Ὠβήδ, τοῦ Βοόζ, τοῦ Σαλμών, τοῦ
Ναασσών, 33τοῦ Ἀμιναδάβ, τοῦ Ἀράμ, τοῦ
Ἰωράμ, τοῦ Ἐσρώμ, τοῦ Φαρές, τοῦ Ἰούδα,
34τοῦ Ἰακώβ, τοῦ Ἰσαάκ, τοῦ Ἀβραάμ, τοῦ
Θάρα, τοῦ Ναχώρ, 35τοῦ Σερούχ, τοῦ Ῥαγαῦ,
τοῦ Φάλεκ, τοῦ Ἔβερ, τοῦ Σαλᾶ, 36τοῦ Καϊ-
νάν, τοῦ Ἀρφαξάδ, τοῦ Σήμ, τοῦ Νῶε, τοῦ
Λάμεχ, 37τοῦ Μαθουσάλα, τοῦ Ἐνώχ, τοῦ
Ἰάρεδ, τοῦ Μαλελεήλ, τοῦ Καϊνάν, 38τοῦ
Ἐνώς, τοῦ Σήθ, τοῦ Ἀδάμ, τοῦ Θεοῦ.

lui. 19Iar Irod tetrarhul, mustrat fiind de
el pentru Irodiada, femeia fratelui său, şi
pentru toate relele pe care le făcuse Irod,
20a adăugat la toate şi aceasta, şi a închis
pe Ioan în temniţă.

Si a fost, pe când se boteza tot poporul,
că, botezându-Se şi Iisus şi rugându-Se,
s-a deschis cerul, 22şi S-a pogorât Duhul
Sfânt în chip trupesc, ca un porumbel,
peste El, şi glas din cer s-a făcut, zicând:
Tu eşti Fiul Meu cel iubit, întru Tine am
binevoit.

Si Acesta era Iisus, Care a început ca la
treizeci de ani, fiind El, precum se so-
cotea, fiu al lui Iosif, al lui Elí, 24al lui Ma-
tan, al lui Levi, al lui Melhi, al lui Ioanná,
al lui Iosif, 25al lui Matatia, al lui Amos, al
lui Naum, al lui Eslim, al lui Nagai, 26al lui
Maat, al lui Matatia, al lui Semeí, al lui Io-
sif, al lui Ioda, 27al lui Ioannán, al lui Re-
sa, al lui Zorobabel, al lui Salatiel, al lui
Neri, 28al lui Melhi, al lui Addí, al lui Co-
sam, al lui Elmodam, al lui Er, 29al lui Io-
si, al lui Eliezer, al lui Iorim, al lui Matat,
al lui Levi, 30al lui Simeon, al lui Iuda, al
lui Iosif, al lui Iona, al lui Eliachim, 31al
lui Melea, al lui Mainán, al lui Matata, al
lui Natan, al lui David, 32al lui Iesei, al lui
Obed, al lui Booz, al lui Salmon, al lui Na-
ason, 33al lui Aminadav, al lui Aram, al lui
Ioram, al lui Esrom, al lui Fares, al lui Iuda,
34al lui Iacov, al lui Isaac, al lui Avraam, al
lui Tara, al lui Nahor, 35al lui Seruh, al lui
Ragav, al lui Falec, al lui Eber, al lui Sala,
36al lui Cainan, al lui Arfaxad, al lui Sem,
al lui Noe, al lui Lameh, 37al lui Matusala,
al lui Enoh, al lui Iared, al lui Maleleil, al
lui Cainan, 38al lui Enos, al lui Set, al lui
Adam, al lui Dumnezeu.

Κεφάλαιον Δ΄

Ἰησοῦς δὲ πλήρης Πνεύματος Ἁγίου ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου, καὶ ἤγετο ἐν τῷ Πνεύματι εἰς τὴν ἔρημον 2ἡμέρας τεσσαράκοντα πειραζόμενος ὑπὸ τοῦ διαβόλου, καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ συντελεσθεισῶν αὐτῶν ὕστερον ἐπείνασε. 3καὶ εἶπεν αὐτῷ ὁ διάβολος· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος. 4καὶ ἀπεκρίθη ὁ Ἰησοῦς πρὸς αὐτὸν λέγων· γέγραπται ὅτι *οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ.* 5Καὶ ἀναγαγὼν αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν ἔδειξεν αὐτῷ πάσας τὰς βασιλείας τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου, 6καὶ εἶπεν αὐτῷ ὁ διάβολος· σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν, ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν. 7σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιόν μου, ἔσται σου πᾶσα. 8καὶ ἀποκριθεὶς αὐτῷ εἶπεν ὁ Ἰησοῦς· ὕπαγε ὀπίσω μου, σατανᾶ· γέγραπται γάρ, *Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις.* 9Καὶ ἤγαγεν αὐτὸν εἰς Ἰερουσόλυμα, καὶ ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ καὶ εἶπεν αὐτῷ· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω· 10γέγραπται γὰρ ὅτι *τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ τοῦ διαφυλάξαι σε,* 11καὶ ὅτι *ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.* 12καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι εἴρηται, *οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.* 13Καὶ συντελέσας πάντα πειρασμὸν ὁ διάβολος ἀπέστη ἀπ᾽ αὐτοῦ ἄχρι καιροῦ.

Capitolul 4

Şi Iisus, plin de Duhul Sfânt, S-a întors de la Iordan şi a fost dus în Duhul în pustie, 2patruzeci de zile fiind ispitit de diavolul. Şi nu a mâncat nimic în zilele acelea; şi, sfârşindu-se ele, la urmă a flămânzit. 3Şi I-a zis Lui diavolul: Dacă eşti Fiul lui Dumnezeu, zi acestei pietre să se facă pâine. 4Şi a răspuns Iisus către el, zicând: Scris este: *Nu numai cu pâine va trăi omul, ci cu tot cuvântul care iese din gura lui Dumnezeu.* 5Şi suindu-L diavolul într-un munte înalt, I-a arătat toate împărăţiile lumii într-o clipită. 6Şi I-a zis Lui diavolul: Ţie îţi voi da toată stăpânirea aceasta şi slava lor, că mie mi-a fost dată şi o dau cui voiesc eu; 7deci dacă Tu Te vei închina înaintea mea, va fi toată a Ta. 8Şi răspunzându-i, Iisus a zis: Mergi înapoia Mea, satano! Căci scris este: *Domnului Dumnezeului tău să te închini şi numai Lui să slujeşti.* 9Şi L-a dus pe El în Ierusalim şi L-a pus pe aripa templului, şi I-a zis: Dacă eşti Fiul lui Dumnezeu, aruncă-Te de aici jos; 10că scris este: *Îngerilor Săi le va porunci pentru Tine, ca să Te păzească;* 11şi: *Te vor ridica pe mâini, nu cumva să loveşti de piatră piciorul Tău.* 12Şi răspunzând, Iisus i-a zis că s-a spus: *Să nu ispiteşti pe Domnul Dumnezeul tău.* 13Şi sfârşind toată ispita, diavolul s-a depărtat de la El, până la o vreme.

Καὶ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ Πνεύματος εἰς τὴν Γαλιλαίαν· καὶ φήμη ἐξῆλθε καθ' ὅλης τῆς περιχώρου περὶ αὐτοῦ. 15καὶ αὐτὸς ἐδίδασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν δοξαζόμενος ὑπὸ πάντων.

Καὶ ἦλθεν εἰς τὴν Ναζαρέτ, οὗ ἦν τεθραμμένος, καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγήν, καὶ ἀνέστη ἀναγνῶναι. 17καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου, καὶ ἀναπτύξας τὸ βιβλίον εὗρε τὸν τόπον οὗ ἦν γεγραμμένον· 18*Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, 19κηρῦξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, κηρῦξαι ἐνιαυτὸν Κυρίου δεκτόν.* 20καὶ πτύξας τὸ βιβλίον ἀποδοὺς τῷ ὑπηρέτῃ ἐκάθισε· καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ. 21ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. 22καὶ πάντες ἐμαρτύρουν αὐτῷ καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ καὶ ἔλεγον· οὐχ οὑτός ἐστιν ὁ υἱὸς Ἰωσήφ; 23καὶ εἶπε πρὸς αὐτούς· πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην· ἰατρέ, θεράπευσον σεαυτόν· ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναούμ, ποίησον καὶ ὧδε ἐν τῇ πατρίδι σου. 24εἶπε δέ· ἀμὴν λέγω ὑμῖν ὅτι οὐδεὶς προφήτης δεκτός ἐστιν ἐν τῇ πατρίδι αὐτοῦ. 25ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν, πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλιοῦ ἐν τῷ Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς ἐπὶ ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν, 26καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας εἰ μὴ εἰς Σάρεπτα τῆς Σιδωνίας πρὸς γυναῖκα χήραν. 27καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισαίου τοῦ προφήτου ἐν τῷ Ἰσραήλ, καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη εἰ

Și S-a întors Iisus întru puterea Duhului în Galileea; şi a ieşit vestea despre El în toate împrejurimile. 15Şi El învăţa în sinagogile lor, slăvit fiind de toţi.

Şi a venit în Nazaret, unde fusese crescut, şi a intrat, după obiceiul Său, în ziua sâmbetei în sinagogă şi S-a ridicat să citească. 17Şi I s-a dat Lui cartea proorocului Isaia. Şi deschizând cartea, a găsit locul unde era scris: 18*Duhul Domnului peste Mine, pentru că M-a uns, M-a trimis să binevestesc săracilor, să vindec pe cei zdrobiţi cu inima,* 19*să propovăduiesc celor robiţi iertarea şi orbilor vederea, să trimit pe cei asupriţi întru iertare şi să vestesc anul Domnului primit.* 20Şi închizând cartea şi dând-o slujitorului, a şezut; iar ochii tuturor din sinagogă erau aţintiţi asupra Lui. 21Şi a început a zice către ei: Astăzi s-a împlinit Scriptura aceasta în urechile voastre. 22Şi toţi mărturiseau pentru El şi se minunau de cuvintele harului care ieşeau din gura Lui şi ziceau: Nu este, oare, Acesta fiul lui Iosif? 23Şi a zis către ei: Negreşit Îmi veţi spune această pildă: Doctore, vindecă-te pe tine însuţi! Câte am auzit că s-au făcut în Capernaum, fă şi aici în patria Ta. 24Dar le-a zis: Amin zic vouă, că nici un prooroc nu este primit în patria sa. 25Dar cu adevărat zic vouă, că multe văduve erau în zilele lui Ilie în Israel, când s-a închis cerul timp de trei ani şi şase luni, încât s-a făcut foamete mare peste tot pământul, 26şi la nici una dintre ele n-a fost trimis Ilie, decât numai în Sarepta Sidonului, la o femeie văduvă. 27Şi mulţi leproşi erau în zilele lui Elisei proorocul în

μὴ Νεεμὰν ὁ Σύρος. 28καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ ἀκούοντες ταῦτα, 29καὶ ἀναστάντες ἐξέβαλον αὐτὸν ἔξω τῆς πόλεως καὶ ἤγαγον αὐτὸν ἕως ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρημνίσαι αὐτόν. 30αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο.

Καὶ κατῆλθεν εἰς Καπερναοὺμ πόλιν τῆς Γαλιλαίας, καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασι· 32καὶ ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν ἐξουσίᾳ ἦν ὁ λόγος αὐτοῦ. 33Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρωπος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ ἀνέκραξε φωνῇ μεγάλῃ 34λέγων· ἔα, τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ. 35καὶ ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς λέγων· φιμώθητι καὶ ἔξελθε ἐξ αὐτοῦ. καὶ ῥῖψαν αὐτὸν τὸ δαιμόνιον εἰς τὸ μέσον ἐξῆλθεν ἀπ' αὐτοῦ, μηδὲν βλάψαν αὐτόν. 36καὶ ἐγένετο θάμβος ἐπὶ πάντας, καὶ συνελάλουν πρὸς ἀλλήλους λέγοντες· τίς ὁ λόγος οὗτος, ὅτι ἐν ἐξουσίᾳ καὶ δυνάμει ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ ἐξέρχονται; 37καὶ ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα τόπον τῆς περιχώρου.

Ἀναστὰς δὲ ἐκ τῆς συναγωγῆς εἰσῆλθεν εἰς τὴν οἰκίαν Σίμωνος. πενθερὰ δὲ τοῦ Σίμωνος ἦν συνεχομένη πυρετῷ μεγάλῳ, καὶ ἠρώτησαν αὐτὸν περὶ αὐτῆς. 39καὶ ἐπιστὰς ἐπάνω αὐτῆς ἐπετίμησε τῷ πυρετῷ, καὶ ἀφῆκεν αὐτήν· παραχρῆμα δὲ ἀναστᾶσα διηκόνει αὐτοῖς. 40Δύνοντος δὲ τοῦ ἡλίου πάντες ὅσοι εἶχον ἀσθενοῦντας νόσοις ποικίλαις ἤγαγον αὐτοὺς πρὸς αὐτόν· ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν τὰς χεῖρας ἐπιτιθεὶς ἐθεράπευσεν αὐτούς. 41ἐξήρχετο δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν κραυγάζοντα καὶ λέγοντα ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. καὶ ἐπιτιμῶν οὐκ εἴα αὐτὰ λαλεῖν, ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι.

Israel, dar nici unul dintre ei nu s-a curăţit, decât numai Neeman Sirianul. 28Şi s-au umplut toţi de mânie în sinagogă când au auzit acestea 29şi, sculându-se, L-au scos afară din cetate şi L-au dus pe sprânceana muntelui, pe care era zidită cetatea lor, ca să-L arunce în prăpastie. 30Dar El, trecând prin mijlocul lor, a plecat.

Şi a coborât în Capernaum, cetatea Galileii, şi îi învăţa sâmbăta. 32Şi erau uimiţi de învăţătura Lui, că întru putere era cuvântul Lui. 33Şi în sinagogă era un om, având duh de drac necurat, şi a strigat cu glas mare, 34zicând: Ei, ce este nouă şi Ţie, Iisuse Nazarinene? Ai venit ca să ne pierzi? Te ştiu cine eşti: Sfântul lui Dumnezeu. 35Şi Iisus l-a certat, zicând: Taci şi ieşi din el. Şi aruncându-l dracul în mijloc, a ieşit din el, cu nimic vătămându-l. 36Şi spaimă a venit peste toţi şi spuneau unii către alţii, zicând: Ce este acest cuvânt? Că porunceşte cu stăpânire şi putere duhurilor necurate, şi acestea ies. 37Şi se ducea vestea despre El în tot locul din împrejurimi.

Şi ridicându-Se din sinagogă, a intrat în casa lui Simon. Iar soacra lui Simon era cuprinsă de friguri mari şi L-au rugat pentru ea. 39Şi plecându-Se asupra ei, a certat frigurile şi au lăsat-o; şi ea îndată ridicându-se, slujea lor. 40Şi apunând soarele, toţi câţi aveau bolnavi de felurite boli îi aduceau la El; iar El, pe fiecare dintre ei punându-Şi mâinile, îi tămăduia. 41Şi ieşeau şi dracii din mulţi, strigând şi zicând: Tu eşti Hristosul, Fiul lui Dumnezeu. Dar El, certându-i, nu-i lăsa să vorbească, pentru că ştiau că El este Hristosul.

Γενομένης δὲ ἡμέρας ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον· καὶ οἱ ὄχλοι ἐπεζήτουν αὐτόν, καὶ ἦλθον ἕως αὐτοῦ καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ᾽ αὐτῶν. 43ὁ δὲ εἶπε πρὸς αὐτοὺς ὅτι καὶ ταῖς ἑτέραις πόλεσιν εὐαγγελίσασθαί με δεῖ τὴν βασιλείαν τοῦ Θεοῦ· ὅτι εἰς τοῦτο ἀπέσταλμαι. 44καὶ ἦν κηρύσσων εἰς τὰς συναγωγὰς τῆς Γαλιλαίας.

Şi când s-a făcut ziuă, ieşind, S-a dus în loc pustiu; şi mulţimile Îl căutau şi au venit până la El, şi-L ţineau ca să nu plece de la ei. 43Iar El a zis către ei: Şi celorlalte cetăţi trebuie să binevestesc Împărăţia lui Dumnezeu; că spre aceasta am fost trimis. 44Şi propovăduia în sinagogile Galileii.

Κεφάλαιον Ε΄

Ἐγένετο δὲ ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ τοῦ ἀκούειν τὸν λόγον τοῦ Θεοῦ καὶ αὐτὸς ἦν ἑστὼς παρὰ τὴν λίμνην Γεννησαρέτ, 2καὶ εἶδε δύο πλοῖα ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ ἁλιεῖς ἀποβάντες ἀπ᾽ αὐτῶν ἀπέπλυναν τὰ δίκτυα. 3ἐμβὰς δὲ εἰς ἓν τῶν πλοίων, ὃ ἦν τοῦ Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς γῆς ἐπαναγαγεῖν ὀλίγον· καὶ καθίσας ἐδίδασκεν ἐκ τοῦ πλοίου τοὺς ὄχλους. 4ὡς δὲ ἐπαύσατο λαλῶν, εἶπε πρὸς τὸν Σίμωνα· ἐπανάγαγε εἰς τὸ βάθος καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν. 5καὶ ἀποκριθεὶς ὁ Σίμων εἶπεν αὐτῷ· ἐπιστάτα, δι᾽ ὅλης τῆς νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν· ἐπὶ δὲ τῷ ῥήματί σου χαλάσω τὸ δίκτυον. 6καὶ τοῦτο ποιήσαντες συνέκλεισαν πλῆθος ἰχθύων πολύ· διερρήγνυτο δὲ τὸ δίκτυον αὐτῶν. 7καὶ κατένευσαν τοῖς μετόχοις τοῖς ἐν τῷ ἑτέρῳ πλοίῳ τοῦ ἐλθόντας συλλαβέσθαι αὐτοῖς· καὶ ἦλθον καὶ ἔπλησαν ἀμφότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά. 8ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσε τοῖς γόνασιν Ἰησοῦ λέγων· ἔξελθε ἀπ᾽ ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, Κύριε· 9θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας τοὺς σὺν

Capitolul 5

Fost, dar, pe când mulţimea Îl îmbulzea ca să audă cuvântul lui Dumnezeu şi El stătea lângă lacul Ghenizaret, 2că a văzut două corăbii, stând la ţărm; iar pescarii, coborând din ele, spălau mrejele. 3Şi urcând într-una din corăbii, care era a lui Simon, l-a rugat să o ducă iarăşi puţin de la ţărm. Şi şezând, învăţa din corabie mulţimile. 4Iar când a încetat a vorbi, i-a zis lui Simon: Du-o iarăşi la adânc şi aruncaţi mrejele voastre să pescuiţi. 5Şi răspunzând Simon, I-a zis: Învăţătorule, toată noaptea ostenindu-ne nimic n-am prins; dar, la cuvântul Tău, voi arunca mreaja. 6Şi făcând aceasta, au prins mulţime mare de peşti; şi se rupea mreaja lor. 7Şi au făcut semn tovarăşilor lor care erau în cealaltă corabie, să vină să le ajute. Şi ei au venit şi au umplut amândouă corăbiile, încât acestea se scufundau. 8Văzând Simon Petru, a căzut la genunchii lui Iisus, zicând: Ieşi de la mine, Doamne, că sunt om păcătos. 9Căci spaimă îl cuprinsese pe el şi pe toţi cei ce erau cu el, pentru

αὐτῷ ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ἣ συνέλαβον,
10ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ Ἰωάννην, υἱοὺς
Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. καὶ
εἶπε πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς· μὴ φοβοῦ·
ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν. 11καὶ
καταγαγόντες τὰ πλοῖα ἐπὶ τὴν γῆν, ἀφέντες
ἅπαντα ἠκολούθησαν αὐτῷ.

Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν
πόλεων καὶ ἰδοὺ ἀνὴρ πλήρης λέπρας· καὶ
ἰδὼν τὸν Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον ἐδε-
ήθη αὐτοῦ λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί
με καθαρίσαι. 13καὶ ἐκτείνας τὴν χεῖρα ἥψατο
αὐτοῦ εἰπών· θέλω, καθαρίσθητι. καὶ εὐθέως ἡ
λέπρα ἀπῆλθεν ἀπ᾽ αὐτοῦ. 14καὶ αὐτὸς παρήγ-
γειλεν αὐτῷ μηδενὶ εἰπεῖν, ἀλλὰ ἀπελθὼν δεῖ-
ξον σεαυτὸν τῷ ἱερεῖ καὶ προσένεγκε περὶ τοῦ
καθαρισμοῦ σου καθὼς προσέταξε Μωϋσῆς
εἰς μαρτύριον αὐτοῖς. 15διήρχετο δὲ μᾶλλον
ὁ λόγος περὶ αὐτοῦ, καὶ συνήρχοντο ὄχλοι
πολλοὶ ἀκούειν καὶ θεραπεύεσθαι ὑπ᾽ αὐτοῦ
ἀπὸ τῶν ἀσθενειῶν αὐτῶν· 16αὐτὸς δὲ ἦν ὑπο-
χωρῶν ἐν ταῖς ἐρήμοις καὶ προσευχόμενος.

Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἦν
διδάσκων, καὶ ἦσαν καθήμενοι Φαρισαῖοι
καὶ νομοδιδάσκαλοι, οἳ ἦσαν ἐληλυθότες ἐκ
πάσης κώμης τῆς Γαλιλαίας καὶ Ἰουδαίας καὶ
Ἱερουσαλήμ· καὶ δύναμις Κυρίου ἦν εἰς τὸ ἰᾶ-
σθαι αὐτούς. 18καὶ ἰδοὺ ἄνδρες φέροντες ἐπὶ
κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, καὶ
ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι ἐνώπιον
αὐτοῦ. 19καὶ μὴ εὑρόντες ποίας εἰσενέγκωσιν
αὐτὸν διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ τὸ δῶμα
διὰ τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλι-
νιδίῳ εἰς τὸ μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. 20καὶ
ἰδὼν τὴν πίστιν αὐτῶν εἶπεν αὐτῷ· ἄνθρωπε,
ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. 21καὶ ἤρξαντο
διαλογίζεσθαι οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι
λέγοντες· τίς ἐστιν οὗτος ὃς λαλεῖ βλασφημίας;
τίς δύναται ἀφιέναι ἁμαρτίας εἰ μὴ μόνος ὁ
Θεός; 22ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς διαλογι-

pescuirea peştilor pe care îi prinseseră.
10Asemenea şi pe Iacov şi pe Ioan, fiii lui
Zevedeu, care erau tovarăşi cu Simon. Şi a
zis Iisus către Simon: Nu te teme; de acum
vei fi pescar de oameni. 11Şi trăgând coră-
biile la ţărm, lăsând toate, I-au urmat Lui.

Şi a fost, pe când era El într-una din ce-
tăţi, şi, iată, un bărbat plin de lepră;
şi văzând pe Iisus, a căzut cu faţa la pă-
mânt şi L-a rugat, zicând: Doamne, dacă
voieşti, poţi să mă curăţeşti. 13Şi în-
tinzând mâna, S-a atins de el, zicând: Voiesc,
curăţeşte-te! Şi îndată lepra s-a dus de la
el. 14Iar El i-a poruncit lui să nu spună ni-
mănui, ci: Mergi, arată-te preotului şi adu
jertfă pentru curăţirea ta, precum a rân-
duit Moise, spre mărturie lor. 15Dar şi mai
mult se răspândea cuvântul despre El şi
se adunau mulţimi multe să audă şi să-i
tămăduiască de neputinţele lor. 16Iar El
Se retrăgea în pustietăţi şi Se ruga.

Şi a fost într-una din zile că El învăţa;
şi fariseii şi învăţătorii de lege şedeau,
veniţi din toate satele Galileii, din Iudeea
şi din Ierusalim. Şi puterea Domnului era
spre vindecarea lor. 18Şi iată nişte bărbaţi
aducând pe pat un om care era paralitic; şi
căutau să-l ducă înăuntru şi să-l pună îna-
intea Lui; 19şi negăsind pe unde să-l ducă
înăuntru, din pricina mulţimii, suindu-se
pe acoperiş, printre olane, l-au coborât cu
patul, în mijloc, înaintea lui Iisus. 20Şi vă-
zând credinţa lor, a zis lui: Omule, iertate
îţi sunt păcatele tale. 21Iar cărturarii şi fari-
seii au început să cugete, zicând: Cine este
Acesta Care grăieşte hule? Cine poate să
ierte păcatele, fără numai Unul Dumne-
zeu? 22Iar Iisus, cunoscând cugetele lor,
răspunzând, a zis către ei: Ce cugetaţi în

σμοὺς αὐτῶν ἀποκριθεὶς εἶπε πρὸς αὐτούς· τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; 23τί ἐστιν εὐκοπώτερον, εἰπεῖν, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν, ἔγειρε καὶ περιπάτει; 24ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας –εἶπε τῷ παραλελυμένῳ· σοὶ λέγω, ἔγειρε καὶ ἆρας τὸ κλινίδιόν σου πορεύου εἰς τὸν οἶκόν σου. 25καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν, ἆρας ἐφ' ὃ κατέκειτο ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ δοξάζων τὸν Θεόν. 26καὶ ἔκστασις ἔλαβεν ἅπαντας καὶ ἐδόξαζον τὸν Θεόν, καὶ ἐπλήσθησαν φόβου λέγοντες ὅτι εἴδομεν παράδοξα σήμερον.

Καὶ μετὰ ταῦτα ἐξῆλθε καὶ ἐθεάσατο τελώνην ὀνόματι Λευΐν, καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ εἶπεν αὐτῷ· ἀκολούθει μοι. 28καὶ καταλιπὼν ἅπαντα ἀναστὰς ἠκολούθησεν αὐτῷ. 29καὶ ἐποίησε δοχὴν μεγάλην Λευὶς αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ, καὶ ἦν ὄχλος τελωνῶν πολὺς καὶ ἄλλων οἳ ἦσαν μετ' αὐτῶν κατακείμενοι. 30καὶ ἐγόγγυζον οἱ γραμματεῖς αὐτῶν καὶ οἱ Φαρισαῖοι πρὸς τοὺς μαθητὰς αὐτοῦ λέγοντες· διατί μετὰ τῶν τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ πίνετε; 31καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτούς· οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· 32οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Οἱ δὲ εἶπον πρὸς αὐτόν· διατί οἱ μαθηταὶ Ἰωάννου νηστεύουσι πυκνὰ καὶ δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν Φαρισαίων, οἱ δὲ σοὶ ἐσθίουσι καὶ πίνουσιν; 34ὁ δὲ εἶπε πρὸς αὐτούς· μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ ὁ νυμφίος μετ' αὐτῶν ἐστι, ποιῆσαι νηστεύειν; 35ἐλεύσονται δὲ ἡμέραι, καὶ ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις. 36ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτοὺς ὅτι οὐδεὶς ἐπίβλημα ἱματίου καινοῦ ἐπιβάλλει ἐπὶ ἱμάτιον παλαιόν· εἰ δὲ μήγε, καὶ τὸ καινὸν σχίσει καὶ τῷ παλαιῷ

inimile voastre? 23Ce este mai lesne? A zice: Iertate îți sunt păcatele tale! sau a zice: Scoală şi umblă? 24Dar ca să ştiți că Fiul Omului are putere pe pământ să ierte păcatele, a zis paraliticului: Ție îți zic: Scoală-te, ridică-ți patul şi mergi la casa ta. 25Şi îndată ridicându-se înaintea lor, luând patul pe care zăcuse, a plecat la casa lui, slăvind pe Dumnezeu. 26Şi uimire i-a cuprins pe toți şi slăveau pe Dumnezeu şi s-au umplut de frică zicând: Am văzut lucruri minunate astăzi.

Şi după acestea a ieşit şi a văzut un vameş cu numele Levi, care şedea la vamă, şi i-a zis: Urmează Mie. 28Şi lăsând toate, sculându-se, a urmat Lui. 29Şi I-a făcut ospăț mare Levi în casa sa. Şi era mulțime mare de vameşi şi alții care erau împreună cu ei aşezați la masă. 30Şi cărturarii lor şi fariseii cârteau către ucenicii Lui, zicând: Pentru ce mâncați şi beți împreună cu vameşii şi cu păcătoşii? 31Şi răspunzând Iisus, a zis către ei: N-au trebuință de doctor cei sănătoşi, ci cei bolnavi. 32N-am venit să chem pe drepți, ci pe păcătoşi la pocăință.

Iar ei au zis către El: De ce ucenicii lui Ioan postesc adesea şi fac rugăciuni, asemenea şi ai fariseilor, iar ai Tăi mănâncă şi beau? 34Iar El a zis către ei: Puteți, oare, să-i faceți să postească pe fiii cămării de nuntă, câtă vreme este Mirele cu ei? 35Dar vor veni zile, şi când Mirele va fi luat de la ei, atunci vor posti, în acele zile. 36Şi zicea către ei şi o pildă: Nimeni nu pune petic de haină nouă la haină veche; altminteri şi pe cea nouă o va rupe, şi nici celei vechi nu i se potriveşte peticul de la cea nouă.

οὐ συμφωνεῖ τὸ ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ. 37καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ δὲ μήγε, ῥήξει ὁ οἶνος ὁ νέος τοὺς ἀσκούς, καὶ αὐτὸς ἐκχυθήσεται καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· 38ἀλλὰ οἶνον νέον εἰς ἀσκοὺς καινοὺς βλητέον, καὶ ἀμφότεροι συντηροῦνται. 39καὶ οὐδεὶς πιὼν παλαιὸν εὐθέως θέλει νέον· λέγει γάρ· ὁ παλαιὸς χρηστότερός ἐστιν.

37Şi nimeni nu pune vin nou în burdufuri vechi, altminteri va sparge vinul cel nou burdufurile, şi vinul se varsă, şi burdufurile se strică. 38Ci vinul nou trebuie pus în burdufuri noi şi amândouă se păstrează. 39Şi nimeni, bând vin vechi, nu vrea îndată nou; căci zice: Cel vechi mai bun este.

Κεφάλαιον ς΄

Ἐγένετο δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ διαπορεύεσθαι αὐτὸν διὰ τῶν σπορίμων· καὶ ἔτιλλον οἱ μαθηταὶ αὐτοῦ τοὺς στάχυας καὶ ἤσθιον ψώχοντες ταῖς χερσί. 2τινὲς δὲ τῶν Φαρισαίων εἶπον αὐτοῖς· τί ποιεῖτε ὃ οὐκ ἔξεστι ποιεῖν ἐν τοῖς σάββασι; 3καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς· οὐδὲ τοῦτο ἀνέγνωτε ὃ ἐποίησε Δαυὶδ ὁπότε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ ὄντες; 4ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔλαβε καὶ ἔφαγε, καὶ ἔδωκε καὶ τοῖς μετ' αὐτοῦ, οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς; 5καὶ ἔλεγεν αὐτοῖς ὅτι κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου.

Capitolul 6

Fost, dar, în a doua sâmbătă a lunii celei dintâi, că El mergea prin semănături; şi ucenicii Lui smulgeau spice şi mâncau, frecându-le în mâini. 2Iar unii dintre farisei le-au zis: De ce faceţi ce nu este îngăduit să faceţi sâmbăta? 3Şi răspunzând către ei, a zis Iisus: Nici aceasta nu aţi citit, ce a făcut David când a flămânzit, el şi cei ce erau împreună cu el? 4Cum a intrat în casa lui Dumnezeu şi a luat pâinile punerii înainte şi a mâncat şi a dat şi celor care erau împreună cu el, pe care numai preoţilor le este îngăduit să le mănânce? 5Şi le zicea că Domn este Fiul Omului şi al sâmbetei.

Ἐγένετο δὲ καὶ ἐν ἑτέρῳ σαββάτῳ εἰσελθεῖν αὐτὸν εἰς τὴν συναγωγὴν καὶ διδάσκειν· καὶ ἦν ἐκεῖ ἄνθρωπος, καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά. 7παρετήρουν δὲ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι εἰ ἐν τῷ σαββάτῳ θεραπεύσει, ἵνα εὕρωσι κατηγορίαν αὐτοῦ. 8αὐτὸς δὲ ᾔδει τοὺς διαλογισμοὺς αὐτῶν, καὶ εἶπε τῷ ἀνθρώπῳ τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα· ἔγειρε καὶ στῆθι εἰς τὸ μέσον. ὁ δὲ ἀναστὰς ἔστη. 9εἶπεν οὖν ὁ Ἰησοῦς

A fost în altă sâmbătă, că a intrat El în sinagogă şi învăţa; şi era acolo un om şi mână lui dreaptă era uscată. 7Iar cărturarii şi fariseii Îl pândeau să vadă dacă va tămădui sâmbăta, ca să-I găsească vină. 8El însă ştia cugetele lor; şi a zis omului care avea mâna uscată: Scoală-te şi stai în mijloc. Iar el, ridicându-se, a stat. 9A zis deci Iisus către ei: Vă voi întreba pe voi, ce e

πρὸς αὐτούς· ἐπερωτήσω ὑμᾶς τί ἔξεστι τοῖς σάββασιν, ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι, ψυχὴν σῶσαι ἢ ἀποκτεῖναι; [10]καὶ περιβλεψάμενος πάντας αὐτοὺς εἶπεν αὐτῷ· ἔκτεινον τὴν χεῖρά σου. ὁ δὲ ἐποίησε, καὶ ἀποκατεστάθη ἡ χεὶρ αὐτοῦ ὡς ἡ ἄλλη. [11]αὐτοὶ δὲ ἐπλήσθησαν ἀνοίας, καὶ διελάλουν πρὸς ἀλλήλους τί ἂν ποιήσειαν τῷ Ἰησοῦ.

Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις ἐξῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι, καὶ ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ. [13]καὶ ὅτε ἐγένετο ἡμέρα, προσεφώνησε τοὺς μαθητὰς αὐτοῦ, καὶ ἐκλεξάμενος ἀπ' αὐτῶν δώδεκα, οὓς καὶ ἀποστόλους ὠνόμασε, [14]Σίμωνα, ὃν καὶ ὠνόμασε Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, Ἰάκωβον καὶ Ἰωάννην, Φίλιππον καὶ Βαρθολομαῖον, [15]Ματθαῖον καὶ Θωμᾶν, Ἰάκωβον τὸν τοῦ Ἀλφαίου καὶ Σίμωνα τὸν καλούμενον Ζηλωτήν, [16]Ἰούδαν Ἰακώβου καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ ἐγένετο προδότης.

Καὶ καταβὰς μετ' αὐτῶν ἔστη ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἰερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, [18]καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο· [19]καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας.

Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. [21]μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. [22]μακάριοί ἐστε ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. [23]χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε·

îngăduit sâmbăta: A face bine sau rău? A mântui un suflet sau a-l ucide? [10]Şi privind împrejur pe toţi aceştia, i-a zis: Întinde mâna ta. Iar el a făcut aşa şi mâna lui a venit la starea cea dintâi, ca şi cealaltă. [11]Ei însă s-au umplut de nebunie şi vorbeau unii cu alţii ce să-I facă lui Iisus.

A fost, dar, în zilele acelea, că a ieşit în munte să Se roage; şi a petrecut noaptea în rugăciune către Dumnezeu. [13]Şi când s-a făcut ziuă, a chemat pe ucenicii Lui; şi alegând dintre ei doisprezece, pe care i-a numit apostoli, [14]pe Simon, pe care l-a numit Petru, şi pe Andrei, fratele lui, pe Iacov şi pe Ioan, pe Filip şi pe Bartolomeu, [15]pe Matei şi pe Toma, pe Iacov al lui Alfeu şi pe Simon cel numit Zelotul, [16]pe Iuda al lui Iacov şi pe Iuda Iscarioteanul, care L-a şi vândut.

Şi coborând împreună cu ei, a stat la loc şes, El şi mulţime de ucenici ai Săi, şi mulţime multă de popor din toată Iudeea şi Ierusalim şi de pe ţărmul Tirului şi Sidonului, care au venit să-L audă şi să se vindece de bolile lor, [18]şi cei chinuiţi de duhuri necurate; şi se tămăduiau. [19]Şi toată mulţimea căuta să se atingă de El; că putere ieşea din El şi-i vindeca pe toţi.

Şi El, ridicându-Şi ochii spre ucenicii Lui, zicea: Fericiţi voi cei săraci, că a voastră este Împărăţia lui Dumnezeu. [21]Fericiţi voi care flămânziţi acum, că vă veţi sătura. Fericiţi voi cei ce plângeţi acum, că veţi râde. [22]Fericiţi veţi fi când vă vor urî pe voi oamenii, şi când vă vor scoate dintre ei, şi vă vor ocărî şi vor lepăda numele vostru ca viclean, din pricina Fiului Omului. [23]Bucuraţi-vă în ziua aceea şi

ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ· κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν. 24πλὴν οὐαὶ ὑμῖν τοῖς πλουσίοις, ὅτι ἀπέχετε τὴν παράκλησιν ὑμῶν. 25οὐαὶ ὑμῖν οἱ ἐμπεπλησμένοι, ὅτι πεινάσετε. οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε. 26οὐαὶ ὅταν καλῶς ὑμᾶς εἴπωσι πάντες οἱ ἄνθρωποι· κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς ψευδοπροφήταις οἱ πατέρες αὐτῶν.

Ἀλλὰ ὑμῖν λέγω τοῖς ἀκούουσιν· ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, 28εὐλογεῖτε τοὺς καταρωμένους ὑμῖν, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμᾶς. 29τῷ τύπτοντί σε ἐπὶ τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην, καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον καὶ τὸν χιτῶνα μὴ κωλύσῃς. 30παντὶ δὲ τῷ αἰτοῦντί σε δίδου, καὶ ἀπὸ τοῦ αἴροντος τὰ σὰ μὴ ἀπαίτει. 31καὶ καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. 32καὶ εἰ ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τοὺς ἀγαπῶντας αὐτοὺς ἀγαπῶσι. 33καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ οἱ ἁμαρτωλοὶ τὸ αὐτὸ ποιοῦσι. 34καὶ ἐὰν δανείζητε παρ' ὧν ἐλπίζετε ἀπολαβεῖν, ποία ὑμῖν χάρις ἐστί; καὶ γὰρ ἁμαρτωλοὶ ἁμαρτωλοῖς δανείζουσιν ἵνα ἀπολάβωσι τὰ ἴσα. 35πλὴν ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ ἀγαθοποιεῖτε καὶ δανείζετε μηδὲν ἀπελπίζοντες, καὶ ἔσται ὁ μισθὸς ὑμῶν πολύς, καὶ ἔσεσθε υἱοὶ ὑψίστου, ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς. 36Γίνεσθε οὖν οἰκτίρμονες, καθὼς καὶ ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστί.

Καὶ μὴ κρίνετε, καὶ οὐ μὴ κριθῆτε· μὴ καταδικάζετε, καὶ οὐ μὴ καταδικασθῆτε· ἀπολύετε, καὶ ἀπολυθήσεσθε· 38δίδοτε, καὶ δοθήσεται ὑμῖν· μέτρον καλόν, πεπιεσμένον καὶ σεσαλευμένον καὶ ὑπερεκχυνόμενον δώσουσιν εἰς τὸν κόλπον ὑμῶν· τῷ γὰρ αὐτῷ

săltați; că iată, plata voastră multă este în cer; căci unele ca acestea făceau proorocilor părinții lor. 24Dar vai vouă bogaților, că primiți aici mângâierea voastră. 25Vai vouă, celor sătui, că veți flămânzi. Vai vouă, celor ce râdeți acum, că veți plânge şi vă veți tângui. 26Vai, când toți oamenii vă vor vorbi de bine. Căci unele ca acestea făceau proorocilor mincinoşi părinții lor.

Dar vouă, celor care ascultați, vă spun: Iubiți pe vrăjmaşii voştri, faceți bine celor ce vă urăsc pe voi; 28binecuvântați pe cei ce vă blestemă, rugați-vă pentru cei ce vă năpăstuiesc. 29Celui ce te loveşte peste obraz, dă-i-l şi pe celălalt; şi pe cel ce-ți ia haina, nu-l împiedica să-ți ia şi cămaşa; 30Tot celui care îți cere, dă-i; şi de la cel care ia cele ale tale, nu cere înapoi. 31Şi precum voiți să vă facă vouă oamenii, şi voi faceți lor asemenea; 32şi dacă iubiți pe cei ce vă iubesc, care vă este darul? Că şi păcătoşii iubesc pe cei ce îi iubesc pe ei. 33Şi dacă faceți bine celor care vă fac vouă bine, care vă este darul? Că şi păcătoşii fac la fel. 34Şi dacă dați împrumut celor de la care nădăjduiți să luați înapoi, care vă este darul? Că şi păcătoşii dau cu împrumut păcătoşilor, ca să primească înapoi întocmai. 35Voi însă iubiți pe vrăjmaşii voştri şi faceți bine şi dați împrumut, nimic nădăjduind; şi va fi plata voastră multă şi veți fi fiii Celui Preaînalt, că El este bun cu cei nemulțumitori şi răi. 36Fiți, dar, milostivi, precum şi Tatăl vostru milostiv este.

Nu judecați şi nu veți fi judecați. Nu osândiți şi nu veți fi osândiți; sloboziți şi veți fi sloboziți. 38Dați şi se va da vouă; măsură bună, îndesată şi clătinată şi care

μέτρῳ ᾧ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.
39Εἶπε δὲ παραβολὴν αὐτοῖς· μήτι δύναται
τυφλὸς τυφλὸν ὁδηγεῖν; οὐχὶ ἀμφότεροι εἰς
βόθυνον πεσοῦνται; 40οὐκ ἔστι μαθητὴς ὑπὲρ
τὸν διδάσκαλον αὐτοῦ· κατηρτισμένος δὲ πᾶς
ἔσται ὡς ὁ διδάσκαλος αὐτοῦ. 41Τί δὲ βλέπεις
τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ
σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ ἰδίῳ ὀφθαλμῷ οὐ
κατανοεῖς; 42ἢ πῶς δύνασαι λέγειν τῷ ἀδελφῷ
σου, ἀδελφέ, ἄφες ἐκβάλω τὸ κάρφος τὸ ἐν
τῷ ὀφθαλμῷ σου, αὐτὸς τὴν ἐν τῷ ὀφθαλ-
μῷ σου δοκὸν οὐ βλέπων; ὑποκριτά, ἔκβαλε
πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ
τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος τὸ ἐν τῷ
ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου.

Οὐ γάρ ἐστι δένδρον καλὸν ποιοῦν καρπὸν
σαπρόν, οὐδὲ δένδρον σαπρὸν ποιοῦν
καρπὸν καλόν· 44ἕκαστον γὰρ δένδρον ἐκ τοῦ
ἰδίου καρποῦ γινώσκεται. οὐ γὰρ ἐξ ἀκανθῶν
συλλέγουσι σῦκα, οὐδὲ ἐκ βάτου τρυγῶσι στα-
φυλήν. 45ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ
θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὸ
ἀγαθόν, καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ
πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προ-
φέρει τὸ πονηρόν· ἐκ γὰρ τοῦ περισσεύματος
τῆς καρδίας λαλεῖ τὸ στόμα αὐτοῦ.

Τί δέ με καλεῖτε Κύριε Κύριε, καὶ οὐ ποιεῖ-
τε ἃ λέγω; 47πᾶς ὁ ἐρχόμενος πρός με καὶ
ἀκούων μου τῶν λόγων καὶ ποιῶν αὐτούς,
ὑποδείξω ὑμῖν τίνι ἐστὶν ὅμοιος· 48ὅμοιός
ἐστιν ἀνθρώπῳ οἰκοδομοῦντι οἰκίαν, ὃς καὶ
ἔσκαψε καὶ ἐβάθυνε καὶ ἔθηκε θεμέλιον ἐπὶ
τὴν πέτραν· πλημμύρας δὲ γενομένης προσ-
έρρηξεν ὁ ποταμὸς τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ
ἴσχυσε σαλεῦσαι αὐτήν· τεθεμελίωτο γὰρ ἐπὶ
τὴν πέτραν. 49ὁ δὲ ἀκούσας καὶ μὴ ποιήσας
ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδομήσαντι οἰκίαν
ἐπὶ τὴν γῆν χωρὶς θεμελίου· ᾗ προσέρρηξεν
ὁ ποταμός, καὶ εὐθὺς ἔπεσε, καὶ ἐγένετο τὸ
ῥῆγμα τῆς οἰκίας ἐκείνης μέγα.

se revarsă vor da în sânul vostru; căci cu
aceeaşi măsură cu care veţi măsura vi se
va măsura înapoi. 39Şi le-a zis lor pildă:
Poate orb pe orb să călăuzească? Nu vor
cădea amândoi în groapă? 40Nu este uce-
nic mai presus de învăţătorul lui; dar tot
ucenicul care a ajuns desăvârşit va fi ca în-
văţătorul lui. 41De ce vezi paiul din ochiul
fratelui tău, dar bârna din ochiul tău nu o
iei în seamă? 42Sau cum poţi să zici frate-
lui tău: Frate, lasă-mă să scot paiul din
ochiul tău, tu însuţi nevăzând bârna din
ochiul tău? Făţarnice, scoate întâi bârna
din ochiul tău şi atunci vei vedea să scoţi
paiul din ochiul fratelui tău.

Căci nu este pom bun care să facă roa-
de putrede şi, iarăşi, nici pom putred
care să facă roade bune. 44Căci fiecare
pom din însuşi rodul lui se cunoaşte. Că
oamenii nu adună smochine din spini, nici
din rug nu culeg struguri. 45Omul bun din
vistieria cea bună a inimii sale scoate cele
bune, şi omul rău din visticria cea rea a
inimii lui scoate cele rele. Că din prisosul
inimii grăieşte gura lui.

Şi pentru ce Mă chemaţi: Doamne,
Doamne, şi nu faceţi cele ce spun?
47Tot cel ce vine la Mine şi ascultă cuvinte-
le Mele şi le face, vă voi arăta cu cine este
asemenea: 48Asemenea este omului care
şi-a zidit casă, care a săpat şi a adâncit şi
i-a pus temelie pe piatră; şi venind puhoi-
ul, a lovit râul casa aceea şi n-a putut s-o
clintească; căci era întemeiată pe piatră.
49Iar cel ce ascultă şi nu face, asemenea
este omului care şi-a zidit casă pe pământ,
fără temelie; pe care a lovit-o râul şi înda-
tă a căzut, şi a fost mare prăbuşirea casei
aceleia.

Κεφάλαιον Ζ΄

Ἐπεὶ δὲ ἐπλήρωσε πάντα τὰ ῥήματα αὐτοῦ εἰς τὰς ἀκοὰς τοῦ λαοῦ, εἰσῆλθεν εἰς Καπερναούμ. 2Ἑκατοντάρχου δέ τινος δοῦλος κακῶς ἔχων ἤμελλε τελευτᾶν, ὃς ἦν αὐτῷ ἔντιμος. 3ἀκούσας δὲ περὶ τοῦ Ἰησοῦ ἀπέστειλε πρὸς αὐτὸν πρεσβυτέρους τῶν Ἰουδαίων ἐρωτῶν αὐτὸν ὅπως ἐλθὼν διασώσῃ τὸν δοῦλον αὐτοῦ. 4οἱ δὲ παραγενόμενοι πρὸς τὸν Ἰησοῦν παρεκάλουν αὐτὸν σπουδαίως, λέγοντες ὅτι ἄξιός ἐστιν ᾧ παρέξει τοῦτο. 5ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν, καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ἡμῖν. 6ὁ δὲ Ἰησοῦς ἐπορεύετο σὺν αὐτοῖς. ἤδη δὲ αὐτοῦ οὐ μακρὰν ἀπέχοντος ἀπὸ τῆς οἰκίας ἔπεμψε πρὸς αὐτὸν ὁ ἑκατόνταρχος φίλους λέγων αὐτῷ· Κύριε, μὴ σκύλλου· οὐ γάρ εἰμι ἱκανὸς ἵνα ὑπὸ τὴν στέγην μου εἰσέλθῃς· 7διὸ οὐδὲ ἐμαυτὸν ἠξίωσα πρὸς σὲ ἐλθεῖν· ἀλλ᾽ εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου. 8καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος, ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας, καὶ λέγω τούτῳ, πορεύθητι, καὶ πορεύεται, καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται, καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο, καὶ ποιεῖ. 9ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς ἐθαύμασεν αὐτόν, καὶ στραφεὶς τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπε· λέγω ὑμῖν, οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. 10καὶ ὑποστρέψαντες οἱ πεμφθέντες εἰς τὸν οἶκον εὗρον τὸν ἀσθενοῦντα δοῦλον ὑγιαίνοντα.

Καὶ ἐγένετο ἐν τῷ ἑξῆς ἐπορεύετο εἰς πόλιν καλουμένην Ναΐν· καὶ συνεπορεύοντο αὐτῷ οἱ μαθηταὶ αὐτοῦ ἱκανοὶ καὶ ὄχλος πολύς. 12ὡς δὲ ἤγγισε τῇ πύλῃ τῆς πόλεως, καὶ ἰδοὺ ἐξεκομίζετο τεθνηκὼς υἱὸς μονογενὴς τῇ μητρὶ αὐτοῦ, καὶ αὕτη ἦν χήρα, καὶ ὄχλος τῆς πόλε-

Capitolul 7

Şi după ce a sfârşit toate cuvintele Sale în auzul poporului, a intrat în Capernaum. 2Iar robul unui sutaş, care îi era în cinste, bolnav fiind, era pe moarte. 3Şi auzind despre Iisus, a trimis la El nişte bătrâni ai iudeilor, rugându-L să vină şi să-l izbăvească pe robul lui. 4Iar ei, venind la Iisus, L-au rugat stăruitor, zicând: Vrednic este să-i faci lui aceasta, 5căci iubeşte neamul nostru şi sinagoga el ne-a zidit-o. 6Iar Iisus a pornit cu ei. Şi când de-acum nu era departe de casă, sutaşul a trimis la El prieteni, zicându-I: Doamne, nu Te osteni, că nu sunt vrednic să intri sub acoperişul meu. 7Pentru aceea nici pe mine nu m-am socotit vrednic să vin la Tine. Ci spune cu cuvântul şi se va vindeca robul meu. 8Căci şi eu sunt om pus sub stăpânire, având sub mine ostaşi, şi zic acestuia: Du-te, şi se duce, şi altuia: Vino, şi vine, şi robului meu: Fă aceasta, şi face. 9Şi auzind acestea Iisus, S-a minunat de el şi, întorcându-Se, a zis mulţimii care Îl urma: Zic vouă, nici în Israel n-am aflat atâta credinţă. 10Şi întorcându-se trimişii acasă, au găsit pe robul bolnav însănătoşit.

Şi a fost după aceea că mergea spre o cetate numită Nain şi mergeau împreună cu El mulţi ucenici ai Săi şi multă mulţime. 12Iar când S-a apropiat de poarta cetăţii, iată scoteau un mort, fiul unulnăscut al maicii sale, şi ea era văduvă; şi mulţime multă din cetate era cu ea. 13Şi

ως ἱκανὸς ἦν σὺν αὐτῇ. 13καὶ ἰδὼν αὐτὴν ὁ
Κύριος ἐσπλαγχνίσθη ἐπ' αὐτῇ καὶ εἶπεν αὐτῇ·
μὴ κλαῖε· 14καὶ προσελθὼν ἥψατο τῆς σοροῦ,
οἱ δὲ βαστάζοντες ἔστησαν, καὶ εἶπε· νεανίσκε, σοὶ λέγω, ἐγέρθητι. 15καὶ ἀνεκάθισεν ὁ
νεκρὸς καὶ ἤρξατο λαλεῖν, καὶ ἔδωκεν αὐτὸν
τῇ μητρὶ αὐτοῦ. 16ἔλαβε δὲ φόβος πάντας καὶ
ἐδόξαζον τὸν Θεόν, λέγοντες ὅτι προφήτης
μέγας ἐγήγερται ἐν ἡμῖν, καὶ ὅτι ἐπεσκέψατο
ὁ Θεὸς τὸν λαὸν αὐτοῦ. 17καὶ ἐξῆλθεν ὁ λόγος
οὗτος ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περὶ αὐτοῦ καὶ ἐν
πάσῃ τῇ περιχώρῳ.

Καὶ ἀπήγγειλαν Ἰωάννῃ οἱ μαθηταὶ αὐτοῦ
περὶ πάντων τούτων. 19καὶ προσκαλεσάμενος δύο τινὰς τῶν μαθητῶν αὐτοῦ ὁ Ἰωάννης
ἔπεμψε πρὸς τὸν Ἰησοῦν λέγων· σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν; 20παραγενόμενοι
δὲ πρὸς αὐτὸν οἱ ἄνδρες εἶπον· Ἰωάννης ὁ βαπτιστὴς ἀπέσταλκεν ἡμᾶς πρὸς σὲ λέγων· σὺ εἶ
ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν; 21ἐν αὐτῇ
δὲ τῇ ὥρᾳ ἐθεράπευσε πολλοὺς ἀπὸ νόσων καὶ
μαστίγων καὶ πνευμάτων πονηρῶν, καὶ τυφλοῖς πολλοῖς ἐχαρίσατο τὸ βλέπειν. 22καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· πορευθέντες
ἀπαγγείλατε Ἰωάννῃ ἃ εἴδετε καὶ ἠκούσατε·
τυφλοὶ ἀναβλέπουσι καὶ χωλοὶ περιπατοῦσι,
λεπροὶ καθαρίζονται, κωφοὶ ἀκούουσι, νεκροὶ
ἐγείρονται, πτωχοὶ εὐαγγελίζονται· 23καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί.
24ἀπελθόντων δὲ τῶν μαθητῶν Ἰωάννου ἤρξατο λέγειν πρὸς τοὺς ὄχλους περὶ Ἰωάννου·
τί ἐξεληλύθατε εἰς τὴν ἔρημον θεάσασθαι;
κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; 25ἀλλὰ τί
ἐξεληλύθατε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; ἰδοὺ οἱ ἐν ἱματισμῷ ἐνδόξῳ
καὶ τρυφῇ ὑπάρχοντες ἐν τοῖς βασιλείοις εἰσίν.
26ἀλλὰ τί ἐξεληλύθατε ἰδεῖν; προφήτην; ναὶ
λέγω ὑμῖν, καὶ περισσότερον προφήτου. 27οὗτός
ἐστι περὶ οὗ γέγραπται, *ἰδοὺ ἐγὼ ἀποστέλλω*
τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατα-

văzând-o pe ea Domnul, I s-a făcut milă
de ea şi i-a zis: Nu plânge! 14Şi apropiindu-Se, S-a atins de pat; iar cei ce-l duceau
s-au oprit. Şi a zis: Tinere, ţie îţi zic, scoală-te! 15Şi s-a ridicat mortul în şezut şi a început să vorbească. Şi l-a dat pe el maicii
lui. 16Şi i-a cuprins frică pe toţi şi slăveau
pe Dumnezeu, zicând: Prooroc mare s-a
ridicat între noi; şi: A cercetat Dumnezeu
pe poporul Său. 17Şi a ieşit cuvântul acesta despre El în toată Iudeea şi în toate
împrejurimile.

Şi i-au vestit lui Ioan ucenicii lui despre
toate acestea. 19Şi chemând la sine pe
doi dintre ucenicii săi, Ioan i-a trimis la Iisus, zicând: Tu eşti Cel ce vine sau să aşteptăm pe altul? 20Şi ajungând la El, bărbaţii au spus: Ioan Botezătorul ne-a trimis
la Tine, zicând: Tu eşti Cel ce vine sau să
aşteptăm pe altul? 21Şi chiar în ceasul acela a tămăduit pe mulţi de boli şi de răni şi
de duhuri viclene, şi multor orbi le-a dăruit vederea. 22Şi răspunzând Iisus, le-a zis:
Mergeţi şi vestiţi-i lui Ioan cele ce-aţi văzut
şi aţi auzit: Orbii văd iarăşi, şchiopii umblă,
leproşii se curăţesc, surzii aud, morţii înviază, săracilor li se binevesteşte. 23Şi fericit este cel care nu se va sminti întru Mine.
24Şi plecând ucenicii lui Ioan, a început să
vorbească mulţimilor despre Ioan: Ce aţi
ieşit să priviţi în pustie? Trestie clătinată
de vânt? 25Dar ce aţi ieşit să vedeţi? Oare
om îmbrăcat în haine moi? Iată, cei ce sunt
în îmbrăcăminte slăvită şi în desfătare sunt
în casele împăraţilor. 26Dar ce-aţi ieşit să
vedeţi? Prooroc? Da, zic vouă, şi mai mult
decât prooroc. 27Căci acesta este cel despre care s-a scris: *Iată, Eu trimit pe îngerul*
Meu înaintea feţei Tale, care va găti calea
Ta înaintea Ta. 28Căci zic vouă: Prooroc

σκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. 28λέγω γὰρ ὑμῖν, μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης Ἰωάννου τοῦ βαπτιστοῦ οὐδείς ἐστιν· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ μείζων αὐτοῦ ἐστι. 29καὶ πᾶς ὁ λαὸς ἀκούσας καὶ οἱ τελῶναι ἐδικαίωσαν τὸν Θεόν, βαπτισθέντες τὸ βάπτισμα Ἰωάννου· 30οἱ δὲ Φαρισαῖοι καὶ οἱ νομικοὶ τὴν βουλὴν τοῦ Θεοῦ ἠθέτησαν εἰς ἑαυτούς, μὴ βαπτισθέντες ὑπ' αὐτοῦ. 31Τίνι οὖν ὁμοιώσω τοὺς ἀνθρώπους τῆς γενεᾶς ταύτης, καὶ τίνι εἰσὶν ὅμοιοι; 32ὅμοιοί εἰσι παιδίοις τοῖς ἐν ἀγορᾷ καθημένοις καὶ προσφωνοῦσιν ἀλλήλοις καὶ λέγουσιν· ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε, ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκλαύσατε. 33ἐλήλυθε γὰρ Ἰωάννης ὁ βαπτιστὴς μὴτε ἄρτον ἐσθίων μήτε οἶνον πίνων, καὶ λέγετε· δαιμόνιον ἔχει. 34ἐλήλυθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγετε· ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλῶν. 35καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς πάντων.

Ἠρώτα δέ τις αὐτὸν τῶν Φαρισαίων ἵνα φάγῃ μετ' αὐτοῦ· καὶ εἰσελθὼν εἰς τὴν οἰκίαν τοῦ Φαρισαίου ἀνεκλίθη. 37καὶ ἰδοὺ γυνὴ ἐν τῇ πόλει ἥτις ἦν ἁμαρτωλός, καὶ ἐπιγνοῦσα ὅτι ἀνάκειται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, κομίσασα ἀλάβαστρον μύρου 38καὶ στᾶσα ὀπίσω παρὰ τοὺς πόδας αὐτοῦ κλαίουσα, ἤρξατο βρέχειν τοὺς πόδας αὐτοῦ τοῖς δάκρυσι καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμασσε, καὶ κατεφίλει τοὺς πόδας αὐτοῦ καὶ ἤλειφε τῷ μύρῳ. 39ἰδὼν δὲ ὁ Φαρισαῖος ὁ καλέσας αὐτὸν εἶπεν ἐν ἑαυτῷ λέγων· οὗτος εἰ ἦν προφήτης, ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστι. 40καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς αὐτόν· Σίμων, ἔχω σοί τι εἰπεῖν. ὁ δὲ φησι· διδάσκαλε, εἰπέ. 41δύο χρεωφειλέται ἦσαν δανειστῇ τινι· ὁ εἷς ὤφειλε δηνάρια πεντακόσια, ὁ δὲ ἕτερος πεντήκοντα. 42μὴ ἐχόντων δὲ αὐτῶν ἀποδοῦναι,

mai mare decât Ioan Botezătorul nimeni nu este între cei născuți din femei; dar cel mai mic în Împărăția lui Dumnezeu este mai mare decât el. 29Şi tot poporul auzind, şi vameşii, s-au încredințat de dreptatea lui Dumnezeu, botezându-se cu botezul lui Ioan; 30iar fariseii şi învățătorii de lege au lepădat sfatul lui Dumnezeu în ei înşişi, nebotezându-se de către el. 31Cu cine deci voi asemăna pe oamenii neamului acestuia? Şi cu cine sunt ei asemenea? 32Asemenea sunt copiilor care şed în piață şi strigă unii către alții şi zic: V-am cântat din fluier şi n-ați jucat; v-am cântat de jale şi n-ați plâns. 33Căci a venit Ioan Botezătorul, nici pâine mâncând, nici vin bând, şi ziceți: Are drac! 34A venit Fiul Omului, mâncând şi bând, şi ziceți: Iată om mâncăcios şi băutor de vin, prieten al vameşilor şi al păcătoşilor! 35Dar Înțelepciunea a fost dovedită dreaptă de toți fiii ei.

Şi L-a rugat unul dintre farisei să mănânce cu el; şi intrând în casa fariseului, a şezut la masă. 37Şi iată, o femeie din cetate, care era păcătoasă, aflând că şade la masă în casa fariseului, a adus un alabastru cu mir 38şi, stând în spate, la picioarele Lui, plângând, a început să ude picioarele Lui cu lacrimi şi cu părul capului ei le ştergea; şi săruta picioarele Lui şi le ungea cu mir. 39Şi văzând fariseul care Îl chemase, a zis întru sine: Acesta, dacă era prooroc, ar fi ştiut cine şi ce fel de femeie este cea care se atinge de El, că este păcătoasă. 40Şi răspunzând Iisus, a zis către el: Simone, am să-ți spun ceva. Iar el a zis: Învățătorule, spune! 41Doi erau datornici unui cămătar; unul îi datora cinci sute de dinari, iar celălalt cincizeci. 42Dar, neavând ei cum să dea înapoi datoria, amân-

ἀμφοτέροις ἐχαρίσατο. τίς οὖν αὐτῶν, εἰπέ, πλεῖον αὐτὸν ἀγαπήσει; 43ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπεν· ὑπολαμβάνω ὅτι ᾧ τὸ πλεῖον ἐχαρίσατο. ὁ δὲ εἶπεν αὐτῷ· ὀρθῶς ἔκρινας. 44καὶ στραφεὶς πρὸς τὴν γυναῖκα τῷ Σίμωνι ἔφη· βλέπεις ταύτην τὴν γυναῖκα; εἰσῆλθόν σου εἰς τὴν οἰκίαν, ὕδωρ ἐπὶ τοὺς πόδας μου οὐκ ἔδωκας· αὕτη δὲ τοῖς δάκρυσιν ἔβρεξέ μου τοὺς πόδας καὶ ταῖς θριξὶ τῆς κεφαλῆς αὐτῆς ἐξέμαξε. 45φίλημά μοι οὐκ ἔδωκας· αὕτη δὲ ἀφ' ἧς εἰσῆλθεν οὐ διέλιπε καταφιλοῦσά μου τοὺς πόδας. 46ἐλαίῳ τὴν κεφαλήν μου οὐκ ἤλειψας· αὕτη δὲ μύρῳ ἤλειψέ μου τοὺς πόδας. 47οὗ χάριν λέγω σοι, ἀφέωνται αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησε πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. 48εἶπε δὲ αὐτῇ· ἀφέωνταί σου αἱ ἁμαρτίαι. 49καὶ ἤρξαντο οἱ συνανακείμενοι λέγειν ἐν ἑαυτοῖς· τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν; 50εἶπε δὲ πρὸς τὴν γυναῖκα· ἡ πίστις σου σέσωκέ σε· πορεύου εἰς εἰρήνην.

durora le-a iertat-o. Deci, care dintre ei îl va iubi mai mult? 43Şi răspunzând Simon, a zis: Socotesc că acela căruia i-a iertat mai mult. Iar El i-a zis: Drept ai judecat. 44Şi întorcându-se către femeie, a zis lui Simon: Vezi pe femeia aceasta? Am intrat în casa ta, apă pe picioare nu Mi-ai dat; aceasta însă cu lacrimi Mi-a udat picioarele şi cu părul capului ei le-a şters. 45Sărutare nu Mi-ai dat; aceasta însă, de când am intrat, n-a încetat să-Mi sărute picioarele. 46Cu untdelemn capul Meu nu l-ai uns; aceasta însă, cu mir Mi-a uns picioarele. 47Pentru aceasta, zic ţie: Iertate sunt păcatele ei cele multe, că mult a iubit. Iar cui se iartă puţin, puţin iubeşte. 48Şi i-a zis ei: Iertate sunt păcatele tale. 49Şi au început cei ce şedeau împreună la masă să zică în sinea lor: Cine este Acesta Care şi păcatele le iartă? 50Iar către femeie a zis: Credinţa ta te-a mântuit; mergi în pace.

Κεφάλαιον Η΄

Καὶ ἐγένετο ἐν τῷ καθεξῆς καὶ αὐτὸς διώδευε κατὰ πόλιν καὶ κώμην κηρύσσων καὶ εὐαγγελιζόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ οἱ δώδεκα σὺν αὐτῷ, 2καὶ γυναῖκές τινες αἳ ἦσαν τεθεραπευμέναι ἀπὸ νόσων καὶ μαστίγων καὶ πνευμάτων πονηρῶν καὶ ἀσθενειῶν, Μαρία ἡ καλουμένη Μαγδαληνή, ἀφ' ἧς δαιμόνια ἑπτὰ ἐξεληλύθει, 3καὶ Ἰωάννα γυνὴ Χουζᾶ ἐπιτρόπου Ἡρῴδου, καὶ Σουσάννα καὶ ἕτεραι πολλαί, αἵτινες διηκόνουν αὐτῷ ἀπὸ τῶν ὑπαρχόντων αὐταῖς.

Συνιόντος δὲ ὄχλου πολλοῦ καὶ τῶν κατὰ πόλιν ἐπιπορευομένων πρὸς αὐτὸν εἶπε διὰ

Capitolul 8

Şi a fost după aceea că El străbătea cetate după cetate şi sat după sat, propovăduind şi binevestind Împărăţia lui Dumnezeu; şi cei doisprezece erau cu El, 2şi nişte femei care fuseseră tămăduite de boli şi de răni şi de duhuri viclene şi de neputinţe, Maria, cea numită Magdalena, din care ieşiseră şapte draci, 3şi Ioana, femeia lui Huza, un dregător al lui Irod, şi Suzana, şi altele multe care Îi slujeau Lui din avutul lor.

Şi adunându-se mulţime multă şi venind la El din fiecare cetate, a vorbit în pildă: 5Ieşit-a semănătorul să semene

παραβολῆς· 5ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι
τὸν σπόρον αὐτοῦ. καὶ ἐν τῷ σπείρειν αὐτὸν ὃ
μὲν ἔπεσε παρὰ τὴν ὁδόν, καὶ κατεπατήθη, καὶ
τὰ πετεινὰ τοῦ οὐρανοῦ κατέφαγεν αὐτό· 6καὶ
ἕτερον ἔπεσεν ἐπὶ τὴν πέτραν, καὶ φυὲν ἐξη-
ράνθη διὰ τὸ μὴ ἔχειν ἰκμάδα· 7καὶ ἕτερον ἔπε-
σεν ἐν μέσῳ τῶν ἀκανθῶν, καὶ συμφυεῖσαι αἱ
ἄκανθαι ἀπέπνιξαν αὐτό· 8καὶ ἕτερον ἔπεσεν
εἰς τὴν γῆν τὴν ἀγαθήν, καὶ φυὲν ἐποίησε καρ-
πὸν ἑκατονταπλασίονα. ταῦτα λέγων ἐφώνει·
ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

Ἐπηρώτων δὲ αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέ-
γοντες· τίς εἴη ἡ παραβολὴ αὕτη; 10ὁ δὲ
εἶπεν· ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς
βασιλείας τοῦ Θεοῦ, τοῖς δὲ λοιποῖς ἐν παρα-
βολαῖς, ἵνα βλέποντες μὴ βλέπωσι καὶ ἀκού-
οντες μὴ συνιῶσιν.

Ἔστι δὲ αὕτη ἡ παραβολή· ὁ σπόρος ἐστὶν ὁ
λόγος τοῦ Θεοῦ· 12οἱ δὲ παρὰ τὴν ὁδόν εἰσιν
οἱ ἀκούσαντες, εἶτα ἔρχεται ὁ διάβολος καὶ
αἴρει τὸν λόγον ἀπὸ τῆς καρδίας αὐτῶν, ἵνα μὴ
πιστεύσαντες σωθῶσιν. 13οἱ δὲ ἐπὶ τῆς πέτρας
οἵ ὅταν ἀκούσωσι, μετὰ χαρᾶς δέχονται τὸν
λόγον, καὶ οὗτοι ῥίζαν οὐκ ἔχουσιν, οἵ πρὸς
καιρὸν πιστεύουσι καὶ ἐν καιρῷ πειρασμοῦ
ἀφίστανται. 14τὸ δὲ εἰς τὰς ἀκάνθας πεσόν,
οὗτοί εἰσιν οἱ ἀκούσαντες, καὶ ὑπὸ μεριμνῶν
καὶ πλούτου καὶ ἡδονῶν τοῦ βίου πορευόμε-
νοι συμπνίγονται καὶ οὐ τελεσφοροῦσι. 15τὸ δὲ
ἐν τῇ καλῇ γῇ, οὗτοί εἰσιν οἵτινες ἐν καρδίᾳ
καλῇ καὶ ἀγαθῇ ἀκούσαντες τὸν λόγον κατέ-
χουσι καὶ καρποφοροῦσιν ἐν ὑπομονῇ.

Οὐδεὶς δὲ λύχνον ἅψας καλύπτει αὐτὸν σκεύ-
ει ἢ ὑποκάτω κλίνης τίθησιν, ἀλλ' ἐπὶ λυχνί-
ας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι
τὸ φῶς. 17οὐ γάρ ἐστι κρυπτὸν ὃ οὐ φανερὸν
γενήσεται, οὐδὲ ἀπόκρυφον ὃ οὐ γνωσθήσεται
καὶ εἰς φανερὸν ἔλθῃ. 18βλέπετε οὖν πῶς ἀκού-
ετε· ὃς γὰρ ἐὰν ἔχῃ, δοθήσεται αὐτῷ, καὶ ὃς ἐὰν
μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ.

sămânța sa. Şi, pe când semăna el, una a
căzut lângă drum şi a fost călcată în pi-
cioare şi păsările cerului au mâncat-o; 6şi
alta a căzut pe piatră şi, răsărind, s-a uscat,
pentru că nu avea umezeală; 7şi alta a că-
zut în mijlocul spinilor şi, răsărind împreu-
nă cu ea spinii, au înăbuşit-o; 8şi alta a
căzut pe pământul cel bun şi, răsărind, a
făcut rod însutit. Zicând acestea, striga:
Cine are urechi de auzit să audă.

Şi Îl întrebau ucenicii Lui, zicând: Ce
înseamnă pilda aceasta? 10Iar El a zis:
Vouă vă este dat să cunoaşteţi tainele Îm-
părăţiei lui Dumnezeu, iar celorlalţi în pil-
de, ca, văzând, să nu vadă şi, auzind, să
nu înţeleagă.

Iar pilda aceasta înseamnă: Sămânţa este
cuvântul lui Dumnezeu. 12Iar cele de lân-
gă drum sunt cei care aud, apoi vine diavo-
lul şi ia cuvântul din inima lor, ca nu cum-
va, crezând, să se mântuiască. 13Iar cele de
pe piatră sunt cei care, când aud, primesc
cu bucurie cuvântul, dar nu au rădăcină;
aceştia până la o vreme cred, iar la vreme
de încercare se leapădă. 14Iar cea căzută
între spini, aceştia sunt cei care au auzit şi,
umblând sub grijile şi bogăţia şi plăcerile
vieţii, se înăbuşă şi nu desăvârşesc rodul.
15Iar cea din pământul bun, aceştia sunt cei
care, auzind cuvântul întru inimă bună şi
curată, îl păstrează şi rodesc întru răbdare.

Şi nimeni, aprinzând făclie, n-o acoperă
cu un vas, nici n-o pune sub pat, ci o
pune în sfeşnic, pentru ca cei ce intră să
vadă lumina. 17Căci nu este nimic ascuns
care să nu se vădească, nici tăinuit care
să nu se cunoască şi să nu iasă la iveală.
18Luaţi aminte deci cum auziţi; căci celui
ce are i se va da; şi celui ce nu are, şi ceea
ce i se pare că are i se va lua.

Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον. 20καὶ ἀπηγγέλη αὐτῷ λεγόντων· ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἑστήκασιν ἔξω ἰδεῖν σε θέλοντες. 21ὁ δὲ ἀποκριθεὶς εἶπε πρὸς αὐτούς· μήτηρ μου καὶ ἀδελφοί μου οὗτοί εἰσιν οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες καὶ ποιοῦντες αὐτόν.

Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν καὶ αὐτὸς ἐνέβη εἰς πλοῖον καὶ οἱ μαθηταὶ αὐτοῦ, καὶ εἶπε πρὸς αὐτούς· διέλθωμεν εἰς τὸ πέραν τῆς λίμνης· καὶ ἀνήχθησαν. 23πλεόντων δὲ αὐτῶν ἀφύπνωσε. καὶ κατέβη λαῖλαψ ἀνέμου εἰς τὴν λίμνην, καὶ συνεπληροῦντο καὶ ἐκινδύνευον. 24προσελθόντες δὲ διήγειραν αὐτὸν λέγοντες· ἐπιστάτα ἐπιστάτα, ἀπολλύμεθα. ὁ δὲ ἐγερθεὶς ἐπετίμησε τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος, καὶ ἐπαύσαντο, καὶ ἐγένετο γαλήνη. 25εἶπε δὲ αὐτοῖς· ποῦ ἐστιν ἡ πίστις ὑμῶν; φοβηθέντες δὲ ἐθαύμασαν λέγοντες πρὸς ἀλλήλους· τίς ἄρα οὗτός ἐστιν, ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ;

Καὶ κατέπλευσεν εἰς τὴν χώραν τῶν Γαδαρηνῶν, ἥτις ἐστὶν ἀντίπερα τῆς Γαλιλαίας. 27ἐξελθόντι δὲ αὐτῷ ἐπὶ τὴν γῆν ὑπήντησεν αὐτῷ ἀνήρ τις ἐκ τῆς πόλεως, ὃς εἶχε δαιμόνια ἐκ χρόνων ἱκανῶν, καὶ ἱμάτιον οὐκ ἐνεδιδύσκετο καὶ ἐν οἰκίᾳ οὐκ ἔμενεν, ἀλλ' ἐν τοῖς μνήμασιν. 28ἰδὼν δὲ τὸν Ἰησοῦν καὶ ἀνακράξας προσέπεσεν αὐτῷ καὶ φωνῇ μεγάλῃ εἶπε· τί ἐμοὶ καὶ σοί, Ἰησοῦ, υἱὲ τοῦ Θεοῦ τοῦ ὑψίστου; δέομαί σου, μή με βασανίσῃς. 29παρήγγειλε γὰρ τῷ πνεύματι τῷ ἀκαθάρτῳ ἐξελθεῖν ἀπὸ τοῦ ἀνθρώπου. πολλοῖς γὰρ χρόνοις συνηρπάκει αὐτόν, καὶ ἐδεσμεῖτο ἁλύσεσι καὶ πέδαις φυλασσόμενος, καὶ διαρρήσσων τὰ δεσμὰ ἠλαύνετο ὑπὸ τοῦ δαίμονος εἰς τὰς ἐρήμους. 30ἐπηρώτησε δὲ αὐτὸν ὁ Ἰησοῦς λέγων· τί σοί ἐστιν ὄνομα; ὁ δὲ εἶπε· λεγεών· ὅτι δαιμόνια πολλὰ εἰσῆλθεν εἰς

Şi au venit la El mama şi fraţii Lui; dar nu puteau să se apropie de El din pricina mulţimii. 20Şi unii I-au vestit Lui, zicând: Mama Ta şi fraţii Tăi stau afară, vrând să Te vadă. 21Iar El, răspunzând, a zis către ei: Mama mea şi fraţii Mei aceştia sunt, cei care aud cuvântul lui Dumnezeu şi-l împlinesc.

Şi a fost într-una din zile că El S-a suit în corabie cu ucenicii Săi şi a zis către ei: Să trecem de cealaltă parte a lacului. Şi au plecat. 23Dar, pe când pluteau ei, El a adormit. Şi s-a lăsat furtună de vânt pe lac, şi corabia se umplea de apă, şi erau în primejdie. 24Şi, apropiindu-se, L-au deşteptat, zicând: Învăţătorule, Învăţătorule, pierim! Iar El, sculându-Se, a certat vântul şi valul apei; şi ele s-au potolit şi s-a făcut linişte. 25Şi le-a zis: Unde este credinţa voastră? Iar ei, înfricoşându-se, s-au minunat, zicând unii către alţii: Cine este oare Acesta, că şi vânturilor porunceşte, şi apei, şi ascultă de El?

Şi au tras la ţărm corabia în ţinutul Gadarenilor, care este de partea cealaltă a Galileii. 27Şi ieşind El pe uscat, L-a întâmpinat un bărbat din cetate, care avea draci de mulţi ani, şi haină nu îmbrăca, şi în casă nu locuia, ci în morminte. 28Şi văzându-L pe Iisus şi strigând, a căzut înaintea Lui şi cu glas mare a zis: Ce este mie şi Ţie, Iisuse, Fiul lui Dumnezeu Celui Preaînalt? Rogu-Te, să nu mă chinuieşti. 29Căci poruncise duhului necurat să iasă din om. Pentru că de mulţi ani îl apucase; şi îl legau cu lanţuri şi cu obezi, păzindu-l, iar el, sfărâmând legăturile, era mânat de dracul în pustii. 30Şi l-a întrebat Iisus, zicând: Care-ţi este numele? Iar el a zis: Legiune; căci draci mulţi intraseră în

αὐτόν· 31καὶ παρεκάλει αὐτὸν ἵνα μὴ ἐπιτάξῃ
αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. 32ἦν δὲ ἐκεῖ
ἀγέλη χοίρων ἱκανῶν βοσκομένων ἐν τῷ ὄρει·
καὶ παρεκάλουν αὐτὸν ἵνα ἐπιτρέψῃ αὐτοῖς
εἰς ἐκείνους εἰσελθεῖν· καὶ ἐπέτρεψεν αὐτοῖς.
33ἐξελθόντα δὲ τὰ δαιμόνια ἀπὸ τοῦ ἀνθρώπου
εἰσῆλθον εἰς τοὺς χοίρους, καὶ ὥρμησεν ἡ ἀγέλη
κατὰ τοῦ κρημνοῦ εἰς τὴν λίμνην καὶ ἀπεπνίγη.
34Ἰδόντες δὲ οἱ βόσκοντες τὸ γεγενημένον ἔφυ-
γον, καὶ ἀπήγγειλαν εἰς τὴν πόλιν καὶ εἰς τοὺς
ἀγρούς. 35ἐξῆλθον δὲ ἰδεῖν τὸ γεγονός, καὶ ἦλ-
θον πρὸς τὸν Ἰησοῦν καὶ εὗρον καθήμενον τὸν
ἄνθρωπον, ἀφ' οὗ τὰ δαιμόνια ἐξεληλύθει, ἱμα-
τισμένον καὶ σωφρονοῦντα παρὰ τοὺς πόδας
τοῦ Ἰησοῦ, καὶ ἐφοβήθησαν. 36ἀπήγγειλαν δὲ
αὐτοῖς οἱ ἰδόντες πῶς ἐσώθη ὁ δαιμονισθείς.
37καὶ ἠρώτησαν αὐτὸν ἅπαν τὸ πλῆθος τῆς
περιχώρου τῶν Γαδαρηνῶν ἀπελθεῖν ἀπ' αὐτῶν,
ὅτι φόβῳ μεγάλῳ συνείχοντο. αὐτὸς δὲ ἐμβὰς
εἰς τὸ πλοῖον ὑπέστρεψεν. 38ἐδέετο δὲ αὐτοῦ
ὁ ἀνήρ, ἀφ' οὗ ἐξεληλύθει τὰ δαιμόνια, εἶναι
σὺν αὐτῷ· ἀπέλυσε δὲ αὐτὸν ὁ Ἰησοῦς λέγων·
39ὑπόστρεφε εἰς τὸν οἶκόν σου καὶ διηγοῦ ὅσα
ἐποίησέ σοι ὁ Θεός. καὶ ἀπῆλθε καθ' ὅλην τὴν
πόλιν κηρύσσων ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς.

Ἐγένετο δὲ ἐν τῷ ὑποστρέψαι τὸν Ἰησοῦν
ἀπεδέξατο αὐτὸν ὁ ὄχλος· ἦσαν γὰρ πάν-
τες προσδοκῶντες αὐτόν. 41καὶ ἰδοὺ ἦλθεν
ἀνὴρ ᾧ ὄνομα Ἰάειρος, καὶ αὐτὸς ἄρχων τῆς
συναγωγῆς ὑπῆρχε· καὶ πεσὼν παρὰ τοὺς πό-
δας τοῦ Ἰησοῦ παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς
τὸν οἶκον αὐτοῦ, 42ὅτι θυγάτηρ μονογενὴς ἦν
αὐτῷ ὡς ἐτῶν δώδεκα, καὶ αὕτη ἀπέθνῃσκεν.
Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν οἱ ὄχλοι συνέπνιγον
αὐτόν. 43καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ
ἐτῶν δώδεκα, ἥτις ἰατροῖς προσαναλώσασα
ὅλον τὸν βίον οὐκ ἴσχυσεν ὑπ' οὐδενὸς θε-
ραπευθῆναι, 44προσελθοῦσα ὄπισθεν ἥψα-
το τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, καὶ
παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς.

el; 31şi-L rugau pe El să nu le poruncească
să se ducă în adânc. 32Şi era acolo o turmă
mare de porci, care păşteau pe munte. Şi
Îl rugau pe El să le îngăduie să intre în
aceia; şi le-a îngăduit. 33Şi ieşind dracii din
om, au intrat în porci; iar turma s-a năpus-
tit de pe marginea râpei în lac şi s-a înecat.
34Iar păzitorii văzând ce s-a întâmplat, au
fugit şi au vestit în cetate şi prin sate. 35Şi
au ieşit să vadă ce s-a întâmplat şi au venit
la Iisus şi au găsit şezând pe omul din care
ieşiseră dracii, îmbrăcat şi întreg la min-
te, la picioarele lui Iisus, şi s-au înfricoşat.
36Şi le-au vestit lor cei care văzuseră cum
s-a mântuit îndrăcitul. 37Şi L-a rugat pe El
toată mulţimea din ţinutul Gadarenilor să
plece de la ei, căci erau cuprinşi de frică
mare. Iar El, intrând în corabie, S-a înapoiat.
38Şi bărbatul din care ieşiseră dracii
Îl ruga să fie împreună cu El; dar Iisus l-a
slobozit, zicând: 39Întoarce-te la casa ta şi
povesteşte câte ţi-a făcut Dumnezeu. Şi
el a plecat, vestind în toată cetatea câte
i-a făcut Iisus lui.

Şi a fost, când S-a întors Iisus, că L-a
primit pe El mulţimea; căci toţi Îl aş-
teptau. 41Şi iată, a venit un bărbat, al cărui
nume era Iair; şi el era mai-marele sina-
gogii. Şi căzând la picioarele lui Iisus, Îl
ruga pe El să intre în casa lui, 42căci nu-
mai o fiică avea, ca de doisprezece ani, şi
aceasta era pe moarte. Şi ducându-Se El,
mulţimile Îl îmbulzeau. 43Şi o femeie, care
era cu scurgere de sânge de doisprezece
ani şi care, cheltuind cu doctorii toată ave-
rea ei, nu putuse să fie vindecată de nici
unul, 44apropiindu-se din spate, s-a atins
de poala hainei Lui; şi îndată s-a oprit
scurgerea sângelui ei. 45Şi a zis Iisus: Cine
este cel ce s-a atins de Mine? Şi tăgădu-

45καὶ εἶπεν ὁ Ἰησοῦς· τίς ὁ ἁψάμενός μου;
ἀρνουμένων δὲ πάντων εἶπεν ὁ Πέτρος καὶ οἱ
σὺν αὐτῷ· ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ
ἀποθλίβουσι, καὶ λέγεις τίς ὁ ἁψάμενός μου;
46ὁ δὲ Ἰησοῦς εἶπεν· ἥψατό μού τις· ἐγὼ γὰρ
ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ. 47ἰδοῦσα
δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθε, τρέμουσα ἦλθε καὶ
προσπεσοῦσα αὐτῷ δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ
ἀπήγγειλεν αὐτῷ ἐνώπιον παντὸς τοῦ λαοῦ,
καὶ ὡς ἰάθη παραχρῆμα. 48ὁ δὲ εἶπεν αὐτῇ·
θάρσει, θύγατερ, ἡ πίστις σου σέσωκέ σε· πο-
ρεύου εἰς εἰρήνην. 49Ἔτι αὐτοῦ λαλοῦντος
ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου λέγων
αὐτῷ ὅτι τέθνηκεν ἡ θυγάτηρ σου· μὴ σκύλ-
λε τὸν διδάσκαλον. 50ὁ δὲ Ἰησοῦς ἀκούσας
ἀπεκρίθη αὐτῷ λέγων· μὴ φοβοῦ· μόνον
πίστευε, καὶ σωθήσεται. 51ἐλθὼν δὲ εἰς τὴν
οἰκίαν οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα εἰ μὴ
Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον καὶ τὸν
πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα. 52ἔκλαιον
δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν. ὁ δὲ εἶπε· μὴ
κλαίετε· οὐκ ἀπέθανεν, ἀλλὰ καθεύδει. 53καὶ
κατεγέλων αὐτοῦ, εἰδότες ὅτι ἀπέθανεν. 54αὐ-
τὸς δὲ ἐκβαλὼν ἔξω πάντας καὶ κρατήσας τῆς
χειρὸς αὐτῆς ἐφώνησε λέγων· ἡ παῖς, ἐγείρου.
55καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέ-
στη παραχρῆμα, καὶ διέταξεν αὐτῇ δοθῆναι
φαγεῖν. 56καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς. ὁ δὲ
παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός.

ind toți, au zis Petru și cei dimpreună cu
El: Învățătorule, mulțimile Te îmbulzesc
și Te strâmtorează și Tu zici: Cine este cel
care s-a atins de Mine? 46Iar Iisus a zis: S-a
atins cineva de Mine; căci Eu am simțit
putere ieșind din Mine. 47Și văzând feme-
ia că nu a rămas tăinuită, a venit tremu-
rând și, căzând înaintea Lui, I-a spus de
față cu tot poporul pentru care pricină
s-a atins de El și că s-a vindecat de îndată.
48Iar El i-a zis: Îndrăznește, fiică, credința
ta te-a mântuit; mergi în pace! 49Pe când
încă vorbea El, a venit cineva de la mai-
marele sinagogii, zicând lui: A murit fiica
ta. Nu-L mai supăra pe Învățătorul. 50Iar
Iisus, auzind, i-a răspuns lui, zicând: Nu
te teme; crede numai și se va mântui. 51Și
venind în casă, nu a lăsat pe nimeni să in-
tre, decât pe Petru, pe Ioan, pe Iacov, pe
tatăl copilei și pe mamă. 52Și plângeau toți
și se tânguiau pentru ea. Iar El a zis: Nu
plângeți; n-a murit, ci doarme. 53Și Îl luau
în râs, știind că a murit. 54El însă, scoțând
afară pe toți și apucând-o de mână, a stri-
gat, zicând: Copilă, scoală-te! 55Și s-a în-
tors duhul ei și a înviat îndată; și El a po-
runcit să i se dea să mănânce. 56Și s-au
minunat părinții ei; iar El le-a poruncit să
nu spună nimănui ce s-a întâmplat.

Κεφάλαιον Θ΄

Συγκαλεσάμενος δὲ τοὺς δώδεκα μαθη-
τὰς αὐτοῦ ἔδωκεν αὐτοῖς δύναμιν καὶ
ἐξουσίαν ἐπὶ πάντα τὰ δαιμόνια καὶ
νόσους θεραπεύειν· 2καὶ ἀπέστειλεν
αὐτοὺς κηρύσσειν τὴν βασιλείαν τοῦ

Capitolul 9

Și chemând pe cei doisprezece ucе-
nici ai Săi, le-a dat putere și stăpâ-
nire asupra tuturor dracilor și să
tămăduiască bolile; 2și i-a trimis
să propovăduiască Împărăția lui

Θεοῦ καὶ ἰᾶσθαι τοὺς ἀσθενοῦντας, 3καὶ εἶπε
πρὸς αὐτούς· μηδὲν αἴρετε εἰς τὴν ὁδόν, μήτε
ῥάβδους μήτε πήραν μήτε ἄρτον μήτε ἀργύ-
ριον μήτε ἀνὰ δύο χιτῶνας ἔχειν. 4καὶ εἰς ἣν
ἂν οἰκίαν εἰσέλθητε, ἐκεῖ μένετε καὶ ἐκεῖθεν
ἐξέρχεσθε. 5καὶ ὅσοι ἐὰν μὴ δέξωνται ὑμᾶς,
ἐξερχόμενοι ἀπὸ τῆς πόλεως ἐκείνης καὶ τὸν
κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν ἀποτινάξατε
εἰς μαρτύριον ἐπ' αὐτούς. 6ἐξερχόμενοι δὲ
διήρχοντο κατὰ τὰς κώμας εὐαγγελιζόμενοι
καὶ θεραπεύοντες πανταχοῦ.

Ἤκουσε δὲ Ἡρῴδης ὁ τετράρχης τὰ γινόμε-
να ὑπ' αὐτοῦ πάντα, καὶ διηπόρει διὰ τὸ
λέγεσθαι ὑπό τινων ὅτι Ἰωάννης ἐγήγερται ἐκ
τῶν νεκρῶν, 8ὑπό τινων δὲ ὅτι Ἠλίας ἐφάνη,
ἄλλων δὲ ὅτι προφήτης τις τῶν ἀρχαίων
ἀνέστη. 9καὶ εἶπεν ὁ Ἡρῴδης· Ἰωάννην ἐγὼ
ἀπεκεφάλισα· τίς δέ ἐστιν οὗτος περὶ οὗ ἐγὼ
ἀκούω τοιαῦτα; καὶ ἐζήτει ἰδεῖν αὐτόν.

Καὶ ὑποστρέψαντες οἱ ἀπόστολοι διηγήσαν-
το αὐτῷ ὅσα ἐποίησαν. καὶ παραλαβὼν
αὐτοὺς ὑπεχώρησε κατ' ἰδίαν εἰς τόπον ἔρημον
πόλεως καλουμένης Βηθσαϊδά. 11οἱ δὲ ὄχλοι
γνόντες ἠκολούθησαν αὐτῷ, καὶ δεξάμενος
αὐτοὺς ἐλάλει αὐτοῖς περὶ τῆς βασιλείας τοῦ
Θεοῦ, καὶ τοὺς χρείαν ἔχοντας θεραπείας ἰάσατο. 12Ἡ δὲ ἡμέρα ἤρξατο κλίνειν· προσελ-
θόντες δὲ οἱ δώδεκα εἶπον αὐτῷ· ἀπόλυσον
τὸν ὄχλον, ἵνα πορευθέντες εἰς τὰς κύκλῳ
κώμας καὶ τοὺς ἀγροὺς καταλύσωσι καὶ εὕ-
ρωσιν ἐπισιτισμόν, ὅτι ὧδε ἐν ἐρήμῳ τόπῳ
ἐσμέν. 13εἶπε δὲ πρὸς αὐτούς· δότε αὐτοῖς
ὑμεῖς φαγεῖν. οἱ δὲ εἶπον· οὐκ εἰσὶν ἡμῖν πλεῖον
ἢ πέντε ἄρτοι καὶ ἰχθύες δύο, εἰ μήτι πορευθέν-
τες ἡμεῖς ἀγοράσομεν εἰς πάντα τὸν λαὸν τοῦ-
τον βρώματα· 14ἦσαν γὰρ ὡσεὶ ἄνδρες πεντα-
κισχίλιοι. εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ·
κατακλίνατε αὐτοὺς κλισίας ἀνὰ πεντήκοντα.
15καὶ ἐποίησαν οὕτω καὶ ἀνέκλιναν ἅπαντας.

Dumnezeu şi să vindece pe cei neputincioşi. 3Şi a zis către ei: Nimic să nu luaţi pe cale, nici toiege, nici traistă, nici pâine, nici argint, nici câte două cămăşi să nu aveţi. 4Şi în care casă veţi intra, acolo să rămâneţi şi de acolo să ieşiţi. 5Şi câţi nu vă vor primi, ieşind din cetatea aceea, şi praful de pe picioarele voastre să-l scuturaţi, spre mărturie împotriva lor. 6Iar ei, ieşind, străbăteau sate după sate, binevestind şi tămăduind pretutindeni.

Şi a auzit Irod tetrarhul toate cele făcute de El; şi era nedumerit, pentru că se zicea de către unii că Ioan s-a sculat din morţi, 8de către unii că s-a arătat Ilie, iar de către alţii că un prooroc dintre cei vechi a înviat. 9Şi a zis Irod: Lui Ioan eu i-am tăiat capul. Cine este, dar, Acesta despre care eu aud asemenea lucruri? Şi căuta să-L vadă.

Şi, întorcându-se apostolii, I-au povestit Lui câte au făcut. Şi luându-i cu Sine, S-a retras deoparte, într-un loc pustiu pe lângă cetatea numită Betsaida. 11Iar mulţimile, aflând, au urmat Lui; şi El, primindu-le, le vorbea lor despre Împărăţia lui Dumnezeu şi îi vindeca pe cei ce aveau trebuinţă de tămăduire. 12Şi ziua a început a se pleca; şi venind cei doisprezece, I-au zis: Slobozeşte mulţimea ca, mergând în satele şi în cătunele dimprejur, să fie găzduiţi şi să-şi găsească mâncare, că aici suntem în loc pustiu. 13Iar El a zis către ei: Daţi-le voi să mănânce. Iar ei au zis: Noi nu avem mai mult de cinci pâini şi doi peşti, afară numai dacă, mergând, vom cumpăra la tot poporul acesta bucate; 14căci erau ca la cinci mii de bărbaţi. Şi a zis către ucenicii Lui: Aşezaţi-i în cete de câte cincizeci. 15Şi au făcut aşa şi i-au aşe-

16λαβὼν δὲ τοὺς πέντε ἄρτους καὶ τοὺς δύο
ἰχθύας, ἀναβλέψας εἰς τὸν οὐρανὸν εὐλόγη-
σεν αὐτοὺς καὶ κατέκλασε, καὶ ἐδίδου τοῖς
μαθηταῖς παραθεῖναι τῷ ὄχλῳ. 17καὶ ἔφαγον
καὶ ἐχορτάσθησαν πάντες, καὶ ἤρθη τὸ περισ-
σεῦσαν αὐτοῖς κλασμάτων κόφινοι δώδεκα.

Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν προσευχόμενον
κατὰμόνας, συνῆσαν αὐτῷ οἱ μαθηταί, καὶ
ἐπηρώτησεν αὐτοὺς λέγων· τίνα με λέγουσιν οἱ
ὄχλοι εἶναι; 19οἱ δὲ ἀποκριθέντες εἶπον· Ἰωάν-
νην τὸν βαπτιστήν, ἄλλοι δὲ Ἠλίαν, ἄλλοι δὲ
ὅτι προφήτης τις τῶν ἀρχαίων ἀνέστη. 20εἶπε δὲ
αὐτοῖς· ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς
δὲ ὁ Πέτρος εἶπε· τὸν Χριστὸν τοῦ Θεοῦ.

Ὁ δὲ ἐπιτιμήσας αὐτοῖς παρήγγειλε μηδενὶ
λέγειν τοῦτο, 22εἰπὼν ὅτι δεῖ τὸν υἱὸν τοῦ
ἀνθρώπου πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆ-
ναι ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων
καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ
τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.

Ἔλεγε δὲ πρὸς πάντας· εἴ τις θέλει ὀπίσω
μου ἔρχεσθαι, ἀπαρνησάσθω ἑαυτὸν καὶ
ἀράτω τὸν σταυρὸν αὐτοῦ καθ' ἡμέραν καὶ
ἀκολουθείτω μοι. 24ὃς γὰρ ἂν θέλῃ τὴν ψυ-
χὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν
ἀπολέσῃ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, οὗ-
τος σώσει αὐτήν. 25τί γὰρ ὠφελεῖται ἄνθρω-
πος κερδήσας τὸν κόσμον ὅλον, ἑαυτὸν δὲ
ἀπολέσας ἢ ζημιωθείς; 26ὃς γὰρ ἐὰν ἐπαισχυν-
θῇ με καὶ τοὺς ἐμοὺς λόγους, τοῦτον ὁ υἱὸς
τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται ὅταν ἔλθῃ ἐν
τῇ δόξῃ αὐτοῦ καὶ τοῦ πατρὸς καὶ τῶν ἁγίων
ἀγγέλων. 27λέγω δὲ ὑμῖν ἀληθῶς, εἰσί τινες τῶν
ὧδε ἑστηκότων, οἳ οὐ μὴ γεύσωνται θανάτου
ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ.

Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ
ἡμέραι ὀκτὼ καὶ παραλαβὼν τὸν Πέτρον
καὶ Ἰωάννην καὶ Ἰάκωβον ἀνέβη εἰς τὸ ὄρος
προσεύξασθαι. 29καὶ ἐγένετο ἐν τῷ προσεύ-
χεσθαι αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ

zat pe toți. 16Şi luând cele cinci pâini şi cei
doi peşti, ridicându-Şi privirea la cer, le-a
binecuvântat şi le-a frânt, şi le-a dat ucenicilor ca să le pună înainte mulțimii. 17Şi au
mâncat şi s-au săturat toți, şi au strâns rămăşițele de bucate, douăsprezece coşuri.

Şi a fost, pe când Se ruga El singur, că
ucenicii erau împreună cu El, şi i-a întrebat, zicând: Cine zic mulțimile că sunt
Eu? 19Iar ei, răspunzând, au zis: Ioan Botezătorul, iar alții Ilie, iar alții că un prooroc din cei vechi a înviat. 20Iar El le-a zis:
Dar voi cine ziceți că sunt Eu? Şi răspunzând Petru, a zis: Hristosul lui Dumnezeu.

Iar El le-a poruncit cu asprime să nu
spună nimănui aceasta, 22zicând că Fiul
Omului trebuie să pătimească multe şi să
fie nesocotit de bătrâni şi de arhierei şi
de cărturari şi să fie omorât, şi a treia zi
să învieze.

Şi zicea către toți: Dacă cineva voieşte
să vină după Mine, să se lepede de sine, să-şi ia crucea în fiecare zi şi să urmeze
Mie. 24Căci cine va voi să-şi mântuiască sufletul îl va pierde; iar cine îşi va pierde sufletul său pentru Mine, acela îl va mântui.
25Căci cu ce se foloseşte un om câştigând
lumea toată, dar pe sine pierzându-se sau
păgubindu-se? 26Căci cine se va ruşina de
Mine şi de cuvintele Mele, de acela Fiul
Omului Se va ruşina, când va veni întru
slava Sa şi a Tatălui şi a sfinților îngeri.
27Şi zic vouă cu adevărat: Sunt unii dintre
cei ce stau aici care nu vor gusta moartea până când nu vor vedea Împărăția lui
Dumnezeu.

A fost dar după cuvintele acestea, ca la
opt zile, că luând cu Sine pe Petru şi
pe Ioan şi pe Iacov, S-a suit în munte ca să
Se roage. 29Şi, pe când Se ruga El, chipul

ἕτερον καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. 30καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωϋσῆς καὶ Ἠλίας, 31οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ ἣν ἔμελλε πληροῦν ἐν Ἰερουσαλήμ. 32ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ. 33καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ' αὐτοῦ εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοὶ καὶ μίαν Μωϋσεῖ καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέγει. 34ταῦτα δὲ αὐτοῦ λέγοντος ἐγένετο νεφέλη καὶ ἐπεσκίασεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ εἰσελθεῖν ἐκείνους εἰς τὴν νεφέλην· 35καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκούετε. 36καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν εὑρέθη ὁ Ἰησοῦς μόνος. καὶ αὐτοὶ ἐσίγησαν καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑωράκασιν.

Ἐγένετο δὲ ἐν τῇ ἑξῆς ἡμέρᾳ κατελθόντων αὐτῶν ἀπὸ τοῦ ὄρους συνήντησεν αὐτῷ ὄχλος πολύς. 38καὶ ἰδοὺ ἀνὴρ ἀπὸ τοῦ ὄχλου ἀνεβόησε λέγων· διδάσκαλε, δέομαί σου, ἐπίβλεψον ἐπὶ τὸν υἱόν μου, ὅτι μονογενής μοί ἐστι· 39καὶ ἰδοὺ πνεῦμα λαμβάνει αὐτόν, καὶ ἐξαίφνης κράζει καὶ σπαράσσει αὐτὸν μετὰ ἀφροῦ, καὶ μόγις ἀποχωρεῖ ἀπ' αὐτοῦ συντρῖβον αὐτόν· 40καὶ ἐδεήθην τῶν μαθητῶν σου ἵνα ἐκβάλωσιν αὐτό, καὶ οὐκ ἠδυνήθησαν. 41ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· ὦ γενεὰ ἄπιστος καὶ διεστραμμένη, ἕως πότε ἔσομαι πρὸς ὑμᾶς καὶ ἀνέξομαι ὑμῶν; προσάγαγε τὸν υἱόν σου ὧδε. 42ἔτι δὲ προσερχομένου αὐτοῦ ἔρρηξεν αὐτὸν τὸ δαιμόνιον καὶ συνεσπάραξεν· ἐπετίμησε δὲ ὁ Ἰησοῦς τῷ πνεύματι τῷ ἀκαθάρτῳ, καὶ ἰάσατο τὸν παῖδα καὶ ἀπέδωκεν αὐτὸν τῷ πατρὶ αὐτοῦ. 43ἐξεπλήσσοντο δὲ πάντες ἐπὶ τῇ μεγαλειότητι τοῦ Θεοῦ.

feței Sale s-a făcut altul şi îmbrăcămintea Lui albă, strălucind. 30Şi iată, doi bărbaţi vorbeau împreună cu El, care erau Moise şi Ilie, 31care, arătându-se în slavă, vorbeau despre ieşirea Lui, pe care avea să o împlinească în Ierusalim. 32Iar Petru şi cei dimpreună cu el erau îngreuiaţi de somn; şi trezindu-se, au văzut slava Lui şi pe cei doi bărbaţi stând împreună cu El. 33Şi a fost că, pe când se despărţeau aceia de El, a zis Petru către Iisus: Învăţătorule, bine este să fim noi aici; şi să facem trei corturi, unul Ţie, unul lui Moise şi unul lui Ilie, neştiind ce spune. 34Şi acestea zicând el, s-a făcut un nor şi i-a umbrit; şi s-au înfricoşat când au intrat aceia în nor. 35Şi glas s-a făcut din nor, zicând: Acesta este Fiul Meu cel iubit; pe Acesta să-L ascultaţi! 36Şi când s-a făcut glasul, S-a aflat Iisus singur. Şi ei au tăcut şi nimănui n-au vestit în zilele acelea nimic din cele ce văzuseră.

A fost în ziua următoare, când s-au coborât din munte, că L-a întâmpinat mulţime multă. 38Şi iată, un bărbat din mulţime a strigat, zicând: Învăţătorule, rogu-mă Ţie, caută spre fiul meu, că unul-născut îmi este; 39şi iată, un duh îl apucă şi dintr-o dată strigă şi-l scutură cu spume, şi cu anevoie pleacă de la el, zdrobindu-l; 40şi m-am rugat de ucenicii Tăi ca să-l scoată, dar n-au putut. 41Iar Iisus, răspunzând, a zis: O, neam necredincios şi stricat! Până când voi fi la voi şi vă voi răbda? Adu-l pe fiul tău aici. 42Şi pe când acela încă se apropia, l-a trântit dracul şi l-a scuturat; şi a certat Iisus duhul cel necurat şi l-a vindecat pe copil şi l-a dat înapoi tatălui său. 43Şi se uimeau toţi de măreţia lui Dumnezeu.

Πάντων δὲ θαυμαζόντων ἐπὶ πᾶσιν οἷς ἐποίησεν ὁ Ἰησοῦς, εἶπε πρὸς τοὺς μαθητὰς αὐτοῦ· 44θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους· ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων. 45οἱ δὲ ἠγνόουν τὸ ῥῆμα τοῦτο, καὶ ἦν παρακεκαλυμμένον ἀπ' αὐτῶν ἵνα μὴ αἴσθωνται αὐτό, καὶ ἐφοβοῦντο ἐρωτῆσαι αὐτὸν περὶ τοῦ ῥήματος τούτου.

Εἰσῆλθε δὲ διαλογισμὸς ἐν αὐτοῖς, τὸ τίς ἂν εἴη μείζων αὐτῶν. 47ὁ δὲ Ἰησοῦς ἰδὼν τὸν διαλογισμὸν τῆς καρδίας αὐτῶν, ἐπιλαβόμενος παιδίου ἔστησεν αὐτὸ παρ' ἑαυτῷ 48καὶ εἶπεν αὐτοῖς· ὃς ἐὰν δέξηται τοῦτο τὸ παιδίον ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται, καὶ ὃς ἐὰν ἐμὲ δέξηται, δέχεται τὸν ἀποστείλαντά με. ὁ γὰρ μικρότερος ἐν πᾶσιν ὑμῖν ὑπάρχων, οὗτός ἐστι μέγας.

Ἀποκριθεὶς δὲ ὁ Ἰωάννης εἶπεν· ἐπιστάτα, εἴδομέν τινα ἐπὶ τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια, καὶ ἐκωλύσαμεν αὐτόν, ὅτι οὐκ ἀκολουθεῖ μεθ' ἡμῶν. 50καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἰησοῦς· μὴ κωλύετε· οὐ γάρ ἐστι καθ' ὑμῶν· ὃς γὰρ οὐκ ἔστι καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστιν.

Ἐγένετο δὲ ἐν τῷ συμπληροῦσθαι τὰς ἡμέρας τῆς ἀναλήψεως αὐτοῦ καὶ αὐτὸς ἐστήριξε τὸ πρόσωπον αὐτοῦ τοῦ πορεύεσθαι εἰς Ἰερουσαλήμ, 52καὶ ἀπέστειλεν ἀγγέλους πρὸ προσώπου αὐτοῦ. καὶ πορευθέντες εἰσῆλθον εἰς κώμην Σαμαρειτῶν, ὥστε ἑτοιμάσαι αὐτῷ· 53καὶ οὐκ ἐδέξαντο αὐτόν, ὅτι τὸ πρόσωπον αὐτοῦ ἦν πορευόμενον εἰς Ἰερουσαλήμ. 54ἰδόντες δὲ οἱ μαθηταὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωάννης εἶπον· Κύριε, θέλεις εἴπωμεν πῦρ καταβῆναι ἀπὸ οὐρανοῦ καὶ ἀναλῶσαι αὐτούς, ὡς καὶ Ἠλίας ἐποίησε; 55στραφεὶς δὲ ἐπετίμησεν αὐτοῖς καὶ εἶπεν· οὐκ οἴδατε ποίου πνεύματός ἐστε ὑμεῖς· 56ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε ψυχὰς ἀνθρώπων ἀπολέσαι, ἀλλὰ σῶσαι. καὶ ἐπορεύθησαν εἰς ἑτέραν κώμην.

Şi mirându-se toţi de toate câte făcuse Iisus, a zis către ucenicii Săi: 44Puneţi în urechile voastre cuvintele acestea: Fiul Omului Se va da în mâinile oamenilor. 45Iar ei nu înţelegeau cuvântul acesta, şi le era acoperit, ca să nu-l priccapă; şi se temeau să-L întrebe despre acest cuvânt.

Şi a intrat gând între ei: Cine dintre ei ar fi mai mare? 47Iar Iisus, văzând gândul inimii lor, luând un copil, l-a pus lângă Sine, 48şi le-a zis: Cel care va primi copilul acesta în numele Meu pe Mine Mă primeşte; şi cel care Mă va primi pe Mine primeşte pe Cel ce M-a trimis pe Mine. Căci cel care este mai mic între voi toţi, acesta este mare.

Iar Ioan, răspunzând, a zis: Învăţătorule, am văzut pe cineva scoţând draci în numele Tău şi l-am împiedicat, că nu urmează Ţie împreună cu noi. 50Şi a zis către el Iisus: Nu-l împiedicaţi; căci nu este împotriva voastră; şi cine nu este împotriva voastră este pentru voi.

Şi a fost, când s-au împlinit zilele înălţării Lui, că El a hotărât să meargă la Ierusalim 52şi a trimis vestitori înaintea feţei Lui. Şi ei, mergând, au intrat într-un sat de samarineni, ca să pregătească pentru El; 53şi nu L-au primit, pentru că El Se îndrepta spre Ierusalim. 54Şi văzând aceasta ucenicii Lui, Iacov şi Ioan, au zis: Doamne, vrei să zicem să se coboare foc din cer şi să-i mistuie, cum a făcut şi Ilie? 55Iar El, întorcându-Se, i-a certat şi a zis: Nu ştiţi ai cărui duh sunteţi! 56Fiul Omului n-a venit să piardă suflete de oameni, ci să mântuiască. Şi au mers în alt sat.

Ἐγένετο δὲ πορευομένων αὐτῶν ἐν τῇ ὁδῷ εἶπέ τις πρὸς αὐτόν· ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ, Κύριε. 58καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ. 59Εἶπε δὲ πρὸς ἕτερον· ἀκολούθει μοι. ὁ δὲ εἶπε· Κύριε, ἐπίτρεψόν μοι ἀπελθόντι πρῶτον θάψαι τὸν πατέρα μου. 60εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ ἀπελθὼν διάγγελλε τὴν βασιλείαν τοῦ Θεοῦ. 61Εἶπε δὲ καὶ ἕτερος· ἀκολουθήσω σοι, Κύριε· πρῶτον δὲ ἐπίτρεψόν μοι ἀποτάξασθαι τοῖς εἰς τὸν οἶκόν μου. 62εἶπε δὲ ὁ Ἰησοῦς πρὸς αὐτόν· οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ βλέπων εἰς τὰ ὀπίσω εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ.

Şi a fost, pe când mergeau ei pe cale, că a zis cineva către El: Voi urma Ţie oriunde Te vei duce, Doamne. 58Şi i-a zis Iisus: Vulpile au vizuini şi păsările cerului cuiburi, dar Fiul Omului nu are unde să-Şi plece capul. 59Şi a zis către altul: urmează Mie. Iar el a zis: Doamne, îngăduie-mi să merg mai întâi să-l îngrop pe tatăl meu. 60Iar Iisus i-a zis: Lasă morţii să-şi îngroape morţii lor; iar tu mergi de vesteşte Împărăţia lui Dumnezeu. 61Şi altul a zis: Voi urma Ţie, Doamne, dar întâi îngăduie-mi să-mi iau rămas bun de la cei din casa mea. 62Iar Iisus a zis către el: Nimeni care pune mâna pe plug şi se uită îndărăt nu este potrivit pentru Împărăţia lui Dumnezeu.

Κεφάλαιον Ι΄

Μετὰ δὲ ταῦτα ἀνέδειξεν ὁ Κύριος καὶ ἑτέρους ἑβδομήκοντα, καὶ ἀπέστειλεν αὐτοὺς ἀνὰ δύο πρὸ προσώπου αὐτοῦ εἰς πᾶσαν πόλιν καὶ τόπον οὗ ἤμελλεν αὐτὸς ἔρχεσθαι. 2ἔλεγεν οὖν πρὸς αὐτούς· ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι· δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. 3ὑπάγετε· ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς ἄρνας ἐν μέσῳ λύκων. 4μὴ βαστάζετε βαλάντιον, μὴ πήραν, μηδὲ ὑποδήματα, καὶ μηδένα κατὰ τὴν ὁδὸν ἀσπάσησθε. 5εἰς ἣν δ' ἂν οἰκίαν εἰσέρχησθε, πρῶτον λέγετε· εἰρήνη τῷ οἴκῳ τούτῳ. 6καὶ ἐὰν ᾖ ἐκεῖ υἱὸς εἰρήνης, ἐπαναπαύσεται ἐπ' αὐτὸν ἡ εἰρήνη ὑμῶν· εἰ δὲ μήγε, ἐφ' ὑμᾶς ἐπανακάμψει. 7ἐν αὐτῇ δὲ τῇ οἰκίᾳ μένετε ἐσθίοντες καὶ πίνον-

Capitolul 10

Şi, după acestea, a rânduit Domnul şi alţi şaptezeci, şi i-a trimis câte doi înaintea feţei Sale, în toată cetatea şi locul, unde Însuşi avea să vină. 2Zicea deci către ei: Secerişul este mult, iar lucrătorii puţini; rugaţi deci pe Domnul secerişului să scoată lucrători la secerişul Său. 3Mergeţi; iată, Eu vă trimit ca pe nişte miei în mijlocul lupilor. 4Nu purtaţi pungă, nici traistă, nici încălţăminte; şi nimănui nu-i daţi bineţe pe cale. 5Iar în casa în care intraţi, întâi ziceţi: Pace casei acesteia. 6Şi de va fi acolo un fiu al păcii, se va odihni peste el pacea voastră; iar de nu, se va întoarce la voi. 7Iar în casa aceasta rămâneţi, mâncând şi bând cele de la ei; căci vrednic este

τες τὰ παρ' αὐτῶν· ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι· μὴ μεταβαίνετε ἐξ οἰκίας εἰς οἰκίαν. 8καὶ εἰς ἣν ἂν πόλιν εἰσέρχησθε καὶ δέχωνται ὑμᾶς, ἐσθίετε τὰ παρατιθέμενα ὑμῖν, 9καὶ θεραπεύετε τοὺς ἐν αὐτῇ ἀσθενεῖς, καὶ λέγετε αὐτοῖς· ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. 10εἰς ἣν δ' ἂν πόλιν εἰσέρχησθε καὶ μὴ δέχωνται ὑμᾶς, ἐξελθόντες εἰς τὰς πλατείας αὐτῆς εἴπατε· 11καὶ τὸν κονιορτὸν τὸν κολληθέντα ἡμῖν ἀπὸ τῆς πόλεως ὑμῶν εἰς τοὺς πόδας ἡμῶν ἀπομασσόμεθα ὑμῖν· πλὴν τοῦτο γινώσκετε, ὅτι ἤγγικεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ. 12λέγω δὲ ὑμῖν ὅτι Σοδόμοις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνεκτότερον ἔσται ἢ τῇ πόλει ἐκείνῃ.

Οὐαί σοι, Χοραζίν, οὐαί σοι, Βηθσαϊδά· ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμενοι μετενόησαν. 14πλὴν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν τῇ κρίσει ἢ ὑμῖν. 15καὶ σύ, Καπερναούμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ. 16Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει, καὶ ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν ἀθετεῖ τὸν ἀποστείλαντά με.

Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς λέγοντες· Κύριε, καὶ τὰ δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. 18Εἶπε δὲ αὐτοῖς· ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. 19ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσῃ. 20πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται· χαίρετε δὲ ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς.

Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ πνεύματι ὁ Ἰησοῦς καὶ εἶπεν· ἐξομολογοῦμαί σοι, πάτερ, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναί, ὁ πατήρ, ὅτι

lucrătorul de plata sa. Nu vă mutați din casă în casă. 8Şi în cetatea în care intrați şi vă primesc, mâncați cele puse înaintea voastră. 9Şi tămăduiți pe cei neputincioşi din ea şi ziceți lor: S-a apropiat de voi Împărăția lui Dumnezeu. 10Şi în cetatea în care intrați şi nu vă primesc, ieşiți pe ulițele ei şi ziceți: 11Şi praful care ni s-a lipit de picioare din cetatea voastră vi-l scuturăm vouă; dar aceasta să cunoaşteți, că s-a apropiat de voi Împărăția lui Dumnezeu. 12Şi zic vouă: Sodomei în ziua aceea îi va fi mai uşor decât cetății aceleia.

Vai ție, Horazine! Vai ție, Betsaida! Că dacă în Tir şi în Sidon s-ar fi făcut puterile care s-au făcut la voi, de mult s-ar fi pocăit, şezând în sac şi în cenuşă. 14Dar Tirului şi Sidonului le va fi mai uşor la judecată decât vouă. 15Şi tu, Capernaume, care ai fost înălțat până la cer, până la iad vei fi coborât! 16Cel care ascultă de voi de Mine ascultă; şi cel ce se leapădă de voi de Mine se leapădă; iar cine se leapădă de Mine se leapădă de Cel care M-a trimis pe Mine.

Şi s-au întors cei şaptezeci cu bucurie, zicând: Doamne, şi dracii ni se supun în numele Tău. 18Şi le-a zis: Am văzut pe satana ca un fulger căzând din cer. 19Iată, vă dau vouă stăpânire să călcați peste şerpi şi peste scorpii şi peste toată puterea vrăjmaşului; şi nimic nu vă va vătăma. 20Dar nu de aceasta vă bucurați, că duhurile vi se supun; ci bucurați-vă că numele voastre s-au scris în ceruri.

În acest ceas, Iisus S-a bucurat cu Duhul şi a zis: Îți mulțumesc Ție, Părinte, Doamne al cerului şi al pământului, că ai ascuns acestea de cei înțelepți şi pricepuți şi le-ai descoperit pruncilor; da, Părinte, căci aşa a fost bunăvoirea înaintea Ta. 22Şi

οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου. 22καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς εἶπε· πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τίς ἐστιν ὁ υἱός, εἰ μὴ ὁ πατήρ, καὶ τίς ἐστιν ὁ πατήρ, εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. 23Καὶ στραφεὶς πρὸς τοὺς μαθητὰς κατ' ἰδίαν εἶπε· μακάριοι οἱ ὀφθαλμοὶ οἱ βλέποντες ἃ βλέπετε. 24λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε, καὶ οὐκ ἤκουσαν.

Καὶ ἰδοὺ νομικός τις ἀνέστη ἐκπειράζων αὐτὸν καὶ λέγων· διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; 26ὁ δὲ εἶπε πρὸς αὐτόν· ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις; 27ὁ δὲ ἀποκριθεὶς εἶπεν· *ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν*· 28εἶπε δὲ αὐτῷ· ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει καὶ ζήσῃ. 29ὁ δὲ θέλων δικαιοῦν ἑαυτὸν εἶπε πρὸς τὸν Ἰησοῦν· καὶ τίς ἐστί μου πλησίον; 30ὑπολαβὼν δὲ ὁ Ἰησοῦς εἶπεν· ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχώ, καὶ λῃσταῖς περιέπεσεν· οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον ἀφέντες ἡμιθανῆ τυγχάνοντα. 31κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν. 32ὁμοίως δὲ καὶ Λευίτης γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν ἀντιπαρῆλθε. 33Σαμαρείτης δέ τις ὁδεύων ἦλθε κατ' αὐτόν, καὶ ἰδὼν αὐτὸν ἐσπλαγχνίσθη, 34καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ ἐπιχέων ἔλαιον καὶ οἶνον, ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον καὶ ἐπεμελήθη αὐτοῦ. 35καὶ ἐπὶ τὴν αὔριον ἐξελθών, ἐκβαλὼν δύο δηνάρια ἔδωκε τῷ πανδοχεῖ καὶ εἶπεν αὐτῷ· ἐπιμελήθητι αὐτοῦ, καὶ ὅ τι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. 36τίς οὖν τούτων τῶν τριῶν δοκεῖ σοι πλησίον γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; 37ὁ δὲ εἶπεν· ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. εἶπε δὲ ὁ Ἰησοῦς αὐτῷ· πορεύου καὶ σὺ ποίει ὁμοίως.

întorcându-se către ucenici, a zis: Toate Mi-au fost date de către Tatăl Meu; şi nimeni nu cunoaşte Cine este Fiul, fără numai Tatăl, şi Cine este Tatăl, fără numai Fiul şi cel căruia voieşte Fiul să-i descopere. 23Şi întorcându-Se către ucenici, deoparte, a zis: Fericiţi ochii care văd ceea ce vedeţi voi! 24Căci zic vouă: Mulţi prooroci şi împăraţi au vrut să vadă cele ce vedeţi voi, dar n-au văzut, şi să audă cele ce auziţi, dar n-au auzit.

Şi iată, un învăţător de lege s-a ridicat, ispitindu-L şi zicând: Învăţătorule, ce să fac ca să moştenesc viaţa veşnică? 26Şi a zis către el: În Lege ce este scris? Cum citeşti? 27Iar el, răspunzând, a zis: *Să iubeşti pe Domnul Dumnezeul tău din toată inima ta şi din tot sufletul tău şi din toată tăria ta şi din tot cugetul tău, şi pe aproapele tău ca pe tine însuţi.* 28Iar El i-a zis: Drept ai răspuns; fă aceasta şi vei fi viu. 29Dar el, voind să se îndreptăţească pe sine, a zis către Iisus: Şi cine este aproapele meu? 30Iar Iisus, răspunzând, a zis: Un om cobora de la Ierusalim în Ierihon şi a căzut între tâlhari, care, după ce l-au dezbrăcat şi l-au umplut de răni, au plecat, lăsându-l pe jumătate mort. 31Din întâmplare un preot cobora pe calea aceea şi, văzându-l, a trecut pe partea cealaltă. 32Asemenea şi un levit, ajungând în acel loc şi văzând, a trecut pe partea cealaltă. 33Iar un samarinean, mergând pe cale, a venit la el şi, văzându-l, i s-a făcut milă; 34şi, apropiindu-se, i-a legat rănile, turnând pe ele untdelemn şi vin, şi, urcându-l pe dobitocul său, l-a dus la un han şi a purtat grijă de el. 35Iar a doua zi, ieşind şi scoţând doi dinari, i-a dat hangiului şi i-a zis: Ai grijă de el şi ce vei mai cheltui eu, când mă voi în-

των τῶν τριῶν πλησίον δοκεῖ σοι γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; [37]ὁ δὲ εἶπεν· ὁ ποιήσας τὸ ἔλεος μετ' αὐτοῦ. εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· πορεύου καὶ σὺ ποίει ὁμοίως.

[38]Ἐγένετο δὲ ἐν τῷ πορεύεσθαι αὐτοὺς καὶ αὐτὸς εἰσῆλθεν εἰς κώμην τινά. γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. [39]καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ ἤκουε τὸν λόγον αὐτοῦ. [40]ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν· ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ ἵνα μοι συναντιλάβηται. [41]ἀποκριθεὶς δὲ εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα Μάρθα, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά· [42]ἑνὸς δέ ἐστι χρεία· Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς.

toarce, îți voi da înapoi. [36]Care, dar, din aceştia trei ţi se pare că s-a făcut aproapele celui căzut între tâlhari? [37]Iar el a zis: Cel care a făcut milă cu el. Deci Iisus i-a zis: Mergi şi fă şi tu asemenea.

[38]Apoi, pe când mergeau ei, că El a intrat într-un sat. Şi o femeie cu numele Marta L-a primit în casa ei. [39]Şi ea avea o soră care se numea Maria şi care, şezând la picioarele lui Iisus, asculta cuvântul Lui. [40]Iar Marta se risipea în multă slujire; şi, apropiindu-se, a zis: Doamne, nu-Ţi pasă că sora mea m-a lăsat singură să slujesc? Spune-i deci să-mi ajute. [41]Şi răspunzând Iisus, i-a zis: Marto, Marto, îţi faci griji şi te tulburi pentru multe; [42]dar de un lucru este trebuinţă; iar Maria partea cea bună şi-a ales, care nu se va lua de la ea.

Κεφάλαιον ΙΑ΄

[1]Καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο, εἰπέ τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν· Κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ Ἰωάννης ἐδίδαξε τοὺς μαθητὰς αὐτοῦ. [2]εἶπε δὲ αὐτοῖς· ὅταν προσεύχησθε, λέγετε· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· [3]τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δίδου ἡμῖν τὸ καθ' ἡμέραν· [4]καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν· καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ τῷ ὀφείλοντι ἡμῖν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. [5]Καὶ εἶπε πρὸς αὐτούς·

Capitolul 11

[1]Şi a fost, pe când Se ruga El într-un loc, că, după ce a încetat, unul dintre ucenicii Lui a zis către El: Doamne, învaţă-ne să ne rugăm, cum şi Ioan i-a învăţat pe ucenicii lui. [2]Iar El a zis lor: Când vă rugaţi, ziceţi: Tatăl nostru, Care eşti în ceruri, sfinţească-se numele Tău; vie Împărăţia Ta; facă-se voia Ta, precum în cer aşa şi pe pământ; [3]pâinea noastră cea spre fiinţă, dă-ne-o nouă în fiecare zi; [4]şi ne iartă nouă păcatele noastre, căci şi noi însine iertăm oricui ne este dator; şi nu ne duce pe noi în ispită, ci ne izbăveşte de cel viclean. [5]Şi a zis către ei: Cine dintre

τίς ἐξ ὑμῶν ἕξει φίλον, καὶ πορεύσεται πρὸς
αὐτὸν μεσονυκτίου καὶ ἐρεῖ αὐτῷ· φίλε, χρῆσόν
μοι τρεῖς ἄρτους, 6ἐπειδὴ φίλος μου παρεγένε-
το ἐξ ὁδοῦ πρός με καὶ οὐκ ἔχω ὃ παραθήσω
αὐτῷ· 7κἀκεῖνος ἔσωθεν ἀποκριθεὶς εἴπῃ· μή
μοι κόπους πάρεχε· ἤδη ἡ θύρα κέκλεισται
καὶ τὰ παιδία μου μετ' ἐμοῦ εἰς τὴν κοίτην
εἰσίν· οὐ δύναμαι ἀναστὰς δοῦναί σοι; 8λέγω
ὑμῖν, εἰ καὶ οὐ δώσει αὐτῷ ἀναστὰς διὰ τὸ εἶ-
ναι αὐτοῦ φίλον, διά γε τὴν ἀναίδειαν αὐτοῦ
ἐγερθεὶς δώσει αὐτῷ ὅσων χρῄζει. 9κἀγὼ ὑμῖν
λέγω, αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν, ζητεῖτε, καὶ
εὑρήσετε, κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν· 10πᾶς
γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ
τῷ κρούοντι ἀνοιχθήσεται. 11τίνα δὲ ἐξ ὑμῶν
τὸν πατέρα αἰτήσει ὁ υἱὸς ἄρτον, μὴ λίθον
ἐπιδώσει αὐτῷ; ἢ καὶ ἰχθύν, μὴ ἀντὶ ἰχθύος
ὄφιν ἐπιδώσει αὐτῷ; 12ἢ καὶ ἐὰν αἰτήσῃ ᾠόν,
μὴ ἐπιδώσει αὐτῷ σκορπίον; 13εἰ οὖν ὑμεῖς,
ὑπάρχοντες πονηροί, οἴδατε δόματα ἀγαθὰ
διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πα-
τὴρ ὁ ἐξ οὐρανοῦ δώσει πνεῦμα ἅγιον τοῖς
αἰτοῦσιν αὐτόν;

Καὶ ἦν ἐκβάλλων δαιμόνιον, καὶ αὐτὸ ἦν κω-
φόν· ἐγένετο δὲ τοῦ δαιμονίου ἐξελθόντος
ἐλάλησεν ὁ κωφός, καὶ ἐθαύμαζον οἱ ὄχλοι·
15τινὲς δὲ ἐξ αὐτῶν εἶπον· ἐν Βεελζεβοὺλ τῷ
ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια.
16ἕτεροι δὲ πειράζοντες σημεῖον παρ' αὐτοῦ
ἐζήτουν ἐξ οὐρανοῦ. 17αὐτὸς δὲ εἰδὼς αὐτῶν
τὰ διανοήματα εἶπεν αὐτοῖς· πᾶσα βασιλεία
ἐφ' ἑαυτὴν διαμερισθεῖσα, ἐρημοῦται, καὶ οἶ-
κος ἐπὶ οἶκον, πίπτει. 18εἰ δὲ καὶ ὁ σατανᾶς
ἐφ' ἑαυτὸν διεμερίσθη, πῶς σταθήσεται ἡ
βασιλεία αὐτοῦ, ὅτι λέγετε ἐν Βεελζεβούλ με
ἐκβάλλειν τὰ δαιμόνια; 19εἰ δὲ ἐγὼ ἐν Βεελζε-
βοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν
τίνι ἐκβάλλουσι; διὰ τοῦτο αὐτοὶ κριταὶ ὑμῶν
ἔσονται. 20εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ
δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία

voi va avea un prieten şi va merge la el
în miez de noapte şi-i va zice: Prietene,
împrumută-mi trei pâini, 6pentru că un
prieten a venit de pe cale la mine şi n-am
ce să-i pun înainte; 7iar acela, dinăuntru
răspunzând, să-i zică: Nu-mi face ostenea-
lă. De acum uşa e încuiată şi copiii mei
sunt împreună cu mine în pat. Nu pot să
mă ridic să-ţi dau. 8Zic vouă: Chiar de nu
se va ridica să-i dea pentru că-i este prie-
ten, totuşi, pentru îndrăzneala lui, se va
scula şi îi va da câte îi trebuie. 9Şi Eu zic
vouă: Cereţi şi vi se va da; căutaţi şi veţi
afla; bateţi şi vi se va deschide; 10că tot cel
care cere primeşte; şi cel ce caută găseşte;
şi celui ce bate i se va deschide. 11Şi care
dintre voi, tată fiind, de-i va cere fiul pâi-
ne, îi va da piatră? Sau peşte, şi în loc de
peşte îi va da şarpe? 12Sau de-i va cere
ou, îi va da scorpie? 13Deci dacă voi, răi
fiind, ştiţi să daţi fiilor voştri daruri bune,
cu cât mai mult Tatăl vostru Cel din cer
va da Duh Sfânt celor care cer de la El?

Şi a scos un drac, şi acela era mut; şi
a fost, când a ieşit dracul, că mutul
a vorbit şi mulţimile s-au minunat; 15iar
unii dintre ei au zis: Cu Beelzebul, căpete-
nia dracilor, scoate dracii. 16Iar alţii, is-
pitindu-L, cereau de la El semn din cer.
17Iar El, cunoscând gândurile lor, le-a zis:
Toată împărăţia care se dezbină în sine se
pustieşte; şi o casă care este împotriva ei
înseşi, cade. 18Şi dacă satana s-a dezbinat
în sine, cum va mai dăinui împărăţia lui?
Că ziceţi că Eu cu Beelzebul scot dracii.
19Iar dacă Eu cu Beelzebul scot dracii, fiii
voştri cu cine îi scot? Pentru aceasta ei
vor fi judecătorii voştri. 20Iar dacă Eu cu
degetul lui Dumnezeu scot dracii, atunci
a ajuns la voi Împărăţia lui Dumnezeu.

τοῦ Θεοῦ. 21ὅταν ὁ ἰσχυρὸς καθωπλισμένος
φυλάσσῃ τὴν ἑαυτοῦ αὐλήν, ἐν εἰρήνῃ ἐστὶ τὰ
ὑπάρχοντα αὐτοῦ· 22ἐπὰν δὲ ὁ ἰσχυρότερος
αὐτοῦ ἐπελθὼν νικήσῃ αὐτόν, τὴν πανοπλίαν
αὐτοῦ αἴρει, ἐφ' ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐ-
τοῦ διαδίδωσιν. 23ὁ μὴ ὢν μετ' ἐμοῦ κατ' ἐμοῦ
ἐστι, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ σκορπίζει.

Ὅταν τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ
ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων
ζητοῦν ἀνάπαυσιν, καὶ μὴ εὑρίσκον λέγει· ὑπο-
στρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον· 25καὶ
ἐλθὸν εὑρίσκει σεσαρωμένον καὶ κεκοσμημέ-
νον. 26τότε πορεύεται καὶ παραλαμβάνει ἑπτὰ
ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσ-
ελθόντα κατοικεῖ ἐκεῖ, καὶ γίνεται τὰ ἔσχατα
τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων.

Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα ἐπά-
ρασά τις γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου εἶπεν
αὐτῷ· μακαρία ἡ κοιλία ἡ βαστάσασά σε καὶ
μαστοὶ οὓς ἐθήλασας. 28αὐτὸς δὲ εἶπε· μενοῦν-
γε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ
καὶ φυλάσσοντες αὐτόν.

Τῶν δὲ ὄχλων ἐπαθροιζομένων ἤρξατο λέ-
γειν· ἡ γενεὰ αὕτη γενεὰ πονηρά ἐστι·ση-
μεῖον ζητεῖ, καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ εἰ
μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου. 30καθὼς
γὰρ ἐγένετο Ἰωνᾶς σημεῖον τοῖς Νινευΐταις,
οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου τῇ γενεᾷ
ταύτῃ σημεῖον. 31βασίλισσα νότου ἐγερθήσεται
ἐν τῇ κρίσει μετὰ τῶν ἀνδρῶν τῆς γενεᾶς ταύ-
της καὶ κατακρινεῖ αὐτούς, ὅτι ἦλθεν ἐκ τῶν
περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολο-
μῶντος, καὶ ἰδοὺ πλεῖον Σολομῶντος ὧδε.
32ἄνδρες Νινευῖ ἀναστήσονται ἐν τῇ κρίσει
μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινοῦσιν
αὐτήν, ὅτι μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ,
καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε.

Οὐδεὶς δὲ λύχνον ἅψας εἰς κρυπτὴν τίθησιν
οὐδὲ ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν,

21Când cel tare, înarmat bine, îşi păzeşte
curtea, avuţiile lui sunt în pace. 22Dar
când unul mai tare decât el, venind, îl bi-
ruie, îi ia toate armele în care se încredea,
iar prăzile de la el le împarte. 23Cel care
nu este cu Mine este împotriva Mea; şi cel
care nu adună cu Mine risipeşte.

Când duhul necurat iese din om, umblă
prin locuri fără de apă, căutând odih-
nă, şi, negăsind, zice: Mă voi întoarce în
casa mea, de unde am ieşit; 25şi venind, o
găseşte măturată şi împodobită. 26Atunci
merge şi ia cu sine alte şapte duhuri mai
viclene decât el şi, intrând, locuiesc acolo;
şi se fac cele de pe urmă ale omului aceluia
mai rele decât cele dintâi.

Şi a fost, când spunea El acestea, că o
femeie din mulţime, ridicând glas, I-a
zis: Fericit este pântecele care Te-a purtat
şi sânii la care ai supt! 28Iar El a zis: Da,
dar mai degrabă fericiţi sunt cei ce aud
cuvântul lui Dumnezeu şi-l păzesc.

Şi tot adunându-se mulţimile, a început
să zică: Neamul acesta este neam vi-
clean; caută semn, şi semn nu se va da
lui, fără numai semnul lui Iona proorocul.
30Căci precum s-a făcut Iona semn ninivi-
tenilor, tot aşa va fi şi Fiul Omului semn
acestui neam. 31Împărăteasa de la Miazăzi
se va ridica la judecată împreună cu băr-
baţii neamului acestuia şi-i va osândi, pen-
tru că ea a venit de la marginile pământu-
lui să audă înţelepciunea lui Solomon; şi,
iată, aici este mai mult decât Solomon.
32Bărbaţii Ninivei se vor ridica la judecată
cu neamul acesta şi-l vor osândi, că ei s-au
pocăit la propovăduirea lui Iona; şi, iată,
aici este mai mult decât Iona.

Şi nimeni, aprinzând făclie, nu o pune în
loc ascuns, nici sub obroc, ci în sfeşnic,

ἵνα οἱ εἰσπορευόμενοι τὸ φέγγος βλέπωσιν. 34ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός· ὅταν οὖν ὁ ὀφθαλμός σου ἁπλοῦς ᾖ, καὶ ὅλον τὸ σῶμά σου φωτεινόν ἐστιν· ἐπὰν δὲ πονηρὸς ᾖ, καὶ τὸ σῶμά σου σκοτεινόν. 35σκόπει οὖν μὴ τὸ φῶς τὸ ἐν σοὶ σκότος ἐστίν. 36εἰ οὖν τὸ σῶμά σου ὅλον φωτεινόν, μὴ ἔχον τι μέρος σκοτεινόν, ἔσται φωτεινὸν ὅλον ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε.

Ἐν δὲ τῷ λαλῆσαι αὐτὸν ταῦτα ἠρώτα αὐτὸν Φαρισαῖός τις ὅπως ἀριστήσῃ παρ' αὐτῷ· εἰσελθὼν δὲ ἀνέπεσεν. 38ὁ δὲ Φαρισαῖος ἰδὼν ἐθαύμασεν ὅτι οὐ πρῶτον ἐβαπτίσθη πρὸ τοῦ ἀρίστου. 39εἶπε δὲ ὁ Κύριος πρὸς αὐτόν· νῦν ὑμεῖς οἱ Φαρισαῖοι τὸ ἔξωθεν τοῦ ποτηρίου καὶ τοῦ πίνακος καθαρίζετε, τὸ δὲ ἔσωθεν ὑμῶν γέμει ἁρπαγῆς καὶ πονηρίας. 40ἄφρονες, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν καὶ τὸ ἔσωθεν ἐποίησε; 41πλὴν τὰ ἐνόντα δότε ἐλεημοσύνην, καὶ ἰδοὺ ἅπαντα καθαρὰ ὑμῖν ἔσται. 42ἀλλ' οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ πήγανον καὶ πᾶν λάχανον, καὶ παρέρχεσθε τὴν κρίσιν καὶ τὴν ἀγάπην τοῦ Θεοῦ· ταῦτα δὲ ἔδει ποιῆσαι, κἀκεῖνα μὴ ἀφιέναι. 43οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς. 44οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί, ὅτι ἐστὲ ὡς τὰ μνημεῖα τὰ ἄδηλα, καὶ οἱ ἄνθρωποι περιπατοῦντες ἐπάνω οὐκ οἴδασιν. 45Ἀποκριθεὶς δέ τις τῶν νομικῶν λέγει αὐτῷ· διδάσκαλε, ταῦτα λέγων καὶ ἡμᾶς ὑβρίζεις. 46ὁ δὲ εἶπε· καὶ ὑμῖν τοῖς νομικοῖς οὐαί, ὅτι φορτίζετε τοὺς ἀνθρώπους φορτία δυσβάστακτα, καὶ αὐτοὶ ἑνὶ τῶν δακτύλων ὑμῶν οὐ προσψαύετε τοῖς φορτίοις. 47οὐαὶ ὑμῖν, ὅτι οἰκοδομεῖτε τὰ μνημεῖα τῶν προφητῶν, οἱ δὲ πατέρες ὑμῶν ἀπέκτειναν αὐτούς. 48ἄρα μαρτυρεῖτε καὶ

ca aceia care intră să vadă lumina. 34Făclia trupului este ochiul. Deci, când ochiul tău este curat, şi tot trupul tău este luminos; iar când este viclean, şi trupul tău este întunecat. 35Ia seama deci, nu cumva lumina care este în tine să fie întuneric. 36Aşadar, dacă tot trupul tău este luminos, neavând vreo parte întunecată, va fi luminos în întregime, ca atunci când făclia te luminează cu strălucirea ei.

Şi pe când vorbea El acestea, un fariseu Îl ruga să prânzească la el; şi, intrând, a şezut la masă. 38Iar fariseul, văzând, s-a mirat că nu S-a spălat înainte de prânz. 39Şi a zis Domnul către el: Acum voi fariseii curăţiţi partea din afară a paharului şi a blidului, iar partea dinăuntru a voastră este plină de răpire şi de vicleniе. 40Nebunilor! Oare, Cel ce a făcut partea din afară n-a făcut şi partea dinăuntru? 41Daţi mai întâi milostenie cele ce sunt dinlăuntru şi, iată, toate vă vor fi curate. 42Dar vai vouă, fariseilor, că daţi zeciuială din izmă şi din untişor şi din toată verdeaţa; şi lăsaţi la o parte judecata şi iubirea de Dumnezeu; pe acestea trebuia să le faceţi şi pe acelea să nu le lăsaţi. 43Vai vouă, fariseilor, că iubiţi scaunul din faţă în sinagogi şi plecăciunile în pieţe. 44Vai vouă, cărturarilor şi fariseilor făţarnici, că sunteţi ca mormintele care nu se văd şi oamenii, umblând peste ele, nu le ştiu. 45Şi răspunzând unul dintre învăţătorii de Lege, a zis Lui: Învăţătorule, acestea zicând, şi pe noi ne ocărăşti! 46Iar El a zis: Vai şi vouă, învăţătorilor de Lege, că împovăraţi pe oameni cu poveri greu de purtat, iar voi înşivă nici cu un deget nu atingeţi poverile. 47Vai vouă, că zidiţi mormintele proorocilor, dar părinţii voştri i-au omo-

συνευδοκεῖτε τοῖς ἔργοις τῶν πατέρων ὑμῶν, ὅτι αὐτοὶ μὲν ἀπέκτειναν αὐτούς, ὑμεῖς δὲ οἰκοδομεῖτε αὐτῶν τὰ μνημεῖα. 49διὰ τοῦτο καὶ ἡ σοφία τοῦ Θεοῦ εἶπεν· ἀποστελῶ εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους, καὶ ἐξ αὐτῶν ἀποκτενοῦσι καὶ ἐκδιώξουσιν, 50ἵνα ἐκζητηθῇ τὸ αἷμα πάντων τῶν προφητῶν τὸ ἐκχυνόμενον ἀπὸ καταβολῆς κόσμου ἀπὸ τῆς γενεᾶς ταύτης, 51ἀπὸ τοῦ αἵματος Ἅβελ ἕως τοῦ αἵματος Ζαχαρίου τοῦ ἀπολομένου μεταξὺ τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου· ναί, λέγω ὑμῖν, ἐκζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. 52οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰσήλθετε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε. 53λέγοντος δὲ αὐτοῦ πρὸς αὐτοὺς ταῦτα ἤρξαντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι δεινῶς ἐνέχειν καὶ ἀποστοματίζειν αὐτὸν περὶ πλειόνων, 54ἐνεδρεύοντες αὐτόν, ζητοῦντες θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ, ἵνα κατηγορήσωσιν αὐτοῦ.

rât. 48Mărturisiți deci şi încuviințați faptele părinților voştri; că ei i-au omorât, iar voi le zidiți mormintele. 49Pentru aceea şi înțelepciunea lui Dumnezeu a zis: Trimite-voi la ei prooroci şi apostoli, şi dintre ei vor omorî şi vor prigoni, 50ca să se ceară de la neamul acesta sângele tuturor proorocilor, cel vărsat de la întemeierea lumii, 51de la sângele lui Abel până la sângele lui Zaharia, care a pierit între jertfelnic şi templu; Da, zic vouă, se va cere de la neamul acesta. 52Vai vouă, învățătorilor de Lege, că ați luat cheia cunoştinței; voi înşivă n-ați intrat, şi pe cei ce intrau i-ați împiedicat. 53Şi zicând El acestea către ei, au început cărturarii şi fariseii să-L urască pe El cumplit şi să-L silească a vorbi despre mai multe, 54pândindu-L şi căutând să-L descoasă, ca să-I găsească vină.

Κεφάλαιον ΙΒ΄

Ἐν οἷς ἐπισυναχθεισῶν τῶν μυριάδων τοῦ ὄχλου ὡς καταπατεῖν ἀλλήλους, ἤρξατο λέγειν πρὸς τοὺς μαθητὰς αὐτοῦ πρῶτον· προσέχετε ἑαυτοῖς ἀπὸ τῆς ζύμης τῶν Φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις. 2οὐδὲν δὲ συγκεκαλυμμένον ἐστὶν ὃ οὐκ ἀποκαλυφθήσεται, καὶ κρυπτὸν ὃ οὐ γνωσθήσεται· 3ἀνθ' ὧν ὅσα ἐν τῇ σκοτίᾳ εἴπατε, ἐν τῷ φωτὶ ἀκουσθήσεται, καὶ ὃ πρὸς τὸ οὖς ἐλαλήσατε ἐν τοῖς ταμείοις, κηρυχθήσεται ἐπὶ τῶν δωμάτων.

Λέγω δὲ ὑμῖν τοῖς φίλοις μου· μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, καὶ μετὰ ταῦτα μὴ ἐχόντων περισσότερόν τι ποιῆσαι.

Capitolul 12

Şi între timp adunându-se mulțime, mii şi mii, încât se călcau în picioare unii pe alții, a început să spună către ucenicii Săi mai întâi: Păziți-vă de aluatul fariseilor, care este fățărnicia. 2Nimic nu este acoperit care să nu se descopere, şi ascuns care să nu se cunoască. 3De aceea, câte ați zis la întuneric se vor auzi la lumină, şi ceea ce ați vorbit la ureche, în cămări, se va propovădui de pe acoperişuri.

Dar zic vouă, prietenilor Mei: Nu vă temeți de cei care ucid trupul şi după aceasta n-au ce să facă mai mult. 5Vă voi

5ὑποδείξω δὲ ὑμῖν τίνα φοβηθῆτε· φοβήθητε
τὸν μετὰ τὸ ἀποκτεῖναι ἔχοντα ἐξουσίαν ἐμ-
βαλεῖν εἰς τὴν γέενναν· ναί, λέγω ὑμῖν, τοῦτον
φοβήθητε. 6οὐχὶ πέντε στρουθία πωλεῖται
ἀσσαρίων δύο; καὶ ἓν ἐξ αὐτῶν οὐκ ἔστιν ἐπι-
λελησμένον ἐνώπιον τοῦ Θεοῦ· 7ἀλλὰ καὶ αἱ
τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠρίθμηνται.
μὴ οὖν φοβεῖσθε· πολλῶν στρουθίων διαφέ-
ρετε. 8Λέγω δὲ ὑμῖν· πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν
ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ υἱὸς τοῦ
ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν
τῶν ἀγγέλων τοῦ Θεοῦ· 9ὁ δὲ ἀρνησάμενός
με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται
ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ. 10καὶ πᾶς ὃς
ἐρεῖ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφε-
θήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα
βλασφημήσαντι οὐκ ἀφεθήσεται. 11ὅταν δὲ
προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς
ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ
τί ἀπολογήσησθε, ἢ τί εἴπητε· 12τὸ γὰρ Ἅγιον
Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ
εἰπεῖν.

13Εἶπε δέ τις αὐτῷ ἐκ τοῦ ὄχλου· διδάσκαλε,
εἰπὲ τῷ ἀδελφῷ μου μερίσασθαι τὴν κλη-
ρονομίαν μετ' ἐμοῦ. 14ὁ δὲ εἶπεν αὐτῷ· ἄν-
θρωπε, τίς με κατέστησε δικαστὴν ἢ μεριστὴν
ἐφ' ὑμᾶς; 15εἶπε δὲ πρὸς αὐτούς· ὁρᾶτε καὶ
φυλάσσεσθε ἀπὸ πάσης πλεονεξίας· ὅτι οὐκ
ἐν τῷ περισσεύειν τινὶ ἡ ζωὴ αὐτοῦ ἐστιν ἐκ
τῶν ὑπαρχόντων αὐτοῦ. 16Εἶπε δὲ παραβολὴν
πρὸς αὐτοὺς λέγων· ἀνθρώπου τινὸς πλουσί-
ου εὐφόρησεν ἡ χώρα· 17καὶ διελογίζετο ἐν
ἑαυτῷ λέγων· τί ποιήσω, ὅτι οὐκ ἔχω ποῦ
συνάξω τοὺς καρπούς μου; 18καὶ εἶπε· τοῦτο
ποιήσω· καθελῶ μου τὰς ἀποθήκας καὶ μείζο-
νας οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ πάντα τὰ
γενήματά μου καὶ τὰ ἀγαθά μου, 19καὶ ἐρῶ
τῇ ψυχῇ μου· ψυχή, ἔχεις πολλὰ ἀγαθὰ κεί-
μενα εἰς ἔτη πολλά· ἀναπαύου, φάγε, πίε, εὐ-
φραίνου. 20εἶπε δὲ αὐτῷ ὁ Θεός· ἄφρον, ταύτῃ

arătа însă de cine să vă temeți: Temeți-vă
de cel care, după ce ucide, are puterea să
arunce în gheena; da, zic vouă, de acesta
să vă temeți. 6Nu se vând oare cinci vrăbii
pe doi bani? Şi nici una din ele nu este ui-
tată înaintea lui Dumnezeu; 7ci şi perii ca-
pului vostru, toți sunt numărați. Deci nu
vă temeți; sunteți mai de preț decât mulți-
me de vrăbii. 8Şi zic vouă: Tot cel care va
mărturisi întru Mine înaintea oamenilor,
şi Fiul Omului va mărturisi întru el înain-
tea îngerilor lui Dumnezeu. 9Iar cel care
se va lepăda de Mine înaintea oamenilor
lepădat va fi înaintea îngerilor lui Dumne-
zeu. 10Şi tot cel care va spune cuvânt îm-
potriva Fiului Omului, se va ierta lui; iar
celui care împotriva Duhului Sfânt a hulit,
nu i se va ierta. 11Iar când vă vor duce în
sinagogi şi la dregători şi la stăpâniri, nu
vă îngrijiți cum sau ce veți răspunde, sau
ce veți zice; 12căci Duhul Sfânt vă va învă-
ța în acel ceas ce trebuie să spuneți.

13Şi I-a zis Lui cineva din mulțime: În-
vățătorule, spune fratelui meu să îm-
partă cu mine moştenirea. 14Iar El i-a zis:
Omule, cine M-a pus pe Mine judecător
sau împărțitor peste voi? 15Şi a zis către
ei: Vedeți şi păziți-vă de toată lăcomia;
că nu în prisosul avuțiilor lui este viața
omului. 16Şi a spus o pildă către ei, zicând:
Unui om bogat i-a rodit din belşug țarina;
17şi cugeta în sine, zicând: Ce voi face, că
n-am unde să adun roadele mele? 18Şi a
zis: Aceasta voi face: Voi strica hambarele
mele şi mai mari le voi zidi, şi voi strân-
ge acolo toate roadele mele şi bunătățile
mele. 19Şi voi zice sufletului meu: Suflete,
ai multe bunătăți puse pentru mulți ani;
odihneşte-te, mănâncă, bea, veseleşte-te.
20Şi i-a zis Dumnezeu: Nebune! În aceas-

τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ δὲ ἡτοίμασας τίνι ἔσται; 21οὕτως ὁ θησαυρίζων ἑαυτῷ, καὶ μὴ εἰς Θεὸν πλουτῶν.

Εἶπε δὲ πρὸς τοὺς μαθητὰς αὐτοῦ· διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε. 23οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος; 24κατανοήσατε τοὺς κόρακας, ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν, οἷς οὐκ ἔστι ταμεῖον οὐδὲ ἀποθήκη, καὶ ὁ Θεὸς τρέφει αὐτούς· πόσῳ μᾶλλον ὑμεῖς διαφέρετε τῶν πετεινῶν; 25τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; 26εἰ οὖν οὔτε ἐλάχιστον δύνασθε, τί περὶ τῶν λοιπῶν μεριμνᾶτε; 27κατανοήσατε τὰ κρίνα πῶς αὐξάνει· οὐ κοπιᾷ οὐδὲ νήθει· λέγω δὲ ὑμῖν, οὐδὲ Σολομὼν ἐν πάσῃ τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. 28εἰ δὲ τὸν χόρτον τοῦ ἀγροῦ, σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον, ὁ Θεὸς οὕτως ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; 29καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε καὶ τί πίητε, καὶ μὴ μετεωρίζεσθε· 30ταῦτα γὰρ πάντα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ· ὑμῶν δὲ ὁ πατὴρ οἶδεν ὅτι χρῄζετε τούτων· 31πλὴν ζητεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. 32Μὴ φοβοῦ τὸ μικρὸν ποίμνιον· ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν. 33πωλήσατε τὰ ὑπάρχοντα ὑμῶν καὶ δότε ἐλεημοσύνην. ποιήσατε ἑαυτοῖς βαλάντια μὴ παλαιούμενα, θησαυρὸν ἀνέκλειπτον ἐν τοῖς οὐρανοῖς, ὅπου κλέπτης οὐκ ἐγγίζει οὐδὲ σὴς διαφθείρει· 34ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ καὶ ἡ καρδία ὑμῶν ἔσται.

Ἔστωσαν ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι· 36καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον

tă noapte sufletul tău îl vor cere de la tine. Şi cele ce ai pregătit, ale cui vor fi? 21Aşa este cel care-şi adună comori sieşi şi care nu se îmbogăţeşte în Dumnezeu.

Şi a zis către ucenicii Săi: De aceea zic vouă: Nu vă îngrijiţi pentru sufletul vostru, ce veţi mânca, nici pentru trupul vostru, cu ce vă veţi îmbrăca. 23Nu este sufletul mai mult decât hrana şi trupul mai mult decât îmbrăcămintea? 24Luaţi aminte la corbi, că nu seamănă, nici nu seceră, care n-au cămară, nici hambar, şi Dumnezeu îi hrăneşte; cu cât mai de preţ sunteţi voi decât păsările? 25Şi cine dintre voi, îngrijindu-se, poate să adauge staturii sale un cot? 26Deci dacă nu puteţi nici lucrul cel mai mic, de ce vă îngrijiţi de celelalte? 27Luaţi aminte la crini cum cresc; nu se ostenesc, nici nu torc; şi zic vouă că nici Solomon, în toată slava lui, nu s-a îmbrăcat ca unul dintre aceştia. 28Iar dacă iarba câmpului, care astăzi este, iar mâine se aruncă în cuptor, Dumnezeu aşa o înveşmântă, cu cât mai mult pe voi, puţin credincioşilor? 29Ci voi nu căutaţi ce veţi mânca sau ce veţi bea şi nu fiţi îngrijoraţi. 30Căci toate acestea le caută neamurile lumii; dar Tatăl vostru ştie că aveţi trebuinţă de ele; 31ci căutaţi Împărăţia lui Dumnezeu şi toate acestea se vor adăuga vouă. 32Nu te teme, turmă mică; că a binevoit Tatăl vostru să vă dea vouă Împărăţia. 33Vindeţi averile voastre şi daţi milostenie. Faceţi-vă vouă pungi care nu se învechesc, comoară neîmputinată în ceruri, unde fur nu se apropie, nici molie nu o strică; 34căci unde este comoara voastră, acolo şi inima voastră va fi.

Să fie mijloacele voastre încinse şi făcliile aprinse; 36şi voi asemenea oamenilor care aşteaptă pe domnul lor, când se

ἑαυτῶν, πότε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος εὐθέως ἀνοίξωσιν αὐτῷ. 37μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος εὑρήσει γρηγοροῦντας. ἀμὴν λέγω ὑμῖν ὅτι περιζώσεται καὶ ἀνακλινεῖ αὐτούς, καὶ παρελθὼν διακονήσει αὐτοῖς. 38καὶ ἐὰν ἔλθῃ ἐν τῇ δευτέρᾳ φυλακῇ καὶ ἐν τῇ τρίτῃ φυλακῇ ἔλθῃ καὶ εὕρῃ οὕτω, μακάριοί εἰσιν οἱ δοῦλοι ἐκεῖνοι. 39τοῦτο δὲ γινώσκετε ὅτι εἰ ᾔδει ὁ οἰκοδεσπότης ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησεν ἂν καὶ οὐκ ἂν ἀφῆκε διορυγῆναι τὸν οἶκον αὐτοῦ. 40καὶ ὑμεῖς οὖν γίνεσθε ἕτοιμοι· ὅτι ᾗ ὥρᾳ οὐ δοκεῖτε ὁ υἱὸς τοῦ ἀνθρώπου ἔρχεται. 41εἶπε δὲ αὐτῷ ὁ Πέτρος· Κύριε, πρὸς ἡμᾶς τὴν παραβολὴν ταύτην λέγεις ἢ καὶ πρὸς πάντας; 42εἶπε δὲ ὁ Κύριος· τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος καὶ φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον; 43μακάριος ὁ δοῦλος ἐκεῖνος, ὃν ἐλθὼν ὁ κύριος αὐτοῦ εὑρήσει οὕτω ποιοῦντα. 44ἀληθῶς λέγω ὑμῖν ὅτι ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ καταστήσει αὐτόν. 45ἐὰν δὲ εἴπῃ ὁ δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, χρονίζει ὁ κύριός μου ἔρχεσθαι, καὶ ἄρξηται τύπτειν τοὺς παῖδας καὶ τὰς παιδίσκας, ἐσθίειν τε καὶ πίνειν καὶ μεθύσκεσθαι, 46ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου ἐν ἡμέρᾳ ᾗ οὐ προσδοκᾷ καὶ ἐν ὥρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτόν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει. 47ἐκεῖνος δὲ ὁ δοῦλος, ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου ἑαυτοῦ καὶ μὴ ἑτοιμάσας μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς· 48ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. παντὶ δὲ ᾧ ἐδόθη πολύ, πολὺ ζητηθήσεται παρ᾽ αὐτοῦ, καὶ ᾧ παρέθεντο πολύ, περισσότερον αἰτήσουσιν αὐτόν.

Πῦρ ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη. 50βάπτισμα δὲ ἔχω βαπτισθῆναι, καὶ πῶς συνέχομαι ἕως οὗ τελεσθῇ.

va întoarce de la nuntă, ca, venind şi bătând, îndată să-i deschidă. 37Fericiţi robii aceia pe care, venind, stăpânul îi va afla priveghind. Amin zic vouă, că se va încinge şi îi va aşeza la masă şi, apropiindu-se, le va sluji. 38Şi de va veni la a doua strajă, şi la a treia strajă de va veni şi îi va găsi aşa, fericiţi sunt robii aceia. 39Şi aceasta să ştiţi, că de ar şti stăpânul casei în care ceas vine furul, ar veghea şi n-ar lăsa să i se spargă casa. 40Şi voi, aşadar, fiţi pregătiţi; că în ceasul în care nu gândiţi Fiul Omului vine. 41Şi I-a zis Petru: Doamne, către noi spui pilda aceasta sau şi către toţi? 42Şi a zis Domnul: Cine oare este iconomul credincios şi înţelept pe care îl va pune domnul peste slugile sale, ca să le dea la vreme partea lor de grâu? 43Fericit robul acela pe care, venind domnul său, îl va găsi făcând aşa. 44Adevărat zic vouă, că peste toate avuţiile sale îl va pune. 45Iar de va zice robul acela în inima sa: Zăboveşte domnul meu să vină, şi va începe să bată slugile şi slujnicele, să mănânce şi să bea şi să se îmbete, 46va veni domnul robului aceluia în ziua în care el nu se aşteaptă şi în ceasul pe care el nu-l ştie, şi îl va tăia în două, şi partea lui o va pune cu cei necredincioşi. 47Iar robul acela care a cunoscut voia domnului său şi care nu s-a pregătit, nici n-a făcut după voia lui, mult se va bate; 48şi cel care n-a cunoscut şi care a făcut lucruri vrednice de bătăi, puţin se va bate. Şi de la tot cel căruia i s-a dat mult, mult se va cere de la el, şi cui i s-a încredinţat mult, mai mult i se va cere.

Foc am venit să arunc pe pământ şi cât aş vrea să se fi aprins deja! 50Dar cu botez am a Mă boteza, şi câtă strâmtorare

51δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι
ἐν τῇ γῇ; οὐχί, λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν.
52ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ ἑνὶ
διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶ καὶ δύο ἐπὶ
τρισί· 53διαμερισθήσονται πατὴρ ἐπὶ υἱῷ καὶ
υἱὸς ἐπὶ πατρί, μήτηρ ἐπὶ θυγατρὶ καὶ θυγάτηρ
ἐπὶ μητρί, πενθερὰ ἐπὶ τὴν νύμφην αὐτῆς καὶ
νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς.

Ἔλεγε δὲ καὶ τοῖς ὄχλοις· ὅταν ἴδητε τὴν
νεφέλην ἀνατέλλουσαν ἀπὸ δυσμῶν, εὐ-
θέως λέγετε, ὄμβρος ἔρχεται, καὶ γίνεται οὕτω·
55καὶ ὅταν νότον πνέοντα, λέγετε ὅτι καύσων
ἔσται, καὶ γίνεται. 56ὑποκριταί, τὸ πρόσωπον
τοῦ οὐρανοῦ καὶ τῆς γῆς οἴδατε δοκιμάζειν,
τὸν δὲ καιρὸν τοῦτον πῶς οὐ δοκιμάζετε;
Τί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ κρίνετε τὸ δίκαιον;
58ὡς γὰρ ὑπάγεις μετὰ τοῦ ἀντιδίκου σου
ἐπ' ἄρχοντα, ἐν τῇ ὁδῷ δὸς ἐργασίαν ἀπηλ-
λάχθαι ἀπ' αὐτοῦ, μήποτε κατασύρῃ σε πρὸς
τὸν κριτήν, καὶ ὁ κριτὴς σε παραδῷ τῷ πρά-
κτορι, καὶ ὁ πράκτωρ σε βαλεῖ εἰς φυλακήν.
59λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν ἕως οὗ καὶ
τὸ ἔσχατον λεπτὸν ἀποδῷς.

am până ce se va săvârşi! 51Vi se pare că
am venit să dau pace pe pământ? Nu, zic
vouă, ci dezbinare. 52Căci vor fi de acum
cinci într-o casă dezbinaţi, trei împotriva
a doi şi doi împotriva a trei; 53se vor dezbi-
na: tatăl împotriva fiului şi fiul împotriva
tatălui, mama împotriva fiicei şi fiica îm-
potriva mamei, soacra împotriva nurorii
sale şi nora împotriva soacrei sale.
Şi zicea şi mulţimilor: Când vedeţi nor
ridicându-se dinspre Apus, îndată zi-
ceţi: vine ploaie, şi se întâmplă aşa; 55iar
când vântul de la Miazăzi suflă, ziceţi că va
fi arşiţă, şi se întâmplă; 56Făţarnicilor, faţa
cerului şi a pământului ştiţi să o cercetaţi,
dar vremea aceasta cum nu o cercetaţi?
De ce, dar, de la voi înşivă nu judecaţi ce
este drept? 58Căci de mergi cu potriv-
nicul tău la dregător, pe cale dă-ţi silinţa
să te scapi de el, nu cumva să te târască la
judecător, şi judecătorul să te dea în mâna
perceptorului, iar perceptorul să te arunce
în temniţă. 59Zic ţie: Nu vei ieşi de acolo,
până ce nu vei plăti şi cel din urmă bănuţ.

Κεφάλαιον ΙΓ΄

Παρῆσαν δέ τινες ἐν αὐτῷ τῷ καιρῷ ἀπαγγέλλοντες αὐτῷ περὶ τῶν Γαλιλαίων, ὧν τὸ αἷμα Πιλᾶτος ἔμιξε μετὰ τῶν θυσιῶν αὐτῶν. 2καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· δοκεῖτε ὅτι οἱ Γαλιλαῖοι οὗτοι ἁμαρτωλοὶ παρὰ πάντας τοὺς Γαλιλαίους ἐγένοντο, ὅτι τοιαῦτα πεπόνθασιν; 3οὐχί, λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοῆτε, πάντες

Capitolul 13

Şi erau de faţă în acea vreme unii
care-I vesteau despre galileenii
al căror sânge Pilat îl amestecase
cu jertfele lor. 2Şi El, răspunzând,
a zis lor: Vi se pare, oare, că gali-
leenii aceştia erau mai păcătoşi
decât toţi galileenii, fiindcă au păti-
mit unele ca acestea? 3Nu, zic vouă; dar
dacă nu vă pocăiţi, toţi veţi pieri la fel.

ὡσαύτως ἀπολεῖσθε. 4ἢ ἐκεῖνοι οἱ δέκα καὶ ὀκτώ, ἐφ' οὓς ἔπεσεν ὁ πύργος ἐν τῷ Σιλωὰμ καὶ ἀπέκτεινεν αὐτούς, δοκεῖτε ὅτι οὗτοι ὀφειλέται ἐγένοντο παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς κατοικοῦντας ἐν Ἰερουσαλήμ; 5οὐχί, λέγω ὑμῖν, ἀλλ' ἐὰν μὴ μετανοήσητε, πάντες ὁμοίως ἀπολεῖσθε.

Ἔλεγε δὲ ταύτην τὴν παραβολήν· συκῆν εἶχέ τις ἐν τῷ ἀμπελῶνι αὐτοῦ πεφυτευμένην, καὶ ἦλθε ζητῶν καρπὸν ἐν αὐτῇ, καὶ οὐχ εὗρεν. 7εἶπε δὲ πρὸς τὸν ἀμπελουργόν· ἰδοὺ τρία ἔτη ἔρχομαι ζητῶν καρπὸν ἐν τῇ συκῇ ταύτῃ, καὶ οὐχ εὑρίσκω· ἔκκοψον αὐτήν· ἱνατί καὶ τὴν γῆν καταργεῖ; 8ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ· κύριε, ἄφες αὐτὴν καὶ τοῦτο τὸ ἔτος, ἕως ὅτου σκάψω περὶ αὐτὴν καὶ βάλω κόπρια. 9κἂν μὲν ποιήσῃ καρπόν· εἰ δὲ μήγε, εἰς τὸ μέλλον ἐκκόψεις αὐτήν.

Ἦν δὲ διδάσκων ἐν μιᾷ τῶν συναγωγῶν ἐν τοῖς σάββασι. 11καὶ ἰδοὺ γυνὴ ἦν πνεῦμα ἔχουσα ἀσθενείας ἔτη δέκα καὶ ὀκτώ, καὶ ἦν συγκύπτουσα καὶ μὴ δυναμένη ἀνακῦψαι εἰς τὸ παντελές. 12ἰδὼν δὲ αὐτὴν ὁ Ἰησοῦς προσεφώνησε καὶ εἶπεν αὐτῇ· γύναι, ἀπολέλυσαι τῆς ἀσθενείας σου· 13καὶ ἐπέθηκεν αὐτῇ τὰς χεῖρας· καὶ παραχρῆμα ἀνωρθώθη καὶ ἐδόξαζε τὸν Θεόν. 14ἀποκριθεὶς δὲ ὁ ἀρχισυνάγωγος, ἀγανακτῶν ὅτι τῷ σαββάτῳ ἐθεράπευσεν ὁ Ἰησοῦς, ἔλεγε τῷ ὄχλῳ· ἓξ ἡμέραι εἰσὶν ἐν αἷς δεῖ ἐργάζεσθαι· ἐν ταύταις οὖν ἐρχόμενοι θεραπεύεσθε, καὶ μὴ τῇ ἡμέρᾳ τοῦ σαββάτου. 15ἀπεκρίθη οὖν αὐτῷ ὁ Κύριος καὶ εἶπεν· ὑποκριτά, ἕκαστος ὑμῶν τῷ σαββάτῳ οὐ λύει τὸν βοῦν αὐτοῦ ἢ τὸν ὄνον ἀπὸ τῆς φάτνης καὶ ἀπαγαγὼν ποτίζει; 16ταύτην δέ, θυγατέρα Ἀβραὰμ οὖσαν, ἣν ἔδησεν ὁ σατανᾶς ἰδοὺ δέκα καὶ ὀκτὼ ἔτη, οὐκ ἔδει λυθῆναι ἀπὸ τοῦ δεσμοῦ τούτου τῇ ἡμέρᾳ τοῦ σαββάτου; 17καὶ ταῦτα λέγοντος αὐτοῦ κατῃσχύνοντο πάντες οἱ ἀντικείμενοι αὐτῷ, καὶ πᾶς ὁ ὄχλος

4Sau aceia optsprezece peste care a căzut turnul în Siloam şi i-a omorât, vi se pare că ei erau datori cu mai mult decât toţi oamenii care locuiau în Ierusalim? 5Nu, zic vouă; dar dacă nu vă pocăiţi, toţi veţi pieri la fel.

Şi le spunea această pildă: Cineva avea un smochin săditîn via sa şi a venit, căutând rod în el, şi nu a găsit. 7Şi a zis către lucrătorul viei: Iată, vin de trei ani, căutând rod în smochinul acesta, şi nu găsesc. Taie-l! De ce să irosească şi pământul? 8Iar el, răspunzând, a zis: Doamne, lasă-l şi anul acesta, până ce-l voi săpa împrejur şi voi pune gunoi. 9Şi dacă face rod, bine; iar de nu, mai apoi îl vei tăia.

Şi învăţa într-una din sinagogi sâmbăta. 11Şi iată, era o femeie care avea un duh de neputinţă de optsprezece ani şi care era gârbovă şi nu se putea îndrepta în nici un chip; 12şi văzând-o Iisus, a chemat-o şi i-a zis: Femeie, eşti slobozită de neputinţa ta. 13Şi Şi-a pus peste ea mâinile; şi îndată s-a îndreptat şi slăvea pe Dumnezeu. 14Răspunzând însă mai-marele sinagogii, mâniat că Iisus a tămăduit-o sâmbăta, zicea mulţimii: Şase zile sunt în care trebuie să se lucreze; deci, în acestea venind, tămăduiţi-vă, şi nu în ziua sâmbetei. 15I-a răspuns deci Domnul şi a zis: Făţarnice, fiecare dintre voi nu-şi dezleagă sâmbăta boul sau asinul de la iesle şi nu-l duce să-l adape? 16Iar aceasta, fiică a lui Avraam fiind, pe care a legat-o satana, iată, de optsprezece ani, nu trebuia să fie dezlegată de legătura aceasta în ziua sâmbetei? 17Şi acestea zicând El, s-au ruşinat toţi care erau împotriva Lui

ἔχαιρεν ἐπὶ πᾶσι τοῖς ἐνδόξοις τοῖς γινομένοις ὑπ' αὐτοῦ.

18Ἔλεγε δέ· τίνι ὁμοία ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ τίνι ὁμοιώσω αὐτήν; 19ὁμοία ἐστὶ κόκκῳ σινάπεως, ὃν λαβὼν ἄνθρωπος ἔβαλεν εἰς κῆπον ἑαυτοῦ· καὶ ηὔξησε καὶ ἐγένετο εἰς δένδρον μέγα, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατεσκήνωσεν ἐν τοῖς κλάδοις αὐτοῦ. 20Πάλιν εἶπε· τίνι ὁμοιώσω τὴν βασιλείαν τοῦ Θεοῦ; 21ὁμοία ἐστὶ ζύμῃ, ἣν λαβοῦσα γυνὴ ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον.

22Καὶ διεπορεύετο κατὰ πόλεις καὶ κώμας διδάσκων καὶ πορείαν ποιούμενος εἰς Ἱερουσαλήμ. 23εἶπε δέ τις αὐτῷ· Κύριε, εἰ ὀλίγοι οἱ σῳζόμενοι; ὁ δὲ εἶπε πρὸς αὐτούς· 24ἀγωνίζεσθε εἰσελθεῖν διὰ τῆς στενῆς πύλης· ὅτι πολλοί, λέγω ὑμῖν, ζητήσουσιν εἰσελθεῖν καὶ οὐκ ἰσχύσουσιν. 25ἀφ' οὗ ἂν ἐγερθῇ ὁ οἰκοδεσπότης καὶ ἀποκλείσῃ τὴν θύραν, καὶ ἄρξησθε ἔξω ἑστάναι καὶ κρούειν τὴν θύραν λέγοντες· Κύριε Κύριε, ἄνοιξον ἡμῖν· καὶ ἀποκριθεὶς ἐρεῖ ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ· 26τότε ἄρξεσθε λέγειν· ἐφάγομεν ἐνώπιόν σου καὶ ἐπίομεν, καὶ ἐν ταῖς πλατείαις ἡμῶν ἐδίδαξας· 27καὶ ἐρεῖ· λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς πόθεν ἐστέ· ἀπόστητε ἀπ' ἐμοῦ πάντες οἱ ἐργάται τῆς ἀδικίας. 28ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὅταν ὄψησθε Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ πάντας τοὺς προφήτας ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω, 29καὶ ἥξουσιν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ ἀπὸ βορρᾶ καὶ νότου, καὶ ἀνακλιθήσονται ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. 30καὶ ἰδοὺ εἰσὶν ἔσχατοι οἳ ἔσονται πρῶτοι, καὶ εἰσὶ πρῶτοι οἳ ἔσονται ἔσχατοι.

şi toată mulţimea se bucura de cele slăvite făcute de El.

18Iar El zicea: Cu ce este asemenea Împărăţia lui Dumnezeu şi cu ce o voi asemăna pe ea? 19Asemenea este grăuntelui de muştar pe care, luându-l, un om l-a aruncat în grădina sa; şi a crescut şi s-a făcut pom mare, şi păsările cerului s-au sălăşluit în ramurile lui. 20Iarăşi a zis: Cu ce voi asemăna Împărăţia lui Dumnezeu? 21Asemenea este aluatului pe care, luându-l o femeie, l-a ascuns în trei măsuri de făină, până ce s-a dospit totul.

22Şi străbătea cetăţi după cetăţi şi sate după sate, învăţând şi îndreptându-Se spre Ierusalim. 23Şi I-a zis cineva: Doamne, puţini sunt, oare, cei ce se mântuiesc? Iar El a zis către ei: 24Luptaţi-vă să intraţi prin poarta cea strâmtă; că mulţi, zic vouă, vor căuta să intre şi nu vor putea. 25După ce se va scula stăpânul casei şi va încuia uşa şi veţi începe afară să staţi şi să bateţi la uşă, zicând: Doamne, Doamne, deschide-ne nouă! Şi el, răspunzând, vă va zice: Nu vă cunosc pe voi de unde sunteţi! 26Atunci veţi începe să ziceţi: Am mâncat înaintea ta şi am băut şi în ulicele noastre ai învăţat. 27Şi vă va spune: Zic vouă: Nu vă cunosc pe voi de unde sunteţi. Depărtaţi-vă de la mine toţi lucrătorii nedreptăţii! 28Acolo va fi plângerea şi scrâşnirea dinţilor, când veţi vedea pe Avraam şi pe Isaac şi pe Iacov şi pe toţi proorocii în Împărăţia lui Dumnezeu, iar pe voi aruncaţi afară. 29Şi vor veni de la Răsărit şi de la Apus, şi de la Miazănoapte şi de la Miazăzi, şi vor şedea la masă în Împărăţia lui Dumnezeu. 30Şi iată, cei care vor fi întâi sunt acum pe urmă şi cei care vor fi pe urmă sunt acum întâi.

Ἐν αὐτῇ τῇ ἡμέρᾳ προσῆλθόν τινες Φαρισαῖοι λέγοντες αὐτῷ· ἔξελθε καὶ πορεύου ἐντεῦθεν, ὅτι Ἡρῴδης θέλει σε ἀποκτεῖναι. 32καὶ εἶπεν αὐτοῖς· πορευθέντες εἴπατε τῇ ἀλώπεκι ταύτῃ· ἰδοὺ ἐκβάλλω δαιμόνια καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, καὶ τῇ τρίτῃ τελειοῦμαι· 33πλὴν δεῖ με σήμερον καὶ αὔριον καὶ τῇ ἐχομένῃ πορεύεσθαι, ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἰερουσαλήμ. 34Ἰερουσαλὴμ Ἰερουσαλήμ, ἡ ἀποκτένουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν, ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου ὃν τρόπον ὄρνις τὴν ἑαυτῆς νοσσιὰν ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε. 35ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. λέγω δὲ ὑμῖν ὅτι οὐ μή με ἴδητε ἕως ἂν ἥξῃ ὅτε εἴπητε· *εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Chiar în ziua aceea au venit unii din farisei, zicându-I: Ieşi şi du-Te de aici, că Irod vrea să Te omoare. 32Şi le-a zis lor: Mergând, spuneţi vulpii acesteia: Iată, scot draci şi vindecări săvârşesc astăzi şi mâine, iar a treia zi sfârşesc; 33dar trebuie ca Eu să merg astăzi şi mâine şi în ziua următoare; că nu este cu putinţă să piară prooroc afară din Ierusalim. 34Ierusalime, Ierusalime, care omori pe prooroci şi ucizi cu pietre pe cei trimişi la tine, de câte ori am voit să adun pe fiii tăi, aşa cum îşi adună pasărea puii ei sub aripi, şi nu aţi voit! 35Iată, vi se lasă casa voastră pustie; şi zic vouă: Nu Mă veţi mai vedea până ce nu va veni vremea când veţi zice: *Binecuvântat este Cel ce vine în numele Domnului!*

Κεφάλαιον ΙΔ΄

Καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὸν εἰς οἶκόν τινος τῶν ἀρχόντων τῶν Φαρισαίων σαββάτῳ φαγεῖν ἄρτον, καὶ αὐτοὶ ἦσαν παρατηρούμενοι αὐτόν. 2καὶ ἰδοὺ ἄνθρωπός τις ἦν ὑδρωπικὸς ἔμπροσθεν αὐτοῦ. 3καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπε πρὸς τοὺς νομικοὺς καὶ Φαρισαίους λέγων· εἰ ἔξεστι τῷ σαββάτῳ θεραπεύειν; 4οἱ δὲ ἡσύχασαν. καὶ ἐπιλαβόμενος ἰάσατο αὐτὸν καὶ ἀπέλυσε. 5καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπε· τίνος ὑμῶν υἱὸς ἢ βοῦς εἰς φρέαρ ἐμπεσεῖται, καὶ οὐκ εὐθέως ἀνασπάσει αὐτὸν ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου; 6καὶ οὐκ ἴσχυσαν ἀνταποκριθῆναι αὐτῷ πρὸς ταῦτα.

Ἔλεγε δὲ πρὸς τοὺς κεκλημένους παραβολήν, ἐπέχων πῶς τὰς πρωτοκλισίας ἐξε-

Capitolul 14

Şi a fost când a intrat El în casa unuia dintre căpeteniile fariseilor, sâmbăta, ca să mănânce pâine, că ei Îl pândeau. 2Şi iată, un om bolnav de idropică era înaintea Lui. 3Şi, răspunzând Iisus, a zis către învăţătorii de lege şi farisei, spunând: Este îngăduit a tămădui sâmbăta? 4Ei însă au tăcut. Şi luându-l, l-a vindecat şi l-a slobozit. 5Şi grăind, a zis către ei: Care dintre voi, de-i va cădea fiul sau boul în fântână, nu-l va scoate îndată în ziua sâmbetei? 6Şi n-au putut să-i răspundă la acestea.

Şi zicea către cei chemaţi o pildă, luând seama cum îşi alegeau locurile dintâi

λέγοντο, λέγων πρὸς αὐτούς· 8ὅταν κληθῇς
ὑπό τινος εἰς γάμους, μὴ κατακλιθῇς εἰς τὴν
πρωτοκλισίαν, μήποτε ἐντιμότερός σου ᾖ
κεκλημένος ὑπ' αὐτοῦ, 9καὶ ἐλθὼν ὁ σὲ καὶ
αὐτὸν καλέσας ἐρεῖ σοι· δὸς τούτῳ τόπον·
καὶ τότε ἄρξῃ μετ' αἰσχύνης τὸν ἔσχατον τό-
πον κατέχειν. 10ἀλλ' ὅταν κληθῇς, πορευθεὶς
ἀνάπεσε εἰς τὸν ἔσχατον τόπον, ἵνα ὅταν ἔλθῃ
ὁ κεκληκώς σε εἴπῃ σοι· φίλε, προσανάβη-
θι ἀνώτερον· τότε ἔσται σοι δόξα ἐνώπιον
τῶν συνανακειμένων σοι. 11ὅτι πᾶς ὁ ὑψῶν
ἑαυτὸν ταπεινωθήσεται καὶ ὁ ταπεινῶν ἑαυ-
τὸν ὑψωθήσεται. 12Ἔλεγε δὲ καὶ τῷ κεκληκότι
αὐτόν· ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον, μὴ φώ-
νει τοὺς φίλους σου μηδὲ τοὺς ἀδελφούς σου
μηδὲ τοὺς συγγενεῖς σου μηδὲ γείτονας πλου-
σίους, μήποτε καὶ αὐτοί σε ἀντικαλέσωσι, καὶ
γενήσεταί σοι ἀνταπόδομα. 13ἀλλ' ὅταν ποιῇς
δοχήν, κάλει πτωχούς, ἀναπήρους, χωλούς,
τυφλούς, 14καὶ μακάριος ἔσῃ, ὅτι οὐκ ἔχουσιν
ἀνταποδοῦναί σοι· ἀνταποδοθήσεται γάρ σοι
ἐν τῇ ἀναστάσει τῶν δικαίων.

Ἀκούσας δέ τις τῶν συνανακειμένων ταῦτα
εἶπεν αὐτῷ· μακάριος ὃς φάγεται ἄριστον
ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. 16ὁ δὲ εἶπεν αὐτῷ·
ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα καὶ ἐκάλε-
σε πολλούς· 17καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ
τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις·
ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα. 18καὶ ἤρ-
ξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. ὁ πρῶ-
τος εἶπεν αὐτῷ· ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγ-
κην ἐξελθεῖν καὶ ἰδεῖν αὐτόν· ἐρωτῶ σε, ἔχε με
παρῃτημένον. 19καὶ ἕτερος εἶπε· ζεύγη βοῶν
ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι
αὐτά· ἐρωτῶ σε, ἔχε με παρῃτημένον. 20καὶ
ἕτερος εἶπε· γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο
οὐ δύναμαι ἐλθεῖν. 21καὶ παραγενόμενος ὁ
δοῦλος ἐκεῖνος ἀπήγγειλε τῷ κυρίῳ αὐτοῦ

la masă; zicea deci către ei: 8Când eşti che-
mat de cineva la nuntă, nu te aşeza în lo-
cul cel dintâi, nu cumva altul mai de cinste
decât tine să fie chemat de el 9şi, venind
cel care te-a chemat pe tine şi pe el, îţi va
spune: Dă acestuia locul! Şi atunci, vei
pleca cu ruşine să iei locul cel din urmă.
10Ci, când eşti chemat, mergi şi aşază-te pe
locul cel din urmă, ca atunci când va veni
cel care te-a chemat, să-ţi spună ţie: Prie-
tene, mută-te mai sus; atunci va fi ţie slavă
înaintea celor ce şed la masă împreună cu
tine. 11Căci, tot cel ce se înalţă pe sine se
va smeri, iar cel ce se smereşte pe sine se
va înălţa. 12Şi zicea şi celui care-L chema-
se: Când faci prânz sau cină, nu chema pe
prietenii tăi, nici pe fraţii tăi, nici pe rude-
le tale, nici vecinii bogaţi, nu cumva şi ei,
la rândul lor, să te cheme pe tine şi să-ţi
fie răsplată. 13Ci, când faci ospăţ, cheamă
pe săraci, pe schilozi, pe şchiopi, pe
orbi, 14şi fericit vei fi, că nu au cu ce să-ţi
răsplătească; căci ţi se va răsplăti la învi-
erea drepţilor.

Şi auzind acestea unul dintre cei ce
şedeau cu El la masă, I-a zis: Fericit
cel ce va mânca prânzul în Împărăţia lui
Dumnezeu! 16Iar El i-a zis: Un om a făcut
cină mare şi a chemat pe mulţi; 17şi a trimis
pe sluga sa la ceasul cinei să zică celor
chemaţi: Veniţi, că, iată, gata sunt toate.
18Şi au început toţi, ca şi când s-ar fi înţe-
les, să-şi ceară iertare. Cel dintâi i-a zis:
Ţarină am cumpărat şi am nevoie să ies ca
s-o văd; rogu-te să mă ierţi. 19Şi altul a zis:
Cinci perechi de boi am cumpărat şi merg
să-i încerc; rogu-te să mă ierţi. 20Şi altul a
zis: Femeie mi-am luat şi de aceea nu pot
veni. 21Şi venind sluga aceea, a vestit dom-
nului său acestea. Atunci, mâniindu-se,

ταῦτα. τότε ὀργισθεὶς ὁ οἰκοδεσπότης εἶπε τῷ
δούλῳ αὐτοῦ· ἔξελθε ταχέως εἰς τὰς πλατείας
καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς καὶ
ἀναπήρους καὶ χωλοὺς καὶ τυφλοὺς εἰσάγαγε
ὧδε. 22καὶ εἶπεν ὁ δοῦλος· κύριε, γέγονεν ὡς
ἐπέταξας, καὶ ἔτι τόπος ἐστί. 23καὶ εἶπεν ὁ κύ-
ριος πρὸς τὸν δοῦλον· ἔξελθε εἰς τὰς ὁδοὺς καὶ
φραγμοὺς καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμι-
σθῇ ὁ οἶκός μου. 24λέγω γὰρ ὑμῖν ὅτι οὐδεὶς
τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων γεύσεταί
μου τοῦ δείπνου.

Συνεπορεύοντο δὲ αὐτῷ ὄχλοι πολλοί. καὶ
στραφεὶς εἶπε πρὸς αὐτούς· 26εἴ τις ἔρχεται
πρός με καὶ οὐ μισεῖ τὸν πατέρα ἑαυτοῦ καὶ
τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ
τοὺς ἀδελφοὺς καὶ τὰς ἀδελφάς, ἔτι δὲ καὶ τὴν
ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου μαθητὴς εἶναι.
27καὶ ὅστις οὐ βαστάζει τὸν σταυρὸν ἑαυτοῦ
καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναται εἶναί μου
μαθητής. 28τίς γὰρ ἐξ ὑμῶν, θέλων πύργον
οἰκοδομῆσαι, οὐχὶ πρῶτον καθίσας ψηφίζει
τὴν δαπάνην, εἰ ἔχει τὰ πρὸς ἀπαρτισμόν;
29ἵνα μήποτε, θέντος αὐτοῦ θεμέλιον καὶ μὴ
ἰσχύσαντος ἐκτελέσαι, πάντες οἱ θεωροῦντες
ἄρξωνται αὐτῷ ἐμπαίζειν, 30λέγοντες ὅτι οὗ-
τος ὁ ἄνθρωπος ἤρξατο οἰκοδομεῖν καὶ οὐκ
ἴσχυσεν ἐκτελέσαι; 31ἢ τίς βασιλεύς, πορευόμε-
νος συμβαλεῖν ἑτέρῳ βασιλεῖ εἰς πόλεμον, οὐχὶ
πρῶτον καθίσας βουλεύεται εἰ δυνατός ἐστιν
ἐν δέκα χιλιάσιν ἀπαντῆσαι τῷ μετὰ εἴκοσι
χιλιάδων ἐρχομένῳ ἐπ' αὐτόν; 32εἰ δὲ μήγε, ἔτι
πόρρω αὐτοῦ ὄντος πρεσβείαν ἀποστείλας
ἐρωτᾷ τὰ πρὸς εἰρήνην. 33οὕτως οὖν πᾶς ἐξ
ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ
ὑπάρχουσιν, οὐ δύναται εἶναί μου μαθητής.

Καλὸν τὸ ἅλας· ἐὰν δὲ καὶ τὸ ἅλας μωρανθῇ,
ἐν τίνι ἀρτυθήσεται; 35οὔτε εἰς γῆν οὔτε εἰς
κοπρίαν εὔθετόν ἐστιν· ἔξω βάλλουσιν αὐτό.
ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω.

stăpânul casei a zis slugii sale: Ieşi degrabă la răspântii şi pe uliţele cetăţii şi adu-i aici pe săraci şi pe schilozi şi pe şchiopi şi pe orbi. 22Şi a zis sluga: Doamne, s-a făcut precum ai poruncit şi încă mai este loc. 23Şi a zis domnul către slugă: Ieşi la drumuri şi la garduri şi sileşte-i să intre, ca să se umple casa mea. 24Căci zic vouă: Nici unul din bărbaţii aceia care au fost chemaţi nu va gusta din cina mea.

Şi mergeau împreună cu El mulţimi multe; şi întorcându-Se, a zis către ele: 26Dacă cineva vine la Mine şi nu urăşte pe tatăl său şi pe mamă şi pe femeie şi pe copii şi pe fraţi şi pe surori, chiar şi sufletul său, nu poate să fie ucenicul Meu. 27Şi cel care nu-şi poartă crucea sa şi nu vine după Mine nu poate să fie ucenicul Meu. 28Căci cine dintre voi, vrând să zidească turn, nu stă mai întâi să-şi socotească cheltuiala, dacă are cu ce să-l isprăvească? 29Ca nu cumva, punându-i temelia şi neputând să-l isprăvească, toţi cei care văd să înceapă a-l lua în râs, 30zicând: Acest om a început să zidească şi n-a putut isprăvi? 31Sau care împărat, mergând să se prindă în război cu alt împărat, nu stă să se sfătuiască mai întâi dacă poate cu zece mii să înfrunte pe cel care vine împotriva lui cu douăzeci de mii? 32Iar de nu, încă fiind acela departe, trimiţând solie, îl roagă de pace. 33Astfel, dar, oricine dintre voi care nu se leapădă de toate avuţiile sale, nu poate să fie ucenicul Meu.

Bună este sarea; dar dacă şi sarea se va strica, cu ce va fi dreasă? 35Nici pentru pământ, nici pentru gunoi nu este bună; afară o aruncă. Cine are urechi de auzit să audă.

Κεφάλαιον ΙΕ΄

Ἦσαν δὲ ἐγγίζοντες αὐτῷ πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ. 2καὶ διεγόγγυζον οἵ Φαρισαῖοι καὶ οἱ γραμματεῖς λέγοντες ὅτι οὗτος ἁμαρτωλοὺς προσδέχεται καὶ συνεσθίει αὐτοῖς. 3εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην λέγων· 4τίς ἄνθρωπος ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ καταλείπει τὰ ἐνενήκοντα ἐννέα ἐν τῇ ἐρήμῳ καὶ πορεύεται ἐπὶ τὸ ἀπολωλὸς ἕως οὗ εὕρῃ αὐτό; 5καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ χαίρων, 6καὶ ἐλθὼν εἰς τὸν οἶκον συγκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας λέγων αὐτοῖς· συγχάρητέ μοι ὅτι εὗρον τὸ πρόβατόν μου τὸ ἀπολωλός. 7λέγω ὑμῖν ὅτι οὕτω χαρὰ ἔσται ἐν τῷ οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ἢ ἐπὶ ἐνενήκοντα ἐννέα δικαίοις, οἵτινες οὐ χρείαν ἔχουσι μετανοίας.

Ἢ τίς γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον καὶ σαροῖ τὴν οἰκίαν καὶ ζητεῖ ἐπιμελῶς ἕως ὅτου εὕρῃ; 9καὶ εὑροῦσα συγκαλεῖ τὰς φίλας καὶ τὰς γείτονας λέγουσα· συγχάρητέ μοι ὅτι εὗρον τὴν δραχμὴν ἣν ἀπώλεσα. 10οὕτω, λέγω ὑμῖν, χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι.

Εἶπε δέ· ἄνθρωπός τις εἶχε δύο υἱούς. 12καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί· πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. καὶ διεῖλεν αὐτοῖς τὸν βίον. 13καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς χώραν μακράν, καὶ ἐκεῖ διε-

Capitolul 15

Şi se apropiau de El toţi vameşii şi păcătoşii, ca să-L asculte. 2Şi cârteau fariseii şi cărturarii, zicând: Acesta primeşte la Sine pe păcătoşi şi mănâncă împreună cu ei. 3Şi a zis către ei pilda aceasta, spunând: 4Care om dintre voi, având o sută de oi şi pierzând una din ele, nu lasă pe cele nouăzeci şi nouă în pustie şi nu merge după cea pierdută, până când o găseşte? 5Şi găsind-o, o pune pe umerii săi, bucurându-se; 6Şi venind acasă, cheamă prietenii şi vecinii, zicându-le: Bucuraţi-vă cu mine, că am găsit oaia mea cea pierdută. 7Zic vouă că mai mare bucurie va fi în cer pentru un păcătos care se pocăieşte, decât pentru nouăzeci şi nouă de drepţi care n-au nevoie de pocăinţă.

Sau care femeie, având zece drahme, dacă pierde o drahmă, nu aprinde făclia şi nu mătură casa şi nu caută cu grijă până când o găseşte? 9Şi găsind-o, cheamă prietenele şi vecinele, spunând: Bucuraţi-vă cu mine, căci am găsit drahma pe care o pierdusem. 10Aşa, zic vouă, bucurie se face înaintea îngerilor lui Dumnezeu pentru un păcătos care se pocăieşte.

Şi a zis: Un om avea doi fii; 12şi a zis cel mai tânăr dintre ei tatălui: Tată, dă-mi partea ce mi se cuvine din avere. Şi el le-a împărţit avuţia. 13Şi nu după multe zile, adunând toate, fiul cel mai tânăr a plecat într-o ţară depărtată şi acolo şi-a risipit averea, tră-

εσκόρπισε τὴν οὐσίαν αὐτοῦ ζῶν ἀσώτως.
14δαπανήσαντος δὲ αὐτοῦ πάντα ἐγένετο
λιμὸς ἰσχυρὸς κατὰ τὴν χώραν ἐκείνην,
καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. 15καὶ
πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν
τῆς χώρας ἐκείνης, καὶ ἔπεμψεν αὐτὸν
εἰς τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους.
16καὶ ἐπεθύμει γεμίσαι τὴν κοιλίαν αὐτοῦ
ἀπὸ τῶν κερατίων ὧν ἤσθιον οἱ χοῖροι,
καὶ οὐδεὶς ἐδίδου αὐτῷ. 17εἰς ἑαυτὸν δὲ
ἐλθὼν εἶπε· πόσοι μίσθιοι τοῦ πατρός
μου περισσεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ
ἀπόλλυμαι. 18ἀναστὰς πορεύσομαι πρὸς τὸν
πατέρα μου καὶ ἐρῶ αὐτῷ· πάτερ, ἥμαρτον εἰς
τὸν οὐρανὸν καὶ ἐνώπιόν σου· 19οὐκέτι εἰμὶ
ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα
τῶν μισθίων σου. 20καὶ ἀναστὰς ἦλθε πρὸς τὸν
πατέρα αὐτοῦ. ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχον-
τος εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἐσπλαγχνί-
σθη, καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον
αὐτοῦ καὶ κατεφίλησεν αὐτόν. 21εἶπε δὲ αὐτῷ
ὁ υἱός· πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ
ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι
υἱός σου. 22εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους
αὐτοῦ· ἐξενέγκατε τὴν στολὴν τὴν
πρώτην καὶ ἐνδύσατε αὐτόν, καὶ
δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ
καὶ ὑποδήματα εἰς τοὺς
πόδας, 23καὶ ἐνέγκαντες
τὸν μόσχον τὸν σιτευτὸν
θύσατε, καὶ φαγόντες
εὐφρανθῶμεν, 24ὅτι οὗτος ὁ υἱός
μου νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ
ἀπολωλὼς ἦν καὶ εὑρέ-
θη. καὶ ἤρξαντο εὐφραί-
νεσθαι. 25Ἦν δὲ ὁ υἱὸς
αὐτοῦ ὁ πρεσβύτερος ἐν
ἀγρῷ· καὶ ὡς ἐρχόμενος
ἤγγισε τῇ οἰκίᾳ, ἤκουσε
συμφωνίας καὶ χορῶν,

ind în desfrânare. 14Şi, cheltuind el
toate, s-a făcut foamete mare în
ţara aceea şi el a început să ducă
lipsă. 15Şi mergând, s-a alipit de
unul din locuitorii acelei ţări, şi
acela l-a trimis la ţarinile lui să pas-
că porcii. 16Şi dorea să-şi sature pântecele
din roşcovele pe care le mâncau porcii, şi
nimeni nu-i dădea. 17Dar, venindu-şi
în sine, a zis: La câţi argaţi ai tată-
lui meu nu le prisosesc pâinile,
iar eu pier de foame! 18Ridi-
cându-mă, voi merge la tatăl
meu şi-i voi zice: Tată, am greşit
la cer şi înaintea ta; 19nu mai sunt vrednic
să mă numesc fiul tău. Fă-mă ca pe
unul din argaţii tăi. 20Şi, ridicân-
du-se, a venit la tatăl său. Şi încă
departe fiind el, l-a văzut tatăl
său şi i s-a făcut milă şi, aler-
gând, a căzut pe grumazul lui şi
l-a sărutat. 21Şi i-a zis lui fiul: Tată, am
greşit la cer şi înaintea ta şi nu mai sunt
vrednic a mă chema fiul tău. 22Şi a zis ta-
tăl către robii săi: Scoateţi veş-
mântul cel dintâi şi îmbrăcaţi-l
pe el, şi daţi-i inel în mâna lui
şi încălţăminte în picioare, 23şi
aducând viţelul cel îngrăşat,
junghiaţi-l, şi mâncând, să ne
veselim; 24că acest fiu al meu
mort era şi a înviat, pierdut era şi s-a aflat.
Şi au început să se veselească. 25Iar fiul
lui cel mare era la
ţarină; şi când, ve-
nind, s-a apropiat de
casă, a auzit cântece
şi jocuri. 26Şi che-
mând la sine pe una
dintre slugi, a între-

26καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων
ἐπυνθάνετο τί εἴη ταῦτα. 27ὁ δὲ εἶπεν αὐτῷ ὅτι
ὁ ἀδελφός σου ἥκει καὶ ἔθυσεν ὁ πατήρ σου
τὸν μόσχον τὸν σιτευτόν, ὅτι ὑγιαίνοντα
αὐτὸν ἀπέλαβεν. 28ὠργίσθη δὲ καὶ
οὐκ ἤθελεν εἰσελθεῖν. ὁ οὖν πατὴρ
αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν. 29ὁ
δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· ἰδοὺ τοσαῦτα
ἔτη δουλεύω σοι καὶ οὐδέποτε ἐντολήν σου
παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον
ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ· 30ὅτε δὲ ὁ
υἱός σου οὗτος, ὁ καταφαγών σου τὸν βίον
μετὰ πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τὸν
μόσχον τὸν σιτευτόν. 31ὁ δὲ εἶπεν αὐτῷ·
τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάν-
τα τὰ ἐμὰ σά ἐστιν· 32εὐφρανθῆναι δὲ καὶ
χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος
νεκρὸς ἦν καὶ ἀνέζησε, καὶ ἀπολωλὼς ἦν
καὶ εὑρέθη.

bat ce sunt acestea. 27Iar acela i-a spus:
Fratele tău a venit, şi a junghiat tatăl tău
viţelul cel îngrăşat, pentru că l-a pri-
mit sănătos. 28Şi s-a mâniat, şi nu
voia să intre; deci tatăl său, ieşind,
îl ruga. 29Iar el, răspunzând, i-a zis
tatălui său: Iată, de atâţia ani îţi slu-
jesc şi niciodată n-am trecut peste po-
runca ta; şi mie niciodată nu mi-ai dat un
ied, ca să mă veselesc cu prietenii mei.
30Dar când acest fiu al tău, care ţi-a mân-
cat avuţia cu desfrânatele, a venit, i-ai
junghiat viţelul cel îngrăşat. 31Şi a
zis lui: Fiule, tu totdeauna eşti cu
mine şi toate ale mele ale tale sunt.
32Trebuia însă să ne veselim şi să
ne bucurăm, că fratele tău acesta
mort era şi a înviat, pierdut era şi
s-a aflat.

Κεφάλαιον Ις΄

Ἔλεγε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐ-
τοῦ· ἄνθρωπός τις ἦν πλούσιος, ὃς
εἶχεν οἰκονόμον, καὶ οὗτος διε-
βλήθη αὐτῷ ὡς διασκορπίζων τὰ
ὑπάρχοντα αὐτοῦ. 2καὶ φωνήσας
αὐτὸν εἶπεν αὐτῷ· τί τοῦτο ἀκούω
περὶ σοῦ; ἀπόδος τὸν λόγον τῆς
οἰκονομίας σου· οὐ γὰρ δύνῃ ἔτι οἰ-
κονομεῖν. 3εἶπε δὲ ἐν ἑαυτῷ ὁ οἰκονόμος· τί
ποιήσω, ὅτι ὁ κύριός μου ἀφαιρεῖται τὴν οἰ-
κονομίαν ἀπ' ἐμοῦ; σκάπτειν οὐκ ἰσχύω, ἐπαι-
τεῖν αἰσχύνομαι· 4ἔγνων τί ποιήσω, ἵνα, ὅταν
μετασταθῶ ἐκ τῆς οἰκονομίας, δέξωνταί με εἰς
τοὺς οἴκους ἑαυτῶν. 5καὶ προσκαλεσάμενος

Capitolul 16

Şi zicea şi către ucenicii Lui: Era un
om bogat care avea un iconom; şi
acesta a fost pârât lui că-i risipeşte
avuţiile. 2Şi chemându-l, i-a zis:
Ce este aceasta ce aud despre tine?
Dă-mi socoteală de iconomia ta;
căci nu mai poţi să fii iconom. 3Şi a
zis în sine iconomul: Ce voi face, că dom-
nul meu ia iconomia de la mine? Să sap,
nu pot; să cerşesc, mi-e ruşine. 4Ştiu ce voi
face, ca, atunci când voi fi scos din icono-
mie, să mă primească în casele lor. 5Şi che-
mând la sine, unul câte unul, pe datorni-
cii domnului său, a zis celui dintâi: Cât

ἕνα ἕκαστον τῶν χρεωφειλετῶν τοῦ κυρίου ἑαυτοῦ ἔλεγε τῷ πρώτῳ· πόσον ὀφείλεις σὺ τῷ κυρίῳ μου; 6ὁ δὲ εἶπεν· ἑκατὸν βάτους ἐλαίου. καὶ εἶπεν αὐτῷ· δέξαι σου τὸ γράμμα καὶ καθίσας ταχέως γράψον πεντήκοντα. 7ἔπειτα ἑτέρῳ εἶπε· σὺ δὲ πόσον ὀφείλεις; ὁ δὲ εἶπεν· ἑκατὸν κόρους σίτου. καὶ λέγει αὐτῷ· δέξαι σου τὸ γράμμα καὶ γράψον ὀγδοήκοντα. 8καὶ ἐπῄνεσεν ὁ κύριος τὸν οἰκονόμον τῆς ἀδικίας, ὅτι φρονίμως ἐποίησεν· ὅτι οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτὸς εἰς τὴν γενεὰν τὴν ἑαυτῶν εἰσι. 9κἀγὼ ὑμῖν λέγω· ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα, ὅταν ἐκλίπητε, δέξωνται ὑμᾶς εἰς τὰς αἰωνίους σκηνάς. 10ὁ πιστὸς ἐν ἐλαχίστῳ καὶ ἐν πολλῷ πιστός ἐστι, καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος καὶ ἐν πολλῷ ἄδικός ἐστιν. 11εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει; 12καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει; 13Οὐδεὶς οἰκέτης δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει. οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ.

Ἤκουον δὲ ταῦτα πάντα καὶ οἱ Φαρισαῖοι φιλάργυροι ὑπάρχοντες, καὶ ἐξεμυκτήριζον αὐτόν. 15καὶ εἶπεν αὐτοῖς· ὑμεῖς ἐστε οἱ δικαιοῦντες ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων, ὁ δὲ Θεὸς γινώσκει τὰς καρδίας ὑμῶν· ὅτι τὸ ἐν ἀνθρώποις ὑψηλὸν βδέλυγμα ἐνώπιον τοῦ Θεοῦ. 16 Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου· ἀπὸ τότε ἡ βασιλεία τοῦ Θεοῦ εὐαγγελίζεται, καὶ πᾶς εἰς αὐτὴν βιάζεται. 17εὐκοπώτερον δέ ἐστι τὸν οὐρανὸν καὶ τὴν γῆν παρελθεῖν ἢ τοῦ νόμου μίαν κεραίαν πεσεῖν. 18Πᾶς ὁ ἀπολύων τὴν γυναῖκα αὐτοῦ καὶ γαμῶν ἑτέραν μοιχεύει, καὶ πᾶς ὁ ἀπολελυμένην ἀπὸ ἀνδρὸς γαμῶν μοιχεύει.

datorezi tu domnului meu? 6Iar el a zis: O sută de măsuri de untdelemn. Şi a zis lui: Ia zapisul tău, aşază-te şi scrie degrabă cincizeci. 7După aceea a zis altuia: Dar tu, cât datorezi? Iar el i-a spus: O sută de măsuri de grâu. Şi i-a zis: Ia zapisul tău şi scrie optzeci. 8Şi a lăudat domnul pe iconomul nedreptăţii, căci înţelepţeşte a făcut; că fiii veacului acestuia sunt mai înţelepţi în neamul lor decât fiii luminii. 9Şi Eu zic vouă: Faceţi-vă prieteni prin mamona nedreptăţii, ca, atunci când veţi fi lipsiţi, ei să vă primească în corturile veşnice. 10Cel credincios în foarte puţin şi în mult este credincios; şi cel nedrept în foarte puţin şi în mult este nedrept. 11Deci, dacă întru mamona cel nedrept n-aţi fost credincioşi, bogăţia adevărată cine vă va încredinţa? 12Şi dacă în ceea ce este străin nu aţi fost credincioşi, ceea ce este al vostru cine vă va da? 13Nici o slugă nu poate să slujească la doi domni. Căci sau pe unul îl va urî şi pe celălalt îl va iubi, sau de unul se va ţine şi pe celălalt îl va dispreţui. Nu puteţi sluji lui Dumnezeu şi lui mamona.

Toate acestea le auzeau şi fariseii, care erau iubitori de argint, şi-L luau în râs. 15Şi le-a zis: Voi sunteţi cei ce vă îndreptăţiţi pe voi înşivă înaintea oamenilor, dar Dumnezeu cunoaşte inimile voastre; că ceea ce la oameni este înalt urâciune este înaintea lui Dumnezeu. 16Legea şi Proorocii sunt până la Ioan; de atunci Împărăţia lui Dumnezeu se binevesteşte, şi tot omul se sileşte spre ea. 17Dar mai lesne este să treacă cerul şi pământul, decât să cadă o cirtă din Lege. 18Tot cel care-şi lasă femeia şi se însoară cu alta, săvârşeşte adulter; şi tot cel care se însoară cu cea lăsată de bărbat săvârşeşte adulter.

ἀνθρωπος δέ τις ἦν πλούσιος, καὶ ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς. 20πτωχὸς δέ τις ἦν ὀνόματι Λάζαρος, ὃς ἐβέβλητο πρὸς τὸν πυλῶνα αὐτοῦ ἡλκωμένος 21καὶ ἐπιθυμῶν χορτασθῆναι ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τοῦ πλουσίου· ἀλλὰ καὶ οἱ κύνες ἐρχόμενοι ἀπέλειχον τὰ ἕλκη αὐτοῦ. 22ἐγένετο δὲ ἀποθανεῖν τὸν πτωχὸν καὶ ἀπενεχθῆναι αὐτὸν ὑπὸ τῶν ἀγγέλων εἰς τὸν κόλπον Ἀβραάμ· ἀπέθανε δὲ καὶ ὁ πλούσιος καὶ ἐτάφη. 23καὶ ἐν τῷ ᾅδῃ ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ, ὑπάρχων ἐν βασάνοις, ὁρᾷ τὸν Ἀβραὰμ ἀπὸ μακρόθεν καὶ Λάζαρον ἐν τοῖς κόλποις αὐτοῦ. 24καὶ αὐτὸς φωνήσας εἶπε· πάτερ Ἀβραάμ, ἐλέησόν με καὶ πέμψον Λάζαρον ἵνα βάψῃ τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ ὕδατος καὶ καταψύξῃ τὴν γλῶσσάν μου, ὅτι ὀδυνῶμαι ἐν τῇ φλογὶ ταύτῃ. 25εἶπε δὲ Ἀβραάμ· τέκνον, μνήσθητι ὅτι ἀπέλαβες σὺ τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, καὶ Λάζαρος ὁμοίως τὰ κακά· νῦν δὲ ὧδε παρακαλεῖται, σὺ δὲ ὀδυνᾶσαι· 26καὶ ἐπὶ πᾶσι τούτοις μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται, ὅπως οἱ θέλοντες διαβῆναι ἔνθεν πρὸς ὑμᾶς μὴ δύνωνται, μηδὲ οἱ ἐκεῖθεν πρὸς ἡμᾶς διαπερῶσιν. 27εἶπε δέ· ἐρωτῶ οὖν σε, πάτερ, ἵνα πέμψῃς αὐτὸν εἰς τὸν οἶκον τοῦ πατρός μου· 28ἔχω γὰρ πέντε ἀδελφούς· ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ καὶ αὐτοὶ ἔλθωσιν εἰς τὸν τόπον τοῦτον τῆς βασάνου. 29λέγει αὐτῷ Ἀβραάμ· ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν. 30ὁ δὲ εἶπεν· οὐχί, πάτερ Ἀβραάμ, ἀλλ' ἐάν τις ἀπὸ νεκρῶν πορευθῇ πρὸς αὐτούς, μετανοήσουσιν. 31εἶπε δὲ αὐτῷ· εἰ Μωϋσέως καὶ τῶν προφητῶν οὐκ ἀκούουσιν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ πεισθήσονται.

Era un om bogat şi se îmbrăca în porfiră şi în vison, veselindu-se în toate zilele în chip strălucit. 20Şi era un sărac cu numele Lazăr, care fusese aruncat la poarta lui, plin de bube, 21şi care poftea să se sature din fărâmiturile care cădeau de la masa bogatului; dar şi câinii, venind, îi lingeau bubele. 22Şi a fost că a murit săracul şi a fost dus de îngeri în sânul lui Avraam. A murit şi bogatul şi a fost îngropat. 23Şi în iad, fiind în chinuri, ridicându-şi ochii, a văzut de departe pe Avraam şi pe Lazăr în sânurile lui. 24Şi strigând el, a zis: Părinte Avraam, miluieşte-mă şi trimite pe Lazăr ca să-şi înmoaie vârful degetului în apă şi să-mi răcorească limba, că mă chinuiesc în această văpaie. 25Şi a zis Avraam: Fiule, adu-ţi aminte că tu ai primit cele bune ale tale în viaţa ta, şi Lazăr, asemenea, pe cele rele; iar acum, aici, el se mângâie, iar tu te chinuieşti. 26Şi peste toate acestea, între noi şi voi prăpastie mare s-a întărit, ca cei care voiesc să treacă de aici la voi să nu poată, nici cei de acolo să treacă la noi. 27Iar el a zis: Rogu-te, dar, părinte, să-l trimiţi în casa tatălui meu, 28căci am cinci fraţi, ca să le dea mărturie, să nu vină şi ei în locul acesta de chin. 29Şi i-a zis Avraam: Au pe Moise şi pe prooroci; să asculte de ei. 30Iar el a zis: Nu, părinte Avraam, ci, dacă cineva dintre morţi va merge la ei, se vor pocăi. 31Şi i-a zis lui: Dacă de Moise şi de prooroci nu ascultă, nici dacă cineva ar învia din morţi nu vor crede.

Κεφάλαιον ΙΖ΄

Εἶπε δὲ καὶ πρὸς τοὺς μαθητὰς αὐτοῦ· ἀνένδεκτόν ἐστι τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα· οὐαὶ δὲ δι' οὗ ἔρχεται. 2λυσιτελεῖ αὐτῷ εἰ λίθος μυλικὸς περίκειται περὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔρριπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων. 3προσέχετε ἑαυτοῖς. ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ· καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ· 4καὶ ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σὲ καὶ ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ πρὸς σὲ λέγων, μετανοῶ, ἀφήσεις αὐτῷ. 5Καὶ εἶπον οἱ ἀπόστολοι τῷ Κυρίῳ· πρόσθες ἡμῖν πίστιν. 6εἶπε δὲ ὁ Κύριος· εἰ ἔχετε πίστιν ὡς κόκκον σινάπεως, ἐλέγετε ἂν τῇ συκαμίνῳ ταύτῃ, ἐκριζώθητι καὶ φυτεύθητι ἐν τῇ θαλάσσῃ, καὶ ὑπήκουσεν ἂν ὑμῖν. 7Τίς δὲ ἐξ ὑμῶν δοῦλον ἔχων ἀροτριῶντα ἢ ποιμαίνοντα, ὃς εἰσελθόντι ἐκ τοῦ ἀγροῦ ἐρεῖ, εὐθέως παρελθὼν ἀνάπεσε, 8ἀλλ' οὐχὶ ἐρεῖ αὐτῷ· ἑτοίμασον τί δειπνήσω, καὶ περιζωσάμενος διακόνει μοι ἕως φάγω καὶ πίω, καὶ μετὰ ταῦτα φάγεσαι καὶ πίεσαι σύ; 9μὴ χάριν ἔχει τῷ δούλῳ ἐκείνῳ ὅτι ἐποίησε τὰ διαταχθέντα; οὐ δοκῶ. 10οὕτω καὶ ὑμεῖς, ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε ὅτι δοῦλοι ἀχρεῖοί ἐσμεν, ὅτι ὃ ὠφείλομεν ποιῆσαι πεποιήκαμεν.

Καὶ ἐγένετο ἐν τῷ πορεύεσθαι αὐτὸν εἰς Ἰερουσαλὴμ καὶ αὐτὸς διήρχετο διὰ μέσου Σαμαρείας καὶ Γαλιλαίας. 12καὶ εἰσερχομένου αὐτοῦ εἴς τινα κώμην ἀπήντησαν αὐτῷ δέκα λεπροὶ ἄνδρες, οἳ ἔστησαν πόρρωθεν, 13καὶ αὐτοὶ ἦραν φωνὴν λέγοντες· Ἰησοῦ ἐπιστάτα, ἐλέησον ἡμᾶς. 14καὶ ἰδὼν εἶπεν αὐτοῖς· πορευ-

Capitolul 17

Şi zicea şi către ucenicii Săi: Cu neputinţă este să nu vină smintelile; dar vai aceluia prin care ele vin! 2Mai bine i-ar fi dacă i s-ar pune de gât o piatră de moară şi ar fi aruncat în mare, decât să smintească pe unul din aceştia mici. 3Luaţi aminte la voi înşivă. Dacă-ţi păcătuieşte ţie fratele tău, dojeneşte-l; şi dacă se va pocăi, iartă-i lui. 4Şi chiar dacă de şapte ori pe zi îţi va păcătui ţie, şi de şapte ori pe zi se va întoarce către tine, zicând: Mă căiesc, iartă-i lui. 5Şi au zis apostolii către Domnul: Adaugă-ne credinţă. 6Şi a zis Domnul: Dacă aţi avea credinţă cât un grăunte de muştar, aţi zice acestui sicomor: Smulge-te din rădăcină şi sădeşte-te în mare! şi v-ar asculta. 7Cine dintre voi, rob având la arat sau la păscut, când acela intră în casă de la ţarină îi va spune: Apropie-te îndată şi şezi la masă? 8Oare nu-i va zice: Pregăteşte-mi ce să cinez şi, încingându-te, slujeşte-mi, până ce mănânc şi beau, şi după aceea vei mânca şi vei bea tu? 9Oare, va mulţumi robului aceluia că a făcut cele poruncite? Nu Mi se pare. 10Aşa şi voi, când veţi face toate cele poruncite vouă, ziceţi: Robi netrebnici suntem, că ce suntem datori să facem am făcut.

Şi a fost pe când mergea El spre Ierusalim, că trecea prin mijlocul Samariei şi Galileii. 12Şi intrând El într-un sat, L-au întâmpinat zece bărbaţi leproşi, care stăteau departe; 13şi aceştia au ridicat glasul, zicând: Iisuse, Învăţătorule, miluieşte-ne pe noi! 14Şi văzându-i, le-a zis: Mergeţi şi ară-

θέντες ἐπιδείξατε ἑαυτοὺς τοῖς ἱερεῦσι. καὶ ἐγένετο ἐν τῷ ὑπάγειν αὐτοὺς ἐκαθαρίσθησαν. 15εἷς δὲ ἐξ αὐτῶν, ἰδὼν ὅτι ἰάθη, ὑπέστρεψε μετὰ φωνῆς μεγάλης δοξάζων τὸν Θεόν, 16καὶ ἔπεσεν ἐπὶ πρόσωπον παρὰ τοὺς πόδας αὐτοῦ εὐχαριστῶν αὐτῷ· καὶ αὐτὸς ἦν Σαμαρείτης. 17ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· οὐχὶ οἱ δέκα ἐκαθαρίσθησαν; οἱ δὲ ἐννέα ποῦ; 18οὐχ εὑρέθησαν ὑποστρέψαντες δοῦναι δόξαν τῷ Θεῷ εἰ μὴ ὁ ἀλλογενὴς οὗτος; 19καὶ εἶπεν αὐτῷ· ἀναστὰς πορεύου· ἡ πίστις σου σέσωκέ σε.

Ἐπερωτηθεὶς δὲ ὑπὸ τῶν Φαρισαίων πότε ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ, ἀπεκρίθη αὐτοῖς καὶ εἶπεν· οὐκ ἔρχεται ἡ βασιλεία τοῦ Θεοῦ μετὰ παρατηρήσεως, 21οὐδὲ ἐροῦσιν· ἰδοὺ ὧδε ἢ· ἰδοὺ ἐκεῖ· ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν. 22Εἶπε δὲ πρὸς τοὺς μαθητάς· ἐλεύσονται ἡμέραι ὅτε ἐπιθυμήσετε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν, καὶ οὐκ ὄψεσθε. 23καὶ ἐροῦσιν ὑμῖν· ἰδοὺ ὧδε, ἰδοὺ ἐκεῖ· μὴ ἀπέλθητε μηδὲ διώξητε. 24ὥσπερ γὰρ ἡ ἀστραπὴ ἀστράπτουσα ἐκ τῆς ὑπ᾽ οὐρανὸν εἰς τὴν ὑπ᾽ οὐρανὸν λάμπει, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ ἡμέρᾳ αὐτοῦ. 25πρῶτον δὲ δεῖ αὐτὸν πολλὰ παθεῖν καὶ ἀποδοκιμασθῆναι ἀπὸ τῆς γενεᾶς ταύτης. 26καὶ καθὼς ἐγένετο ἐν ταῖς ἡμέραις Νῶε, οὕτως ἔσται καὶ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ τοῦ ἀνθρώπου· 27ἤσθιον, ἔπινον, ἐγάμουν, ἐξεγαμίζοντο, ἄχρι ἧς ἡμέρας εἰσῆλθε Νῶε εἰς τὴν κιβωτόν, καὶ ἦλθεν ὁ κατακλυσμὸς καὶ ἀπώλεσεν ἅπαντας. 28ὁμοίως καὶ ὡς ἐγένετο ἐν ταῖς ἡμέραις Λώτ· ἤσθιον, ἔπινον, ἠγόραζον, ἐπώλουν, ἐφύτευον, ᾠκοδόμουν· 29ᾗ δὲ ἡμέρᾳ ἐξῆλθε Λὼτ ἀπὸ Σοδόμων, ἔβρεξε πῦρ καὶ θεῖον ἀπ᾽ οὐρανοῦ καὶ ἀπώλεσεν ἅπαντας. 30κατὰ τὰ αὐτὰ ἔσται ᾗ ἡμέρᾳ ὁ υἱὸς τοῦ ἀνθρώπου ἀποκαλύπτεται. 31ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὃς ἔσται ἐπὶ τοῦ δώματος καὶ τὰ σκεύη αὐτοῦ ἐν τῇ οἰκίᾳ, μὴ καταβάτω ἆραι αὐτά,

taţi-vă preoţilor. Şi a fost că, pe când mergeau ei, s-au curăţit. 15Iar unul dintre ei, văzând că s-a vindecat, s-a întors, cu glas mare slăvind pe Dumnezeu, 16şi a căzut cu faţa la picioarele lui Iisus, mulţumindu-I; şi acesta era samarinean. 17Şi răspunzând Iisus, a zis: Nu zece s-au curăţit? Dar cei nouă unde sunt? 18Nu s-au aflat să se întoarcă să dea slavă lui Dumnezeu, fără numai acesta de alt neam? 19Şi i-a zis lui: Ridică-te şi du-te! Credinţa ta te-a mântuit.

Şi întrebat de farisei când vine Împărăţia lui Dumnezeu, le-a răspuns şi a zis: Împărăţia lui Dumnezeu nu vine la vedere. 21Nici nu vor zice: Iat-o aici! sau: Iat-o acolo! Căci, iată, Împărăţia lui Dumnezeu înăuntrul vostru este. 22Şi a zis către ucenici: Vor veni zile când veţi dori să vedeţi una din zilele Fiului Omului, şi nu veţi vedea. 23Şi vă vor zice: Iat-o aici! Iat-o acolo! Nu vă duceţi, nici nu vă luaţi după ei. 24Căci după cum fulgerul, fulgerând, luminează dintr-o parte de sub cer până la cealaltă parte de sub cer, aşa va fi şi Fiul Omului în ziua Sa. 25Dar mai întâi trebuie ca El să pătimească multe şi să fie nesocotit de neamul acesta. 26Şi precum a fost în zilele lui Noe, tot aşa va fi şi în zilele Fiului Omului: 27Mâncau, beau, se însurau, se măritau până în ziua în care a intrat Noe în chivot şi a venit potopul şi i-a dat pierzării pe toţi. 28Asemenea şi cum a fost în zilele lui Lot: mâncau, beau, cumpărau, vindeau, săDeau, zideau; 29iar în ziua în care a ieşit Lot din Sodoma a plouat foc şi pucioasă din cer şi i-a dat pierzării pe toţi. 30Întocmai cu acestea va fi în ziua în care Fiul Omului Se va descoperi. 31În ziua aceea, cel care va fi pe acoperişul casei, iar vasele lui în casă, să

καὶ ὁ ἐν τῷ ἀγρῷ ὁμοίως μὴ ἐπιστρεψάτω εἰς τὰ ὀπίσω. 32μνημονεύετε τῆς γυναικὸς Λώτ. 33ὃς ἐὰν ζητήσῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν, καὶ ὃς ἐὰν ἀπολέσῃ αὐτήν, ζωογονήσει αὐτήν. 34λέγω ὑμῖν, ταύτῃ τῇ νυκτὶ δύο ἔσονται ἐπὶ κλίνης μιᾶς, εἷς παραληφθήσεται καὶ ὁ ἕτερος ἀφεθήσεται· 35δύο ἔσονται ἀλήθουσαι ἐπὶ τὸ αὐτό, μία παραληφθήσεται καὶ ἡ ἑτέρα ἀφεθήσεται· 36δύο ἐν τῷ ἀγρῷ, εἷς παραληφθήσεται καὶ ὁ ἕτερος ἀφεθήσεται. 37καὶ ἀποκριθέντες λέγουσιν αὐτῷ· ποῦ, Κύριε; ὁ δὲ εἶπεν αὐτοῖς· ὅπου τὸ σῶμα, ἐκεῖ ἐπισυναχθήσονται καὶ οἱ ἀετοί.

nu se coboare să le ia; şi cel ce va fi în ţarină, asemenea, să nu se întoarcă înapoi. 32Aduceţi-vă aminte de femeia lui Lot. 33Cine va căuta să-şi mântuiască sufletul, îl va pierde; şi cine îl va pierde, acela îl va naşte la viaţă. 34Zic vouă: În acea noapte vor fi doi într-un pat; unul se va lua şi celălalt se va lăsa; 35două vor măcina la un loc; una se va lua şi cealaltă se va lăsa; 36doi vor fi în ţarină; unul se va lua şi celălalt se va lăsa. 37Şi răspunzând, I-au zis: Unde, Doamne? Iar El le-a zis: Unde este stârvul, acolo se vor aduna şi vulturii.

Κεφάλαιον ΙΗ΄

Ἔλεγε δὲ καὶ παραβολὴν αὐτοῖς πρὸς τὸ δεῖν πάντοτε προσεύχεσθαι αὐτοὺς καὶ μὴ ἐκκακεῖν, 2λέγων· κριτής τις ἦν ἔν τινι πόλει τὸν Θεὸν μὴ φοβούμενος καὶ ἄνθρωπον μὴ ἐντρεπόμενος. 3χήρα δὲ ἦν ἐν τῇ πόλει ἐκείνῃ, καὶ ἤρχετο πρὸς αὐτὸν λέγουσα· ἐκδίκησόν με ἀπὸ τοῦ ἀντιδίκου μου. 4καὶ οὐκ ἠθέλησεν ἐπὶ χρόνον· μετὰ δὲ ταῦτα εἶπεν ἐν ἑαυτῷ· εἰ καὶ τὸν Θεὸν οὐ φοβοῦμαι καὶ ἄνθρωπον οὐκ ἐντρέπομαι, 5διά γε τὸ παρέχειν μοι κόπον τὴν χήραν ταύτην ἐκδικήσω αὐτήν, ἵνα μὴ εἰς τέλος ἐρχομένη ὑποπιάζῃ με. 6εἶπε δὲ ὁ Κύριος· ἀκούσατε τί ὁ κριτὴς τῆς ἀδικίας λέγει· 7ὁ δὲ Θεὸς οὐ μὴ ποιήσῃ τὴν ἐκδίκησιν τῶν ἐκλεκτῶν αὐτοῦ τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός, καὶ μακροθυμῶν ἐπ' αὐτοῖς; 8λέγω ὑμῖν ὅτι ποιήσει τὴν ἐκδίκησιν

Capitolul 18

Şi le-a spus lor şi o pildă cum că trebuie totdeauna să se roage şi să nu-şi piardă curajul, 2zicând: Era un judecător într-o cetate, care de Dumnezeu nu se temea şi de om nu se ruşina; 3şi era o văduvă în cetatea aceea, şi venea la el, zicând: Fă-mi dreptate faţă de potrivnicul meu. 4Şi un timp n-a voit, dar după aceea a zis întru sine: Chiar dacă de Dumnezeu nu mă tem şi de om nu mă ruşinez, 5pentru că văduva aceasta îmi face supărare, îi voi face dreptate, ca să nu vină mereu să mă necăjească. 6Şi a zis Domnul: Auziţi ce spune judecătorul nedreptăţii! 7Dar Dumnezeu nu va face, oare, dreptate aleşilor Săi care strigă către El ziua şi noaptea, fiind lor îndelung-răbdător? 8Zic vouă că le va face degrabă

αὐτῶν ἐν τάχει. πλὴν ὁ υἱὸς τοῦ ἀνθρώπου
ἐλθὼν ἆρα εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;
Εἶπε δὲ καὶ πρός τινας τοὺς πεποιθότας
ἐφ' ἑαυτοῖς ὅτι εἰσὶ δίκαιοι, καὶ ἐξουθε-
νοῦντας τοὺς λοιπούς, τὴν παραβολὴν ταύ-
την· 10ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερὸν
προσεύξασθαι, ὁ εἷς Φαρισαῖος καὶ ὁ ἕτερος
τελώνης. 11ὁ Φαρισαῖος σταθεὶς πρὸς ἑαυτὸν
ταῦτα προσηύχετο· ὁ Θεός, εὐχαριστῶ σοι
ὅτι οὐκ εἰμὶ ὥσπερ οἱ λοιποὶ τῶν ἀνθρώπων,
ἅρπαγες, ἄδικοι, μοιχοί, ἢ καὶ ὡς οὗτος ὁ τελώ-
νης· 12νηστεύω δὶς τοῦ σαββάτου, ἀποδεκατῶ
πάντα ὅσα κτῶμαι. 13καὶ ὁ τελώνης μακρόθεν
ἑστὼς οὐκ ἤθελεν οὐδὲ τοὺς ὀφθαλμοὺς
εἰς τὸν οὐρανὸν ἐπᾶραι, ἀλλ' ἔτυπτεν εἰς τὸ
στῆθος αὐτοῦ λέγων· ὁ Θεός, ἱλάσθητί μοι τῷ
ἁμαρτωλῷ. 14λέγω ὑμῖν, κατέβη οὗτος δεδι-
καιωμένος εἰς τὸν οἶκον αὐτοῦ ἢ γὰρ ἐκεῖνος·
ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ
ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.
Προσέφερον δὲ αὐτῷ καὶ τὰ βρέφη ἵνα αὐ-
τῶν ἅπτηται· καὶ ἰδόντες οἱ μαθηταὶ ἐπε-
τίμησαν αὐτοῖς. 16ὁ δὲ Ἰησοῦς προσκαλεσάμε-
νος αὐτὰ εἶπεν· ἄφετε τὰ παιδία ἔρχεσθαι πρός
με καὶ μὴ κωλύετε αὐτά· τῶν γὰρ τοιούτων
ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. 17ἀμὴν λέγω ὑμῖν,
ὃς ἐὰν μὴ δέξηται τὴν βασιλείαν τοῦ Θεοῦ ὡς
παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν.
Καὶ ἐπηρώτησέ τις αὐτὸν ἄρχων λέγων· δι-
δάσκαλε ἀγαθέ, τί ποιήσας ζωὴν αἰώνιον
κληρονομήσω; 19εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· τί
με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ
Θεός. 20τὰς ἐντολὰς οἶδας· *μὴ μοιχεύσῃς, μὴ*
φονεύσῃς, μὴ κλέψῃς, μὴ ψευδομαρτυρήσῃς,
τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. 21ὁ
δὲ εἶπε· ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός
μου. 22ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς εἶπεν αὐτῷ·
ἔτι ἕν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον καὶ
διάδος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐ-
ρανῷ, καὶ δεῦρο ἀκολούθει μοι. 23ὁ δὲ ἀκού-

dreptate. Dar Fiul Omului, când va veni,
va găsi, oare, credinţă pe pământ?
Şi a zis către unii care erau încredinţaţi
despre ei înşişi că sunt drepţi şi care îi
disprețuiau pe ceilalţi pilda aceasta: 10Doi
oameni s-au suit la templu, ca să se roa-
ge: unul fariseu şi celălalt vameş. 11Fari-
seul, stând, se ruga în sine acestea: Dum-
nezeule, Îţi mulţumesc Ţie că nu sunt ca
ceilalţi oameni, hrăpăreţi, nedrepţi, adul-
teri, sau chiar ca acest vameş. 12Postesc
de două ori pe săptămână, dau zeciuială
din toate câte câştig. 13Şi vameşul, depar-
te stând, nu voia nici să-şi ridice ochii la
cer, ci se lovea în pieptul său, zicând:
Dumnezeule, milostiv fii mie, păcătosului.
14Zic vouă: Acesta s-a coborât îndreptat
la casa sa, mai degrabă decât acela; fiind-
că tot cel ce se înalţă pe sine se va smeri,
iar cel ce se smereşte pe sine se va înălţa.
Şi aduceau la El şi pruncii, ca să Se atin-
gă de ei; şi văzând ucenicii, i-au cer-
tat. 16Iar Iisus, chemându-i la Sine, a zis:
Lăsaţi copiii să vină la Mine şi nu-i îm-
piedicaţi; căci a unora ca aceştia este Îm-
părăţia lui Dumnezeu. 17Amin zic vouă:
Cine nu va primi Împărăţia lui Dumnezeu
ca un copil nu va intra în ea.
Şi L-a întrebat pe El un dregător, zi-
când: Bunule Învăţător, ce să fac ca să
moştenesc viaţa veşnică? 19Şi i-a zis Iisus:
De ce Îmi zici bun? Nimeni nu este bun,
decât Unul Dumnezeu. 20Ştii poruncile:
Să nu săvârşeşti adulter, să nu ucizi, să nu
furi, să nu mărturiseşti strâmb, cinsteşte pe
tatăl tău şi pe mama ta. 21Iar el a zis: Toate
acestea le-am păzit din tinereţea mea. 22Şi
auzind acestea, Iisus i-a zis: Încă un lucru
îţi lipseşte: Vinde toate câte ai şi împar-
te săracilor şi vei avea comoară în cer; şi

σας ταῦτα περίλυπος ἐγένετο· ἦν γὰρ πλούσιος σφόδρα. 24ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον εἶπε· πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ· 25εὐκοπώτερον γάρ ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. 26εἶπον δὲ οἱ ἀκούσαντες· καὶ τίς δύναται σωθῆναι; 27ὁ δὲ εἶπε· τὰ ἀδύνατα παρὰ ἀνθρώποις δυνατὰ παρὰ τῷ Θεῷ ἐστιν. 28Εἶπε δὲ ὁ Πέτρος· ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι. 29ὁ δὲ εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰκίαν ἢ γονεῖς ἢ ἀδελφοὺς ἢ γυναῖκα ἢ τέκνα ἕνεκεν τῆς βασιλείας τοῦ Θεοῦ, 30ὃς οὐ μὴ ἀπολάβῃ πολλαπλασίονα ἐν τῷ καιρῷ τούτῳ καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον.

Παραλαβὼν δὲ τοὺς δώδεκα εἶπε πρὸς αὐτούς· ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα καὶ τελειωθήσεται πάντα τὰ γεγραμμένα διὰ τῶν προφητῶν τῷ υἱῷ τοῦ ἀνθρώπου. 32παραδοθήσεται γὰρ τοῖς ἔθνεσι καὶ ἐμπαιχθήσεται καὶ ὑβρισθήσεται καὶ ἐμπτυσθήσεται, 33καὶ μαστιγώσαντες ἀποκτενοῦσιν αὐτόν, καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστήσεται. 34καὶ αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ ἦν τὸ ῥῆμα τοῦτο κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγόμενα.

Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἰεριχὼ τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν· 36ἀκούσας δὲ ὄχλου διαπορευομένου ἐπυνθάνετο τί εἴη ταῦτα. 37ἀπήγγειλαν δὲ αὐτῷ ὅτι Ἰησοῦς ὁ Ναζωραῖος παρέρχεται. 38καὶ ἐβόησε λέγων· Ἰησοῦ υἱὲ Δαυίδ, ἐλέησόν με. 39καὶ οἱ προάγοντες ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ· αὐτὸς δὲ πολλῷ μᾶλλον ἔκραζεν· υἱὲ Δαυίδ, ἐλέησόν με. 40σταθεὶς δὲ ὁ Ἰησοῦς ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν. ἐγγίσαντος δὲ αὐτοῦ ἐπηρώτησεν αὐτὸν 41λέγων· τί σοι

vino, urmează Mie. 23Iar el, auzind acestea, tare s-a întristat; că era bogat foarte. 24Şi Iisus, văzându-l întristat tare, a zis: Cât de greu vor intra cei care au avuții în Împărăția lui Dumnezeu! 25Că mai lesne este cămilei să intre prin urechile acului decât bogatului să intre în Împărăția lui Dumnezeu. 26Şi au zis cei ce ascultau: Şi cine poate să se mântuiască? 27Iar El a zis: Cele cu neputință la oameni sunt cu putință la Dumnezeu. 28Iar Petru a zis: Iată, noi am lăsat toate şi am urmat Ție. 29Şi El le-a zis: Amin zic vouă, că nu este nici unul care a lăsat casă, sau părinți, sau frați, sau femeie, sau copii, pentru Împărăția lui Dumnezeu, 30care să nu primească cu mult mai mult în vremea aceasta, iar în veacul ce va să vină viață veşnică.

Şi luând la Sine pe cei doisprezece, a zis către ei: Iată, ne suim la Ierusalim şi se vor împlini Fiului Omului toate cele scrise prin prooroci. 32Căci Se va da neamurilor şi va fi batjocorit şi va fi ocărât şi va fi scuipat. 33Şi biciuindu-L, Îl vor omorî, şi a treia zi va învia. 34Şi ei n-au priceput nimic din acestea; şi era cuvântul acesta ascuns pentru ei şi nu cunoşteau cele spuse.

Şi a fost când S-a apropiat Iisus de Ierihon, că un orb şedea lângă drum, cerşind. 36Şi, auzind el mulțime trecând, întreba ce sunt acestea. 37Şi i-au vestit că Iisus Nazarineanul trece pe acolo. 38Şi el a strigat, zicând: Iisuse, Fiul lui David, miluieşte-mă! 39Şi cei care mergeau înainte îl certau ca să tacă; iar el mai mult striga: Fiul lui David, miluieşte-mă! 40Şi Iisus, oprindu-Se, a poruncit să-l aducă la El; şi după ce s-a apropiat, l-a întrebat 41zicând: Ce voieşti să-ți fac? Iar el a zis: Doamne,

θέλεις ποιήσω; ὁ δὲ εἶπε· Κύριε, ἵνα ἀναβλέψω. 42καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ· ἀνάβλεψον· ἡ πίστις σου σέσωκέ σε. 43καὶ παραχρῆμα ἀνέβλεψε, καὶ ἠκολούθει αὐτῷ δοξάζων τὸν Θεόν· καὶ πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν αἶνον τῷ Θεῷ.

să văd iarăşi! 42Şi Iisus i-a zis lui: Vezi! Credinţa ta te-a mântuit. 43Şi îndată a văzut şi a urmat Lui, slăvind pe Dumnezeu. Şi tot poporul, văzând, a dat laudă lui Dumnezeu.

Κεφάλαιον ΙΘ΄

Καὶ εἰσελθὼν διήρχετο τὴν Ἰεριχώ· 2καὶ ἰδοὺ ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος, καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν πλούσιος, 3καὶ ἐζήτει ἰδεῖν τὸν Ἰησοῦν τίς ἐστι, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχλου, ὅτι τῇ ἡλικίᾳ μικρὸς ἦν. 4καὶ προδραμὼν ἔμπροσθεν ἀνέβη ἐπὶ συκομορέαν, ἵνα ἴδῃ αὐτόν, ὅτι ἐκείνης ἤμελλε διέρχεσθαι. 5καὶ ὡς ἦλθεν ἐπὶ τὸν τόπον, ἀναβλέψας ὁ Ἰησοῦς εἶδεν αὐτὸν καὶ εἶπε πρὸς αὐτόν· Ζακχαῖε, σπεύσας κατάβηθι· σήμερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι. 6καὶ σπεύσας κατέβη, καὶ ὑπεδέξατο αὐτὸν χαίρων. 7καὶ ἰδόντες πάντες διεγόγγυζον λέγοντες ὅτι παρὰ ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε καταλῦσαι. 8σταθεὶς δὲ Ζακχαῖος εἶπε πρὸς τὸν Κύριον· ἰδοὺ τὰ ἡμίσιά μου τῶν ὑπαρχόντων, Κύριε, δίδωμι τοῖς πτωχοῖς, καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν. 9εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἰησοῦς ὅτι σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι καὶ αὐτὸς υἱὸς Ἀβραάμ ἐστιν. 10ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός.

Capitolul 19

Şi intrând, trecea prin Ierihon. 2Şi iată un bărbat chemându-se pe nume Zaheu, şi el era mai-marele vameşilor, şi acesta era bogat. 3Şi căuta să vadă pe Iisus, Cine este, şi nu putea de mulţime, pentru că era mic de statură. 4Şi alergând înainte, s-a suit într-un sicomor ca să-L vadă, căci pe acolo avea să treacă. 5Şi când a venit la locul acela, Iisus, privind în sus, l-a văzut şi a zis către el: Zaheu, grăbeşte de coboară; căci astăzi Eu trebuie să rămân în casa ta. 6Şi grăbindu-se, a coborât şi L-a primit, bucurându-se. 7Şi văzând, toţi murmurau, zicând că a intrat să găzduiască la un bărbat păcătos. 8Iar Zaheu, stând, a zis către Domnul: Iată, jumătate din averile mele, Doamne, le dau săracilor şi, dacă am năpăstuit pe cineva cu ceva, întorc împătrit. 9Şi a zis către el Iisus: Astăzi s-a făcut mântuire casei acesteia, pentru că şi acesta este fiu al lui Avraam. 10Căci Fiul Omului a venit să caute şi să mântuiască pe cel pierdut.

ἀκουόντων δὲ αὐτῶν ταῦτα προσθεὶς εἶπε παραβολήν, διὰ τὸ ἐγγὺς αὐτὸν εἶναι Ἰερουσαλὴμ καὶ δοκεῖν αὐτοὺς ὅτι παραχρῆμα μέλλει ἡ βασιλεία τοῦ Θεοῦ ἀναφαίνεσθαι· 12εἶπεν οὖν· ἄνθρωπός τις εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν καὶ ὑποστρέψαι. 13καλέσας δὲ δέκα δούλους ἑαυτοῦ ἔδωκεν αὐτοῖς δέκα μνᾶς καὶ εἶπε πρὸς αὐτούς· πραγματεύσασθε ἐν ᾧ ἔρχομαι. 14οἱ δὲ πολῖται αὐτοῦ ἐμίσουν αὐτόν, καὶ ἀπέστειλαν πρεσβείαν ὀπίσω αὐτοῦ λέγοντες· οὐ θέλομεν τοῦτον βασιλεῦσαι ἐφ' ἡμᾶς. 15καὶ ἐγένετο ἐν τῷ ἐπανελθεῖν αὐτὸν λαβόντα τὴν βασιλείαν, καὶ εἶπε φωνηθῆναι αὐτῷ τοὺς δούλους τούτους οἷς ἔδωκε τὸ ἀργύριον, ἵνα ἐπιγνῷ τίς τί διεπραγματεύσατο. 16παρεγένετο δὲ ὁ πρῶτος λέγων· κύριε, ἡ μνᾶ σου προσειργάσατο δέκα μνᾶς. 17καὶ εἶπεν αὐτῷ· εὖ, ἀγαθὲ δοῦλε, ὅτι ἐν ἐλαχίστῳ πιστὸς ἐγένου, ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων. 18καὶ ἦλθεν ὁ δεύτερος λέγων· κύριε, ἡ μνᾶ σου ἐποίησε πέντε μνᾶς. 19εἶπε δὲ καὶ τούτῳ· καὶ σὺ γίνου ἐπάνω πέντε πόλεων. 20καὶ ἕτερος ἦλθε λέγων· κύριε, ἰδοὺ ἡ μνᾶ σου, ἣν εἶχον ἀποκειμένην ἐν σουδαρίῳ. 21ἐφοβούμην γάρ σε, ὅτι ἄνθρωπος αὐστηρὸς εἶ· αἴρεις ὃ οὐκ ἔθηκας, καὶ θερίζεις ὃ οὐκ ἔσπειρας, καὶ συνάγεις ὅθεν οὐ διεσκόρπισας. 22λέγει αὐτῷ· ἐκ τοῦ στόματός σου κρινῶ σε, πονηρὲ δοῦλε. ᾔδεις ὅτι ἄνθρωπος αὐστηρός εἰμι ἐγώ, αἴρων ὃ οὐκ ἔθηκα, καὶ θερίζων ὃ οὐκ ἔσπειρα, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισα· 23καὶ διατί οὐκ ἔδωκας τὸ ἀργύριόν μου ἐπὶ τὴν τράπεζαν, καὶ ἐγὼ ἐλθὼν σὺν τόκῳ ἂν ἔπραξα αὐτό; 24καὶ τοῖς παρεστῶσιν εἶπεν· ἄρατε ἀπ' αὐτοῦ τὴν μνᾶν καὶ δότε τῷ τὰς δέκα μνᾶς ἔχοντι. 25καὶ εἶπον αὐτῷ· κύριε, ἔχει δέκα μνᾶς. 26λέγω γὰρ ὑμῖν ὅτι παντὶ τῷ ἔχοντι δοθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. 27πλὴν τοὺς ἐχθρούς μου ἐκείνους, τοὺς μὴ θελήσαντάς με βασιλεῦσαι

Şi auzind ei acestea, adăugând, a mai spus o pildă, pentru că El era aproape de Ierusalim şi lor li se părea că Împărăţia lui Dumnezeu are să se arate îndată. 12Deci a zis: Un om de neam bun s-a dus într-o ţară îndepărtată să-şi ia împărăţie şi să se întoarcă. 13Şi chemând zece robi ai săi, le-a dat zece mine şi a zis către ei: Neguţătoriţi cu ele până ce voi veni! 14Dar cetăţenii lui îl urau şi au trimis solie în urma lui, zicând: Nu voim ca el să împărăţească peste noi. 15Şi a fost, când s-a întors el, după ce a luat împărăţia, că a zis să-i cheme la el pe robii aceia cărora le dăduse argintul, ca să afle cinc ce a neguţătorit. 16Şi s-a înfăţişat cel dintâi, zicând: Doamne, mina ta a lucrat zece mine. 17Şi i-a zis: Bine, rob bun; pentru că întru puţin ai fost credincios, să ai stăpânire peste zece cetăţi. 18Şi a venit al doilea, zicând: Mina ta, doamne, a făcut cinci mine. 19Şi i-a zis şi acestuia: Şi tu să fii peste cinci cetăţi. 20A venit şi altul, zicând: Doamne, iată mina ta, pe care am avut-o pusă într-o mahramă, 21că mă temeam de tine, că eşti om aspru; iei ce n-ai pus şi seceri ce n-ai semănat şi aduni de unde nu ai risipit. 22A zis lui: Din gura ta te voi judeca, rob viclean. Ai ştiut că sunt om aspru, luând ceea ce nu am pus şi secerând ceea ce nu am semănat şi adunând de unde nu am risipit; 23şi pentru ce nu ai dat argintul meu la masa zarafilor, iar eu, venind, să-l fi luat cu dobândă? 24Şi celor de faţă le-a zis: Luaţi de la el mina şi daţi-o celui ce are zece mine. 25Şi i-au zis: Doamne, are zece mine. 26Zic vouă: Tot celui ce are i se va da, iar de la cel ce nu are şi ce are se va lua de la el. 27Iar pe acei vrăjmaşi ai mei,

ἐπ᾽ αὐτούς, ἀγάγετε ὧδε καὶ κατασφάξατε αὐτοὺς ἔμπροσθέν μου.

Καὶ εἰπὼν ταῦτα ἐπορεύετο ἔμπροσθεν ἀναβαίνων εἰς Ἰεροσόλυμα. 29καὶ ἐγένετο ὡς ἤγγισεν εἰς Βηθσφαγῆ καὶ Βηθανίαν πρὸς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν, ἀπέστειλε δύο τῶν μαθητῶν αὐτοῦ 30εἰπών· ὑπάγετε εἰς τὴν κατέναντι κώμην, ἐν ᾗ εἰσπορευόμενοι εὑρήσετε πῶλον δεδεμένον, ἐφ᾽ ὃν οὐδεὶς πώποτε ἀνθρώπων ἐκάθισε· λύσαντες αὐτὸν ἀγάγετε. 31καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, διατί λύετε; οὕτως ἐρεῖτε αὐτῷ, ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει. 32ἀπελθόντες δὲ οἱ ἀπεσταλμένοι εὗρον καθὼς εἶπεν αὐτοῖς, ἑστῶτα τὸν πῶλον· 33λυόντων δὲ αὐτῶν τὸν πῶλον εἶπον οἱ κύριοι αὐτοῦ πρὸς αὐτούς· τί λύετε τὸν πῶλον; 34οἱ δὲ εἶπον ὅτι ὁ Κύριος αὐτοῦ χρείαν ἔχει. 35καὶ ἤγαγον αὐτὸν πρὸς τὸν Ἰησοῦν, καὶ ἐπιρρίψαντες ἑαυτῶν τὰ ἱμάτια ἐπὶ τὸν πῶλον ἐπεβίβασαν τὸν Ἰησοῦν. 36πορευομένου δὲ αὐτοῦ ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν ἐν τῇ ὁδῷ. 37ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ καταβάσει τοῦ ὄρους τῶν ἐλαιῶν ἤρξατο ἅπαν τὸ πλῆθος τῶν μαθητῶν χαίροντες αἰνεῖν τὸν Θεὸν φωνῇ μεγάλῃ περὶ πασῶν ὧν εἶδον δυνάμεων 38λέγοντες· εὐλογημένος ὁ ἐρχόμενος βασιλεὺς ἐν ὀνόματι Κυρίου· εἰρήνη ἐν οὐρανῷ καὶ δόξα ἐν ὑψίστοις. 39καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου εἶπον πρὸς αὐτόν· διδάσκαλε, ἐπιτίμησον τοῖς μαθηταῖς σου. 40καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς· λέγω ὑμῖν ὅτι ἐὰν οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται. 41καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν ἔκλαυσεν ἐπ᾽ αὐτῇ, 42λέγων ὅτι εἰ ἔγνως καὶ σύ, καί γε ἐν τῇ ἡμέρᾳ σου ταύτῃ, τὰ πρὸς εἰρήνην σου· νῦν δὲ ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου· 43ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σὲ καὶ περιβαλοῦσιν οἱ ἐχθροί σου χάρακά σοι καὶ περικυκλώσουσί σε καὶ συνέξουσί σε πάντοθεν, 44καὶ ἐδαφιοῦσί σε καὶ τὰ τέκνα σου ἐν σοί, καὶ οὐκ ἀφήσουσιν ἐν σοὶ

care n-au voit să împărățesc eu peste ei, aduceți-i aici și tăiați-i în fața mea.

Și zicând acestea, mergea înainte, suindu-Se la Ierusalim. 29Și a fost, când S-a apropiat de Betsfaghe și de Betania, la muntele care se cheamă al Măslinilor, că a trimis pe doi dintre ucenicii Săi, 30zicând: Mergeți în satul din față, în care, intrând, veți afla un mânz legat, pe care nimeni dintre oameni n-a șezut vreodată; dezlegați-l și aduceți-l. 31Și dacă cineva vă va întreba: De ce îl dezlegați? așa veți zice lui: Domnul are trebuință de el. 32Și plecând cei trimiși, au aflat mânzul stând, precum le spusese. 33Și dezlegând ei mânzul, au zis stăpânii lui către ei: De ce dezlegați mânzul? 34Iar ei au spus: Domnul are trebuință de el. 35Și l-au adus la Iisus; și, aruncându-și veșmintele pe mânz, L-au urcat pe Iisus deasupra. 36Și mergând El, își așterneau veșmintele pe cale. 37Și apropiindu-se El de poalele Muntelui Măslinilor, a început toată mulțimea ucenicilor, bucurându-se, să laude pe Dumnezeu cu glas mare, pentru toate minunile pe care le văzuseră, 38zicând: Binecuvântat este Împăratul Cel ce vine întru numele Domnului; pace în cer și slavă întru cei de sus. 39Și unii farisei din mulțime au zis către El: Învățătorule, ceartă-Ți ucenicii. 40Și răspunzând, le-a zis: Zic vouă: Dacă aceștia vor tăcea, pietrele vor striga. 41Și când S-a apropiat, văzând cetatea, a plâns pentru ea, 42zicând: De-ai fi cunoscut și tu, măcar în ziua aceasta a ta, cele ce sunt spre pacea ta! Dar acum s-au ascuns de ochii tăi. 43Că vor veni zile peste tine când te vor înconjura vrăjmașii tăi cu șanț, te vor împresura și te vor strâmtora din toate părțile, 44și te vor face una cu pământul,

λίθον ἐπὶ λίθῳ, ἀνθ' ὧν οὐκ ἔγνως τὸν καιρὸν τῆς ἐπισκοπῆς σου.

Καὶ εἰσελθὼν εἰς τὸ ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας ἐν αὐτῷ καὶ ἀγοράζοντας 46λέγων αὐτοῖς· γέγραπται ὅτι *ὁ οἶκός μου οἶκος προσευχῆς ἐστιν*· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε *σπήλαιον λῃστῶν*. 47Καὶ ἦν διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ· οἱ δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐζήτουν αὐτὸν ἀπολέσαι καὶ οἱ πρῶτοι τοῦ λαοῦ, 48καὶ οὐχ εὕρισκον τὸ τί ποιήσουσιν· ὁ λαὸς γὰρ ἅπας ἐξεκρέματο αὐτοῦ ἀκούων.

pe tine şi pe fiii tăi din tine, şi nu vor lăsa în tine piatră pe piatră, pentru că nu ai cunoscut vremea cercetării tale.

Şi intrând în templu, a început să-i scoată afară pe cei care vindeau şi pe cei care cumpărau în el, 46zicându-le: Scris este: *Casa Mea casă de rugăciune este*; dar voi aţi făcut-o *peşteră de tâlhari*. 47Şi învăţa în fiecare zi în templu; iar arhiereii şi cărturarii şi cei dintâi ai poporului căutau să-L piardă, 48şi nu găseau ce să facă, căci tot poporul se ţinea de El, ascultându-L.

Κεφάλαιον Κ΄

Capitolul 20

Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν ἐκείνων διδάσκοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ καὶ εὐαγγελιζομένου ἐπέστησαν οἱ ἱερεῖς καὶ οἱ γραμματεῖς σὺν τοῖς πρεσβυτέροις 2καὶ εἶπον πρὸς αὐτὸν λέγοντες· εἰπὲ ἡμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, ἢ τίς ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην; 3ἀποκριθεὶς δὲ εἶπε πρὸς αὐτούς· ἐρωτήσω ὑμᾶς κἀγὼ ἕνα λόγον, καὶ εἴπατέ μοι· 4τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν ἢ ἐξ ἀνθρώπων; 5οἱ δὲ συνελογίσαντο πρὸς ἑαυτοὺς λέγοντες ὅτι ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ, διατί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; 6ἐὰν δὲ εἴπωμεν, ἐξ ἀνθρώπων, πᾶς ὁ λαὸς καταλιθάσει ἡμᾶς· πεπεισμένος γάρ ἐστιν Ἰωάννην προφήτην εἶναι. 7καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν. 8καὶ ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

Şi a fost într-una din zilele acelea, pe când învăţa El poporul în templu şi binevestea, că au venit asupra Lui preoţii şi cărturarii, împreună cu bătrânii 2şi au grăit către El, zicând: Spune-ne nouă, cu ce putere faci acestea? Sau Cine este Cel care Ţi-a dat Ţie puterea aceasta? 3Şi răspunzând, a zis către ei: Vă întreb şi Eu pe voi un cuvânt, şi spuneţi-Mi: 4Botezul lui Ioan era din cer sau de la oameni? 5Şi ei cugetau în sinea lor, zicând: De vom spune: Din cer, va zice: De ce, dar, nu aţi crezut lui? 6Iar de vom spune: De la oameni, tot poporul ne va ucide cu pietre; căci este încredinţat că Ioan este prooroc. 7Şi au răspuns că nu ştiu de unde. 8Şi Iisus le-a zis: Nici Eu nu vă spun cu ce putere fac acestea.

Ἤρξατο δὲ πρὸς τὸν λαὸν λέγειν τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς καὶ ἀπεδήμησε χρόνους ἱκανούς. 10καὶ ἐν τῷ καιρῷ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς δοῦλον ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος δώσουσιν αὐτῷ· οἱ δὲ γεωργοὶ δείραντες αὐτὸν ἐξαπέστειλαν κενόν. 11καὶ προσέθετο αὐτοῖς πέμψαι ἕτερον δοῦλον. οἱ δὲ κἀκεῖνον δείραντες καὶ ἀτιμάσαντες ἐξαπέστειλαν κενόν. 12καὶ προσέθετο πέμψαι τρίτον. οἱ δὲ καὶ τοῦτον τραυματίσαντες ἐξέβαλον. 13εἶπε δὲ ὁ κύριος τοῦ ἀμπελῶνος· τί ποιήσω; πέμψω τὸν υἱόν μου τὸν ἀγαπητόν· ἴσως τοῦτον ἰδόντες ἐντραπήσονται. 14ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ διελογίζοντο πρὸς ἑαυτοὺς λέγοντες· οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτόν, ἵνα ἡμῶν γένηται ἡ κληρονομία. 15καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος ἀπέκτειναν. τί οὖν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ ἀμπελῶνος; 16ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργοὺς τούτους, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. ἀκούσαντες δὲ εἶπον· μὴ γένοιτο. 17ὁ δὲ ἐμβλέψας αὐτοῖς εἶπε· τί οὖν ἐστι τὸ γεγραμμένον τοῦτο, *λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας*; 18πᾶς ὁ πεσὼν ἐπ' ἐκεῖνον τὸν λίθον συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. 19Καὶ ἐζήτησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ τῇ ὥρᾳ, καὶ ἐφοβήθησαν τὸν λαόν· ἔγνωσαν γὰρ ὅτι πρὸς αὐτοὺς τὰς παραβολὰς ἔλεγε.

Καὶ παρατηρήσαντες ἀπέστειλαν ἐγκαθέτους, ὑποκρινομένους ἑαυτοὺς δικαίους εἶναι, ἵνα ἐπιλάβωνται αὐτοῦ λόγου εἰς τὸ παραδοῦναι αὐτὸν τῇ ἀρχῇ καὶ τῇ ἐξουσίᾳ τοῦ ἡγεμόνος. 21καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες· διδάσκαλε, οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις·

Şi a început să spună către popor pilda aceasta: Un om a sădit vie şi a dat-o lucrătorilor şi a plecat departe mult timp. 10Şi la vreme, a trimis la lucrători un rob, ca să-i dea lui din rodul viei. Dar lucrătorii, bătându-l, l-au trimis înapoi deşert. 11Şi le-a mai trimis un alt rob; iar ei, bătându-l şi pe acela şi necinstindu-l, l-au trimis înapoi deşert. 12Şi a mai trimis pe al treilea; iar ei, şi pe acesta rănind-l, l-au scos afară. 13Şi a zis domnul viei: Ce voi face? Voi trimite pe fiul meu cel iubit; poate, văzându-l pe acesta, se vor ruşina. 14Şi văzându-l pe el, lucrătorii s-au vorbit între ei, zicând: Acesta este moştenitorul; veniţi să-l omorâm, ca a noastră să fie moştenirea. 15Şi scoţându-l afară din vie, l-au omorât. Deci, ce le va face acestora domnul viei? 16Va veni şi îi va pierde pe lucrătorii aceştia, şi va da via altora. Iar ei, auzind, au spus: Să nu fie! 17El însă, privind la ei, a zis: Ce este, deci, scriptura aceasta: *Piatra pe care au nesocotit-o ziditorii, aceasta a ajuns în capul unghiului*? 18Tot cel ce cade pe acea piatră se va sfărâma, iar pe cine va cădea îl va zdrobi. 19Şi arhiereii şi cărturarii căutau să pună mâna pe El în ceasul acela, dar se temeau de popor, căci au cunoscut că pentru ei spunea pildele.

Şi pândindu-L, I-au trimis iscoade, care se prefăceau că sunt drepţi, ca să-L prindă în cuvânt şi să-L dea stăpânirii şi puterii guvernatorului. 21Şi L-au întrebat pe El, zicând: Învăţătorule, ştim că drept vorbeşti şi înveţi, şi nu cauţi la faţa omului, ci cu adevărat calea lui Dumnezeu înveţi. 22Este îngăduit nouă să dăm dajdie Ceza-

22ἔξεστιν ἡμῖν Καίσαρι φόρον δοῦναι ἢ οὔ;
23κατανοήσας δὲ αὐτῶν τὴν πανουργίαν εἶπε
πρὸς αὐτούς· τί με πειράζετε; 24δείξατέ μοι
δηνάριον· τίνος ἔχει εἰκόνα καὶ ἐπιγραφήν;
ἀποκριθέντες δὲ εἶπον· Καίσαρος. 25ὁ δὲ εἶ-
πεν αὐτοῖς· ἀπόδοτε τοίνυν τὰ Καίσαρος
Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. 26καὶ οὐκ
ἴσχυσαν ἐπιλαβέσθαι αὐτοῦ ῥήματος ἐναντίον
τοῦ λαοῦ, καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρίσει
αὐτοῦ ἐσίγησαν.

Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων,
οἱ λέγοντες μὴ εἶναι ἀνάστασιν, ἐπηρώ-
τησαν αὐτὸν 28λέγοντες· διδάσκαλε, Μωϋσῆς
ἔγραψεν ἡμῖν, ἐάν τινος ἀδελφὸς ἀποθάνῃ
ἔχων γυναῖκα, καὶ οὗτος ἄτεκνος ἀποθά-
νῃ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα
καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.
29ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν· καὶ ὁ πρῶτος λαβὼν
γυναῖκα ἀπέθανεν ἄτεκνος· 30καὶ ἔλαβεν ὁ
δεύτερος τὴν γυναῖκα, καὶ οὗτος ἀπέθανεν
ἄτεκνος· 31καὶ ὁ τρίτος ἔλαβεν αὐτὴν ὡσαύ-
τως· ὡσαύτως δὲ καὶ οἱ ἑπτά· οὐ κατέλιπον
τέκνα, καὶ ἀπέθανον· 32ὕστερον δὲ πάντων
καὶ ἡ γυνὴ ἀπέθανεν. 33ἐν τῇ ἀναστάσει οὖν
τίνος αὐτῶν γίνεται γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον
αὐτὴν γυναῖκα. 34καὶ ἀποκριθεὶς εἶπεν αὐτοῖς
ὁ Ἰησοῦς· οἱ υἱοὶ τοῦ αἰῶνος τούτου γαμοῦσι
καὶ ἐκγαμίζονται· 35οἱ δὲ καταξιωθέντες τοῦ
αἰῶνος ἐκείνου τυχεῖν καὶ τῆς ἀναστάσεως
τῆς ἐκ νεκρῶν οὔτε γαμοῦσιν οὔτε γαμίζονται·
36οὔτε γὰρ ἀποθανεῖν ἔτι δύνανται· ἰσάγγε-
λοι γάρ εἰσι καὶ υἱοί εἰσι τοῦ Θεοῦ, τῆς ἀνα-
στάσεως υἱοὶ ὄντες. 37ὅτι δὲ ἐγείρονται οἱ νε-
κροί, καὶ Μωϋσῆς ἐμήνυσεν ἐπὶ τῆς βάτου,
ὡς λέγει *Κύριον τὸν Θεὸν Ἀβραὰμ καὶ τὸν
Θεὸν Ἰσαὰκ καὶ τὸν Θεὸν Ἰακώβ.* 38Θεὸς δὲ
οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων· πάντες γὰρ
αὐτῷ ζῶσιν. 39ἀποκριθέντες δέ τινες τῶν
γραμματέων εἶπον· διδάσκαλε, καλῶς εἶπας.
40οὐκέτι δὲ ἐτόλμων ἐπερωτᾶν αὐτὸν οὐδέν.

rului sau nu? 23Dar înțelegând viclenia lor,
a zis către ei: De ce Mă ispitiți? 24Arătați-mi un dinar. Al cui este chipul şi inscripția? Şi răspunzând, au zis: Ale Cezarului.
25Şi El le-a zis: Dați, deci, Cezarului cele
ale Cezarului şi lui Dumnezeu cele ale lui
Dumnezeu. 26Şi nu au putut să-L prindă
în cuvânt în fața poporului şi, minunându-se de răspunsul Lui, au tăcut.

Şi apropiindu-se unii dintre saduchei,
cei care spun că nu este înviere, L-au
întrebat 28zicând: Învățătorule, Moise
ne-a scris: Dacă fratele cuiva moare,
având femeie, şi acesta moare fără copii,
să ia fratele lui femeia şi să-i ridice sămânță fratelui său. 29Erau deci şapte frați; şi
cel dintâi, luându-şi femeie, a murit fără
copii; 30şi pe femeie a luat-o al doilea, şi
acesta a murit fără copii; 31tot aşa a luat-o
şi al treilea; şi tot aşa toți şapte n-au lăsat copii şi au murit. 32La urma tuturor a
murit şi femeia. 33Deci, la înviere, a căruia dintre ei va fi femeie? Căci toți cei şapte au avut-o de femeie. 34Şi răspunzând,
le-a zis Iisus: Fiii veacului acestuia se însoară şi se mărită; 35iar cei ce s-au învrednicit să dobândească veacul acela şi învierea cea din morți nici nu se însoară, nici
nu se mărită; 36căci să moară nici nu mai
pot; căci sunt întocmai cu îngerii şi sunt
fii ai lui Dumnezeu, fiind fii ai învierii.
37Iar că morții înviază a arătat şi Moise
la rug, când zice: *Domnul Dumnezeul lui
Avraam, şi Dumnezeul lui Isaac, şi Dumnezeul lui Iacov.* 38Iar Dumnezeu nu este
al morților, ci al viilor; căci toți viază Lui.
39Şi răspunzând unii dintre cărturari, au
zis: Învățătorule, bine ai grăit. 40Şi nu mai
cutezau să-L întrebe nimic.

Εἶπε δὲ πρὸς αὐτούς· πῶς λέγουσι τὸν Χριστὸν υἱὸν Δαυὶδ εἶναι; 42καὶ αὐτὸς Δαυὶδ λέγει ἐν βίβλῳ τῶν ψαλμῶν· *εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου* 43*ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.* 44Δαυὶδ οὖν αὐτὸν Κύριον καλεῖ· καὶ πῶς υἱὸς αὐτοῦ ἐστιν;

Ἀκούοντος δὲ παντὸς τοῦ λαοῦ εἶπε τοῖς μαθηταῖς αὐτοῦ· 46προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων περιπατεῖν ἐν στολαῖς καὶ φιλούντων ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις, 47οἱ κατεσθίουσι τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσεύχονται· οὗτοι λήψονται περισσότερον κρῖμα.

Şi a zis către ei: Cum se spune că Hristos este Fiul lui David? 42Şi însuşi David zice în Cartea Psalmilor: *Zis-a Domnul Domnului meu: Şezi de-a dreapta Mea,* 43*până ce voi pune pe vrăjmaşii Tăi aşternut picioarelor Tale.* 44Deci David Îl numeşte pe El Domn; şi cum este fiu al lui?

Şi, pe când tot poporul asculta, a zis ucenicilor Lui: 46Păziţi-vă de cărturari, care vor să se plimbe în haine lungi, care iubesc plecăciunile în pieţe şi scaunele cele dintâi în sinagogi şi locurile cele dintâi la ospeţe, 47cei ce le mănâncă văduvelor casele şi se roagă îndelung cu făţărnicie; aceştia vor lua mai mare osândă.

Κεφάλαιον ΚΑ΄

Ἀναβλέψας δὲ εἶδε τοὺς βάλλοντας τὰ δῶρα αὐτῶν εἰς τὸ γαζοφυλάκιον πλουσίους· 2εἶδε δέ τινα χήραν πενιχρὰν βάλλουσαν ἐκεῖ δύο λεπτά, 3καὶ εἶπεν· ἀληθῶς λέγω ὑμῖν ὅτι ἡ χήρα ἡ πτωχὴ αὕτη πλεῖον πάντων ἔβαλεν· 4ἅπαντες γὰρ οὗτοι ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ Θεοῦ, αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα τὸν βίον ὃν εἶχεν ἔβαλε.

Καί τινων λεγόντων περὶ τοῦ ἱεροῦ ὅτι λίθοις καλοῖς καὶ ἀναθήμασι κεκόσμηται, εἶπε· 6ταῦτα ἃ θεωρεῖτε, ἐλεύσονται ἡμέραι ἐν αἷς οὐκ ἀφεθήσεται λίθος ἐπὶ λίθῳ ὃς οὐ καταλυθήσεται.

Ἐπηρώτησαν δὲ αὐτὸν λέγοντες· διδάσκαλε, πότε οὖν ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον ὅταν μέλλῃ ταῦτα γίνεσθαι; 8ὁ δὲ εἶπε· βλέπε-

Capitolul 21

Şi ridicându-Şi ochii, a văzut pe bogaţii care îşi puneau daniile în cutia darurilor. 2Şi a văzut şi pe o văduvă sărmană, punând acolo doi bănuţi. 3Şi a zis: Adevărat zic vouă că văduva aceasta săracă a pus mai mult decât toţi; 4căci aceştia toţi din prisosul lor au pus la darurile lui Dumnezeu, iar aceasta din sărăcia ei a pus toată avuţia pe care o avea.

Şi vorbind unii despre templu, că este împodobit cu pietre frumoase şi ofrande, El a zis: 6Acestea pe care le vedeţi, vor veni zile când nu se va lăsa piatră pe piatră, care să nu fie risipită.

Şi L-au întrebat, zicând: Învăţătorule, când vor fi deci acestea? Şi care este semnul când au să fie acestea? 8Iar El a zis:

τε μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου λέγοντες ὅτι ἐγώ εἰμι καὶ ὁ καιρὸς ἤγγικε. μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν. 9ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκαταστασίας, μὴ πτοηθῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι πρῶτον, ἀλλ' οὐκ εὐθέως τὸ τέλος. 10τότε ἔλεγεν αὐτοῖς· ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, 11σεισμοί τε μεγάλοι κατὰ τόπους καὶ λιμοὶ καὶ λοιμοὶ ἔσονται, φόβητρά τε καὶ σημεῖα ἀπ' οὐρανοῦ μεγάλα ἔσται. 12πρὸ δὲ τούτων πάντων ἐπιβαλοῦσιν ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· 13ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. 14θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· 15ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. 16παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ φίλων καὶ ἀδελφῶν, καὶ θανατώσουσιν ἐξ ὑμῶν, 17καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· 18καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται· 19ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἰερουσαλήμ, τότε γνῶτε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. 21τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, καὶ οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν, καὶ οἱ ἐν ταῖς χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν, 22ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσι τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα. 23οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· ἔσται γὰρ τότε ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς καὶ ὀργὴ τῷ λαῷ τούτῳ, 24καὶ πεσοῦνται στόματι μαχαίρας, καὶ αἰχμαλωτισθήσονται εἰς πάντα τὰ ἔθνη, καὶ Ἰε-

Vedeți, nu vă lăsați rătăciți; căci mulți vor veni în numele Meu, zicând: Eu sunt, şi: Vremea s-a apropiat. Nu mergeți, dar, după ei. 9Iar când veți auzi de războaie şi de neorânduieli, nu vă înspăimântați; căci trebuie acestea să fie întâi, dar nu este îndată sfârşitul. 10Atunci le zicea: Se va ridica neam peste neam şi împărăție peste împărăție 11şi vor fi cutremure mari pe alocuri şi foamete, şi ciumă, şi spaime, şi semne mari din cer. 12Dar mai înainte de toate acestea îşi vor pune mâinile pe voi şi vă vor prigoni, dându-vă în sinagogi şi în temnițe, ducându-vă la împărați şi căpetenii, pentru numele Meu. 13Şi va fi vouă spre mărturie. 14Puneți deci în inimile voastre să nu gândiți de mai înainte ce veți răspunde; 15căci Eu vă voi da vouă gură şi înțelepciune, căreia nu-i vor putea grăi împotrivă, nici sta împotrivă, toți potrivnicii voştri. 16Şi veți fi dați pe mâna lor şi de părinți, şi de rudenii, şi de prieteni, şi de frați, şi vor da morții pe unii dintre voi, 17şi veți fi urâți de toți, pentru numele Meu; 18dar fir de păr din capul vostru nu va pieri. 19Întru răbdarea voastră dobândiți-vă sufletele voastre.

Iar când veți vedea Ierusalimul înconjurat de oşti, atunci să cunoaşteți că s-a apropiat pustiirea lui. 21Atunci cei din Iudeea să fugă în munți şi cei din mijlocul lui să iasă şi cei de pe câmpuri să nu intre în el. 22Căci acestea sunt zilele răzbunării, ca să se împlinească toate cele scrise. 23Dar vai celor care vor avea în pântece şi celor care vor alăpta în acele zile; căci va fi atunci strâmtorare mare pe pământ şi urgie asupra acestui popor, 24şi vor cădea sub ascuțişul sabiei şi vor fi înrobiți tuturor neamurilor, şi Ierusalimul va fi călcat în picioare

ρουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν ἄχρι πληρωθῶσι καιροὶ ἐθνῶν.

Καὶ ἔσται σημεῖα ἐν ἡλίῳ καὶ σελήνῃ καὶ ἄστροις, καὶ ἐπὶ τῆς γῆς συνοχὴ ἐθνῶν ἐν ἀπορίᾳ ἠχούσης θαλάσσης καὶ σάλου, 26ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται. 27καὶ τότε ὄψονται τὸν υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν νεφέλῃ μετὰ δυνάμεως καὶ δόξης πολλῆς. 28ἀρχομένων δὲ τούτων γίνεσθαι ἀνακύψατε καὶ ἐπάρατε τὰς κεφαλὰς ὑμῶν, διότι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν.

Καὶ εἶπε παραβολὴν αὐτοῖς· ἴδετε τὴν συκῆν καὶ πάντα τὰ δένδρα. 30ὅταν προβάλωσιν ἤδη, βλέποντες ἀφ' ἑαυτῶν γινώσκετε ὅτι ἤδη ἐγγὺς τὸ θέρος ἐστίν. 31οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ. 32ἀμὴν λέγω ὑμῖν ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη ἕως ἂν πάντα γένηται. 33ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι.

Προσέχετε δὲ ἑαυτοῖς μήποτε βαρηθῶσιν ὑμῶν αἱ καρδίαι ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς, καὶ αἰφνίδιος ἐφ' ὑμᾶς ἐπιστῇ ἡ ἡμέρα ἐκείνη· 35ὡς παγὶς γὰρ ἐπελεύσεται ἐπὶ πάντας τοὺς καθημένους ἐπὶ πρόσωπον πάσης τῆς γῆς. 36ἀγρυπνεῖτε οὖν ἐν παντὶ καιρῷ δεόμενοι ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τὰ μέλλοντα γίνεσθαι καὶ σταθῆναι ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου. 37Ἦν δὲ τὰς ἡμέρας ἐν τῷ ἱερῷ διδάσκων, τὰς δὲ νύκτας ἐξερχόμενος ηὐλίζετο εἰς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν· 38καὶ πᾶς ὁ λαὸς ὤρθριζε πρὸς αὐτὸν ἐν τῷ ἱερῷ ἀκούειν αὐτοῦ.

de neamuri, până se vor împlini vremurile neamurilor.

Și vor fi semne în soare şi în lună şi în stele, iar pe pământ strâmtorare a neamurilor întru nedumerire, marea vuind şi valul, 26oamenii dându-şi sufletele de frică şi de aşteptarea celor ce au să vină peste lumea toată; căci puterile cerurilor se vor clătina. 27Şi atunci vor vedea pe Fiul Omului venind în nor cu putere şi cu slavă multă. 28Iar când vor începe să fie acestea, îndreptaţi-vă şi ridicaţi capetele voastre, pentru că se apropie răscumpărarea voastră.

Și le-a spus lor o pildă: Vedeţi smochinul şi toţi copacii. 30Când înfrunzesc, văzându-i, ştiţi de la voi înşivă că vara este de acum aproape; 31aşa şi voi, când veţi vedea făcându-se acestea, ştiţi că aproape este Împărăţia lui Dumnezeu. 32Amin zic vouă că nu va trece neamul acesta până ce nu vor fi toate. 33Cerul şi pământul vor trece, dar cuvintele Mele nu vor trece.

Luaţi seama la voi înşivă, să nu se îngreuieze inimile voastre cu petreceri şi beţie şi griji lumeşti, şi fără de veste să vină peste voi ziua aceea; 35căci ca o cursă va veni peste toţi cei ce stau pe faţa a tot pământul. 36Privegheaţi deci în toată vremea rugându-vă, ca să vă învredniciţi să scăpaţi de toate care au să fie şi să staţi înaintea Fiului Omului. 37Şi era zilele în templu, învăţând, iar nopţile, ieşind, petrecea în muntele ce se cheamă al Măslinilor. 38Şi tot poporul mâneca la El, în templu, ca să-L asculte.

Κεφάλαιον ΚΒ΄

Ἤγγιζε δὲ ἡ ἑορτὴ τῶν ἀζύμων ἡ λεγομένη πάσχα. 2καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὸ πῶς ἀνέλωσιν αὐτόν· ἐφοβοῦντο γὰρ τὸν λαόν. 3Εἰσῆλθε δὲ ὁ σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα, 4καὶ ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι καὶ στρατηγοῖς τὸ πῶς αὐτὸν παραδῷ αὐτοῖς. 5καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύρια δοῦναι· 6καὶ ἐξωμολόγησε, καὶ ἐζήτει εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου.

Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα, 8καὶ ἀπέστειλε Πέτρον καὶ Ἰωάννην εἰπών· πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα ἵνα φάγωμεν. 9οἱ δὲ εἶπον αὐτῷ· ποῦ θέλεις ἑτοιμάσωμεν; 10ὁ δὲ εἶπεν αὐτοῖς· ἰδοὺ εἰσελθόντων ὑμῶν εἰς τὴν πόλιν συναντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν οἰκίαν οὗ εἰσπορεύεται, 11καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας· λέγει σοι ὁ διδάσκαλος, ποῦ ἐστι τὸ κατάλυμα ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; 12κἀκεῖνος ὑμῖν δείξει ἀνώγαιον μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε. 13ἀπελθόντες δὲ εὗρον καθὼς εἰρηκεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα. 14Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ δώδεκα ἀπόστολοι σὺν αὐτῷ. 15καὶ εἶπε πρὸς αὐτούς· ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν πρὸ τοῦ με παθεῖν· 16λέγω γὰρ ὑμῖν ὅτι οὐκέτι οὐ μὴ φάγω ἐξ αὐτοῦ ἕως ὅτου πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. 17καὶ δεξάμενος τὸ ποτήριον εὐχαριστήσας εἶπε· λάβετε τοῦτο καὶ διαμερίσατε ἑαυτοῖς· 18λέγω

Capitolul 22

Şi se apropia sărbătoarea Azimelor, cea numită Paşti. 2Şi căutau arhiereii şi cărturarii cum să-I ia viaţa; căci se temeau de popor. 3Şi a intrat satana în Iuda, cel numit Iscarioteanul, care era din numărul celor doisprezece. 4Şi, plecând el, a vorbit cu arhiereii şi cu cărturarii şi cu căpeteniile oastei, cum să-L dea în mâinile lor. 5Şi ei s-au bucurat şi s-au învoit să-i dea arginţi; 6şi el a primit; şi căuta prilej să-L dea în mâinile lor, fără ştirea mulţimii.

Şi a venit ziua Azimelor, în care trebuia să se jertfească Paştile. 8Şi a trimis pe Petru şi pe Ioan, zicând: Mergeţi şi pregătiţi-ne Paştile, ca să mâncăm. 9Iar ei I-au zis: Unde voieşti să pregătim? 10Şi El le-a zis: Iată, când veţi intra în cetate, are să vă iasă înainte un om ducând un urcior cu apă; urmaţi-i lui în casa în care intră 11şi spuneţi stăpânului casei: Învăţătorul îţi zice: Unde este odaia în care voi mânca Paştile împreună cu ucenicii Mei? 12Şi acela vă va arăta un foişor mare, aşternut; acolo să pregătiţi. 13Şi ei, plecând, au aflat precum le spusese şi au pregătit Paştile. 14Şi când a fost ceasul, S-a aşezat la masă, şi cei doisprezece apostoli împreună cu El. 15Şi a zis către ei: Cu dor am dorit să mănânc cu voi acest Paşti mai înainte de a pătimi Eu; 16căci zic vouă că nu voi mai mânca din el până când nu se va plini în Împărăţia lui Dumnezeu. 17Şi primind paharul, mulţumind, a zis: Luaţi acesta şi împărţiţi-l vouă; 18căci zic vouă:

γὰρ ὑμῖν ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ γενήματος τῆς ἀμπέλου ἕως ὅτου ἡ βασιλεία τοῦ Θεοῦ ἔλθῃ.
19καὶ λαβὼν ἄρτον εὐχαριστήσας ἔκλασε καὶ ἔδωκεν αὐτοῖς λέγων· τοῦτό ἐστι τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. 20ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον. 21πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης. 22καὶ ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου πορεύεται κατὰ τὸ ὡρισμένον· πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ παραδίδοται. 23καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν.

Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων. 25ὁ δὲ εἶπεν αὐτοῖς· οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται· 26ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ' ὁ μείζων ἐν ὑμῖν γινέσθω ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν. 27τίς γὰρ μείζων, ὁ ἀνακείμενος ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν ὡς ὁ διακονῶν. 28ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου· 29κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν, 30ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθίσεσθε ἐπὶ θρόνων κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

Εἶπε δὲ ὁ Κύριος· Σίμων Σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον· 32ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου. 33ὁ δὲ εἶπεν αὐτῷ· Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι. 34ὁ δὲ εἶπε· λέγω σοι,

Nu voi mai bea din rodul viței până ce nu va veni Împărăția lui Dumnezeu. 19Şi luând pâine, mulțumind, a frânt şi le-a dat lor, zicând: Acesta este Trupul Meu care se dă pentru voi. Aceasta să faceți întru pomenirea Mea. 20Asemenea şi paharul, după ce au cinat, zicând: Acest pahar este Noul Testament, întru Sângele Meu, care se varsă pentru voi. 21Dar iată, mâna celui ce Mă vinde este cu Mine la masă. 22Şi Fiul Omului merge precum s-a rânduit, dar vai acelui om prin care este vândut! 23Şi au început să se întrebe între ei, oare cine dintre ei este cel care avea să săvârşească aceasta?

Şi a fost şi ceartă între ei: Cine dintre ei pare să fie mai mare? 25Iar El le-a zis: Împărații neamurilor domnesc peste ele şi cei care le stăpânesc se numesc binefăcători. 26Dar voi să nu fiți aşa; ci cel mai mare dintre voi să fie ca cel mai tânăr, şi căpetenia ca cel care slujeşte. 27Căci cine este mai mare: cel care şade la masă, sau cel care slujeşte? Oare nu cel care şade la masă? Iar Eu în mijlocul vostru sunt ca unul ce slujeşte. 28Şi voi sunteți cei care ați rămas cu Mine în ispitele Mele. 29Şi Eu las vouă prin testament Împărăție, precum Mi-a lăsat Mie Tatăl Meu, 30ca să mâncați şi să beți la masa Mea, în Împărăția Mea, şi să şedeți pe tronuri, judecând cele douăsprezece seminții ale lui Israel.

Şi a zis Domnul: Simone, Simone, iată, satana v-a cerut să vă cearnă ca pe grâu; 32Eu însă M-am rugat pentru tine să nu piară credința ta; şi tu, când te vei întoarce, întăreşte-i pe frații tăi. 33Iar el I-a zis: Doamne, cu Tine sunt gata şi în temniță şi la moarte să merg. 34Şi i-a spus:

Πέτρε, οὐ φωνήσει σήμερον ἀλέκτωρ πρὶν ἢ τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με.

Καὶ εἶπεν αὐτοῖς· ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλαντίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; οἱ δὲ εἶπον· οὐθενός. 36εἶπεν οὖν αὐτοῖς· ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον ἀράτω, ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων πωλήσει τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγοράσει μάχαιραν. 37λέγω γὰρ ὑμῖν ὅτι ἔτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί, τὸ *καὶ μετὰ ἀνόμων ἐλογίσθη*· καὶ γὰρ τὰ περὶ ἐμοῦ τέλος ἔχει. 38οἱ δὲ εἶπον· Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο. ὁ δὲ εἶπεν αὐτοῖς· ἱκανόν ἐστι.

Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ. 40γενόμενος δὲ ἐπὶ τοῦ τόπου εἶπεν αὐτοῖς· προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. 41καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολήν, καὶ θεὶς τὰ γόνατα προσηύχετο 42λέγων· πάτερ, εἰ βούλει παρενεγκεῖν τοῦτο τὸ ποτήριον ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου, ἀλλὰ τὸ σὸν γινέσθω. 43ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνισχύων αὐτόν. 44καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο. ἐγένετο δὲ ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν. 45καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς, ἐλθὼν πρὸς τοὺς μαθητὰς εὗρεν αὐτοὺς κοιμωμένους ἀπὸ τῆς λύπης, 46καὶ εἶπεν αὐτοῖς· τί καθεύδετε; ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.

Ἔτι δὲ αὐτοῦ λαλοῦντος ἰδοὺ ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας, εἷς τῶν δώδεκα, προῆγεν αὐτούς, καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν· τοῦτο γὰρ σημεῖον δεδώκει αὐτοῖς· ὃν ἂν φιλήσω, αὐτός ἐστιν. 48ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; 49ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσό-

Zic ţie, Petre: Nu va cânta astăzi cocoşul până ce nu te vei lepăda de Mine de trei ori că nu Mă cunoşti.

Şi le-a zis: Când v-am trimis pe voi fără pungă şi fără traistă şi fără încălţăminte, aţi fost lipsiţi de ceva? Iar ei au spus: De nimic. 36Le-a zis, deci: Acum însă cel ce are pungă să o ia, asemenea şi traistă, şi cel ce nu are, să-şi vândă haina şi să cumpere sabie. 37Căci zic vouă: Încă trebuie să se împlinească în Mine scriptura aceasta: *Şi cu cei fără de lege s-a socotit;* căci cele despre Mine au ajuns la sfârşit. 38Iar ei au zis: Doamne, iată aici două săbii. Le-a zis lor: E destul.

Şi ieşind, a mers după obicei la Muntele Măslinilor; şi I-au urmat şi ucenicii Lui. 40Şi fiind în acel loc, le-a zis: Rugaţi-vă, ca să nu intraţi în ispită. 41Şi El S-a desprins de ei ca la o aruncătură de piatră şi, plecându-Şi genunchii, Se ruga, 42zicând: Părinte, de voieşti, să treacă acest pahar de la Mine. Dar nu voia Mea, ci a Ta să se facă. 43Şi I s-a arătat Lui un înger din cer, întărindu-L. 44Iar El, fiind în luptă de moarte, şi mai stăruitor Se ruga. Şi s-a făcut sudoarea Lui ca picăturile de sânge, căzând pe pământ. 45Şi ridicându-Se de la rugăciune, venind la ucenicii Lui, i-a aflat dormind de întristare. 46Şi a zis lor: De ce dormiţi? Ridicaţi-vă şi vă rugaţi, ca să nu intraţi în ispită.

Şi, pe când El încă vorbea, iată mulţime, şi cel numit Iuda, unul din cei doisprezece, venea în fruntea lor şi s-a apropiat de Iisus, ca să-L sărute; căci acest semn îl dăduse lor: Pe Care Îl voi săruta, Acesta este. 48Iar Iisus i-a zis: Iuda, cu sărutare vinzi pe Fiul Omului? 49Şi văzând cei din

μενον εἶπον αὐτῷ· Κύριε, εἰ πατάξομεν ἐν μαχαίρᾳ; 50καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς τὸ δεξιόν. 51ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· ἐᾶτε ἕως τούτου· καὶ ἁψάμενος τοῦ ὠτίου αὐτοῦ ἰάσατο αὐτόν. 52εἶπε δὲ ὁ Ἰησοῦς πρὸς τοὺς παραγενομένους ἐπ' αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους· ὡς ἐπὶ λῃστὴν ἐξεληλύθατε μετὰ μαχαιρῶν καὶ ξύλων· 53καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν ἐν τῷ ἱερῷ οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμέ. ἀλλ' αὕτη ἐστὶν ὑμῶν ἡ ὥρα καὶ ἡ ἐξουσία τοῦ σκότους.

Συλλαβόντες δὲ αὐτὸν ἤγαγον καὶ εἰσήγαγον αὐτὸν εἰς τὸν οἶκον τοῦ ἀρχιερέως. ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν. 55ἁψάντων δὲ πυρὰν ἐν μέσῳ τῆς αὐλῆς καὶ συγκαθισάντων αὐτῶν ἐκάθητο ὁ Πέτρος ἐν μέσῳ αὐτῶν. 56ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς καὶ ἀτενίσασα αὐτῷ εἶπε· καὶ οὗτος σὺν αὐτῷ ἦν. 57ὁ δὲ ἠρνήσατο λέγων· γύναι, οὐκ οἶδα αὐτόν. 58καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν ἔφη· καὶ σὺ ἐξ αὐτῶν εἶ, ὁ δὲ Πέτρος εἶπεν· ἄνθρωπε, οὐκ εἰμί. 59καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς ἄλλος τις διϊσχυρίζετο λέγων· ἐπ' ἀληθείας καὶ οὗτος μετ' αὐτοῦ ἦν· καὶ γὰρ Γαλιλαῖός ἐστιν. 60εἶπε δὲ ὁ Πέτρος· ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις. καὶ παραχρῆμα, ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν ἀλέκτωρ. 61καὶ στραφεὶς ὁ Κύριος ἐνέβλεψε τῷ Πέτρῳ, καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ λόγου τοῦ Κυρίου, ὡς εἶπεν αὐτῷ ὅτι πρὶν ἀλέκτορα φωνῆσαι ἀπαρνήσῃ με τρίς· 62καὶ ἐξελθὼν ἔξω ὁ Πέτρος ἔκλαυσε πικρῶς.

Καὶ οἱ ἄνδρες οἱ συνέχοντες τὸν Ἰησοῦν ἐνέπαιζον αὐτῷ δέροντες, 64καὶ περικαλύψαντες αὐτὸν ἔτυπτον αὐτοῦ τὸ πρόσωπον καὶ ἐπηρώτων αὐτὸν λέγοντες· προφήτευσον τίς ἐστιν ὁ παίσας σε; 65καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν.

jurul Lui ce avea să fie, I-au zis: Doamne, să lovim cu sabia? 50Şi unul dintre ei a lovit pe robul arhiereului şi i-a tăiat urechea dreaptă. 51Şi răspunzând Iisus, a zis: Opriți-vă! Până aici! Şi atingându-Se de urechea lui, l-a vindecat; 52şi a zis Iisus către cei veniți asupra lui, arhiereii şi căpeteniile ostaşilor templului şi bătrânii: Ca la un tâlhar ați ieşit, cu săbii şi cu ciomege. 53Fiind Eu în fiecare zi cu voi în templu, n-ați întins mâinile asupra Mea. Dar acesta este ceasul vostru şi stăpânirea întunericului.

Şi, prinzându-L, L-au dus şi L-au băgat în casa arhiereului. Iar Petru urma de departe. 55Şi aprinzând ei foc în mijlocul curții şi şezând împreună, şedea şi Petru în mijlocul lor. 56Şi văzând-l o slujnică aşezat la foc şi căutând spre el, a zis: Şi acesta era împreună cu El. 57Dar el s-a lepădat, zicând: Femeie, nu-L ştiu. 58Şi după puțin, un altul văzându-l, a zis: Şi tu eşti dintre ei. Petru însă a zis: Omule, nu sunt. 59Iar după ce a trecut ca la un ceas, un altul întărea, zicând: Cu adevărat şi acesta era cu El; căci este şi galileean. 60Şi a zis Petru: Omule, nu ştiu ce zici. Şi îndată, încă vorbind el, a cântat cocoşul. 61Şi întorcându-Se Domnul, a privit la Petru; şi Petru şi-a adus aminte de cuvântul Domnului, cum i-a zis: Înainte de a cânta cocoşul, te vei lepăda de Mine de trei ori; 62şi ieşind afară, Petru a plâns cu amar.

Şi bărbații care Îl țineau pe Iisus Îl batjocoreau, bătându-L. 64Şi legându-L la ochi, Îl loveau peste față şi Îl întrebau, zicând: Prooroceşte cine este cel care Te-a lovit? 65Şi multe altele Îi ziceau, hulind.

Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς καὶ γραμματεῖς, καὶ ἀνήγαγον αὐτὸν εἰς τὸ συνέδριον ἑαυτῶν λέγοντες· εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν. 67εἶπε δὲ αὐτοῖς· ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε, 68ἐὰν δὲ καὶ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι ἢ ἀπολύσητε· 69ἀπὸ τοῦ νῦν ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ Θεοῦ. 70εἶπον δὲ πάντες· σὺ οὖν εἶ ὁ υἱὸς τοῦ Θεοῦ; ὁ δὲ πρὸς αὐτοὺς ἔφη· ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι. 71οἱ δὲ εἶπον· τί ἔτι χρείαν ἔχομεν μαρτυρίας; αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ.

Și când s-a făcut ziuă, s-au adunat bătrânii poporului, arhiereii şi cărturarii, şi L-au dus în sinedriul lor, zicând: Dacă Tu eşti Hristosul, spune-ne nouă; 67şi El le-a zis: Dacă vă voi spune, nu veți crede; 68şi dacă vă voi întreba, nu-Mi veți răspunde, nici nu Mă veți slobozi. 69De acum Fiul Omului va şedea de-a dreapta puterii lui Dumnezeu. 70Iar ei au zis toți: Tu eşti, deci, Fiul lui Dumnezeu? Şi El a zis către ei: Voi ziceți că Eu sunt. 71Iar ei au zis: Ce trebuință mai avem de mărturie? Căci noi înşine am auzit din gura Lui.

Κεφάλαιον ΚΓ΄

Καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν ἤγαγον αὐτὸν ἐπὶ τὸν Πιλᾶτον. 2ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες· τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος καὶ κωλύοντα Καίσαρι φόρους διδόναι, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα εἶναι. 3ὁ δὲ Πιλᾶτος ἐπηρώτησεν αὐτὸν λέγων· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη· σὺ λέγεις. 4ὁ δὲ Πιλᾶτος εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους ὅτι οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ. 5οἱ δὲ ἐπίσχυον λέγοντες ὅτι ἀνασείει τὸν λαὸν διδάσκων καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε.

Πιλᾶτος δὲ ἀκούσας Γαλιλαίαν ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστι, 7καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρῴδου ἐστίν, ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρῴδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέ-

Capitolul 23

Și ridicându-se toată mulțimea acestora, L-au dus la Pilat. 2Şi au început să-L învinuiască, zicând: Pe Acesta L-am aflat răzvrătind neamul şi împiedicându-ne să dăm dăjdii Cezarului, zicând că El este Hristos Împăratul. 3Iar Pilat L-a întrebat, zicând: Tu eşti Împăratul iudeilor? Iar El, răspunzând, a zis: Tu zici! 4Şi Pilat a zis către arhierei şi către mulțimi: Nici o vină nu aflu în Omul Acesta. 5Dar ei stăruiau, zicând: Întărâtă poporul, învățând prin toată Iudeea, începând din Galileea până aici.

Și Pilat, auzind de Galileea, a întrebat dacă omul este galileean. 7Şi aflând că este sub stăpânirea lui Irod, L-a trimis la Irod, fiind şi acela în Ierusalim în acele zile. 8Şi Irod, văzându-L pe Iisus, s-a bu-

ραις. 8ὁ δὲ Ἡρῴδης ἰδὼν τὸν Ἰησοῦν ἐχάρη λίαν· ἦν γὰρ ἐξ ἱκανοῦ θέλων ἰδεῖν αὐτὸν διὰ τὸ ἀκούειν αὐτὸν πολλὰ περὶ αὐτοῦ, καὶ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ γινόμενον. 9ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ. 10εἱστήκεισαν δὲ οἱ γραμματεῖς καὶ οἱ ἀρχιερεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ. 11ἐξουθενήσας δὲ αὐτὸν ὁ Ἡρῴδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ καὶ ἐμπαίξας, περιβαλὼν αὐτὸν ἐσθῆτα λαμπρὰν ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ. 12ἐγένοντο δὲ φίλοι ὅ τε Ἡρῴδης καὶ ὁ Πιλᾶτος ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς ἑαυτούς.

Πιλᾶτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας καὶ τὸν λαὸν 14εἶπε πρὸς αὐτούς· προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον ὡς ἀποστρέφοντα τὸν λαόν, καὶ ἰδοὺ ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας οὐδὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον ὧν κατηγορεῖτε κατ' αὐτοῦ. 15ἀλλ' οὐδὲ Ἡρῴδης· ἀνέπεμψα γὰρ ὑμᾶς πρὸς αὐτόν· καὶ ἰδοὺ οὐδὲν ἄξιον θανάτου ἐστὶ πεπραγμένον αὐτῷ. 16παιδεύσας οὖν αὐτὸν ἀπολύσω. 17ἀνάγκην δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν ἕνα. 18ἀνέκραξαν δὲ παμπληθεὶ λέγοντες· αἶρε τοῦτον, ἀπόλυσον δὲ ἡμῖν Βαραββᾶν· 19ὅστις ἦν διὰ στάσιν τινὰ γενομένην ἐν τῇ πόλει καὶ φόνον βεβλημένος εἰς τὴν φυλακήν. 20πάλιν οὖν ὁ Πιλᾶτος προσεφώνησε, θέλων ἀπολῦσαι τὸν Ἰησοῦν. 21οἱ δὲ ἐπεφώνουν λέγοντες· σταύρωσον σταύρωσον αὐτόν. 22ὁ δὲ τρίτον εἶπε πρὸς αὐτούς· τί γὰρ κακὸν ἐποίησεν οὗτος; οὐδὲν ἄξιον θανάτου εὗρον ἐν αὐτῷ· παιδεύσας οὖν αὐτὸν ἀπολύσω. 23οἱ δὲ ἐπέκειντο φωναῖς μεγάλαις αἰτούμενοι αὐτὸν σταυρωθῆναι, καὶ κατίσχυον αἱ φωναὶ αὐτῶν καὶ τῶν ἀρχιερέων. 24ὁ δὲ Πιλᾶτος ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν, 25ἀπέλυσε δὲ αὐτοῖς τὸν Βαραββᾶν τὸν διὰ στάσιν καὶ φόcurat foarte; căci voia de mult să-L vadă, pentru că auzise multe despre El, şi nădăjduia să vadă vreun semn făcut de El. 9Şi L-a întrebat cu destule cuvinte; iar El nu i-a răspuns nimic. 10Şi cărturarii şi arhiereii stăteau de faţă, învinuindu-L cu înverşunare. 11Şi dispreţuindu-L pe El Irod împreună cu ostaşii lui şi batjocorindu-L, îmbrăcându-L cu o haină strălucitoare, L-a trimis iarăşi la Pilat. 12Şi s-au împrietenit Pilat şi Irod în ziua aceea unul cu altul; căci era mai înainte vrăjmăşie între ei.

Iar Pilat, chemând împreună arhiereii şi căpeteniile şi poporul, 14a zis către ei: Mi-aţi adus pe omul acesta, ca răzvrătind poporul; şi iată, eu, în faţa voastră cercetându-L, nu am găsit în omul acesta nici o vină din cele pe care le aduceţi împotriva Lui; 15şi nici Irod; căci v-am trimis la el; şi iată, nimic vrednic de moarte nu s-a săvârşit de El. 16Deci, pedepsindu-L, Îl voi slobozi. 17Şi era silit să le slobozească la praznic pe cineva. 18Şi au strigat cu toţii, zicând: Ia-L pe Acesta şi slobozeşte-ni-l pe Baraba! 19– care era aruncat în temniţă pentru o răscoală făcută în cetate şi pentru ucidere. 20Deci iarăşi Pilat le-a vorbit, voind să-L slobozească pe Iisus. 21Iar ei strigau, zicând: Răstigneşte-L! Răstigneşte-L! 22Şi a treia oară a zis către ei: Dar ce rău a făcut Acesta? Nimic vrednic de moarte n-am aflat în El. Pedepsindu-L, deci, Îl voi slobozi. 23Dar ei stăruiau, cerând cu glasuri mari să fie răstignit; şi biruiau glasurile lor şi ale arhiereilor. 24Iar Pilat a hotărât să se împlinească cererea lor. 25Şi le-a slobozit lor pe Baraba, cel aruncat în temniţă pentru răscoală şi

νον βεβλημένον εἰς τὴν φυλακήν, ὃν ἠτοῦντο, τὸν δὲ Ἰησοῦν παρέδωκε τῷ θελήματι αὐτῶν.
Καὶ ὡς ἀπῆγαγον αὐτόν, ἐπιλαβόμενοι Σίμωνός τινος Κυρηναίου, ἐρχομένου ἀπ' ἀγροῦ, ἐπέθηκαν αὐτῷ τὸν σταυρὸν φέρειν ὀπίσω τοῦ Ἰησοῦ. 27ἠκολούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ καὶ γυναικῶν, αἳ καὶ ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν. 28στραφεὶς δὲ πρὸς αὐτὰς ὁ Ἰησοῦς εἶπε· θυγατέρες Ἰερουσαλήμ, μὴ κλαίετε ἐπ' ἐμέ, πλὴν ἐφ' ἑαυτὰς κλαίετε καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. 29ὅτι ἰδοὺ ἔρχονται ἡμέραι ἐν αἷς ἐροῦσι· μακάριαι αἱ στεῖραι καὶ κοιλίαι αἳ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἳ οὐκ ἐθήλασαν. 30τότε ἄρξονται λέγειν τοῖς ὄρεσι, πέσετε ἐφ' ἡμᾶς, καὶ τοῖς βουνοῖς, καλύψατε ἡμᾶς· 31ὅτι εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γένηται; 32 Ἤγοντο δὲ καὶ ἕτεροι δύο κακοῦργοι σὺν αὐτῷ ἀναιρεθῆναι. 33Καὶ ὅτε ἀπῆλθον ἐπὶ τὸν τόπον τὸν καλούμενον Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτὸν καὶ τοὺς κακούργους, ὃν μὲν ἐκ δεξιῶν ὃν δὲ ἐξ ἀριστερῶν. 34ὁ δὲ Ἰησοῦς ἔλεγε· πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσι. διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ ἔβαλλον κλῆρον. 35καὶ εἱστήκει ὁ λαὸς θεωρῶν. ἐξεμυκτήριζον δὲ καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς λέγοντες· ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστὸς ὁ τοῦ Θεοῦ ἐκλεκτός. 36ἐνέπαιζον δὲ αὐτῷ καὶ οἱ στρατιῶται προσερχόμενοι καὶ ὄξος προσφέροντες αὐτῷ 37καὶ λέγοντες· εἰ σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων, σῶσον σεαυτόν. 38 Ἦν δὲ καὶ ἐπιγραφὴ γεγραμμένη ἐπ' αὐτῷ γράμμασιν Ἑλληνικοῖς καὶ Ῥωμαϊκοῖς καὶ Ἑβραϊκοῖς· οὗτός ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων. 39Εἷς δὲ τῶν κρεμασθέντων κακούργων ἐβλασφήμει αὐτὸν λέγων· εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. 40ἀποκριθεὶς δὲ ὁ ἕτερος ἐπετίμα αὐτῷ λέγων· οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; 41καὶ ἡμεῖς μὲν δικαίως· ἄξια γὰρ ὧν

ucidere, pe care îl cereau ei, iar pe Iisus L-a dat voii lor.
Şi pe când Îl duceau, punând mâna pe un oarecare Simon Cirineanul, care venea de la ţarină, i-au pus în spate crucea, ca s-o ducă în urma lui Iisus. 27Şi Îi urma Lui mulţime mare de popor şi femei care se tânguiau şi Îl plângeau. 28Şi întorcându-Se către ele, Iisus a zis: Fiice ale Ierusalimului, nu Mă plângeţi pe Mine, ci pe voi plângeţi-vă şi pe copiii voştri. 29Căci iată, vin zile în care vor spune: Fericite cele sterpe şi pântecele care n-au născut şi sânii care n-au alăptat! 30Atunci vor începe să spună munţilor: Căderi peste noi! şi dealurilor: Acoperiţi-ne! 31Căci dacă fac acestea cu lemnul verde, cu cel uscat ce va fi? 32Şi duceau şi alţi doi făcători de rele, ca să le ia viaţa împreună cu El. 33Şi când au ajuns la locul ce se cheamă Căpăţâna, acolo L-au răstignit pe El şi pe făcătorii de rele, unul de-a dreapta şi unul de-a stânga. 34Iar Iisus zicea: Părinte, iartă-le lor; căci nu ştiu ce fac. Şi ei, împărţind hainele Lui, au aruncat sorţ. 35Şi poporul stătea privind. Iar căpeteniile râdeau de El împreună cu ei, zicând: Pe alţii i-a mântuit; să Se mântuiască pe Sine Însuşi, dacă El este Hristosul, alesul lui Dumnezeu. 36Şi Îl batjocoreau şi ostaşii, venind şi dându-I oţet 37şi zicând: Dacă Tu eşti Împăratul iudeilor, mântuieşte-Te pe Tine Însuţi! 38Şi deasupra Lui era scris cu litere elineşti şi latineşti şi evreieşti: Acesta este Împăratul iudeilor. 39Iar unul dintre făcătorii de rele spânzuraţi Îl hulea zicând: Dacă Tu eşti Hristosul, mântuieşte-Te pe Tine şi pe noi. 40Şi celălalt, răspunzând, îl certa, zicând: Nu te temi tu de Dumnezeu, că în aceeaşi osândă eşti?

ἐπράξαμεν ἀπολαμβάνομεν· οὗτος δὲ οὐδὲν
ἄτοπον ἔπραξε. 42καὶ ἔλεγε τῷ Ἰησοῦ· μνή-
σθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ
σου. 43καὶ εἶπεν αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω
σοι, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ.

Ἦν δὲ ὡσεὶ ὥρα ἕκτη καὶ σκότος ἐγένετο
ἐφ' ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, τοῦ
ἡλίου ἐκλείποντος, 45καὶ ἐσχίσθη τὸ καταπέ-
τασμα τοῦ ναοῦ μέσον· 46καὶ φωνήσας φωνῇ
μεγάλῃ ὁ Ἰησοῦς εἶπε· πάτερ, εἰς χεῖράς σου
παρατίθεμαι τὸ πνεῦμά μου· καὶ ταῦτα εἰπὼν
ἐξέπνευσεν. 47ἰδὼν δὲ ὁ ἑκατόνταρχος τὸ γε-
νόμενον ἐδόξασε τὸν Θεὸν λέγων· ὄντως ὁ
ἄνθρωπος οὗτος δίκαιος ἦν. 48καὶ πάντες
οἱ συμπαραγενόμενοι ὄχλοι ἐπὶ τὴν θεωρίαν
ταύτην, θεωροῦντες τὰ γενόμενα, τύπτοντες
ἑαυτῶν τὰ στήθη ὑπέστρεφον. 49εἱστήκεισαν
δὲ πάντες οἱ γνωστοὶ αὐτοῦ ἀπὸ μακρόθεν,
καὶ γυναῖκες αἱ συνακολουθήσασαι αὐτῷ ἀπὸ
τῆς Γαλιλαίας, ὁρῶσαι ταῦτα.

Καὶ ἰδοὺ ἀνὴρ ὀνόματι Ἰωσήφ, βουλευτὴς
ὑπάρχων καὶ ἀνὴρ ἀγαθὸς καὶ δίκαιος
51–οὗτος οὐκ ἦν συγκατατεθειμένος τῇ βουλῇ
καὶ τῇ πράξει αὐτῶν– ἀπὸ Ἀριμαθαίας πόλε-
ως τῶν Ἰουδαίων, ὃς προσεδέχετο καὶ αὐτὸς
τὴν βασιλείαν τοῦ Θεοῦ, 52οὗτος προσελθὼν
τῷ Πιλάτῳ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ, 53καὶ
καθελὼν αὐτὸ ἐνετύλιξε σινδόνι καὶ ἔθηκεν
αὐτὸ ἐν μνήματι λαξευτῷ, οὗ οὐκ ἦν οὐδεὶς
οὐδέπω κείμενος· 54καὶ ἡμέρα ἦν παρασκευή,
σάββατον ἐπέφωσκε. 55Κατακολουθήσασαι
δὲ αἱ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι
αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τὸ μνημεῖον
καὶ ὡς ἐτέθη τὸ σῶμα αὐτοῦ, 56ὑποστρέψασαι
δὲ ἡτοίμασαν ἀρώματα καὶ μύρα. καὶ τὸ μὲν
σάββατον ἡσύχασαν κατὰ τὴν ἐντολήν.

41Noi, cu dreptate; că primim cele cuvenite pentru cele ce am făptuit; Acesta însă n-a făcut nici un rău. 42Şi Îi zicea lui Iisus: Pomeneşte-mă, Doamne, când vei veni întru Împărăţia Ta. 43Şi Iisus i-a zis: Amin zic ţie, astăzi vei fi cu Mine în Rai.

Şi era ca la ceasul al şaselea şi s-a făcut întuneric peste tot pământul până la ceasul al nouălea, soarele ascunzându-se, 45şi s-a despicat catapeteasma templului prin mijloc; 46şi strigând cu glas mare, Iisus a zis: Părinte, în mâinile Tale Îmi pun duhul Meu; şi acestea zicând, Şi-a dat duhul. 47Şi văzând sutaşul ceea ce se petrecuse, a slăvit pe Dumnezeu, zicând: Cu adevărat, Omul Acesta era drept. 48Şi toate mulţimile care veniseră împreună la această privelişte, văzând cele întâmplate, se întorceau lovindu-şi piepturile. 49Şi stăteau toţi cunoscuţii Lui departe, şi femeile care urmaseră Lui din Galileea, privind acestea.

Şi iată, un bărbat cu numele Iosif, sfetnic fiind, bărbat bun şi drept, 51– acesta nu se învoise cu sfatul şi cu fapta lor – din Arimateea, cetate a iudeilor, care aştepta şi el Împărăţia lui Dumnezeu, 52venind la Pilat, a cerut trupul lui Iisus 53şi, coborându-L, L-a înfăşurat în giulgiu şi L-a pus în mormânt săpat în piatră, în care nimeni niciodată nu fusese pus. 54Şi era ziua de vineri, şi se lumina spre sâmbătă. 55Şi urmându-I femeile care veniseră cu El din Galileea, au văzut mormântul şi cum s-a pus trupul Lui. 56Şi, întorcându-se, au pregătit miresme şi miruri. Iar sâmbătă s-au odihnit, după poruncă.

Κεφάλαιον ΚΔ΄

Τῇ δὲ μιᾷ τῶν σαββάτων ὄρθρου βαθέος ἦλθον ἐπὶ τὸ μνῆμα φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα, καί τινες σὺν αὐταῖς. 2εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου, 3καὶ εἰσελθοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. 4καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου καὶ ἰδοὺ ἄνδρες δύο ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. 5ἐμφόβων δὲ γενομένων αὐτῶν καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν εἶπον πρὸς αὐτάς· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; 6οὐκ ἔστιν ὧδε, ἀλλ᾽ ἠγέρθη· μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν ἐν τῇ Γαλιλαίᾳ, 7λέγων ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. 8καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ, 9καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα καὶ πᾶσι τοῖς λοιποῖς. 10ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία καὶ Ἰωάννα καὶ Μαρία Ἰακώβου καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς ἀποστόλους ταῦτα. 11καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. 12ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας βλέπει τὰ ὀθόνια κείμενα μόνα, καὶ ἀπῆλθε πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.

Καὶ ἰδοὺ δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ εἰς κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἰερουσαλήμ, ᾗ ὄνομα Ἐμμαούς. 14καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλή-

Capitolul 24

Şi în ziua cea dintâi a săptămânii, dis de dimineaţă, au venit la mormânt, aducând miresmele pe care le pregătiseră, şi altele împreună cu ele. 2Şi au aflat piatra prăvălită de la mormânt; 3şi intrând, nu au aflat trupul Domnului Iisus. 4Şi a fost că, fiind nedumerite de aceasta, iată doi bărbaţi au stat înaintea lor, în veşminte strălucitoare. 5Şi înfricoşându-se ele şi plecându-şi faţa la pământ, au zis către ele: Pentru ce căutaţi pe Cel viu cu cei morţi? 6Nu este aici, ci a înviat. Aduceţi-vă aminte cum v-a vorbit, fiind încă în Galileea, 7zicând că Fiul Omului trebuie să fie dat în mâinile oamenilor păcătoşi şi să fie răstignit şi a treia zi să învieze. 8Şi ele şi-au adus aminte de cuvintele Lui 9şi, întorcându-se de la mormânt, au vestit toate acestea celor unsprezece şi tuturor celorlalţi. 10Şi acestea erau: Maria Magdalena şi Ioana şi Maria lui Iacov şi celelalte împreună cu ele, care ziceau către apostoli acestea.

11Şi le-au părut ca o aiurare cuvintele lor, şi nu le dădeau crezare. 12Dar Petru, ridicându-se, a alergat la mormânt şi, aplecându-se, a văzut giulgiurile singure zăcând; şi a plecat, mirându-se în sine de ceea ce se întâmplase.

Şi iată, doi dintre ei mergeau în aceeaşi zi într-un sat, şaizeci de stadii depar-

λους περὶ πάντων τῶν συμβεβηκότων τούτων. 15καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας συνεπορεύετο αὐτοῖς· 16οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. 17εἶπε δὲ πρὸς αὐτούς· τίνες οἱ λόγοι οὗτοι οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες καὶ ἐστὲ σκυθρωποί; 18ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· σὺ μόνος παροικεῖς ἐν Ἰερουσαλὴμ καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; 19καὶ εἶπεν αὐτοῖς· ποῖα; οἱ δὲ εἶπον αὐτῷ· τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ προφήτης δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ καὶ παντὸς τοῦ λαοῦ, 20ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρῖμα θανάτου καὶ ἐσταύρωσαν αὐτόν. 21ἡμεῖς δὲ ἠλπίζομεν ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ· ἀλλά γε σὺν πᾶσι τούτοις τρίτην ταύτην ἡμέραν ἄγει σήμερον ἀφ' οὗ ταῦτα ἐγένετο. 22ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον, 23καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ ἦλθον λέγουσαι καὶ ὀπτασίαν ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. 24καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω καθὼς καὶ αἱ γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ εἶδον. 25καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ τοῦ πιστεύειν ἐπὶ πᾶσιν οἷς ἐλάλησαν οἱ προφῆται· 26οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; 27καὶ ἀρξάμενος ἀπὸ Μωϋσέως καὶ ἀπὸ πάντων τῶν προφητῶν διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς γραφαῖς τὰ περὶ ἑαυτοῦ. 28Καὶ ἤγγισαν εἰς τὴν κώμην οὗ ἐπορεύοντο, καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι· 29καὶ παρεβιάσαντο αὐτὸν λέγοντες· μεῖνον μεθ' ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ καὶ κέκλικεν ἡ ἡμέρα. καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν

te de Ierusalim, al cărui nume era Emaus. 14Şi ei vorbeau unul cu celălalt despre toate întâmplările acestea. 15Şi a fost pe când vorbeau ei şi se întrebau între ei, că Iisus Însuşi, apropiindu-Se, mergea împreună cu ei; 16iar ochii lor erau ţinuţi, ca să nu-L cunoască. 17Şi a zis către ei: Ce sunt cuvintele acestea pe care le schimbaţi unul cu celălalt, mergând pe cale, şi pentru ce sunteţi trişti? 18Şi răspunzând unul, al cărui nume era Cleopa, a zis către El: Tu singur eşti străin în Ierusalim şi nu ştii cele întâmplate în el în zilele acestea? 19Şi le-a zis: Care? Iar ei I-au zis: Cele despre Iisus Nazarineanul, Care a fost bărbat prooroc, puternic în faptă şi în cuvânt înaintea lui Dumnezeu şi a tot poporul, 20şi cum L-au dat arhiereii şi căpeteniile noastre la osândă de moarte şi L-au răstignit. 21Noi însă nădăjduiam că El este Cel ce avea să răscumpere pe Israel; şi, cu toate acestea, astăzi se face a treia zi de când s-au întâmplat acestea. 22Dar şi unele femei de-ale noastre ne-au spăimântat, ducându-se dis-de-dimineaţă la mormânt 23şi negăsind trupul Lui, au venit zicând că au văzut vedenie de îngeri, care zic că El este viu. 24Şi s-au dus unii dintre cei care erau împreună cu noi la mormânt şi au aflat aşa precum şi femeile au spus, dar pe El nu L-au văzut. 25Şi El a zis către ei: O, nepricepuţilor şi zăbavnicilor cu inima să credeţi toate câte au grăit proorocii! 26Nu acestea trebuia să pătimească Hristos şi să intre în slava Sa? 27Şi începând de la Moise şi de la toţi proorocii, le tâlcuia lor în toate Scripturile cele despre Sine. 28Şi s-au apropiat de satul unde mergeau, şi El Se făcea că merge mai departe; 29şi ei L-au silit pe El, zicând: Rămâi cu noi,

αὐτοῖς. 30καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι
αὐτὸν μετ᾽ αὐτῶν λαβὼν τὸν ἄρτον εὐλόγησε,
καὶ κλάσας ἐπεδίδου αὐτοῖς. 31αὐτῶν δὲ διη-
νοίχθησαν οἱ ὀφθαλμοί, καὶ ἐπέγνωσαν αὐ-
τόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ᾽ αὐτῶν.
32καὶ εἶπον πρὸς ἀλλήλους· οὐχὶ ἡ καρδία
ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν
τῇ ὁδῷ καὶ ὡς διήνοιγεν ἡμῖν τὰς γραφάς;
33Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ ὑπέστρεψαν
εἰς Ἰερουσαλήμ, καὶ εὗρον συνηθροισμένους
τοὺς ἕνδεκα καὶ τοὺς σὺν αὐτοῖς, 34λέγοντας
ὅτι ἠγέρθη ὁ Κύριος ὄντως καὶ ὤφθη Σίμωνι.
35καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ καὶ ὡς
ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

αὐτα δὲ αὐτῶν λαλούντων
αὐτὸς ὁ Ἰησοῦς ἔστη
ἐν μέσῳ αὐτῶν καὶ
λέγει αὐτοῖς· εἰρήνη
ὑμῖν. 37πτοηθέντες δὲ
καὶ ἔμφοβοι γενόμενοι
ἐδόκουν πνεῦμα θεωρεῖν.
38καὶ εἶπεν αὐτοῖς· τί τεται-
ραγμένοι ἐστέ, καὶ διατί διαλογι-
σμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρ-
δίαις ὑμῶν; 39ἴδετε τὰς χεῖράς μου καὶ
τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι· ψηλαφή-
σατέ με καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα
οὐκ ἔχει καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. 40καὶ
τοῦτο εἰπὼν ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ
τοὺς πόδας. 41ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ
τῆς χαρᾶς καὶ θαυμαζόντων εἶπεν αὐτοῖς· ἔχε-
τέ τι βρώσιμον ἐνθάδε; 42οἱ δὲ ἐπέδωκαν αὐτῷ
ἰχθύος ὀπτοῦ μέρος καὶ ἀπὸ μελισσίου κηρίου,
43καὶ λαβὼν ἐνώπιον αὐτῶν ἔφαγεν. 44εἶπε δὲ
αὐτοῖς· οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς
ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ
γεγραμμένα ἐν τῷ νόμῳ Μωϋσέως καὶ προφή-
ταις καὶ ψαλμοῖς περὶ ἐμοῦ. 45τότε διήνοιξεν
αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς γραφάς,
46καὶ εἶπεν αὐτοῖς ὅτι οὕτω γέγραπται καὶ οὕ-

căci este spre seară şi s-a plecat ziua. Şi a
intrat să rămână cu ei. 30Şi a fost când a
şezut cu ei la masă, că luând pâinea, a bi-
necuvântat şi, frângând, le-a dat lor. 31Şi
s-au deschis ochii lor şi L-au cunoscut; şi
El S-a făcut nevăzut de la ei. 32Şi au zis
unul către altul: Oare nu ardea în noi ini-
ma noastră când ne vorbea pe cale şi când
ne desluşea Scripturile? 33Şi ridicându-se
în ceasul acela, s-au întors la Ierusalim şi
i-au aflat adunaţi pe cei unsprezece şi pe
cei dimpreună cu ei, 34care ziceau că a
înviat cu adevărat Domnul şi S-a arătat
lui Simon. 35Şi ei au povestit cele de pe
cale şi cum a fost cunoscut de ei la frân-
gerea pâinii.

Şi pe când ziceau ei acestea, Însuşi Iisus
a stat în mijlocul lor şi le-a zis: Pace
vouă. 37Iar ei înspăimântându-se şi înfri-
coşându-se, credeau că văd duh. 38Şi le-a
zis: De ce sunteţi tulburaţi şi pentru ce se
ridică gânduri în inima voastră? 39Vedeţi
mâinile Mele şi picioarele Mele, că Eu În-
sumi sunt; pipăiţi-Mă şi vedeţi, că duhul
nu are carne şi oase, cum Mă vedeţi pe
Mine având. 40Şi zicând acestea, le-a ară-
tat mâinile şi picioarele. 41Şi încă necre-
zând ei, de bucurie, şi minunându-se, le-a
zis: Aveţi ceva de mâncare aici? 42Iar ei
I-au dat o bucată de peşte fript şi dintr-un
fagure de miere. 43Şi luând, a mâncat îna-
intea lor. 44Şi a zis către ei: Acestea sunt
cuvintele pe care le-am grăit către voi, în-
că fiind cu voi, că trebuie să se plinească
toate cele scrise în Legea lui Moise
şi în prooroci şi în psalmi despre Mine.
45Atunci le-a deschis mintea ca să înţeleagă
Scripturile. 46Şi le-a spus că aşa este
scris şi aşa trebuia să pătimească Hristos

τως ἔδει παθεῖν τὸν Χριστὸν καὶ ἀναστῆναι
ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, 47καὶ κηρυχθῆναι
ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν καὶ ἄφεσιν
ἁμαρτιῶν εἰς πάντα τὰ ἔθνη, ἀρξάμενον ἀπὸ
Ἰερουσαλήμ. 48ὑμεῖς δὲ ἐστὲ μάρτυρες τούτων.
49καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν
τοῦ πατρός μου ἐφ' ὑμᾶς· ὑμεῖς δὲ καθίσατε
ἐν τῇ πόλει Ἰερουσαλὴμ ἕως οὗ ἐνδύσησθε
δύναμιν ἐξ ὕψους.

Ἐξῆγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν,
καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ εὐλόγησεν
αὐτούς. 51καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν
αὐτοὺς διέστη ἀπ' αὐτῶν καὶ ἀνεφέρετο εἰς
τὸν οὐρανόν. 52καὶ αὐτοὶ προσκυνήσαντες αὐ-
τὸν ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ μετὰ χαρᾶς
μεγάλης, 53καὶ ἦσαν διὰ παντὸς ἐν τῷ ἱερῷ
αἰνοῦντες καὶ εὐλογοῦντες τὸν Θεόν. ἀμήν.

şi să învieze din morţi a treia zi, 47şi să se
propovăduiască în numele Lui pocăinţa şi
iertarea păcatelor la toate neamurile, în-
cepând de la Ierusalim. 48Iar voi sunteţi
martori ai acestora. 49Şi iată, Eu trimit fă-
găduinţa Tatălui Meu peste voi; voi însă
şedeţi în cetatea Ierusalimului până ce vă
veţi îmbrăca cu putere de sus.

Şi i-a dus afară, până spre Betania, şi,
ridicându-Şi mâinile, i-a binecuvântat.
51Şi a fost, pe când îi binecuvânta, că S-a
despărţit de ei şi a fost dus la cer. 52Iar ei,
închinându-se Lui, s-au întors în Ierusalim
cu bucurie mare. 53Şi erau în toată vremea
în templu, lăudând şi binecuvântând pe
Dumnezeu. Amin.


ΘΕΟΛΟ
ΓΟΣ

Κεφάλαιον Α΄

Capitolul 1

Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. 2Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. 3πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. 4ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. 5καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. 6Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης· 7οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. 8οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. 9Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. 10ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. 11εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. 12ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, 13οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν.

Ntru început era Cuvântul şi Cuvântul era la Dumnezeu şi Cuvântul era Dumnezeu. 2Acesta era întru început la Dumnezeu. 3Toate prin El s-au făcut, şi fără El nu s-a făcut nimic din ce s-a făcut. 4Întru El viaţă era, şi viaţa era lumina oamenilor, 5şi lumina în întuneric luminează şi întunericul nu a cuprins-o. 6Fost-a om trimis de la Dumnezeu, numele lui era Ioan. 7Acesta a venit spre mărturie, ca să mărturisească despre Lumină, ca toţi să creadă prin el. 8Nu era acela Lumina, ci ca să mărturisească despre Lumină. 9Era Lumina cea adevărată, care luminează pe tot omul, care vine în lume. 10În lume era, şi lumea prin El s-a făcut, şi lumea nu L-a cunoscut. 11Întru ale Sale a venit, şi ai Săi nu L-au primit. 12Iar câţi L-au primit, le-a dat lor, celor care cred în numele Lui, putere să se facă fii ai lui Dumnezeu, 13care nu din sânge, nici din voie a trupului, nici din voie a bărbatului, ci de la Dumnezeu

14Καὶ ὁ Λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν
ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ,
δόξαν ὡς μονογενοῦς παρὰ πατρός, πλήρης
χάριτος καὶ ἀληθείας. 15 Ἰωάννης μαρτυρεῖ
περὶ αὐτοῦ καὶ κέκραγε λέγων· οὗτος ἦν ὃν
εἶπον, ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου
γέγονεν, ὅτι πρῶτός μου ἦν. 16Καὶ ἐκ τοῦ πλη-
ρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν, καὶ
χάριν ἀντὶ χάριτος· 17ὅτι ὁ νόμος διὰ Μωϋσέως
ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χρι-
στοῦ ἐγένετο. 18Θεὸν οὐδεὶς ἑώρακε πώποτε·
ὁ μονογενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πα-
τρός, ἐκεῖνος ἐξηγήσατο.

Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Ἰωάννου, ὅτε
ἀπέστειλαν οἱ Ἰουδαῖοι ἐξ Ἱεροσολύμων
ἱερεῖς καὶ Λευίτας ἵνα ἐρωτήσωσιν αὐτόν· σὺ
τίς εἶ; 20καὶ ὡμολόγησε, καὶ οὐκ ἠρνήσατο·
καὶ ὡμολόγησεν ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός.
21καὶ ἠρώτησαν αὐτόν· τί οὖν; Ἠλίας εἶ σύ;
καὶ λέγει· οὐκ εἰμί. ὁ προφήτης εἶ σύ; καὶ ἀπε-
κρίθη, οὔ. 22εἶπον οὖν αὐτῷ· τίς εἶ; ἵνα ἀπό-
κρισιν δῶμεν τοῖς πέμψασιν ἡμᾶς· τί λέγεις
περὶ σεαυτοῦ; 23ἔφη· ἐγὼ *φωνὴ βοῶντος ἐν*
τῇ ἐρήμῳ, εὐθύνατε τὴν ὁδὸν Κυρίου, καθὼς
εἶπεν Ἡσαΐας ὁ προφήτης. 24καὶ οἱ ἀπεσταλ-
μένοι ἦσαν ἐκ τῶν Φαρισαίων· 25καὶ ἠρώτησαν
αὐτὸν καὶ εἶπον αὐτῷ· τί οὖν βαπτίζεις, εἰ σὺ
οὐκ εἶ ὁ Χριστὸς οὔτε Ἠλίας οὔτε ὁ προφή-
της; 26ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων· ἐγὼ
βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν ὃν
ὑμεῖς οὐκ οἴδατε. 27αὐτός ἐστιν ὁ ὀπίσω μου
ἐρχόμενος, ὃς ἔμπροσθέν μου γέγονεν, οὗ ἐγὼ
οὐκ εἰμὶ ἄξιος ἵνα λύσω αὐτοῦ τὸν ἱμάντα τοῦ
ὑποδήματος. 28Ταῦτα ἐν Βηθανίᾳ ἐγένετο
πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν Ἰωάννης βα-
πτίζων.

Τῇ ἐπαύριον βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν
ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει· ἴδε ὁ ἀμνὸς
τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

s-au născut. 14Şi Cuvântul trup S-a făcut
şi S-a sălăşluit întru noi şi am văzut slava
Lui, slavă ca a Unuia-Născut de la Tatăl,
plin de har şi de adevăr. 15Ioan mărturisea
despre El şi striga, zicând: Acesta este Cel
despre Care am zis: Cel ce vine după mine
înaintea mea S-a făcut, pentru că mai în-
tâi de mine era. 16Şi din plinătatea Lui noi
toţi am luat, şi har peste har. 17Pentru că
Legea prin Moise s-a dat, harul şi adevărul
prin Iisus Hristos au venit. 18Pe Dumnezeu
nimeni nu L-a văzut vreodată; Fiul Unul-
Născut, Care este în sânul Tatălui, Acela
L-a făcut cunoscut.

Şi aceasta este mărturia lui Ioan, când
au trimis iudeii din Ierusalim, preoţi
şi leviţi, ca să-l întrebe: Tu cine eşti? 20Şi
a mărturisit şi n-a tăgăduit; şi a mărturi-
sit: Nu sunt eu Hristosul. 21Şi l-au între-
bat: Ce, dar? Ilie eşti tu? Şi a zis: Nu sunt.
Proorocul eşti tu? Şi a răspuns: Nu. 22Au
zis deci lui: Cine eşti? Ca să dăm răspuns
celor ce ne-au trimis pe noi. Ce zici despre
tine însuţi? 23A zis: Eu sunt *glasul celui ce*
strigă în pustie: Dreaptă faceţi calea Dom-
nului, precum a zis Isaia proorocul. 24Şi
trimişii erau dintre farisei. 25Şi l-au între-
bat şi i-au zis: De ce, dar, botezi, dacă tu
nu eşti Hristosul, nici Ilie, nici Proorocul?
26Le-a răspuns Ioan, zicând: Eu botez în
apă; dar în mijlocul vostru stă Cel pe Care
voi nu-L ştiţi. 27Acesta este Cel care vine
după mine, Care înaintea mea S-a făcut,
Căruia eu nu sunt vrednic să-I dezleg cu-
reaua încălţămintei. 28Acestea se petre-
ceau în Betania, dincolo de Iordan, unde
boteza Ioan.

A doua zi L-a văzut Ioan pe Iisus venind
către el şi a zis: Iată Mielul lui Dum-
nezeu, Cel ce ridică păcatul lumii. 30Aces-

30οὗτός ἐστι περὶ οὗ ἐγὼ εἶπον· ὀπίσω μου
ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι
πρῶτός μου ἦν. 31κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ'
ἵνα φανερωθῇ τῷ Ἰσραὴλ, διὰ τοῦτο ἦλθον
ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων. 32καὶ ἐμαρτύρησεν
Ἰωάννης λέγων ὅτι τεθέαμαι τὸ Πνεῦμα
καταβαῖνον ὡς περιστερὰν ἐξ οὐρανοῦ, καὶ
ἔμεινεν ἐπ' αὐτόν. 33κἀγὼ οὐκ ᾔδειν αὐτόν, ἀλλ'
ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι
εἶπεν· ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον
καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων
ἐν Πνεύματι Ἁγίῳ. 34κἀγὼ ἑώρα-
κα καὶ μεμαρτύρηκα ὅτι οὗτός
ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ.

Τῇ ἐπαύριον πάλιν εἱστήκει ὁ Ἰω-
άννης καὶ ἐκ τῶν μαθητῶν αὐτοῦ
δύο, 36καὶ ἐμβλέψας τῷ Ἰησοῦ περι-
πατοῦντι λέγει· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ.
37καὶ ἤκουσαν αὐτοῦ οἱ δύο μαθηταὶ
λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰη-
σοῦ. 38στραφεὶς δὲ ὁ Ἰησοῦς καὶ θε-
ασάμενος αὐτοὺς ἀκολουθοῦντας
λέγει αὐτοῖς· τί ζητεῖτε; οἱ δὲ εἶπον αὐτῷ·
ῥαββί· ὃ λέγεται ἑρμηνευόμενον διδάσκαλε·
ποῦ μένεις; 40λέγει αὐτοῖς· ἔρχεσθε καὶ ἴδετε.
ἦλθον οὖν καὶ εἶδον ποῦ μένει καὶ παρ' αὐτῷ
ἔμειναν τὴν ἡμέραν ἐκείνην· ὥρα ἦν ὡς δεκάτη.
41ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου εἷς
ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου
καὶ ἀκολουθησάντων αὐτῷ. 42εὑρίσκει οὗτος
πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα καὶ
λέγει αὐτῷ· εὑρήκαμεν τὸν Μεσσίαν· ὅ ἐστι με-
θερμηνευόμενον Χριστός· 43καὶ ἤγαγεν αὐτὸν
πρὸς τὸν Ἰησοῦν. ἐμβλέψας αὐτῷ ὁ Ἰησοῦς
εἶπε· σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ
Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος.

Τῇ ἐπαύριον ἠθέλησεν ὁ Ἰησοῦς ἐξελθεῖν εἰς
τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον καὶ
λέγει αὐτῷ· ἀκολούθει μοι. 45ἦν δὲ ὁ Φίλιππος
ἀπὸ Βηθσαϊδά, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ

ta este Cel despre Care eu am zis: După
mine vine un bărbat, Care înaintea mea
S-a făcut, pentru că mai întâi de mine era.
31Şi eu nu-L ştiam pe El; dar ca să fie arătat lui Israel, pentru aceasta am venit eu,
botezând în apă. 32Şi a mărturisit Ioan zicând: Am văzut Duhul pogorându-Se ca
un porumbel din cer şi a rămas peste El.
33Şi eu nu-L ştiam pe El; dar Cel ce m-a
trimis să botez în apă, Acela mi-a zis: Cel
peste Care vei vedea Duhul pogorându-Se
şi rămânând peste El, Acesta este Cel ce
botează în Duh Sfânt. 34Şi eu am văzut
şi am mărturisit că Acesta este Fiul lui
Dumnezeu.

A doua zi iarăşi stătea Ioan şi doi dintre
ucenicii lui, 36şi privind la Iisus, Care
trecea, a zis: Iată Mielul lui Dumnezeu!
37Şi l-au auzit cei doi ucenici vorbind, şi au
urmat lui Iisus. 38Şi întorcându-Se Iisus şi
văzându-i că Îi urmează, le-a zis: 39Ce căutaţi? Iar ei I-au zis: Rabbi – care se tâlcuieşte: Învăţătorule –, unde stai? 40Le-a zis:
Veniţi şi vedeţi. Au mers deci şi au văzut
unde stătea, şi au rămas la El în ziua aceea; era ca la ceasul al zecelea. 41Era Andrei, fratele lui Simon Petru, unul dintre
cei doi care auziseră de la Ioan şi urmaseră Lui. 42Acesta, cel dintâi, l-a găsit pe
fratele său, Simon, şi i-a zis: Am găsit pe
Mesia – care se tâlcuieşte: Hristos; 43şi l-a
adus la Iisus. Privindu-l, Iisus a zis: Tu eşti
Simon, fiul lui Ioná, tu te vei numi Chefá
– care se tâlcuieşte Petru.

A doua zi a vrut Iisus să meargă în Galileea; şi l-a aflat pe Filip şi i-a zis:
Urmează Mie. 45Şi era Filip din Betsaida,
din cetatea lui Andrei şi a lui Petru. 46Şi a

Πέτρου. 46εὑρίσκει Φίλιππος τὸν Ναθαναὴλ καὶ λέγει αὐτῷ· ὃν ἔγραψε Μωϋσῆς ἐν τῷ νόμῳ καὶ οἱ προφῆται, εὑρήκαμεν, Ἰησοῦν τὸν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ. 47καὶ εἶπεν αὐτῷ Ναθαναήλ· ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; λέγει αὐτῷ Φίλιππος· ἔρχου καὶ ἴδε. 48εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτὸν καὶ λέγει περὶ αὐτοῦ· ἴδε ἀληθῶς Ἰσραηλίτης ἐν ᾧ δόλος οὐκ ἔστι. 49λέγει αὐτῷ Ναθαναήλ· πόθεν με γινώσκεις; ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν εἶδόν σε. 50ἀπεκρίθη Ναθαναὴλ καὶ λέγει αὐτῷ· ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ βασιλεὺς τοῦ Ἰσραήλ. 51ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει. 52καὶ λέγει αὐτῷ· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἀπ᾽ ἄρτι ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου.

aflat Filip pe Natanail şi i-a zis: Am aflat pe Cel despre Care au scris Moise în Lege şi Proorocii: Este Iisus, fiul lui Iosif din Nazaret. 47Şi i-a zis Natanail: Din Nazaret poate fi ceva bun? Filip i-a zis: Vino şi vezi. 48Iisus l-a văzut pe Natanail venind către El şi a zis despre el: Iată, cu adevărat, israelitean în care nu este vicleşug. 49I-a zis Natanail: De unde mă cunoşti? A răspuns Iisus şi i-a zis: Mai înainte ca Filip să te strige, te-am văzut când erai sub smochin. 50A răspuns Natanail şi I-a zis Lui: Rabbi, Tu eşti Fiul lui Dumnezeu, Tu eşti Împăratul lui Israel. 51A răspuns Iisus şi i-a zis: Pentru că ți-am zis ție că te-am văzut sub smochin, crezi? Mai mari decât acestea vei vedea. 52Şi i-a zis: Amin, amin zic vouă, de acum veți vedea cerul deschis şi pe îngerii lui Dumnezeu suindu-se şi coborându-se peste Fiul Omului.

Κεφάλαιον Β΄

Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἦν ἡ μήτηρ τοῦ Ἰησοῦ ἐκεῖ· 2ἐκλήθη δὲ καὶ ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὸν γάμον. 3καὶ ὑστερήσαντος οἴνου λέγει ἡ μήτηρ τοῦ Ἰησοῦ πρὸς αὐτόν· οἶνον οὐκ ἔχουσι. 4λέγει αὐτῇ ὁ Ἰησοῦς· τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου. 5λέγει ἡ μήτηρ αὐτοῦ τοῖς διακόνοις· ὅ τι ἂν λέγῃ ὑμῖν, ποιήσατε. 6ἦσαν δὲ ἐκεῖ ὑδρίαι λίθιναι ἓξ κείμεναι κατὰ τὸν καθαρισμὸν τῶν Ἰουδαίων, χωροῦσαι ἀνὰ μετρητὰς δύο ἢ τρεῖς.

Capitolul 2

Şi în ziua a treia s-a făcut nuntă în Cana Galileii, şi era mama lui Iisus acolo. 2Şi a fost chemat şi Iisus şi ucenicii Săi la nuntă. 3Şi sfârşindu-se vinul, a zis mama lui Iisus către El: Nu mai au vin. 4Şi a zis ei Iisus: Ce este Mie şi ție, femeie? Încă nu a venit ceasul Meu. 5A zis mama Lui slujitorilor: Orice vă spune faceți. 6Şi erau acolo şase vase de piatră, puse pentru curățirea iudeilor, care luau câte două sau trei vedre. 7Le-a zis lor Iisus: Umpleți vasele cu

7λέγει αὐτοῖς ὁ Ἰησοῦς· γεμίσατε τὰς ὑδρίας
ὕδατος. καὶ ἐγέμισαν αὐτὰς ἕως ἄνω. 8καὶ
λέγει αὐτοῖς· ἀντλήσατε νῦν καὶ φέρετε τῷ
ἀρχιτρικλίνῳ. καὶ ἤνεγκαν. 9ὡς δὲ ἐγεύσατο ὁ
ἀρχιτρίκλινος τὸ ὕδωρ οἶνον γεγενημένον –καὶ
οὐκ ᾔδει πόθεν ἐστίν· οἱ δὲ διάκονοι ᾔδεισαν
οἱ ἠντληκότες τὸ ὕδωρ– φωνεῖ τὸν νυμφίον ὁ
ἀρχιτρίκλινος 10καὶ λέγει αὐτῷ· πᾶς ἄνθρωπος
πρῶτον τὸν καλὸν οἶνον τίθησι, καὶ ὅταν
μεθυσθῶσι, τότε τὸν ἐλάσσω· σὺ τετήρηκας
τὸν καλὸν οἶνον ἕως ἄρτι. 11Ταύτην ἐποίησε
τὴν ἀρχὴν τῶν σημείων ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς
Γαλιλαίας καὶ ἐφανέρωσε τὴν δόξαν αὐτοῦ,
καὶ ἐπίστευσαν εἰς αὐτὸν οἱ μαθηταὶ αὐτοῦ.
12Μετὰ τοῦτο κατέβη εἰς Καπερναοὺμ αὐτὸς
καὶ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ
οἱ μαθηταὶ αὐτοῦ, καὶ ἐκεῖ ἔμειναν οὐ πολλὰς
ἡμέρας.

Καὶ ἐγγὺς ἦν τὸ πάσχα τῶν Ἰουδαίων, καὶ
ἀνέβη εἰς Ἱεροσόλυμα ὁ Ἰησοῦς. 14καὶ εὗ-
ρεν ἐν τῷ ἱερῷ τοὺς πωλοῦντας βόας καὶ πρό-
βατα καὶ περιστεράς, καὶ τοὺς κερματιστὰς
καθημένους. 15καὶ ποιήσας φραγέλλιον ἐκ
σχοινίων πάντας ἐξέβαλεν ἐκ τοῦ ἱεροῦ, τά τε
πρόβατα καὶ τοὺς βόας, καὶ τῶν κολλυβιστῶν
ἐξέχεε τὸ κέρμα καὶ τὰς τραπέζας ἀνέστρεψε,
16καὶ τοῖς τὰς περιστερὰς πωλοῦσιν εἶπεν· ἄρα-
τε ταῦτα ἐντεῦθεν· μὴ ποιεῖτε τὸν οἶκον τοῦ
πατρός μου οἶκον ἐμπορίου. 17ἐμνήσθησαν δὲ
οἱ μαθηταὶ αὐτοῦ ὅτι γεγραμμένον ἐστίν, *ὁ
ζῆλος τοῦ οἴκου σου καταφάγεταί με.* 18ἀπε-
κρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ· τί
σημεῖον δεικνύεις ἡμῖν ὅτι ταῦτα ποιεῖς; 19ἀπε-
κρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· λύσατε τὸν να-
ὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν.
20εἶπον οὖν οἱ Ἰουδαῖοι· τεσσαράκοντα καὶ
ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος, καὶ σὺ
ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν; 21ἐκεῖνος δὲ
ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. 22ὅτε
οὖν ἠγέρθη ἐκ νεκρῶν, ἐμνήσθησαν οἱ μαθη-

apă. Şi le-au umplut până sus. 8Şi le-a zis:
Scoateți acum şi aduceți starostelui mesei.
Şi i-au adus. 9Iar când starostele mesei a
gustat apa care se făcuse vin – şi nu ştia
de unde este, dar slujitorii care scoseseră
apa ştiau – a strigat starostele mesei pe
mire 10şi i-a zis: Tot omul pune întâi vinul
cel bun şi, când au băut bine, atunci pune
pe cel mai prost; tu ai ținut vinul cel bun
până acum. 11Acest început al semnelor
L-a făcut Iisus în Cana Galileii şi Şi-a ară-
tat slava Sa; şi au crezut în El ucenicii Lui.
12După aceasta a coborât în Capernaum,
El şi mama Lui şi frații Lui şi ucenicii Lui,
şi acolo au rămas nu multe zile.

Şi era aproape Paştele iudeilor, şi Iisus
S-a suit la Ierusalim. 14Şi a aflat şe-
zând în templu pe cei ce vindeau boi şi
oi şi porumbei şi pe schimbătorii de bani.
15Şi făcând bici din frânghii, i-a scos afa-
ră pe toți din templu, şi oile şi boii; şi a
vărsat banii schimbătorilor, şi mesele le-a
răsturnat, 16şi celor care vindeau porum-
bei le-a zis: Luați acestea de aici; nu fa-
ceți casa Tatălui Meu casă de negustorie.
17Şi şi-au adus aminte ucenicii Lui că este
scris: *Râvna casei Tale mă va mistui.* 18Au
răspuns deci iudeii şi I-au zis: Ce semn ne
arăți nouă că faci acestea? 19A răspuns Ii-
sus şi le-a zis: Dărâmați templul acesta şi
în trei zile îl voi ridica. 20Au zis deci iudeii:
În patruzeci şi şase de ani s-a zidit templul
acesta! Şi Tu în trei zile îl vei ridica? 21Dar
El vorbea despre templul trupului Său.
22Deci, când S-a sculat din morți, şi-au
adus aminte ucenicii Lui că zicea aceasta
şi au crezut Scripturii şi cuvântului pe care

ταὶ αὐτοῦ ὅτι τοῦτο ἔλεγε, καὶ ἐπίστευσαν τῇ γραφῇ καὶ τῷ λόγῳ ᾧ εἶπεν ὁ Ἰησοῦς. 23 Ὡς δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ἐν τῷ πάσχα ἐν τῇ ἑορτῇ, πολλοὶ ἐπίστευσαν εἰς τὸ ὄνομα αὐτοῦ, θεωροῦντες αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει. 24αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς διὰ τὸ αὐτὸν γινώσκειν πάντας, 25καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκε τί ἦν ἐν τῷ ἀνθρώπῳ.

Îl spusese Iisus. 23Şi când era în Ierusalim, la Paşti, la sărbătoare, mulţi au crezut în numele Lui, văzând semnele Lui pe care le făcea. 24Dar Iisus Însuşi nu Se încredea în ei, pentru că El îi cunoştea pe toţi, 25şi pentru că nu avea trebuinţă ca cineva să mărturisească despre om, căci Însuşi cunoştea ce era în om.

Κεφάλαιον Γ΄

Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων. 2οὗτος ἦλθε πρὸς αὐτὸν νυκτὸς καὶ εἶπεν αὐτῷ· ῥαββί, οἴδαμεν ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ Θεὸς μετ᾽ αὐτοῦ. 3ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ. 4λέγει πρὸς αὐτὸν ὁ Νικόδημος· πῶς δύναται ἄνθρωπος γεννηθῆναι γέρων ὤν; μὴ δύναται εἰς τὴν κοιλίαν τῆς μητρὸς αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι; 5ἀπεκρίθη Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. 6τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστι, καὶ τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστι. 7μὴ θαυμάσῃς ὅτι εἶπόν σοι, δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. 8τὸ πνεῦμα ὅπου θέλει πνεῖ, καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις, ἀλλ᾽ οὐκ οἶδας πόθεν ἔρχεται καὶ ποῦ ὑπάγει· οὕτως ἐστὶ πᾶς ὁ γεγεννημέ-

Capitolul 3

Şi era un om dintre farisei, Nicodim numele lui, căpetenie a iudeilor. 2Acesta a venit la El noaptea şi I-a zis: Rabbi, ştim că de la Dumnezeu ai venit învăţător; căci nimeni nu poate face aceste semne pe care le faci Tu, dacă Dumnezeu nu este cu el. 3A răspuns Iisus şi i-a zis: Amin, amin zic ţie: Dacă nu se naşte cineva de sus nu poate să vadă Împărăţia lui Dumnezeu. 4A zis către El Nicodim: Cum poate omul să se nască, bătrân fiind? Oare poate să intre în pântecele mamei sale a doua oară şi să se nască? 5A răspuns Iisus: Amin, amin zic ţie: Dacă nu se naşte cineva din apă şi din Duh, nu poate să intre în Împărăţia lui Dumnezeu. 6Ce este născut din trup trup este; şi ce este născut din Duh duh este. 7Nu te minuna că ţi-am zis: Trebuie să vă naşteţi de sus. 8Vântul suflă unde voieşte şi auzi glasul lui, dar nu ştii de unde vine şi încotro se duce; Astfel este tot cel născut din Duhul. 9A răspuns Nicodim şi i-a zis: Cum pot să fie acestea?

νος ἐκ τοῦ Πνεύματος. 9ἀπεκρίθη Νικόδημος καὶ εἶπεν αὐτῷ· πῶς δύναται ταῦτα γενέσθαι; 10ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· σὺ εἶ ὁ διδάσκαλος τοῦ Ἰσραὴλ καὶ ταῦτα οὐ γινώσκεις; 11ἀμὴν ἀμὴν λέγω σοι ὅτι ὃ οἴδαμεν λαλοῦμεν καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐ λαμβάνετε. 12εἰ τὰ ἐπίγεια εἶπον ὑμῖν καὶ οὐ πιστεύετε, πῶς ἐὰν εἴπω ὑμῖν τὰ ἐπουράνια πιστεύσετε; 13καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ ὢν ἐν τῷ οὐρανῷ. 14καὶ καθὼς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ, οὕτως ὑψωθῆναι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου, 15ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. 16οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ᾽ ἔχῃ ζωὴν αἰώνιον. 17οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ᾽ ἵνα σωθῇ ὁ κόσμος δι᾽ αὐτοῦ. 18ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται, ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ. 19αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. 20πᾶς γὰρ ὁ φαῦλα πράσσων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐλεγχθῇ τὰ ἔργα αὐτοῦ· 21ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς, ἵνα φανερωθῇ αὐτοῦ τὰ ἔργα, ὅτι ἐν Θεῷ ἐστιν εἰργασμένα.

Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν, καὶ ἐκεῖ διέτριβε μετ᾽ αὐτῶν καὶ ἐβάπτιζεν. 23ἦν δὲ καὶ Ἰωάννης βαπτίζων ἐν Αἰνὼν ἐγγὺς τοῦ Σαλείμ, ὅτι ὕδατα πολλὰ ἦν ἐκεῖ, καὶ παρεγίνοντο καὶ ἐβαπτίζοντο· 24οὔπω γὰρ ἦν βεβλημένος εἰς τὴν φυλακὴν ὁ Ἰωάννης. 25Ἐγένετο οὖν ζήτησις ἐκ τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίου

10Iisus a răspuns şi i-a zis: Tu eşti învăţătorul lui Israel şi nu cunoşti acestea? 11Amin, amin zic ţie, că ceea ce ştim vorbim şi ceea ce am văzut mărturisim, şi mărturia noastră nu o primiţi. 12Dacă v-am spus cele pământeşti şi nu credeţi, cum veţi crede dacă vă voi spune cele cereşti? 13Şi nimeni nu s-a suit la cer, decât Cel care a coborât din cer, Fiul Omului, Cel ce este în cer. 14Şi după cum Moise a înălţat şarpele în pustie, aşa trebuie să Se înalţe Fiul Omului, 15ca tot cel ce crede în El să nu piară, ci să aibă viaţă veşnică. 16Căci aşa a iubit Dumnezeu lumea, încât pe Fiul Său Cel Unul-Născut L-a dat, ca tot cel ce crede în El să nu piară, ci să aibă viaţă veşnică. 17Căci nu a trimis Dumnezeu pe Fiul Său în lume ca să judece lumea, ci ca să se mântuiască lumea prin El. 18Cel ce crede în El nu este judecat, iar cel care nu crede a fost deja judecat, că nu a crezut în numele Fiului Unuia-Născut al lui Dumnezeu. 19Şi aceasta este judecata, că Lumina a venit în lume şi au iubit oamenii mai mult întunericul decât Lumina; căci viclene erau faptele lor. 20Căci tot cel ce face rele urăşte Lumina şi nu vine la Lumină, ca să nu se vădească faptele lui; 21Dar cel care face adevărul vine la Lumină, ca să se arate faptele lui, că în Dumnezeu sunt săvârşite.

După acestea a venit Iisus şi ucenicii Lui în pământul Iudeii, şi acolo stătea cu ei şi boteza. 23Şi boteza şi Ioan în Enon, aproape de Salim, că ape multe erau acolo, şi veneau şi se botezau. 24Căci Ioan încă nu fusese aruncat în temniţă. 25Şi s-a iscat o nedumerire între ucenicii lui Ioan şi un iudeu despre curăţire. 26Şi au venit

περὶ καθαρισμοῦ. 26καὶ ἦλθον πρὸς τὸν Ἰωάννην καὶ εἶπον αὐτῷ· ῥαββί, ὃς ἦν μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει καὶ πάντες ἔρχονται πρὸς αὐτόν. 27ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν· οὐ δύναται ἄνθρωπος λαμβάνειν οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. 28αὐτοὶ ὑμεῖς μοι μαρτυρεῖτε ὅτι εἶπον· οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός, ἀλλ' ὅτι ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. 29ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου. αὕτη οὖν ἡ χαρὰ ἡ ἐμὴ πεπλήρωται. 30ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι.

Ὁ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν. ὁ ὢν ἐκ τῆς γῆς ἐκ τῆς γῆς ἐστι καὶ ἐκ τῆς γῆς λαλεῖ· ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστί, 32καὶ ὃ ἑώρακε καὶ ἤκουσε, τοῦτο μαρτυρεῖ, καὶ τὴν μαρτυρίαν αὐτοῦ οὐδεὶς λαμβάνει. 33ὁ λαβὼν αὐτοῦ τὴν μαρτυρίαν ἐσφράγισεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν. 34ὃν γὰρ ἀπέστειλεν ὁ Θεός, τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ· οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα. 35ὁ πατὴρ ἀγαπᾷ τὸν υἱὸν καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. 36ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ υἱῷ οὐκ ὄψεται ζωήν, ἀλλ' ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν.

la Ioan şi i-au zis: Rabbi, Cel care era cu tine dincolo de Iordan, pentru Care tu ai mărturisit, iată Acesta botează şi toţi vin la El. 27A răspuns Ioan şi a zis: Nu poate omul să ia nimic, dacă nu i s-a dat lui din cer. 28Voi înşivă îmi sunteţi martori că am zis: Nu sunt eu Hristosul, ci sunt trimis înaintea Lui. 29Cel ce are mireasa este mire; iar prietenul mirelui, care stă şi-l ascultă, cu bucurie se bucură de glasul mirelui. Deci această bucurie a mea s-a împlinit. 30Acela trebuie să crească, iar eu să mă micşorez.

Cel ce vine de sus deasupra tuturor este; cel ce este din pământ, din pământ este şi din pământ grăieşte. Cel ce vine din cer deasupra tuturor este, 32şi ce a văzut şi ce a auzit, aceasta mărturiseşte, şi mărturia Lui nimeni nu o primeşte. 33Cel care a primit mărturia Lui a pecetluit că Dumnezeu adevărat este. 34Căci cel pe care l-a trimis Dumnezeu cuvintele lui Dumnezeu grăieşte, că nu cu măsură dă Dumnezeu Duhul. 35Tatăl iubeşte pe Fiul şi toate le-a dat în mâna Lui. 36Cel ce crede în Fiul are viaţă veşnică; iar cel ce nu ascultă de Fiul nu va vedea viaţă, ci mânia lui Dumnezeu rămâne peste el.

Κεφάλαιον Δ΄

Ὡς οὖν ἔγνω ὁ Κύριος ὅτι ἤκουσαν οἱ Φαρισαῖοι ὅτι Ἰησοῦς πλείονας μαθητὰς ποιεῖ καὶ βαπτίζει ἢ Ἰωάννης 2–καίτοιγε Ἰησοῦς αὐτὸς οὐκ ἐβάπτιζεν, ἀλλ' οἱ μαθηταὶ αὐτοῦ– 3ἀφῆκε τὴν Ἰουδαίαν καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν. 4Ἔδει δὲ αὐτὸν διέρχεσθαι

Capitolul 4

Deci când a cunoscut Domnul că fariseii au auzit că Iisus face şi botează mai mulţi ucenici decât Ioan 2 – deşi Iisus Însuşi nu boteza, ci ucenicii Lui – 3a lăsat Iudeea şi a plecat în Galileea. 4Şi trebuia să treacă prin Samaria. 5Deci, a venit într-o

διὰ τῆς Σαμαρείας. 5ἔρχεται οὖν εἰς πόλιν τῆς Σαμαρείας λεγομένην Συχάρ, πλησίον τοῦ χωρίου ὃ ἔδωκεν Ἰακὼβ Ἰωσὴφ τῷ υἱῷ αὐτοῦ· 6ἦν δὲ ἐκεῖ πηγὴ τοῦ Ἰακώβ. ὁ οὖν Ἰησοῦς κεκοπιακὼς ἐκ τῆς ὁδοιπορίας ἐκαθέζετο οὕτως ἐπὶ τῇ πηγῇ· ὥρα ἦν ὡσεὶ ἕκτη. 7ἔρχεται γυνὴ ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ. λέγει αὐτῇ ὁ Ἰησοῦς· δός μοι πιεῖν. 8οἱ γὰρ μαθηταὶ αὐτοῦ ἀπεληλύθεισαν εἰς τὴν πόλιν ἵνα τροφὰς ἀγοράσωσι.

9λέγει οὖν αὐτῷ ἡ γυνὴ ἡ Σαμαρεῖτις· πῶς σὺ Ἰουδαῖος ὢν παρ' ἐμοῦ πιεῖν αἰτεῖς, οὔσης γυναικὸς Σαμαρείτιδος; οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις. 10ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. 11λέγει αὐτῷ ἡ γυνή· Κύριε, οὔτε ἄντλημα ἔχεις, καὶ τὸ φρέαρ ἐστὶ βαθύ· πόθεν οὖν ἔχεις τὸ ὕδωρ τὸ ζῶν; 12μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ὃς ἔδωκεν ἡμῖν τὸ φρέαρ, καὶ αὐτὸς ἐξ αὐτοῦ ἔπιε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ τὰ θρέμματα αὐτοῦ; 13ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ· πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος τούτου διψήσει πάλιν· 14ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα, ἀλλὰ τὸ ὕδωρ ὃ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. 15λέγει πρὸς αὐτὸν ἡ γυνή· Κύριε, δός μοι τοῦτο τὸ ὕδωρ, ἵνα μὴ διψῶ μηδὲ ἔρχωμαι ἐνθάδε ἀντλεῖν. 16λέγει αὐτῇ ὁ Ἰησοῦς· ὕπαγε φώνησον τὸν ἄνδρα σου καὶ ἐλθὲ ἐνθάδε. 17ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν· οὐκ ἔχω ἄνδρα. λέγει αὐτῇ ὁ Ἰησοῦς· καλῶς εἶπας ὅτι ἄνδρα οὐκ ἔχω· 18πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστι σου ἀνήρ· τοῦτο ἀληθὲς εἴρηκας. 19λέγει αὐτῷ ἡ γυνή· Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. 20οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέ-

cetate a Samariei, numită Sihar, aproape de ţarina pe care i-a dat-o Iacov lui Iosif, fiul său; 6şi era acolo fântâna lui Iacov. Deci Iisus, ostenit de călătorie, şedea aşa la fântână; era ca la al şaselea ceas. 7A venit o femeie din Samaria să scoată apă. Iisus i-a zis: Dă-Mi să beau. 8Căci ucenicii Lui plecaseră în cetate ca să cumpere merinde. 9Deci I-a zis femeia samarineancă: Cum Tu, iudeu fiind, ceri să bei de la mine, care sunt femeie samarineancă? Căci iudeii nu au amestec cu samarinenii. 10A răspuns Iisus şi i-a zis: Dacă ai fi ştiut darul lui Dumnezeu şi Cine este Cel ce-ţi zice: Dă-Mi să beau, tu I-ai fi cerut şi ţi-ar fi dat apă vie. 11I-a zis femeia: Doamne, nici găleată nu ai şi fântâna este adâncă; de unde, dar, ai apa cea vie? 12Nu cumva eşti Tu mai mare decât părintele nostru Iacov, care ne-a dat fântâna, şi el însuşi a băut din ea, şi fiii lui, şi turmele lui? 13A răspuns Iisus şi i-a zis: Tot cel ce bea din apa aceasta va înseta iarăşi; 14Dar cel ce va bea din apa pe care i-o voi da Eu nu va mai înseta în veac, ci apa pe care i-o voi da se va face în el izvor de apă curgătoare spre viaţă veşnică. 15A zis către El femeia: Doamne, dă-mi această apă ca să nu mai însetez, nici să mai vin aici să scot. 16I-a zis Iisus: Mergi şi strigă-l pe bărbatul tău şi vino aici. 17A răspuns femeia şi I-a zis: Nu am bărbat. I-a zis Iisus: Bine ai zis: Nu am bărbat; 18căci cinci bărbaţi ai avut, iar acum cel pe care îl ai nu este bărbatul tău. Aceasta adevărat ai spus. 19I-a zis femeia: Doamne, văd că Tu eşti prooroc. 20Părinţii noştri în muntele acesta s-au închinat; şi

γετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου
δεῖ προσκυνεῖν. 21λέγει αὐτῇ ὁ Ἰησοῦς· γύναι,
πίστευσόν μοι ὅτι ἔρχεται ὥρα ὅτε οὔτε ἐν
τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσ-
κυνήσετε τῷ πατρί. 22ὑμεῖς προσκυνεῖτε ὃ
οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν·
ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. 23ἀλλ'
ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ
προσκυνηταὶ προσκυνήσουσι τῷ πατρὶ ἐν
πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ πατὴρ τοι-
ούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν.
24πνεῦμα ὁ Θεός, καὶ τοὺς προσκυνοῦντας
αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν.
25λέγει αὐτῷ ἡ γυνή· οἶδα ὅτι Μεσσίας ἔρχεται
ὁ λεγόμενος Χριστός· ὅταν ἔλθῃ ἐκεῖνος, ἀναγ-
γελεῖ ἡμῖν πάντα. 26λέγει αὐτῇ ὁ Ἰησοῦς· ἐγώ
εἰμι ὁ λαλῶν σοι. 27καὶ ἐπὶ τούτῳ ἦλθον οἱ μα-
θηταὶ αὐτοῦ, καὶ ἐθαύμασαν ὅτι μετὰ γυναι-
κὸς ἐλάλει· οὐδεὶς μέντοι εἶπε, τί ζητεῖς ἢ τί
λαλεῖς μετ' αὐτῆς; 28Ἀφῆκεν οὖν τὴν ὑδρίαν
αὐτῆς ἡ γυνὴ καὶ ἀπῆλθεν εἰς τὴν πόλιν, καὶ
λέγει τοῖς ἀνθρώποις· 29δεῦτε ἴδετε ἄνθρωπον
ὃς εἶπέ μοι πάντα ὅσα ἐποίησα· μήτι οὗτός
ἐστιν ὁ Χριστός; 30ἐξῆλθον οὖν ἐκ τῆς πόλεως
καὶ ἤρχοντο πρὸς αὐτόν. 31Ἐν δὲ τῷ μεταξὺ
ἠρώτων αὐτὸν οἱ μαθηταὶ λέγοντες· ῥαββί,
φάγε. 32ὁ δὲ εἶπεν αὐτοῖς· ἐγὼ βρῶσιν ἔχω
φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε. 33ἔλεγον οὖν οἱ
μαθηταὶ πρὸς ἀλλήλους· μή τις ἤνεγκεν αὐτῷ
φαγεῖν; 34λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἐμὸν βρῶμά
ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με
καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. 35οὐχ ὑμεῖς λέ-
γετε ὅτι ἔτι τετράμηνός ἐστι καὶ ὁ θερισμὸς
ἔρχεται; ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλ-
μοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας, ὅτι λευ-
καί εἰσι πρὸς θερισμὸν ἤδη. 36καὶ ὁ θερίζων
μισθὸν λαμβάνει καὶ συνάγει καρπὸν εἰς
ζωὴν αἰώνιον, ἵνα καὶ ὁ σπείρων ὁμοῦ χαίρῃ
καὶ ὁ θερίζων. 37ἐν γὰρ τούτῳ ὁ λόγος ἐστὶν
ὁ ἀληθινός, ὅτι ἄλλος ἐστὶν ὁ σπείρων καὶ

voi ziceți că în Ierusalim este locul unde
trebuie să ne închinăm. 21I-a zis Iisus: Fe-
meie, crede-Mă că vine ceasul când nici
pe muntele acesta, nici în Ierusalim nu vă
veți închina Tatălui. 22Voi vă închinați la
ce nu știți; noi ne închinăm la ce știm, pen-
tru că mântuirea din iudei este. 23Dar vine
ceasul, și acum este, când adevărații închi-
nători se vor închina Tatălui în duh și în
adevăr; că și Tatăl astfel îi vrea pe cei care
I se închină. 24Duh este Dumnezeu; și cei
care I se închină trebuie să I se închine în
duh și în adevăr. 25I-a zis femeia: Știu că
vine Mesia, care se cheamă Hristos; când
va veni Acela, ne va vesti nouă toate. 26I-a
zis Iisus: Eu sunt, Cel care îți vorbește.
27Și îndată au venit ucenicii Lui și s-au
mirat că vorbea cu o femeie. Dar nimeni
n-a zis: Ce cauți? sau: Ce vorbești cu ea?
28A lăsat, deci, femeia vasul ei și s-a dus
în cetate și le-a zis oamenilor: 29Veniți de
vedeți un om care mi-a spus toate câte am
făcut; nu cumva Acesta este Hristosul?
30Ei au ieșit din cetate și veneau către
El. 31Între timp, Îl rugau ucenicii, zicând:
Rabbi, mănâncă. 32Iar El le-a zis: Eu am
de mâncat o mâncare pe care voi nu o
știți. 33Deci ziceau ucenicii unii către alții:
Nu cumva I-a adus cineva să mănânce?
34Le-a zis Iisus: Mâncarea Mea este să
fac voia Celui care M-a trimis pe Mine
și să săvârșesc lucrul Lui. 35Nu ziceți voi
că mai sunt patru luni și vine secerișul?
Iată, zic vouă: Ridicați ochii voștri și pri-
viți țarinile că sunt albe deja pentru sece-
riș. 36Iar cel ce seceră primește plată și
adună rod spre viață veșnică, ca împreună
să se bucure și cel ce seamănă și cel
ce seceră. 37Căci întru aceasta se adeve-
rește cuvântul că unul este semănătorul

ἄλλος ὁ θερίζων. 38ἐγὼ ἀπέστειλα ὑμᾶς θερίζειν ὃ οὐχ ὑμεῖς κεκοπιάκατε· ἄλλοι κεκοπιάκασι, καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε. 39Ἐκ δὲ τῆς πόλεως ἐκείνης πολλοὶ ἐπίστευσαν εἰς αὐτὸν τῶν Σαμαρειτῶν διὰ τὸν λόγον τῆς γυναικός, μαρτυρούσης ὅτι εἶπέ μοι πάντα ὅσα ἐποίησα. 40ὡς οὖν ἦλθον πρὸς αὐτὸν οἱ Σαμαρεῖται, ἠρώτων αὐτὸν μεῖναι παρ' αὐτοῖς· καὶ ἔμεινεν ἐκεῖ δύο ἡμέρας. 41καὶ πολλῷ πλείους ἐπίστευσαν διὰ τὸν λόγον αὐτοῦ, 42τῇ τε γυναικὶ ἔλεγον ὅτι οὐκέτι διὰ τὴν σὴν λαλιὰν πιστεύομεν· αὐτοὶ γὰρ ἀκηκόαμεν, καὶ οἴδαμεν ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ σωτὴρ τοῦ κόσμου ὁ Χριστός.

Μετὰ δὲ τὰς δύο ἡμέρας ἐξῆλθεν ἐκεῖθεν καὶ ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν. 44αὐτὸς γὰρ ὁ Ἰησοῦς ἐμαρτύρησεν ὅτι προφήτης ἐν τῇ ἰδίᾳ πατρίδι τιμὴν οὐκ ἔχει. 45ὅτε οὖν ἦλθεν εἰς τὴν Γαλιλαίαν, ἐδέξαντο αὐτὸν οἱ Γαλιλαῖοι, πάντα ἑωρακότες ἃ ἐποίησεν ἐν Ἱεροσολύμοις ἐν τῇ ἑορτῇ· καὶ αὐτοὶ γὰρ ἦλθον εἰς τὴν ἑορτήν. 46Ἦλθεν οὖν πάλιν ὁ Ἰησοῦς εἰς τὴν Κανᾶ τῆς Γαλιλαίας, ὅπου ἐποίησε τὸ ὕδωρ οἶνον. καὶ ἦν τις βασιλικός, οὗ ὁ υἱὸς ἠσθένει ἐν Καπερναούμ· 47οὗτος ἀκούσας ὅτι Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν, ἀπῆλθε πρὸς αὐτὸν καὶ ἠρώτα αὐτὸν ἵνα καταβῇ καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν· ἤμελλε γὰρ ἀποθνῄσκειν. 48εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν· ἐὰν μὴ σημεῖα καὶ τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε. 49λέγει πρὸς αὐτὸν ὁ βασιλικός· Κύριε, κατάβηθι πρὶν ἀποθανεῖν τὸ παιδίον μου. 50λέγει αὐτῷ ὁ Ἰησοῦς· πορεύου· ὁ υἱός σου ζῇ. καὶ ἐπίστευσεν ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐπορεύετο. 51ἤδη δὲ αὐτοῦ καταβαίνοντος οἱ δοῦλοι αὐτοῦ ἀπήντησαν αὐτῷ καὶ ἀπήγγειλαν λέγοντες ὅτι ὁ παῖς σου ζῇ. 52ἐπύθετο οὖν παρ' αὐτῶν τὴν ὥραν ἐν ᾗ κομψότερον ἔσχε. καὶ εἶπον αὐτῷ ὅτι χθὲς ὥραν

şi altul secerătorul. 38Eu v-am trimis pe voi să seceraţi ceea ce voi n-aţi ostenit; alţii s-au ostenit şi voi aţi intrat în osteneala lor. 39Şi din cetatea aceea mulţi au crezut în El dintre samarineni, pentru cuvântul femeii care a mărturisit: Mi-a spus mie toate câte am făcut. 40Deci, când au venit la El samarinenii, L-au rugat să rămână la ei; şi a rămas acolo două zile. 41Şi mult mai mulţi au crezut pentru cuvântul Lui, 42iar femeii îi ziceau: Nu numai pentru vorba ta credem, căci noi înşine am auzit şi ştim că Acesta este cu adevărat Mântuitorul lumii, Hristosul.

Şi după cele două zile, a ieşit de acolo şi a plecat în Galileea. 44Căci Iisus Însuşi a mărturisit că un prooroc nu are cinstire în patria lui. 45Deci, când a venit în Galileea, L-au primit galileenii, care văzuseră toate câte făcuse El în Ierusalim, la praznic, căci şi ei veniseră la praznic. 46Deci a venit iarăşi Iisus în Cana Galileii, unde făcuse apa vin. Şi era un slujitor împărătesc, al cărui fiu era bolnav în Capernaum. 47Acesta, auzind că Iisus vine din Iudeea în Galileea, s-a dus la El şi Îl ruga să Se coboare şi să vindece pe fiul lui, că era pe moarte. 48Deci Iisus a zis către el: Dacă nu veţi vedea semne şi minuni, nu veţi crede. 49A zis către El slujitorul împărătesc: Doamne, coboară-Te înainte să moară copilul meu. 50Iisus i-a zis: Mergi, fiul tău trăieşte. Şi omul a crezut cuvântului pe care i l-a spus Iisus şi a plecat. 51Şi încă pe când cobora, robii lui l-au întâmpinat şi i-au vestit spunându-i: Copilul tău trăieşte. 52Şi căuta să afle de la ei ceasul în care i-a fost mai bine. Şi i-au zis lui: Ieri, la ceasul al şaptelea, l-au lăsat frigurile. 53A cunoscut deci tatăl că a fost în acel ceas în care

ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ πυρετός. 53ἔγνω οὖν ὁ πατὴρ ὅτι ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι ὁ υἱός σου ζῇ· καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη. 54Τοῦτο πάλιν δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐλθὼν ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

i-a zis Iisus: Fiul tău trăieşte. Şi a crezut el şi toată casa lui. 54Acesta este iarăşi al doilea semn pe care l-a făcut Iisus, venind din Iudeea în Galileea.

Κεφάλαιον Ε΄

Μετὰ ταῦτα ἦν ἡ ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα. 2ἔστι δὲ ἐν τοῖς Ἱεροσολύμοις ἐπὶ τῇ Προβατικῇ κολυμβήθρα, ἡ ἐπιλεγομένη ἑβραϊστὶ Βηθεσδά, πέντε στοὰς ἔχουσα. 3ἐν ταύταις κατέκειτο πλῆθος πολὺ τῶν ἀσθενούντων, τυφλῶν, χωλῶν, ξηρῶν, ἐκδεχομένων τὴν τοῦ ὕδατος κίνησιν. 4ἄγγελος γὰρ κατὰ καιρὸν κατέβαινεν ἐν τῇ κολυμβήθρᾳ, καὶ ἐταράσσετο τὸ ὕδωρ· ὁ οὖν πρῶτος ἐμβὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος ὑγιὴς ἐγίνετο ᾧ δήποτε κατείχετο νοσήματι. 5ἦν δέ τις ἄνθρωπος ἐκεῖ τριάκοντα καὶ ὀκτὼ ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ αὐτοῦ. 6τοῦτον ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν ἤδη χρόνον ἔχει, λέγει αὐτῷ· θέλεις ὑγιὴς γενέσθαι; 7ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν· Κύριε, ἄνθρωπον οὐκ ἔχω, ἵνα ὅταν ταραχθῇ τὸ ὕδωρ, βάλῃ με εἰς τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ ἐμοῦ καταβαίνει. 8λέγει αὐτῷ ὁ Ἰησοῦς· ἔγειρε, ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει. 9καὶ εὐθέως ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν κράβαττον αὐτοῦ καὶ περιεπάτει. ἦν δὲ

Capitolul 5

După acestea era praznicul iudeilor şi S-a suit Iisus la Ierusalim. 2Şi în Ierusalim, la Poarta Oilor, este o scăldătoare, numită evreieşte Vitezda, având cinci pridvoare. 3În acestea zăcea mulţime multă de bolnavi, orbi, şchiopi, uscaţi, aşteptând mişcarea apei. 4Căci un înger se cobora la vreme în scăldătoare şi tulbura apa; iar cine intra întâi, după tulburarea apei, se făcea sănătos de orice boală era cuprins. 5Şi era un om acolo, care era bolnav de treizeci şi opt de ani. 6Pe acesta văzându-l Iisus zăcând şi cunoscând că încă de multă vreme este aşa, i-a zis: Voieşti să te faci sănătos? 7I-a răspuns Lui bolnavul: Doamne, nu am om care să mă arunce în scăldătoare când se tulbură apa; iar când merg eu, altul coboară înaintea mea. 8I-a zis Iisus: Scoală-te, ia-ţi patul tău şi umblă. 9Şi îndată s-a făcut omul sănătos şi şi-a luat patul său şi a început să umble.

σάββατον ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

10ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ τεθεραπευμένῳ· σάββατόν ἐστιν· οὐκ ἔξεστί σοι ἆραι τὸν κράβαττον. 11ἀπεκρίθη αὐτοῖς· ὁ ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν· ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει. 12ἠρώτησαν οὖν αὐτόν· τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, ἆρον τὸν κράβαττόν σου καὶ περιπάτει; 13ὁ δὲ ἰαθεὶς οὐκ ᾔδει τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν ὄχλου ὄντος ἐν τῷ τόπῳ. 14μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ Ἰησοῦς ἐν τῷ ἱερῷ καὶ εἶπεν αὐτῷ· ἴδε ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν σοί τι γένηται. 15ἀπῆλθεν ὁ ἄνθρωπος καὶ ἀνήγγειλε τοῖς Ἰουδαίοις ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ. 16Καὶ διὰ τοῦτο ἐδίωκον τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι, ὅτι ταῦτα ἐποίει ἐν σαββάτῳ. 17ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς· ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. 18διὰ τοῦτο οὖν μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.

Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ. 20ὁ γὰρ πατὴρ φιλεῖ τὸν υἱὸν καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε. 21ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. 22οὐδὲ γὰρ ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ, 23ἵνα πάντες τιμῶσι τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα. ὁ μὴ τιμῶν τὸν υἱὸν οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν. 24ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου

Iar în ziua aceea era sâmbătă. 10Deci îi ziceau iudeii celui vindecat: Este sâmbătă; nu-ți este îngăduit să ridici patul. 11Le-a răspuns: Cel care m-a făcut sănătos, Acela mi-a zis: Ia-ți patul şi umblă. 12Deci l-au întrebat: Cine este omul care ți-a zis: Ia-ți patul tău şi umblă? 13Iar cel tămăduit nu ştia cine este; căci Iisus Se dăduse la o parte, fiind mulțime în acel loc. 14După acestea Iisus l-a aflat în templu şi i-a zis: Iată, te-ai făcut sănătos. Să nu mai păcătuieşti, ca să nu ți se întâmple ceva mai rău. 15Omul a plecat şi le-a vestit iudeilor că Iisus este Cel care l-a făcut sănătos. 16Şi de aceea Îl prigoneau iudeii pe Iisus şi căutau să-L omoare, că făcea acestea sâmbăta. 17Dar Iisus le-a răspuns: Tatăl Meu până acum lucrează; şi Eu lucrez. 18Deci, pentru aceasta mai mult căutau iudeii să-L omoare, nu numai pentru că dezlega sâmbăta, ci şi pentru că Îl numea pe Dumnezeu Tatăl Său, făcându-Se pe Sine deopotrivă cu Dumnezeu.

Răspuns deci Iisus şi le-a zis: Amin, amin zic vouă: Nu poate Fiul să facă de la Sine nimic, dacă nu vede pe Tatăl făcând; căci cele ce face Acela, acestea le face şi Fiul asemenea. 20Că Tatăl Îl iubeşte pe Fiul şi Îi arată toate câte El Însuşi face, şi lucruri mai mari decât acestea Îi va arăta, ca voi să vă minunați. 21Căci după cum Tatăl îi scoală pe cei morți şi îi face vii, tot aşa şi Fiul pe care voieşte îi face vii. 22Căci Tatăl nici nu judecă pe nimeni, ci toată judecata a dat-o Fiului, 23ca toți să cinstească pe Fiul cum cinstesc pe Tatăl. Cel care nu cinsteşte pe Fiul nu cinsteşte pe Tatăl Care L-a trimis. 24Amin, amin zic vouă: Cel ce

ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει
ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλ-
λὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν.
25ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται ὥρα, καὶ
νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φω-
νῆς τοῦ υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες
ζήσονται. 26ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν
ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ υἱῷ ζωὴν ἔχειν
ἐν ἑαυτῷ· 27καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ
κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστί. 28μὴ
θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα ἐν ᾗ πάντες
οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς
αὐτοῦ, 29καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποι-
ήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα
πράξαντες εἰς ἀνάστασιν κρίσεως. 30οὐ δύνα-
μαι ἐγὼ ποιεῖν ἀπ᾽ ἐμαυτοῦ οὐδέν. καθὼς
ἀκούω κρίνω, καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν·
ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέ-
λημα τοῦ πέμψαντός με πατρός. 31᾽Εὰν ἐγὼ
μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ
ἔστιν ἀληθής. 32ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ
ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία
ἣν μαρτυρεῖ περὶ ἐμοῦ. 33ὑμεῖς ἀπεστάλκατε
πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκε τῇ ἀληθείᾳ·
34ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν
λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε.
35ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων,
ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιαθῆναι πρὸς ὥραν
ἐν τῷ φωτὶ αὐτοῦ. 36ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν
μείζω τοῦ Ἰωάννου· τὰ γὰρ ἔργα ἃ ἔδωκέ μοι
ὁ πατὴρ ἵνα τελειώσω αὐτά, αὐτὰ τὰ ἔργα ἃ
ἐγὼ ποιῶ, μαρτυρεῖ περὶ ἐμοῦ ὅτι ὁ πατήρ με
ἀπέσταλκε. 37καὶ ὁ πέμψας με πατήρ, αὐτὸς
μεμαρτύρηκε περὶ ἐμοῦ. οὔτε φωνὴν αὐτοῦ
ἀκηκόατε πώποτε οὔτε εἶδος αὐτοῦ ἑωράκατε,
38καὶ τὸν Λόγον αὐτοῦ οὐκ ἔχετε μένοντα ἐν
ὑμῖν, ὅτι ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ ὑμεῖς
οὐ πιστεύετε. 39ἐρευνᾶτε τὰς γραφάς, ὅτι
ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν·
καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ·

ascultă cuvântul Meu şi crede Celui care
M-a trimis are viaţă veşnică şi la judeca-
tă nu va veni, ci s-a mutat de la moarte la
viaţă. 25Amin, amin zic vouă: Vine ceasul,
şi acum este, când morţii vor auzi glasul
Fiului lui Dumnezeu şi cei care vor auzi
vor fi vii. 26Căci precum Tatăl are viaţă în
Sine, aşa I-a dat şi Fiului să aibă viaţă în
Sine; 27şi I-a dat putere să facă şi judecată,
căci este Fiul Omului. 28Nu vă miraţi de
aceasta; căci vine ceasul în care toţi cei din
morminte vor auzi glasul Lui, 29şi vor ieşi
cei ce au făcut cele bune spre învierea vie-
ţii şi cei ce au făcut cele rele spre învierea
judecăţii. 30Nu pot Eu să fac de la Mine ni-
mic; precum aud, judec; şi judecata Mea
este dreaptă; pentru că nu caut voia Mea,
ci voia Celui care M-a trimis, a Tatălui.
31Dacă Eu mărturisesc despre Mine Însumi,
mărturia Mea nu este adevărată. 32Altul
este cel ce mărturiseşte despre Mine şi ştiu
că adevărată este mărturia pe care o măr-
turiseşte despre Mine. 33Voi aţi trimis la
Ioan şi el a mărturisit adevărul. 34Dar Eu
nu de la om iau mărturia, ci spun acestea ca
voi să vă mântuiţi. 35Acela era făclia care
arde şi luminează, şi voi aţi vrut să vă vese-
liţi o vreme întru lumina lui. 36Dar Eu am
mărturia mai mare decât a lui Ioan; căci
lucrurile pe care Mi le-a dat Mie Tatăl să
le săvârşesc, înseşi lucrurile pe care Eu le
fac, ele mărturisesc despre Mine că Tatăl
M-a trimis. 37Şi Cel care M-a trimis, Tatăl,
Acela a mărturisit despre Mine. Nici glasul
Lui nu l-aţi auzit vreodată, nici chipul Lui
nu l-aţi văzut, 38şi cuvântul Lui nu îl aveţi
rămânând în voi, pentru că voi nu credeţi
Celui pe Care Acela L-a trimis. 39Voi cer-
cetaţi Scripturile, fiindcă socotiţi că în ele
aveţi viaţă veşnică; şi acelea mărturisesc

40καὶ οὐ θέλετε ἐλθεῖν πρός με ἵνα ζωὴν ἔχητε. 41δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω· 42ἀλλ' ἔγνωκα ὑμᾶς ὅτι τὴν ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. 43ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθη ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. 44πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητεῖτε; 45μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν ὁ κατηγορῶν ὑμῶν Μωϋσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε. 46εἰ γὰρ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. 47εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε;

despre Mine. 40Dar voi nu vreți să veniți la Mine, ca să aveți viață! 41Slavă de la oameni nu primesc; 42dar v-am cunoscut pe voi, că dragostea lui Dumnezeu nu o aveți în voi. 43Eu am venit în numele Tatălui Meu şi voi nu Mă primiți; dacă va veni altul în numele său, pe acela îl veți primi. 44Cum puteți voi să credeți, primind slavă unii de la alții, iar slava cea de la unul Dumnezeu nu o căutați? 45Să nu socotiți că Eu vă voi învinui la Tatăl; este cine să vă învinuiască: Moise, în care voi ați nădăjduit. 46Căci dacă ați fi crezut lui Moise, ați fi crezut Mie; căci despre Mine a scris acela. 47Iar dacă celor scrise de el nu credeți, cum veți crede cuvintelor Mele?

Κεφάλαιον ς΄

Μετὰ ταῦτα ἀπῆλθεν ὁ Ἰησοῦς πέραν τῆς θαλάσσης τῆς Γαλιλαίας τῆς Τιβεριάδος· 2καὶ ἠκολούθει αὐτῷ ὄχλος πολύς, ὅτι ἑώρων αὐτοῦ τὰ σημεῖα ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. 3ἀνῆλθε δὲ εἰς τὸ ὄρος ὁ Ἰησοῦς καὶ ἐκεῖ ἐκάθητο μετὰ τῶν μαθητῶν αὐτοῦ. 4ἦν δὲ ἐγγὺς τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων. 5ἐπάρας οὖν ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτόν, λέγει πρὸς τὸν Φίλιππον· πόθεν ἀγοράσωμεν ἄρτους ἵνα φάγωσιν οὗτοι; 6τοῦτο δὲ ἔλεγε πειράζων αὐτόν· αὐτὸς γὰρ ᾔδει τί ἔμελλε ποιεῖν. 7ἀπεκρίθη αὐτῷ Φίλιππος· διακοσίων δηναρίων ἄρτοι οὐκ ἀρκοῦσιν αὐτοῖς ἵνα ἕκαστος αὐτῶν βραχύ τι λάβῃ. 8λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου· 9ἔστι παιδάριον ἓν ὧδε, ὃς ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο

Capitolul 6

După acestea, a plecat Iisus de cealaltă parte a Mării Galileii, adică a Tiberiadei. 2Şi Îi urma Lui mulțime multă, pentru că vedeau semnele Lui, pe care le făcea cu cei bolnavi. 3Şi S-a suit Iisus în munte şi acolo şedea cu ucenicii Săi. 4Şi erau aproape Paştile, praznicul iudeilor. 5Deci ridicându-Şi Iisus ochii şi văzând că multă mulțime vine la El, a zis către Filip: De unde vom cumpăra pâini, ca să mănânce aceştia? 6Iar aceasta o zicea ca să-l încerce, căci El ştia ce avea să facă. 7I-a răspuns Filip: Pâini de două sute de dinari nu le ajung, ca fiecare dintre ei să ia câte puțin. 8Şi I-a zis unul din ucenicii Lui, Andrei, fratele lui Simon Petru: 9Este aici un băiat care are cinci pâini de orz şi doi peşti. Dar ce sunt acestea la atâția? 10Şi a zis Ii-

ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους;
10εἶπε δὲ ὁ Ἰησοῦς· ποιήσατε τοὺς ἀνθρώπους
ἀναπεσεῖν· ἦν δὲ χόρτος πολὺς ἐν τῷ τόπῳ.
ἀνέπεσον οὖν οἱ ἄνδρες τὸν ἀριθμὸν ὡσεὶ πεν-
τακισχίλιοι. 11ἔλαβε δὲ τοὺς ἄρτους ὁ Ἰησοῦς
καὶ εὐχαριστήσας διέδωκε τοῖς μαθηταῖς, οἱ
δὲ μαθηταὶ τοῖς ἀνακειμένοις· ὁμοίως καὶ ἐκ
τῶν ὀψαρίων ὅσον ἤθελον. 12ὡς δὲ ἐνεπλήσθη-
σαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ· συναγάγετε τὰ
περισσεύσαντα κλάσματα, ἵνα μή τι ἀπόληται.
13συνήγαγον οὖν καὶ ἐγέμισαν δώδεκα κοφί-
νους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κρι-
θίνων ἃ ἐπερίσσευσε τοῖς βεβρωκόσιν. 14Οἱ οὖν
ἄνθρωποι, ἰδόντες ὃ ἐποίησε σημεῖον ὁ Ἰησοῦς,
ἔλεγον ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης ὁ
ἐρχόμενος εἰς τὸν κόσμον. 15Ἰησοῦς οὖν γνοὺς
ὅτι μέλλουσιν ἔρχεσθαι καὶ ἁρπάζειν αὐτὸν
ἵνα ποιήσωσιν αὐτὸν βασιλέα, ἀνεχώρησε
πάλιν εἰς τὸ ὄρος αὐτὸς μόνος.

Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ
αὐτοῦ ἐπὶ τὴν θάλασσαν, 17καὶ ἐμβάντες
εἰς τὸ πλοῖον ἤρχοντο πέραν τῆς θαλάσσης
εἰς Καπερναούμ. καὶ σκοτία ἤδη ἐγεγόνει καὶ
οὐκ ἐληλύθει πρὸς αὐτοὺς ὁ Ἰησοῦς, 18ἥ τε
θάλασσα ἀνέμου μεγάλου πνέοντος διηγεί-
ρετο. 19ἐληλακότες οὖν ὡς σταδίους εἴκοσι
πέντε ἢ τριάκοντα θεωροῦσι τὸν Ἰησοῦν πε-
ριπατοῦντα ἐπὶ τῆς θαλάσσης καὶ ἐγγὺς τοῦ
πλοίου γινόμενον, καὶ ἐφοβήθησαν. 20ὁ δὲ
λέγει αὐτοῖς· ἐγώ εἰμι· μὴ φοβεῖσθε. 21ἤθελον
οὖν λαβεῖν αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως
τὸ πλοῖον ἐγένετο ἐπὶ τῆς γῆς εἰς ἣν ὑπῆγον.

Τῇ ἐπαύριον ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς
θαλάσσης ἰδὼν ὅτι πλοιάριον ἄλλο οὐκ ἦν
ἐκεῖ εἰ μὴ ἓν ἐκεῖνο εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ
αὐτοῦ, καὶ ὅτι οὐ συνεισῆλθε τοῖς μαθηταῖς
αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ πλοιάριον, ἀλλὰ μόνοι
οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον· 23ἄλλα δὲ ἦλθε
πλοιάρια ἐκ Τιβεριάδος ἐγγὺς τοῦ τόπου,
ὅπου ἔφαγον τὸν ἄρτον εὐχαριστήσαντος τοῦ

sus: Faceți-i pe oameni să se aşeze. Şi era
iarbă multă în locul acela. Deci s-au aşe-
zat bărbații în număr ca la cinci mii. 11Şi
a luat pâinile Iisus şi, mulțumind, a îm-
părțit ucenicilor, iar ucenicii celor ce şe-
deau; asemenea şi din peşti, cât au voit.
12Iar când s-au săturat, le-a zis ucenicilor
Lui: Adunați bucățile care au prisosit, ca
să nu se piardă ceva. 13Au adunat deci
şi au umplut douăsprezece coşuri cu bu-
cățile din cele cinci pâini de orz care au
rămas de la cei care mâncaseră. 14Deci,
oamenii, văzând semnul pe care l-a fă-
cut Iisus, ziceau: Acesta este cu adevărat
Proorocul care vine în lume. 15Cunoscând
deci Iisus că au să vină şi să-L ia cu sila ca
să-L facă împărat, a plecat iarăşi în mun-
te, El singur.

Şi când s-a făcut seară, au coborât uce-
nicii Lui la mare, 17şi intrând în cora-
bie, mergeau spre cealaltă parte a mării, la
Capernaum. Şi se făcuse deja întuneric şi
Iisus nu venise la ei. 18Şi suflând vânt pu-
ternic, marea se stârnea. 19Deci, după ce
au vâslit ca la douăzeci şi cinci sau treizeci
de stadii, L-au văzut pe Iisus umblând pe
mare şi apropiindu-Se de corabie şi s-au
temut. 20Iar El le-a zis: Eu sunt; nu vă te-
meți! 21Deci voiau să-L ia în corabie; şi
îndată corabia a fost la țărmul spre care
mergeau.

A doua zi, mulțimea care stătea de cea-
laltă parte a mării, văzând că nu era
acolo altă corabie, afară de una, aceea în
care se urcaseră ucenicii Lui şi că Iisus nu
intrase împreună cu ucenicii Săi în cora-
bie, ci numai ucenicii Lui plecaseră – 23şi
alte corăbii au venit din Tiberiada aproa-
pe de locul unde mâncaseră pâinea, după

Κυρίου· 24ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι Ἰησοῦς οὐκ
ἔστιν ἐκεῖ οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν
αὐτοὶ εἰς τὰ πλοῖα καὶ ἦλθον εἰς Καπερναοὺμ
ζητοῦντες τὸν Ἰησοῦν. 25καὶ εὑρόντες αὐτὸν
πέραν τῆς θαλάσσης εἶπον αὐτῷ· ῥαββί, πότε
ὧδε γέγονας; 26ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ
εἶπεν· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ζητεῖτέ με, οὐχ ὅτι
εἴδετε σημεῖα, ἀλλ' ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων
καὶ ἐχορτάσθητε. 27ἐργάζεσθε μὴ τὴν βρῶσιν
τὴν ἀπολλυμένην, ἀλλὰ τὴν βρῶσιν τὴν μένου-
σαν εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς τοῦ ἀνθρώπου
ὑμῖν δώσει· τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ
Θεός. 28εἶπον οὖν πρὸς αὐτόν· τί ποιῶμεν ἵνα
ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ; 29ἀπεκρίθη
Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· τοῦτό ἐστι τὸ ἔργον
τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν
ἐκεῖνος. 30εἶπον οὖν αὐτῷ· τί οὖν ποιεῖς σὺ
σημεῖον ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί
ἐργάζῃ; 31οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον
ἐν τῇ ἐρήμῳ, καθώς ἐστι γεγραμμένον· *ἄρτον
ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν.* 32εἶπεν
οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν,
οὐ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ
οὐρανοῦ, ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν
ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. 33ὁ γὰρ
ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ
οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. 34εἶπον
οὖν πρὸς αὐτόν· Κύριε, πάντοτε δὸς ἡμῖν
τὸν ἄρτον τοῦτον. 35εἶπε δὲ αὐτοῖς ὁ Ἰησοῦς·
ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός
με οὐ μὴ πεινάσῃ, καὶ ὁ πιστεύων εἰς ἐμὲ οὐ
μὴ διψήσῃ πώποτε. 36ἀλλ' εἶπον ὑμῖν ὅτι καὶ
ἑωράκατέ με καὶ οὐ πιστεύετε. 37Πᾶν ὃ δίδωσί
μοι ὁ πατήρ, πρὸς ἐμὲ ἥξει, καὶ τὸν ἐρχόμενον
πρός με οὐ μὴ ἐκβάλω ἔξω· 38ὅτι καταβέβηκα
ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ
ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με.
39τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με
πατρός, ἵνα πᾶν ὃ δέδωκέ μοι μὴ ἀπολέσω
ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω αὐτὸ ἐν τῇ ἐσχάτῃ

ce Domnul mulțumise – 24când deci a văzut mulțimea că Iisus nu este acolo, nici ucenicii Lui, s-au suit şi ei în corăbii şi au venit în Capernaum, căutându-L pe Iisus. 25Şi aflându-L de cealaltă parte a mării, I-au zis: Rabbi, când ai venit aici? 26Iisus le-a răspuns şi a zis: Amin, amin zic vouă: Mă căutați nu pentru că ați văzut semne, ci pentru că ați mâncat din pâini şi v-ați săturat. 27Lucrați nu pentru mâncarea cea pieritoare, ci pentru mâncarea care rămâne spre viața veşnică, pe care o va da vouă Fiul Omului, căci pe Acesta Tatăl L-a pecetluit, Dumnezeu. 28Deci au zis către El: Ce să facem ca să lucrăm lucrurile lui Dumnezeu? 29A răspuns Iisus şi le-a zis: Acesta este lucrul lui Dumnezeu, ca să credeți în Cel pe Care Acela L-a trimis. 30Deci I-au zis: Dar ce semn faci Tu, ca să vedem şi să credem în Tine? Ce lucrezi? 31Părinții noştri au mâncat mana în pustie, precum este scris: *Pâine din cer le-a dat lor să mănânce.* 32Deci le-a zis Iisus: Amin, amin zic vouă: Nu Moise v-a dat pâinea din cer, ci Tatăl Meu vă dă pâinea din cer, pe cea adevărată. 33Căci pâinea lui Dumnezeu este cea care se coboară din cer şi dă viață lumii. 34Deci au zis către El: Doamne, dă-ne nouă totdeauna pâinea aceasta. 35Le-a zis lor Iisus: Eu sunt pâinea vieții; cel ce vine la Mine nu va flămânzi şi cel ce crede în Mine nu va înseta niciodată. 36Dar v-am spus vouă: şi M-ați văzut, şi nu credeți. 37Tot ce-Mi dă Mie Tatăl la Mine va veni; şi pe cel ce vine la Mine nu-l voi scoate afară; 38pentru că M-am pogorât din cer, nu ca să fac voia Mea, ci voia Celui ce M-a trimis pe Mine. 39Şi aceasta este voia Tatălui Care M-a trimis pe Mine, ca tot ce Mi-a dat să nu pierd din el, ci să-l

ἡμέρᾳ. 40τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ. 41Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ ὅτι εἶπεν, ἐγώ εἰμι ὁ ἄρτος ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ, 42καὶ ἔλεγον· οὐχ οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσὴφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς οὖν λέγει οὗτος ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα; 43ἀπεκρίθη οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· μὴ γογγύζετε μετ᾽ ἀλλήλων. 44οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με ἑλκύσῃ αὐτόν, καὶ ἐγὼ ἀναστήσω αὐτὸν τῇ ἐσχάτῃ ἡμέρᾳ. 45ἔστι γεγραμμένον ἐν τοῖς προφήταις· *καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ.* πᾶς ὁ ἀκούων παρὰ τοῦ πατρὸς καὶ μαθὼν ἔρχεται πρός με· 46οὐχ ὅτι τὸν πατέρα τις ἑώρακεν, εἰ μὴ ὁ ὢν παρὰ τοῦ Θεοῦ, οὗτος ἑώρακε τὸν πατέρα. 47ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον. 48ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. 49οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ καὶ ἀπέθανον· 50οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ. 51ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. 52Ἐμάχοντο οὖν πρὸς ἀλλήλους οἱ Ἰουδαῖοι λέγοντες· πῶς δύναται οὗτος ἡμῖν δοῦναι τὴν σάρκα φαγεῖν; 53εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. 54ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. 55ἡ γὰρ σάρξ μου ἀληθῶς ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστι πόσις. 56ὁ τρώγων μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα ἐν ἐμοὶ μένει, κἀγὼ ἐν αὐτῷ. 57καθὼς

înviez în ziua de apoi. 40Şi aceasta este voia Celui care M-a trimis, ca tot cel ce vede pe Fiul şi crede în El să aibă viaţă veşnică, şi Eu îl voi învia pe el în ziua de apoi. 41Iar iudeii cârteau împotriva Lui, că zisese: Eu sunt pâinea care s-a pogorât din cer. 42Şi ziceau: Nu este Acesta Iisus, fiul lui Iosif, Căruia noi Îi ştim tatăl şi mama? Cum deci spune Acesta: Din cer M-am pogorât? 43Deci Iisus a răspuns şi le-a zis: Nu cârtiţi între voi. 44Nimeni nu poate să vină la Mine, dacă Tatăl, Care M-a trimis, nu-l va trage pe el, şi Eu îl voi învia în ziua de apoi. 45Scris este în Prooroci: *Şi vor fi toţi învăţaţi de Dumnezeu.* Deci tot cel ce aude de la Tatăl şi învaţă vine la Mine. 46Nu că pe Tatăl L-a văzut cineva, decât Cel ce este de la Dumnezeu; Acesta L-a văzut pe Tatăl. 47Amin, amin zic vouă: Cel ce crede în Mine are viaţă veşnică. 48Eu sunt pâinea vieţii. 49Părinţii voştri au mâncat mană în pustie şi au murit. 50Aceasta este pâinea care se pogoară din cer, ca omul să mănânce din ea şi să nu moară. 51Eu sunt pâinea cea vie, care s-a pogorât din cer. Dacă mănâncă cineva din pâinea aceasta viu va fi în veac. Şi pâinea pe care Eu o voi da este trupul Meu, pe care Eu îl voi da pentru viaţa lumii. 52Deci iudeii se certau între ei, zicând: Cum poate Acesta să ne dea nouă trupul să-l mâncăm? 53Deci Iisus le-a zis: Amin, amin zic vouă, dacă nu mâncaţi trupul Fiului Omului şi nu beţi sângele Lui, nu aveţi viaţă în voi înşivă. 54Cel ce mănâncă trupul Meu şi bea sângele Meu are viaţă veşnică, şi Eu îl voi învia pe el în ziua de apoi. 55Căci trupul Meu cu adevărat este mâncare şi sângele Meu cu adevărat este băutură. 56Cel ce mănâncă trupul Meu şi

ἀπέστειλέ με ὁ ζῶν πατὴρ κἀγὼ ζῶ διὰ τὸν πατέρα, καὶ ὁ τρώγων με κἀκεῖνος ζήσεται δι' ἐμέ. 58οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, οὐ καθὼς ἔφαγον οἱ πατέρες ὑμῶν τὸ μάννα καὶ ἀπέθανον· ὁ τρώγων τοῦτον τὸν ἄρτον ζήσεται εἰς τὸν αἰῶνα. 59Ταῦτα εἶπεν ἐν συναγωγῇ διδάσκων ἐν Καπερναούμ.

Πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ εἶπον· σκληρός ἐστιν οὗτος ὁ λόγος· τίς δύναται αὐτοῦ ἀκούειν; 61εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ ὅτι γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν αὐτοῖς· τοῦτο ὑμᾶς σκανδαλίζει; 62ἐὰν οὖν θεωρῆτε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀναβαίνοντα ὅπου ἦν τὸ πρότερον; 63τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ οὐκ ὠφελεῖ οὐδέν· τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, πνεῦμά ἐστι καὶ ζωή ἐστιν. 64ἀλλ' εἰσὶν ἐξ ὑμῶν τινες οἳ οὐ πιστεύουσιν. ᾔδει γὰρ ἐξ ἀρχῆς ὁ Ἰησοῦς τίνες εἰσὶν οἱ μὴ πιστεύοντες καὶ τίς ἐστιν ὁ παραδώσων αὐτόν. 65καὶ ἔλεγε· διὰ τοῦτο εἴρηκα ὑμῖν ὅτι οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ πατρός μου. 66Ἐκ τούτου πολλοὶ ἀπῆλθον ἐκ τῶν μαθητῶν αὐτοῦ εἰς τὰ ὀπίσω καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν. 67εἶπεν οὖν ὁ Ἰησοῦς τοῖς δώδεκα· μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; 68ἀπεκρίθη οὖν αὐτῷ Σίμων Πέτρος· Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις· 69καὶ ἡμεῖς πεπιστεύκαμεν καὶ ἐγνώκαμεν ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. 70ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· οὐκ ἐγὼ ὑμᾶς τοὺς δώδεκα ἐξελεξάμην; καὶ ἐξ ὑμῶν εἷς διάβολός ἐστιν. 71ἔλεγε δὲ τὸν Ἰούδαν Σίμωνος Ἰσκαριώτην· οὗτος γὰρ ἔμελλεν αὐτὸν παραδιδόναι, εἷς ὢν ἐκ τῶν δώδεκα.

bea sângele Meu rămâne întru Mine şi Eu întru el. 57Precum M-a trimis pe Mine Tatăl Cel viu şi Eu sunt viu prin Tatăl, şi cel ce Mă mănâncă pe Mine şi acela va fi viu prin Mine. 58Aceasta este pâinea care s-a pogorât din cer; nu precum au mâncat părinţii voştri mana şi au murit; cel ce mănâncă această pâine viu va fi în veac. 59Acestea le-a grăit în sinagogă, învăţând în Capernaum.

Deci mulţi dintre ucenicii Lui, auzind, au zis: Greu este cuvântul acesta! Cine poate să-l asculte? 61Iar Iisus, ştiind în Sine că ucenicii Lui cârtesc pentru aceasta, le-a zis: Aceasta vă sminteşte? 62Dar dacă Îl veţi vedea pe Fiul Omului suindu-Se acolo unde era mai înainte? 63Duhul este cel ce face viu; trupul nu foloseşte la nimic. Cuvintele pe care Eu vi le spun duh sunt şi viaţă sunt. 64Dar sunt unii dintre voi care nu cred. Căci de la început Iisus ştia cine sunt cei ce nu cred şi cine este cel care Îl va vinde. 65Şi zicea: De aceea v-am spus că nimeni nu poate să vină la Mine, decât dacă i s-a dat lui de la Tatăl Meu. 66De atunci mulţi dintre ucenicii Lui s-au dus înapoi şi nu mai mergeau cu El. 67Deci le-a zis Iisus celor doisprezece: Nu vreţi şi voi să vă duceţi? 68I-a răspuns Lui Simon Petru: Doamne, la cine ne vom duce? Tu ai cuvintele vieţii veşnice. 69Şi noi am crezut şi am cunoscut că Tu eşti Hristosul, Fiul Dumnezeului Celui viu. 70Le-a răspuns Iisus: Nu v-am ales Eu pe voi, cei doisprezece? Şi dintre voi unul este diavol! 71Şi zicea de Iuda Iscarioteanul, al lui Simon; căci acesta avea să-L vândă, fiind unul din cei doisprezece.

Κεφάλαιον Ζ΄

Καὶ περιεπάτει ὁ Ἰησοῦς μετὰ ταῦτα ἐν τῇ Γαλιλαίᾳ· οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι. 2ἦν δὲ ἐγγὺς ἡ ἑορτὴ τῶν Ἰουδαίων ἡ σκηνοπηγία. 3εἶπον οὖν πρὸς αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ· μετάβηθι ἐντεῦθεν καὶ ὕπαγε εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ οἱ μαθηταί σου θεωρήσωσι τὰ ἔργα σου ἃ ποιεῖς· 4οὐδεὶς γὰρ ἐν κρυπτῷ τι ποιεῖ καὶ ζητεῖ αὐτὸς ἐν παρρησίᾳ εἶναι. εἰ ταῦτα ποιεῖς, φανέρωσον σεαυτὸν τῷ κόσμῳ. 5οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. 6λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν, ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν ἕτοιμος. 7οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς· ἐμὲ δὲ μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ ὅτι τὰ ἔργα αὐτοῦ πονηρά ἐστιν. 8ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν ταύτην· ἐγὼ οὔπω ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην, ὅτι ὁ καιρὸς ὁ ἐμὸς οὔπω πεπλήρωται. 9ταῦτα δὲ εἰπὼν αὐτοῖς ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ.

Ὡς δὲ ἀνέβησαν οἱ ἀδελφοὶ αὐτοῦ, τότε καὶ αὐτὸς ἀνέβη εἰς τὴν ἑορτήν, οὐ φανερῶς, ἀλλ᾽ ὡς ἐν κρυπτῷ. 11οἱ οὖν Ἰουδαῖοι ἐζήτουν αὐτὸν ἐν τῇ ἑορτῇ καὶ ἔλεγον· ποῦ ἐστιν ἐκεῖνος; 12καὶ γογγυσμὸς πολὺς περὶ αὐτοῦ ἦν ἐν τοῖς ὄχλοις. οἱ μὲν ἔλεγον ὅτι ἀγαθός ἐστιν· ἄλλοι ἔλεγον, οὔ, ἀλλὰ πλανᾷ τὸν ὄχλον. 13οὐδεὶς μέντοι παρρησίᾳ ἐλάλει περὶ αὐτοῦ διὰ τὸν φόβον τῶν Ἰουδαίων. 14Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης ἀνέβη ὁ Ἰησοῦς εἰς τὸ ἱερὸν καὶ ἐδίδασκε. 15καὶ ἐθαύμαζον οἱ Ἰουδαῖοι λέγοντες· πῶς οὗτος γράμματα οἶδε μὴ μεμαθηκώς; 16ἀπεκρίθη οὖν αὐτοῖς ὁ

Capitolul 7

Şi mergea Iisus după acestea în Galileea, căci nu voia să meargă în Iudeea, pentru că iudeii căutau să-L omoare. 2Şi era aproape praznicul iudeilor, Punerea Corturilor. 3Au zis deci către El fraţii Lui: Mută-Te de aici şi mergi în Iudeea, pentru ca şi ucenicii Tăi să vadă lucrurile pe care Tu le faci; 4că nimeni nu face ceva în ascuns, când însuşi caută să fie la vedere. Dacă faci acestea, arată-Te pe Tine lumii. 5Căci nici fraţii Lui nu credeau în El. 6Le-a zis deci lor Iisus: Vremea Mea încă n-a sosit, dar vremea voastră totdeauna este gata. 7Nu poate lumea să vă urască pe voi; dar pe Mine Mă urăşte, pentru că Eu mărturisesc despre ea că lucrurile ei sunt viclene. 8Voi suiţi-vă la praznicul acesta; Eu încă nu Mă sui la praznicul acesta, că vremea Mea încă nu s-a plinit. 9Şi zicându-le acestea, a rămas în Galileea.

Dar după ce fraţii Lui s-au suit la praznic, atunci şi El S-a suit, nu pe faţă, ci în ascuns. 11Iudeii deci Îl căutau la praznic şi ziceau: Unde este Acela? 12Şi multă şuşotire era despre El în mulţimi; unii ziceau că este bun; alţii ziceau: Nu, ci duce mulţimea în rătăcire. 13Dar nimeni nu vorbea pe faţă despre El, de frica iudeilor. 14Şi când era de acum praznicul la jumătate, S-a suit Iisus în templu şi a început să înveţe. 15Şi se minunau iudeii zicând: Cum ştie Acesta carte, fără să fi învăţat? 16A răspuns deci lor Iisus şi a zis: Învăţătura

Ἰησοῦς καὶ εἶπεν· ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαντός με· [17]ἐάν τις θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, γνώσεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. [18]ὁ ἀφ' ἑαυτοῦ λαλῶν τὴν δόξαν τὴν ἰδίαν ζητεῖ, ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτόν, οὗτος ἀληθής ἐστι, καὶ ἀδικία ἐν αὐτῷ οὐκ ἔστιν. [19]οὐ Μωϋσῆς δέδωκεν ὑμῖν τὸν νόμον; καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον. τί με ζητεῖτε ἀποκτεῖναι; [20]ἀπεκρίθη ὁ ὄχλος καὶ εἶπε· δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι; [21]ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε διὰ τοῦτο. [22]Μωϋσῆς δέδωκεν ὑμῖν τὴν περιτομήν, οὐχ ὅτι ἐκ τοῦ Μωϋσέως ἐστίν, ἀλλ' ἐκ τῶν πατέρων, καὶ ἐν σαββάτῳ περιτέμνετε ἄνθρωπον. [23]εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν σαββάτῳ ἵνα μὴ λυθῇ ὁ νόμος Μωϋσέως, ἐμοὶ χολᾶτε ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν σαββάτῳ; [24]μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε.

Mea nu este a Mea, ci a Celui care M-a trimis; [17]de voieşte cineva să facă voia Lui, va cunoaşte despre învăţătură dacă este de la Dumnezeu sau dacă Eu de la Mine Însumi vorbesc. [18]Cel care vorbeşte de la sine însuşi caută slava sa; dar cel care caută slava celui care l-a trimis pe el, acesta este adevărat şi nedreptate în el nu este. [19]Nu Moise v-a dat vouă Legea? Şi nimeni dintre voi nu ţine Legea. De ce căutaţi să Mă omorâţi? [20]A răspuns mulţimea şi a zis: Ai drac; cine caută să Te omoare? [21]A răspuns Iisus şi le-a zis: Un lucru am făcut şi toţi vă minunaţi de acesta. [22]Moise v-a dat vouă tăierea-împrejur, nu că de la Moise este, ci de la părinţi, şi sâmbăta tăiaţi împrejur pe om. [23]Dacă omul primeşte tăiere-împrejur sâmbăta, ca să nu se strice Legea lui Moise, vă mâniaţi pe Mine că am făcut un om pe de-a-ntregul sănătos sâmbăta? [24]Nu judecaţi după înfăţişare, ci judecaţi judecata cea dreaptă.

Ἔλεγον οὖν τινες ἐκ τῶν Ἱεροσολυμιτῶν· οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν ἀποκτεῖναι; [26]καὶ ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι. μήποτε ἀληθῶς ἔγνωσαν οἱ ἄρχοντες ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Χριστός; [27]ἀλλὰ τοῦτον οἴδαμεν πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχηται, οὐδεὶς γινώσκει πόθεν ἐστίν. [28]ἔκραξεν οὖν ἐν τῷ ἱερῷ διδάσκων ὁ Ἰησοῦς καὶ λέγων· κἀμὲ οἴδατε, καὶ οἴδατε πόθεν εἰμί· καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα, ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς οὐκ οἴδατε· [29]ἐγὼ οἶδα αὐτόν, ὅτι παρ' αὐτοῦ εἰμι κἀκεῖνός με ἀπέστειλεν. [30]Ἐζήτουν οὖν αὐτὸν πιάσαι, καὶ οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ. [31]πολλοὶ δὲ ἐκ τοῦ ὄχλου ἐπίστευσαν εἰς αὐτὸν καὶ ἔλεγον

Ziceau deci unii dintre ierusalimiteni: Nu este Acesta Cel pe Care caută să-L omoare? [26]Şi iată, vorbeşte pe faţă şi nu-I zic nimic Lui. Nu cumva cu adevărat au cunoscut căpeteniile că Acesta este cu adevărat Hristosul? [27]Dar pe Acesta Îl ştim de unde este; iar Hristosul, când va veni, nimeni nu ştie de unde este. [28]Deci a strigat în templu Iisus, învăţând şi zicând: Şi pe Mine Mă ştiţi, şi ştiţi şi de unde sunt; şi n-am venit de la Mine Însumi, dar adevărat este Cel ce M-a trimis pe Mine, pe Care voi nu-L ştiţi; [29]Eu Îl ştiu pe El, că de la El sunt şi Acela M-a trimis pe Mine. [30]Căutau deci să-L prindă, şi nimeni n-a pus mâna pe El, că încă nu venise ceasul

ὅτι ὁ Χριστὸς ὅταν ἔλθῃ, μήτι πλείονα σημεῖα τούτων ποιήσει ὧν οὗτος ἐποίησεν;

Ἤκουσαν οἱ Φαρισαῖοι τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ ταῦτα, καὶ ἀπέστειλαν ὑπηρέτας οἱ Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς ἵνα πιάσωσιν αὐτόν. 33εἶπεν οὖν ὁ Ἰησοῦς· ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. 34ζητήσετέ με καὶ οὐχ εὑρήσετε· καὶ ὅπου εἰμὶ ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. 35εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς· ποῦ οὗτος μέλλει πορεύεσθαι, ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν; μὴ εἰς τὴν διασπορὰν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι καὶ διδάσκειν τοὺς Ἕλληνας; 36τίς ἐστιν οὗτος ὁ λόγος ὃν εἶπε, ζητήσετέ με καὶ οὐχ εὑρήσετε, καὶ ὅπου εἰμὶ ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;

Ἐν δὲ τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς ἑορτῆς εἱστήκει ὁ Ἰησοῦς καὶ ἔκραξε λέγων· ἐάν τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω. 38ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. 39τοῦτο δὲ εἶπε περὶ τοῦ Πνεύματος οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν· οὔπω γὰρ ἦν Πνεῦμα Ἅγιον, ὅτι Ἰησοῦς οὐδέπω ἐδοξάσθη.

Πολλοὶ οὖν ἐκ τοῦ ὄχλου ἀκούσαντες τὸν λόγον ἔλεγον· οὗτός ἐστιν ἀληθῶς ὁ προφήτης· 41ἄλλοι ἔλεγον· οὗτός ἐστιν ὁ Χριστός· ἄλλοι ἔλεγον· μὴ γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; 42οὐχὶ ἡ γραφὴ εἶπεν ὅτι ἐκ τοῦ σπέρματος Δαυὶδ καὶ ἀπὸ Βηθλεὲμ τῆς κώμης, ὅπου ἦν Δαυίδ, ὁ Χριστὸς ἔρχεται; 43σχίσμα οὖν ἐν τῷ ὄχλῳ ἐγένετο δι' αὐτόν. 44τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν, ἀλλ' οὐδεὶς ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας.

Ἦλθον οὖν οἱ ὑπηρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους, καὶ εἶπον αὐτοῖς ἐκεῖνοι· διατί οὐκ ἠγάγετε αὐτόν; 46ἀπεκρίθησαν οἱ ὑπηρέται· οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος. 47ἀπεκρίθησαν οὖν

Lui. 31Şi mulţi din mulţime au crezut în El şi ziceau: Hristosul, când va veni, va face oare mai multe semne decât acestea pe care El le-a făcut?

Au auzit fariseii mulţimea murmurând despre El acestea; şi au trimis slujitori arhiereii şi fariseii ca să-L prindă. 33A zis deci Iisus: Încă puţin timp mai sunt cu voi şi Mă duc la Cel ce M-a trimis. 34Mă veţi căuta şi nu Mă veţi afla; şi unde sunt Eu, voi nu puteţi veni. 35Au zis deci iudeii între ei: Unde are să meargă Acesta ca noi să nu-L aflăm pe El? Nu cumva va merge la cei împrăştiaţi printre elini şi-i va învăţa pe elini? 36Ce este acest cuvânt pe care L-a spus: Mă veţi căuta şi nu Mă veţi afla; şi unde sunt Eu, voi nu puteţi veni?

Şi în ziua cea din urmă, cea mare, a praznicului a stat Iisus şi a strigat, zicând: De însetează cineva, să vină la Mine şi să bea. 38Cel ce crede în Mine, precum a zis Scriptura, râuri de apă vie vor curge din pântecele lui. 39Iar aceasta a zis despre Duhul pe Care aveau să-L primească cei ce cred în El; căci încă nu era Duh Sfânt, că Iisus încă nu Se proslăvise.

Deci mulţi din mulţime, auzind cuvântul, ziceau: Cu adevărat, Acesta este Proorocul. 41Alţii ziceau: Acesta este Hristosul. Alţii ziceau: Oare din Galileea vine Hristosul? 42Nu a zis Scriptura că din sămânţa lui David şi din Betleem, satul unde a fost David, vine Hristosul? 43Deci, s-a făcut dezbinare în mulţime din pricina Lui. 44Şi unii dintre ei voiau să-L prindă, dar nimeni n-a pus mâinile pe El.

Au venit deci slujitorii la arhierei şi farisei, şi aceia le-au zis: De ce nu L-aţi adus? 46Au răspuns slujitorii: Niciodată nu a vorbit un om ca omul acesta. 47Le-au

αὐτοῖς οἱ Φαρισαῖοι· μὴ καὶ ὑμεῖς πεπλάνησθε; 48μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐτὸν ἢ ἐκ τῶν Φαρισαίων; 49ἀλλ' ὁ ὄχλος οὗτος ὁ μὴ γινώσκων τὸν νόμον ἐπικατάρατοί εἰσι. 50λέγει Νικόδημος πρὸς αὐτούς, ὁ ἐλθὼν νυκτὸς πρὸς αὐτόν, εἷς ὢν ἐξ αὐτῶν· 51μὴ ὁ νόμος ἡμῶν κρίνει τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ παρ' αὐτοῦ πρότερον καὶ γνῷ τί ποιεῖ; 52ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; ἐρεύνησον καὶ ἴδε ὅτι προφήτης ἐκ τῆς Γαλιλαίας οὐκ ἐγήγερται. 53Καὶ ἀπῆλθεν ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.

răspuns deci lor fariseii: Nu cumva şi voi aţi rătăcit? 48Oare a crezut în El cineva dintre căpetenii sau dintre farisei? 49Însă gloata aceasta, care nu cunoaşte Legea, blestemaţi sunt! 50A zis către ei Nicodim, cel ce venise noaptea la El, fiind unul dintre ei: 51Oare Legea noastră judecă pe om, dacă nu-l ascultă mai întâi şi nu cunoaşte ce face? 52Au răspuns şi i-au zis: Nu cumva şi tu eşti din Galileea? Cercetează şi vezi că prooroc din Galileea nu s-a ridicat. 53Şi a plecat fiecare la casa lui.

Κεφάλαιον Η΄

Ἰησοῦς δὲ ἐπορεύθη εἰς τὸ ὄρος τῶν ἐλαιῶν· 2ὄρθρου δὲ πάλιν παρεγένετο εἰς τὸ ἱερόν, καὶ πᾶς ὁ λαὸς ἤρχετο πρὸς αὐτόν· καὶ καθίσας ἐδίδασκεν αὐτούς. 3ἄγουσι δὲ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι γυναῖκα ἐπὶ μοιχείᾳ κατειλημμένην, καὶ στήσαντες αὐτὴν ἐν μέσῳ 4λέγουσιν αὐτῷ· διδάσκαλε, αὕτη ἡ γυνὴ κατείληπται ἐπ' αὐτοφώρῳ μοιχευομένη· 5καὶ ἐν τῷ νόμῳ ἡμῶν Μωϋσῆς ἐνετείλατο τὰς τοιαύτας λιθάζειν. 6σὺ οὖν τί λέγεις; τοῦτο δὲ εἶπον ἐκπειράζοντες αὐτόν, ἵνα σχῶσι κατηγορίαν κατ' αὐτοῦ. ὁ δὲ Ἰησοῦς κάτω κύψας τῷ δακτύλῳ ἔγραφεν εἰς τὴν γῆν. 7ὡς δὲ ἐπέμενον ἐρωτῶντες αὐτόν, ἀνέκυψε καὶ εἶπεν αὐτοῖς· ὁ ἀναμάρτητος ὑμῶν πρῶτος βαλέτω λίθον ἐπ' αὐτήν. 8καὶ πάλιν κάτω κύψας ἔγραφεν εἰς τὴν γῆν. 9οἱ δὲ ἀκούσαντες ἐξήρχοντο εἷς καθ' εἷς, ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων, καὶ κατελείφθη ὁ Ἰησοῦς καὶ ἡ γυνὴ ἐν μέσῳ οὖσα. 10ἀνακύψας δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῇ·

Capitolul 8

Şi Iisus a mers în Muntele Măslinilor. 2Iar dimineaţa iarăşi a venit în templu, şi tot poporul venea la El; şi şezând, îi învăţa. 3Şi au adus cărturarii şi fariseii o femeie prinsă în adulter; şi aşezând-o în mijloc, 4I-au zis: Învăţătorule, această femeie a fost prinsă asupra faptului, făcând adulter; 5şi, în Legea noastră, Moise a poruncit pe unele ca acestea să le ucidem cu pietre. 6Tu, dar, ce zici? Şi aceasta au zis-o, ispitindu-L, ca să aibă vină împotriva Lui. Iar Iisus, aplecându-Se jos, scria cu degetul pe pământ. 7Şi pentru că stăruiau întrebându-L, S-a ridicat şi le-a zis: Cel fără de păcat dintre voi să arunce cel dintâi piatra asupra ei. 8Şi iarăşi, aplecându-Se jos, scria pe pământ. 9Iar ei, auzind, au ieşit unul câte unul, începând de la cei mai bătrâni; şi a rămas Iisus şi femeia, care era în mijloc. 10Şi ridicându-Se, Iisus i-a

γύναι, ποῦ εἰσιν; οὐδείς σε κατέκρινεν; 11ἡ δὲ εἶπεν· οὐδείς, Κύριε. εἶπε δὲ ὁ Ἰησοῦς· οὐδὲ ἐγώ σε κατακρίνω· πορεύου καὶ ἀπὸ τοῦ νῦν μηκέτι ἁμάρτανε.

Πάλιν οὖν αὐτοῖς ὁ Ἰησοῦς ἐλάλησε λέγων· ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. 13εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι· σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής. 14ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· κἂν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἀληθής ἐστιν ἡ μαρτυρία μου, ὅτι οἶδα πόθεν ἦλθον καὶ ποῦ ὑπάγω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι ἢ ποῦ ὑπάγω. 15ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε· ἐγὼ οὐ κρίνω οὐδένα. 16καὶ ἐὰν κρίνω δὲ ἐγώ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν, ὅτι μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ. 17καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν. 18ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ. 19ἔλεγον οὖν αὐτῷ· ποῦ ἐστιν ὁ πατήρ σου; ἀπεκρίθη Ἰησοῦς· οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ἂν ᾔδειτε ἄν. 20Ταῦτα τὰ ῥήματα ἐλάλησεν ὁ Ἰησοῦς ἐν τῷ γαζοφυλακίῳ, διδάσκων ἐν τῷ ἱερῷ, καὶ οὐδεὶς ἐπίασεν αὐτόν, ὅτι οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ.

Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· ἐγὼ ὑπάγω καὶ ζητήσετέ με, καὶ ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀποθανεῖσθε· ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν. 22ἔλεγον οὖν οἱ Ἰουδαῖοι· μήτι ἀποκτενεῖ ἑαυτόν, ὅτι λέγει, ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν; 23καὶ εἶπεν αὐτοῖς· ὑμεῖς ἐκ τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου. 24εἶπον οὖν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε

zis: Femeie, unde sunt? Nici unul nu te-a osândit? 11Iar ea a zis: Nici unul, Doamne. Şi a zis Iisus: Nici Eu nu te osândesc. Mergi şi de acum să nu mai păcătuieşti.

Deci iarăşi Iisus le-a vorbit lor, zicând: Eu sunt Lumina lumii; cel care Îmi urmează Mie nu va umbla în întuneric, ci va avea lumina vieţii. 13I-au zis deci fariseii: Tu despre Tine Însuţi mărturiseşti; mărturia Ta nu este adevărată. 14A răspuns Iisus şi le-a zis: Chiar dacă Eu mărturisesc despre Mine Însumi, adevărată este mărturia Mea, că Eu ştiu de unde am venit şi unde Mă duc; voi însă nu ştiţi de unde vin sau unde Mă duc. 15Voi după trup judecaţi; Eu nu judec pe nimeni. 16Şi chiar dacă Eu judec, judecata Mea este adevărată, că nu sunt singur, ci Eu şi Tatăl Care M-a trimis. 17Şi în Legea voastră este scris că mărturia a doi oameni este adevărată. 18Eu sunt Cel ce mărturisesc despre Mine Însumi şi mărturiseşte despre Mine Tatăl Care M-a trimis. 19Îi ziceau aşadar: Unde este Tatăl Tău? A răspuns Iisus: Nici pe Mine nu mă ştiţi, nici pe Tatăl Meu; dacă pe Mine M-aţi şti, aţi şti şi pe Tatăl Meu. 20Aceste cuvinte le-a grăit Iisus la cutia darurilor, învăţând în templu; şi nimeni nu L-a prins, că nu venise încă ceasul Lui.

Le-a zis deci iarăşi Iisus: Eu Mă duc şi Mă veţi căuta, şi în păcatul vostru veţi muri. Unde Mă duc Eu, voi nu puteţi veni. 22Ziceau deci iudeii: Nu cumva Se va omorî singur? Că zice: Unde Mă duc Eu voi nu puteţi veni. 23Şi le-a zis lor: Voi sunteţi din cele de jos; Eu din cele de sus sunt. Voi din lumea aceasta sunteţi; Eu nu sunt din lumea aceasta. 24V-am spus deci vouă că veţi muri în păcatele voastre; căci dacă nu veţi crede că Eu sunt, veţi muri

ἐν ταῖς ἁμαρτίαις ὑμῶν. 25ἔλεγον οὖν αὐτῷ· σὺ τίς εἶ; καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· τὴν ἀρχὴν ὅ τι καὶ λαλῶ ὑμῖν. 26πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν· ἀλλ᾽ ὁ πέμψας με ἀληθής ἐστι, κἀγὼ ἃ ἤκουσα παρ᾽ αὐτοῦ, ταῦτα λέγω εἰς τὸν κόσμον. 27οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν. 28εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ὅταν ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώσεσθε ὅτι ἐγώ εἰμι, καὶ ἀπ᾽ ἐμαυτοῦ ποιῶ οὐδέν, ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ πατήρ μου, ταῦτα λαλῶ. 29καὶ ὁ πέμψας με μετ᾽ ἐμοῦ ἐστιν· οὐκ ἀφῆκέ με μόνον ὁ πατήρ, ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάντοτε. 30Ταῦτα αὐτοῦ λαλοῦντος πολλοὶ ἐπίστευσαν εἰς αὐτόν.

Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας αὐτῷ Ἰουδαίους· ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μού ἐστε, 32καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς. 33ἀπεκρίθησαν αὐτῷ· σπέρμα Ἀβραάμ ἐσμεν καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε· πῶς σὺ λέγεις ὅτι ἐλεύθεροι γενήσεσθε; 34ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστι τῆς ἁμαρτίας. 35ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα. 36ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ὄντως ἐλεύθεροι ἔσεσθε. 37οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν. 38ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρί μου λαλῶ· καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν ποιεῖτε. 39ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστι. λέγει αὐτοῖς ὁ Ἰησοῦς· εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε. 40νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ Θεοῦ· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν. 41ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. εἶπον οὖν αὐτῷ· ἡμεῖς ἐκ

în păcatele voastre. 25Deci Îi ziceau Lui: Tu cine eşti? Şi le-a zis lor Iisus: Ce v-am spus de la început. 26Multe am să spun despre voi şi să judec. Dar Cel care M-a trimis adevărat este, şi Eu cele ce am auzit de la El, acestea le grăiesc lumii. 27N-au cunoscut că de Tatăl le vorbea. 28Le-a zis deci Iisus: Când veţi înălţa pe Fiul Omului, atunci veţi cunoaşte că Eu sunt şi de la Mine Însumi nu fac nimic, ci precum M-a învăţat pe Mine Tatăl Meu, acestea vorbesc. 29Şi Cel ce M-a trimis este cu Mine; nu M-a lăsat singur Tatăl, că Eu cele plăcute Lui fac pururea. 30Grăind El acestea, mulţi au crezut în El.

Zicea deci Iisus către iudeii care crezuseră Lui: Dacă voi veţi rămâne în cuvântul Meu, cu adevărat ucenicii Mei sunteţi, 32şi veţi cunoaşte adevărul, iar adevărul vă va face liberi. 33I-au răspuns Lui: Sămânţa lui Avraam suntem şi nimănui n-am fost robi vreodată. Cum zici Tu: Veţi fi liberi? 34Le-a răspuns Iisus: Amin, amin zic vouă că tot cel ce face păcatul rob este păcatului. 35Iar robul nu rămâne în casă în veac; Fiul rămâne în veac. 36Dacă deci Fiul vă va face liberi, cu adevărat liberi veţi fi. 37Ştiu că sămânţa lui Avraam sunteţi, dar căutaţi să Mă omorâţi, căci cuvântul Meu nu încape în voi. 38Eu ceea ce am văzut la Tatăl Meu vorbesc, şi voi, deci, ceea ce aţi văzut la tatăl vostru faceţi. 39Au răspuns şi I-au zis: Tatăl nostru este Avraam. Iisus le-a zis: Dacă aţi fi fiii lui Avraam, lucrurile lui Avraam aţi face. 40Acum însă căutaţi să Mă omorâţi pe Mine, Omul care v-am spus adevărul pe care l-am auzit de la Dumnezeu. Avraam nu a făcut aceasta. 41Voi faceţi lucrurile tatălui vostru. Deci I-au zis: Noi

πορνείας οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν, τὸν Θεόν. 42εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· εἰ ὁ Θεὸς πατὴρ ὑμῶν ἦν, ἠγαπᾶτε ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ ἥκω· οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλε. 43διατί τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώσκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν. 44ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ, καὶ τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν. ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ· ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψεύστης ἐστὶ καὶ ὁ πατὴρ αὐτοῦ. 45ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω, οὐ πιστεύετέ μοι. 46τίς ἐξ ὑμῶν ἐλέγχει με περὶ ἁμαρτίας; εἰ δὲ ἀλήθειαν λέγω, διατί ὑμεῖς οὐ πιστεύετέ μοι; 47ὁ ὢν ἐκ τοῦ Θεοῦ τὰ ῥήματα τοῦ Θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ Θεοῦ οὐκ ἐστέ.

Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ· οὐ καλῶς λέγομεν ἡμεῖς ὅτι Σαμαρείτης εἶ σὺ καὶ δαιμόνιον ἔχεις; 49ἀπεκρίθη Ἰησοῦς· ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. 50ἐγὼ δὲ οὐ ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων. 51ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. 52εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανε καὶ οἱ προφῆται, καὶ σὺ λέγεις, ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ γεύσηται θανάτου εἰς τὸν αἰῶνα; 53μὴ σὺ μείζων εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὅστις ἀπέθανε; καὶ οἱ προφῆται ἀπέθανον· τίνα σεαυτὸν σὺ ποιεῖς; 54ἀπεκρίθη Ἰησοῦς· ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν· ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε ὅτι Θεὸς ὑμῶν ἐστι, 55καὶ οὐκ ἐγνώκατε αὐτόν· ἐγὼ δὲ οἶδα αὐτόν. καὶ ἐὰν εἴπω ὅτι οὐκ οἶδα

nu ne-am născut din curvie. Un tată avem: pe Dumnezeu. 42Le-a zis deci Iisus: Dacă Dumnezeu ar fi Tatăl vostru, M-ați iubi pe Mine; căci Eu de la Dumnezeu am ieşit şi am venit. Căci nu am venit de la Mine însumi, ci Acela M-a trimis pe Mine. 43Pentru ce graiul Meu nu-l cunoaşteți? Pentru că nu puteți auzi cuvântul Meu. 44Voi din tatăl vostru, diavolul, sunteți şi poftele tatălui vostru vreți să le faceți. Acela a fost ucigaş de oameni de la început şi întru adevăr nu a stat, că nu este adevăr întru el. Când grăieşte minciuna, dintru ale sale grăieşte, că mincinos este şi tatăl ei. 45Iar pe Mine, că spun adevărul, nu Mă credeți. 46Cine dintre voi Mă vădeşte pe Mine de păcat? Iar dacă spun adevărul, de ce nu Mă credeți? 47Cel care este din Dumnezeu aude cuvintele lui Dumnezeu; de aceea voi nu auziți, că nu sunteți din Dumnezeu.

Au răspuns deci iudeii şi I-au zis: Nu bine zicem noi că Tu eşti samarinean şi ai drac? 49A răspuns Iisus: Eu drac nu am, ci Îl cinstesc pe Tatăl Meu, şi voi mă necinstiți pe Mine. 50Dar Eu nu caut slava Mea. Este Cel care caută şi judecă. 51Amin, amin zic vouă: Dacă cineva va ține cuvântul Meu, moarte nu va vedea în veac. 52I-au zis deci iudeii: Acum am cunoscut că ai drac. Avraam a murit, şi proorocii; şi Tu zici: Dacă cineva va ține cuvântul Meu, nu va gusta moarte în veac? 53Nu cumva eşti Tu mai mare decât tatăl nostru Avraam, care a murit? Şi proorocii au murit. Cine Te faci Tu pe Tine Însuți? 54A răspuns Iisus: Dacă Eu Mă slăvesc pe Mine Însumi, slava Mea nimic nu este; Tatăl Meu este Cel care Mă slăveşte, despre Care voi ziceți că este Dumnezeul vostru. 55Şi nu L-ați cunoscut pe El; Eu însă

αὐτόν, ἔσομαι ὅμοιος ὑμῶν ψεύστης· ἀλλ' οἶδα αὐτὸν καὶ τὸν λόγον αὐτοῦ τηρῶ. 56Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε καὶ ἐχάρη. 57εἶπον οὖν οἱ Ἰουδαῖοι πρὸς αὐτόν· πεντήκοντα ἔτη οὔπω ἔχεις καὶ Ἀβραὰμ ἑώρακας; 58εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι. 59ἦραν οὖν λίθους ἵνα βάλωσιν ἐπ' αὐτόν· Ἰησοῦς δὲ ἐκρύβη, καὶ ἐξῆλθεν ἐκ τοῦ ἱεροῦ διελθὼν διὰ μέσου αὐτῶν, καὶ παρῆγεν οὕτως.

Îl ştiu pe El. Şi dacă aş zice că nu-L ştiu, aş fi mincinos asemenea vouă. Însă Îl ştiu şi cuvântul Lui îl ţin. 56Avraam, tatăl vostru, s-a veselit să vadă ziua Mea; şi a văzut şi s-a bucurat. 57Au zis deci iudeii către El: Încă nu ai cincizeci de ani şi l-ai văzut pe Avraam? 58Le-a zis Iisus: Amin, amin zic vouă: Înainte să fie Avraam Eu sunt. 59Au ridicat deci pietre ca să arunce asupra Lui; dar Iisus S-a ascuns şi a ieşit din templu, trecând prin mijlocul lor; şi astfel a plecat.

Κεφάλαιον Θ΄

Καὶ παράγων εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς. 2καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες· ῥαββί, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ; 3ἀπεκρίθη Ἰησοῦς· οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ. 4ἐμὲ δεῖ ἐργάζεσθαι τὰ ἔργα τοῦ πέμψαντός με ἕως ἡμέρα ἐστίν· ἔρχεται νὺξ ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι. 5ὅταν ἐν τῷ κόσμῳ ὦ, φῶς εἰμι τοῦ κόσμου. 6ταῦτα εἰπὼν ἔπτυσε χαμαὶ καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος, καὶ ἐπέχρισε τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ 7καὶ εἶπεν αὐτῷ· ὕπαγε νίψαι εἰς τὴν κολυμβήθραν τοῦ Σιλωάμ, ὃ ἑρμηνεύεται ἀπεσταλμένος. ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ ἦλθε βλέπων. 8Οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρότερον ὅτι τυφλὸς ἦν, ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ καθήμενος καὶ προσαιτῶν; 9ἄλλοι ἔλεγον ὅτι οὗτός ἐστιν· ἄλλοι δὲ ὅτι ὅμοιος αὐτῷ ἐστιν. ἐκεῖνος ἔλεγεν ὅτι ἐγώ εἰμι. 10ἔλεγον οὖν αὐτῷ· πῶς

Capitolul 9

Şi trecând, a văzut un om orb din naştere. 2Şi L-au întrebat ucenicii Lui, zicând: Rabbi, cine a păcătuit: acesta sau părinţii lui, de s-a născut orb? 3 A răspuns Iisus: Nici acesta n-a păcătuit, nici părinţii lui, ci ca să se arate lucrurile lui Dumnezeu în el. 4Trebuie să lucrez lucrurile Celui ce M-a trimis pe Mine până este ziuă; vine noaptea, când nimeni nu poate să lucreze. 5Atât cât sunt în lume, Lumină a lumii sunt. 6Acestea zicând, a scuipat pe pământ şi a făcut tină din scuipat şi a uns cu tină ochii orbului. 7Şi i-a zis: Mergi de te spală în scăldătoarea Siloamului, care se tâlcuieşte: trimis. Deci, a plecat şi s-a spălat şi a venit văzând. 8Iar vecinii şi cei care-l văzuseră mai îna-

ἀνεῴχθησάν σου οἱ ὀφθαλμοί; 11ἀπεκρίθη
ἐκεῖνος καὶ εἶπεν· ἄνθρωπος λεγόμενος Ἰη-
σοῦς πηλὸν ἐποίησε καὶ ἐπέχρισέ μου τοὺς
ὀφθαλμοὺς καὶ εἶπέ μοι· ὕπαγε εἰς τὴν κολυμ-
βήθραν τοῦ Σιλωὰμ καὶ νίψαι· ἀπελθὼν δὲ καὶ
νιψάμενος ἀνέβλεψα. 12εἶπον οὖν αὐτῷ· ποῦ
ἐστιν ἐκεῖνος; λέγει· οὐκ οἶδα. 13Ἄγουσιν αὐ-
τὸν πρὸς τοὺς Φαρισαίους, τὸν ποτε τυφλόν.
14ἦν δὲ σάββατον ὅτε τὸν πηλὸν ἐποίησεν ὁ
Ἰησοῦς καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς.
15πάλιν οὖν ἠρώτων αὐτὸν καὶ οἱ Φαρισαῖοι
πῶς ἀνέβλεψεν. ὁ δὲ εἶπεν αὐτοῖς· πηλὸν ἐπέ-
θηκέ μου ἐπὶ τοὺς ὀφθαλμούς, καὶ ἐνιψάμην,
καὶ βλέπω. 16ἔλεγον οὖν ἐκ τῶν Φαρισαίων
τινές· οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ τοῦ
Θεοῦ, ὅτι τὸ σάββατον οὐ τηρεῖ. ἄλλοι ἔλεγον·
πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα
σημεῖα ποιεῖν; καὶ σχίσμα ἦν ἐν αὐτοῖς. 17λέ-
γουσι τῷ τυφλῷ πάλιν· σὺ τί λέγεις περὶ αὐτοῦ,
ὅτι ἤνοιξέ σου τοὺς ὀφθαλμούς; ὁ δὲ εἶπεν
ὅτι προφήτης ἐστίν. 18οὐκ ἐπίστευσαν οὖν οἱ
Ἰουδαῖοι περὶ αὐτοῦ ὅτι τυφλὸς ἦν καὶ ἀνέ-
βλεψεν, ἕως ὅτου ἐφώνησαν τοὺς γονεῖς αὐ-
τοῦ τοῦ ἀναβλέψαντος 19καὶ ἠρώτησαν αὐ-
τοὺς λέγοντες· οὗτός ἐστιν ὁ υἱὸς ὑμῶν, ὃν
ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; πῶς οὖν
ἄρτι βλέπει; 20ἀπεκρίθησαν δὲ αὐτοῖς οἱ γονεῖς
αὐτοῦ καὶ εἶπον· οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ
υἱὸς ἡμῶν καὶ ὅτι τυφλὸς ἐγεννήθη· 21πῶς δὲ
νῦν βλέπει οὐκ οἴδαμεν, ἢ τίς ἤνοιξεν αὐτοῦ
τοὺς ὀφθαλμοὺς ἡμεῖς οὐκ οἴδαμεν· αὐτὸς
ἡλικίαν ἔχει, αὐτὸν ἐρωτήσατε, αὐτὸς περὶ
ἑαυτοῦ λαλήσει. 22ταῦτα εἶπον οἱ γονεῖς αὐ-
τοῦ, ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους· ἤδη γὰρ
συνετέθειντο οἱ Ἰουδαῖοι ἵνα, ἐάν τις αὐτὸν
ὁμολογήσῃ Χριστόν, ἀποσυνάγωγος γένηται.
23διὰ τοῦτο οἱ γονεῖς αὐτοῦ εἶπον ὅτι ἡλικίαν
ἔχει, αὐτὸν ἐρωτήσατε. 24ἐφώνησαν οὖν ἐκ
δευτέρου τὸν ἄνθρωπον ὃς ἦν τυφλός, καὶ
εἶπον αὐτῷ· δὸς δόξαν τῷ Θεῷ· ἡμεῖς οἴδα-

inte că era orb ziceau: Nu este acesta cel
ce şedea şi cerşea? 9Unii ziceau: Acesta
este; iar alţii: Seamănă cu el. Dar acela
zicea: Eu sunt. 10Deci îi ziceau: Cum ţi
s-au deschis ochii? 11A răspuns acela şi a
zis: Un om numit Iisus a făcut tină şi mi-a
uns ochii şi mi-a zis: Mergi la scăldătoa-
rea Siloamului şi te spală. Şi mergând şi
spălându-mă, am văzut. 12Deci i-au zis:
Unde este Acela? El a zis: Nu ştiu. 13L-
au dus la farisei pe cel oarecând orb. 14Şi
era sâmbătă când Iisus a făcut tină şi i-a
deschis ochii. 15Deci iarăşi îl întrebau şi
fariseii cum a văzut. Iar el le-a zis: Tină
a pus pe ochii mei şi m-am spălat şi văd.
16Deci ziceau unii dintre farisei: Acest om
nu este de la Dumnezeu, fiindcă nu ţine
sâmbăta. Alţii ziceau: Cum poate un om
păcătos să facă asemenea semne? Şi era
dezbinare între ei. 17I-au zis orbului iarăşi:
Tu ce zici despre El, că ţi-a deschis ochii?
Iar el a zis: Prooroc este. 18Deci n-au cre-
zut iudeii despre el că era orb şi a văzut,
până ce n-au chemat pe părinţii celui care
a văzut 19şi i-au întrebat, zicând: Acesta
este fiul vostru despre care ziceţi că s-a
născut orb? Deci cum vede el acum? 20Iar
părinţii lui le-au răspuns şi au zis: Ştim
că acesta este fiul nostru şi că s-a născut
orb; 21Dar cum vede el acum nu ştim; sau
cine i-a deschis ochii nu ştim; vârstă are,
întrebaţi-l, el însuşi va vorbi despre sine.
22Acestea le-au spus părinţii lui, fiindcă
se temeau de iudei; căci iudeii se înţelese-
seră ca, dacă cineva mărturiseşte că El es-
te Hristos, să fie dat afară din sinagogă.
23De aceea, au zis părinţii lui: Vârstă are,
întrebaţi-l pe el. 24Deci au chemat a do-
ua oară pe omul care fusese orb şi i-au
zis: Dă slavă lui Dumnezeu; noi ştim că

μεν ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν.
25ἀπεκρίθη οὖν ἐκεῖνος καὶ εἶπεν· εἰ ἁμαρτωλός ἐστιν οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὢν ἄρτι βλέπω. 26εἶπον δὲ αὐτῷ πάλιν· τί ἐποίησέ σοι; πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς; 27ἀπεκρίθη αὐτοῖς· εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι; 28ἐλοιδόρησαν αὐτὸν καὶ εἶπον· σὺ εἶ μαθητὴς ἐκείνου· ἡμεῖς δὲ τοῦ Μωϋσέως ἐσμὲν μαθηταί. 29ἡμεῖς οἴδαμεν ὅτι Μωϋσεῖ λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. 30ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς· ἐν γὰρ τούτῳ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστί, καὶ ἀνέῳξέ μου τοὺς ὀφθαλμούς. 31οἴδαμεν δὲ ὅτι ἁμαρτωλῶν ὁ Θεὸς οὐκ ἀκούει, ἀλλ' ἐάν τις θεοσεβὴς ᾖ καὶ τὸ θέλημα αὐτοῦ ποιῇ, τούτου ἀκούει. 32ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι ἤνοιξέ τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. 33εἰ μὴ ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν. 34ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς; καὶ ἐξέβαλον αὐτὸν ἔξω.

Ἤκουσεν ὁ Ἰησοῦς ὅτι ἐξέβαλον αὐτὸν ἔξω, καὶ εὑρὼν αὐτὸν εἶπεν αὐτῷ· σὺ πιστεύεις εἰς τὸν υἱὸν τοῦ Θεοῦ; 36ἀπεκρίθη ἐκεῖνος καὶ εἶπε· καὶ τίς ἐστι, Κύριε, ἵνα πιστεύσω εἰς αὐτόν; 37εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· καὶ ἑώρακας αὐτὸν καὶ ὁ λαλῶν μετὰ σοῦ ἐκεῖνός ἐστιν. 38ὁ δὲ ἔφη· πιστεύω, Κύριε· καὶ προσεκύνησεν αὐτῷ. 39καὶ εἶπεν ὁ Ἰησοῦς· εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. 40καὶ ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ· μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; 41εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε ὅτι βλέπομεν· ἡ οὖν ἁμαρτία ὑμῶν μένει.

omul acesta este păcătos. 25A răspuns deci acela şi a zis: Dacă este păcătos, nu ştiu; una ştiu: că, orb fiind, acum văd. 26Şi i-au zis iarăşi: Ce ţi-a făcut? Cum ţi-a deschis ochii? 27Le-a răspuns: Tocmai v-am spus şi n-aţi auzit. De ce voiţi iarăşi să auziţi? Nu cumva voiţi şi voi să vă faceţi ucenici ai Lui? 28L-au ocărât şi i-au zis: Tu eşti ucenic al Aceluia, noi însă suntem ucenici ai lui Moise. 29Noi ştim că lui Moise i-a vorbit Dumnezeu, iar pe Acesta nu-L ştim de unde este. 30A răspuns omul şi le-a zis: Tocmai în aceasta stă minunea: că voi nu ştiţi de unde este şi El mi-a deschis ochii. 31Şi noi ştim că Dumnezeu nu-i ascultă pe păcătoşi; dar de este cineva cinstitor de Dumnezeu şi face voia Lui, pe acesta îl ascultă. 32Din veac nu s-a auzit să fi deschis cineva ochii unuia născut orb. 33De n-ar fi fost Acesta de la Dumnezeu n-ar fi putut să facă nimic. 34Au răspuns şi i-au zis: Tu în păcate te-ai născut tot, şi tu ne înveţi pe noi? Şi l-au scos afară.

Auzit Iisus că l-au dat afară şi, găsindu-l, i-a zis: Crezi tu în Fiul lui Dumnezeu? 36Acela a răspuns şi a zis: Şi cine este, Doamne, ca să cred în El? 37Şi i-a zis Iisus: L-ai şi văzut. Cel ce vorbeşte cu tine, Acela este. 38Iar el a zis: Cred, Doamne. Şi s-a închinat Lui. 39Şi a zis Iisus: Spre judecată am venit Eu în lumea aceasta, ca cei care nu văd să vadă, iar cei care văd să fie orbi. 40Şi au auzit acestea unii dintre fariseii care erau cu El şi I-au zis: Nu cumva suntem şi noi orbi? 41Iisus le-a zis: Dacă aţi fi orbi, n-aţi avea păcat; dar acum ziceţi: Vedem; deci, păcatul vostru rămâne.

Κεφάλαιον Ι΄

Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ καὶ λῃστής· 2ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστι τῶν προβάτων. 3τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ᾽ ὄνομα καὶ ἐξάγει αὐτά. 4καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται, καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ· 5ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. 6Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς.

Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. 8πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί· ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. 9ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. 10ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. 11ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· 12ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. 13ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. 14ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ

Capitolul 10

Amin, amin zic vouă, cel ce nu intră pe uşă în staulul oilor, ci sare pe altă parte, acela este fur şi tâlhar. 2Iar cel ce intră pe uşă este păstor al oilor. 3Acestuia portarul îi deschide şi oile ascultă de glasul lui, şi oile sale le cheamă pe nume şi le mână afară. 4Şi când scoate afară oile sale, merge înaintea lor, şi oile îi urmează, căci ştiu glasul lui. 5Iar unui străin nu îi vor urma, ci vor fugi de el, pentru că nu ştiu glasul străinilor. 6Această pildă le-a spus-o Iisus; dar ei n-au cunoscut ce sunt cele despre care le vorbea.

Le-a zis deci iarăşi Iisus: Amin, amin zic vouă: Eu sunt uşa oilor. 8Toţi câţi au venit mai înainte de Mine sunt furi şi tâlhari, dar oile nu i-au ascultat. 9Eu sunt uşa: prin Mine de va intra cineva, se va mântui; şi va intra şi va ieşi şi păşune va afla. 10Furul nu vine decât să fure şi să junghie şi să piardă. Eu am venit ca viaţă să aibă şi din belşug să aibă. 11Eu sunt păstorul cel bun. Păstorul cel bun îşi pune sufletul său pentru oi. 12Iar cel năimit, şi care nu este păstor şi ale căruia nu sunt oile, vede lupul venind şi lasă oile şi fuge; şi lupul le răpeşte şi risipeşte oile. 13Dar cel năimit fuge pentru că este năimit şi nu-i pasă de oi. 14Eu sunt păstorul cel bun şi le cunosc pe ale Mele şi sunt cunoscut de către ale Mele, 15Precum Mă cunoaş-

γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν,
15καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω
τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ
τῶν προβάτων. 16καὶ ἄλλα πρόβατα ἔχω, ἃ
οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με
δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι,
καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. 17διὰ
τοῦτο ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν
ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν. 18οὐδεὶς
αἴρει αὐτὴν ἀπ᾽ ἐμοῦ, ἀλλ᾽ ἐγὼ τίθημι αὐτὴν
ἀπ᾽ ἐμαυτοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ
ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· ταύτην τὴν
ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου. 19Σχίσμα οὖν πάλιν ἐγένετο ἐν τοῖς Ἰουδαίοις διὰ
τοὺς λόγους τούτους. 20ἔλεγον δὲ πολλοὶ ἐξ
αὐτῶν· δαιμόνιον ἔχει καὶ μαίνεται· τί αὐτοῦ
ἀκούετε; 21ἄλλοι ἔλεγον· ταῦτα τὰ ῥήματα οὐκ
ἔστι δαιμονιζομένου· μὴ δαιμόνιον δύναται
τυφλῶν ὀφθαλμοὺς ἀνοίγειν;

Ἐγένετο δὲ τὰ ἐγκαίνια ἐν τοῖς Ἱεροσολύμοις,
καὶ χειμὼν ἦν· 23καὶ περιεπάτει ὁ Ἰησοῦς
ἐν τῷ ἱερῷ ἐν τῇ στοᾷ τοῦ Σολομῶντος. 24ἐκύκλωσαν οὖν αὐτὸν οἱ Ἰουδαῖοι καὶ ἔλεγον
αὐτῷ· ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ
εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παρρησίᾳ. 25ἀπεκρίθη
αὐτοῖς ὁ Ἰησοῦς· εἶπον ὑμῖν, καὶ οὐ πιστεύετε·
τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν τῷ ὀνόματι τοῦ πατρός
μου, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ· 26ἀλλ᾽ ὑμεῖς οὐ
πιστεύετε· οὐ γάρ ἐστε ἐκ τῶν προβάτων τῶν
ἐμῶν, καθὼς εἶπον ὑμῖν. 27τὰ πρόβατα τὰ ἐμὰ
τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτά,
καὶ ἀκολουθοῦσί μοι, 28κἀγὼ ζωὴν αἰώνιον
δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπόλωνται εἰς τὸν
αἰῶνα, καὶ οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός
μου. 29ὁ πατήρ μου, ὃς δέδωκέ μοι, μείζων
πάντων ἐστί, καὶ οὐδεὶς δύναται ἁρπάζειν ἐκ
τῆς χειρὸς τοῦ πατρός μου. 30ἐγὼ καὶ ὁ πατὴρ
ἕν ἐσμεν. 31Ἐβάστασαν οὖν πάλιν λίθους οἱ
Ἰουδαῖοι ἵνα λιθάσωσιν αὐτόν. 32ἀπεκρίθη
αὐτοῖς ὁ Ἰησοῦς· πολλὰ καλὰ ἔργα ἔδειξα ὑμῖν

te Tatăl şi Eu cunosc pe Tatăl, şi Îmi pun
sufletul pentru oi. 16Am şi alte oi, care nu
sunt din staulul acesta; şi pe acelea trebuie
să le aduc, şi vor auzi glasul Meu şi va fi o
turmă şi un păstor. 17Pentru aceasta Tatăl
Mă iubeşte, fiindcă Eu Îmi pun sufletul, ca
iarăşi să-l iau. 18Nimeni nu-l ia de la Mine,
ci Eu îl pun de la Mine Însumi; putere am
să-l pun şi putere am iarăşi să-l iau; aceas-
tă poruncă am primit-o de la Tatăl Meu.
19Deci dezbinare s-a făcut iarăşi între iu-
dei, din pricina acestor cuvinte. 20Şi ziceau
mulţi dintre ei: Are drac şi este nebun. De
ce Îl ascultaţi? 21Alţii ziceau: Aceste vor-
be nu sunt ale unui îndrăcit; oare poate un
drac să deschidă ochii orbilor?

Şi era la Ierusalim Praznicul Înnoirii şi
era iarnă. 23Iar Iisus umbla prin templu,
în pridvorul lui Solomon. 24Şi L-au încon-
jurat iudeii şi Îi ziceau: Până când ai să ne
ţii cu sufletul la gură? Dacă Tu eşti Hristo-
sul, spune-ne pe faţă. 25Le-a răspuns Iisus:
V-am spus şi nu credeţi. Lucrurile pe care
Eu le fac în numele Tatălui Meu acestea
mărturisesc despre Mine; 26dar voi nu cre-
deţi, căci nu sunteţi dintre oile Mele, pre-
cum v-am zis. 27Oile Mele ascultă de gla-
sul Meu şi Eu le cunosc pe ele, şi ele Îmi
urmează. 28Şi Eu le dau viaţă veşnică şi nu
vor pieri în veac, şi nimeni nu le va răpi
din mâna Mea. 29Tatăl Meu, Care Mi le-a
dat, este mai mare decât toţi, şi nimeni nu
poate să le răpească din mâna Tatălui Meu.
30Eu şi Tatăl una suntem. 31Deci iarăşi au
luat pietre iudeii ca să arunce asupra Lui.
32Le-a răspuns Iisus: Multe lucruri bune
v-am arătat vouă de la Tatăl Meu; pentru
care din ele aruncaţi cu pietre asupra Mea?
33I-au răspuns iudeii, zicând: Pentru lucru

ἐκ τοῦ πατρός μου· διὰ ποῖον αὐτῶν ἔργον λιθάζετέ με; 33ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι λέγοντες· περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν Θεόν. 34ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· οὐκ ἔστι γεγραμμένον ἐν τῷ νόμῳ ὑμῶν, *ἐγὼ εἶπα, θεοί ἐστε*; 35εἰ ἐκείνους εἶπε θεούς, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο, καὶ οὐ δύναται λυθῆναι ἡ γραφή, 36ὃν ὁ πατὴρ ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι βλασφημεῖς, ὅτι εἶπον, υἱὸς τοῦ Θεοῦ εἰμι; 37εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· 38εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε, ἵνα γνῶτε καὶ πιστεύσητε ὅτι ἐν ἐμοὶ ὁ πατὴρ κἀγὼ ἐν αὐτῷ. 39Ἐζήτουν οὖν πάλιν πιάσαι αὐτόν· καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν. 40Καὶ ἀπῆλθε πάλιν πέραν τοῦ Ἰορδάνου, εἰς τὸν τόπον ὅπου ἦν Ἰωάννης τὸ πρῶτον βαπτίζων, καὶ ἔμεινεν ἐκεῖ. 41καὶ πολλοὶ ἦλθον πρὸς αὐτὸν καὶ ἔλεγον ὅτι Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν, πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ ἦν. 42καὶ ἐπίστευσαν πολλοὶ ἐκεῖ εἰς αὐτόν.

bun nu aruncăm cu pietre asupra Ta, ci pentru hulă şi pentru că Tu, om fiind, Te faci pe Tine Dumnezeu. 34Le-a răspuns lor Iisus: Nu este scris în Legea voastră: *Eu am zis: dumnezei sunteţi*? 35Dacă le-a zis dumnezei acelora către care a fost cuvântul lui Dumnezeu, şi Scriptura nu poate să fie desfiinţată, 36despre Cel pe Care Tatăl L-a sfinţit şi L-a trimis în lume, voi ziceţi: Tu huleşti, căci am spus: Fiul lui Dumnezeu sunt? 37Dacă nu fac lucrurile Tatălui Meu, să nu Mă credeţi pe Mine. 38Iar dacă le fac, chiar dacă nu Mă credeţi pe Mine, credeţi acestor lucruri, ca să cunoaşteţi şi să credeţi că în Mine este Tatăl şi Eu în El. 39Căutau deci iarăşi să-L prindă; şi a scăpat din mâna lor. 40Şi a plecat iarăşi dincolo de Iordan, în locul unde boteza Ioan la început, şi a rămas acolo. 41Şi mulţi au venit la El şi ziceau: Ioan n-a făcut nici un semn, dar toate câte a zis Ioan despre Acesta erau adevărate. 42Şi mulţi au crezut în El acolo.

Κεφάλαιον ΙΑ΄

Ἦν δέ τις ἀσθενῶν Λάζαρος ἀπὸ Βηθανίας, ἐκ τῆς κώμης Μαρίας καὶ Μάρθας τῆς ἀδελφῆς αὐτῆς. 2ἦν δὲ Μαρία ἡ ἀλείψασα τὸν Κύριον μύρῳ καὶ ἐκμάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν αὐτῆς, ἧς ὁ ἀδελφὸς Λάζαρος ἠσθένει. 3ἀπέστειλαν οὖν αἱ ἀδελφαὶ πρὸς αὐτὸν λέγουσαι· Κύριε, ἴδε ὃν φιλεῖς ἀσθενεῖ. 4ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν· αὕτη ἡ ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' ὑπὲρ τῆς δόξης τοῦ Θεοῦ, ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ Θεοῦ δι' αὐτῆς. 5ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ

Capitolul 11

Şi era un bolnav, Lazăr din Betania, din satul Mariei şi al Martei, sora ei. 2Iar Maria era aceea care L-a uns pe Domnul cu mir şi I-a şters picioarele cu părul ei, al cărei frate Lazăr era bolnav. 3Au trimis deci surorile la El, zicând: Doamne, iată, cel pe care îl iubeşti este bolnav. 4Şi auzind Iisus, a zis: Această boală nu este spre moarte, ci pentru slava lui Dumnezeu, ca să Se slăvească Fiul lui Dumnezeu prin ea. 5Şi iubea Iisus pe Marta şi pe sora ei şi pe

τὴν ἀδελφὴν αὐτῆς καὶ τὸν Λάζαρον. 6ὡς οὖν ἤκουσεν ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο ἡμέρας· 7ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς· ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. 8λέγουσιν αὐτῷ οἱ μαθηταί· ῥαββί, νῦν ἐζήτουν σε λιθάσαι οἱ Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; 9ἀπεκρίθη Ἰησοῦς· οὐχὶ δώδεκά εἰσιν ὧραι τῆς ἡμέρας; ἐάν τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει, ὅτι τὸ φῶς τοῦ κόσμου τούτου βλέπει· 10ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτί, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ. 11ταῦτα εἶπε, καὶ μετὰ τοῦτο λέγει αὐτοῖς· Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· ἀλλὰ πορεύομαι ἵνα ἐξυπνίσω αὐτόν. 12εἶπον οὖν οἱ μαθηταὶ αὐτοῦ· Κύριε, εἰ κεκοίμηται, σωθήσεται. 13εἰρήκει δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ· ἐκεῖνοι δὲ ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει. 14τότε οὖν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς παρρησίᾳ· Λάζαρος ἀπέθανε, 15καὶ χαίρω δι' ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι οὐκ ἤμην ἐκεῖ· ἀλλ' ἄγωμεν πρὸς αὐτόν. 16εἶπεν οὖν Θωμᾶς ὁ λεγόμενος Δίδυμος τοῖς συμμαθηταῖς· ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ. 17Ἐλθὼν οὖν ὁ Ἰησοῦς εὗρεν αὐτὸν τέσσαρας ἡμέρας ἤδη ἔχοντα ἐν τῷ μνημείῳ. 18ἦν δὲ ἡ Βηθανία ἐγγὺς τῶν Ἱεροσολύμων ὡς ἀπὸ σταδίων δεκαπέντε, 19καὶ πολλοὶ ἐκ τῶν Ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς περὶ Μάρθαν καὶ Μαρίαν ἵνα παραμυθήσωνται αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν. 20ἡ οὖν Μάρθα ὡς ἤκουσεν ὅτι ὁ Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ· Μαρία δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. 21εἶπεν οὖν ἡ Μάρθα πρὸς τὸν Ἰησοῦν· Κύριε, εἰ ἦς ὧδε, ὁ ἀδελφός μου οὐκ ἂν ἐτεθνήκει. 22ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν Θεόν, δώσει σοι ὁ Θεός. 23λέγει αὐτῇ ὁ Ἰησοῦς· ἀναστήσεται ὁ ἀδελφός σου. 24λέγει αὐτῷ Μάρθα· οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. 25εἶπεν αὐτῇ ὁ Ἰησοῦς· ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή. 26ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται· καὶ

Lazăr. 6Când a auzit deci că este bolnav, atunci a rămas două zile în locul în care era; 7apoi, după aceea, le-a zis ucenicilor: Să mergem iarăşi în Iudeea. 8I-au zis ucenicii: Rabbi, acum căutau iudeii să Te ucidă cu pietre, şi iarăşi Te duci acolo? 9A răspuns Iisus: Oare nu sunt douăsprezece ceasuri într-o zi? Dacă cineva umblă ziua, nu se împiedică, pentru că vede lumina acestei lumi; 10Iar dacă umblă cineva noaptea, se împiedică, pentru că lumina nu este în el. 11A zis acestea şi după aceea le-a spus: Lazăr, prietenul nostru, a adormit; dar merg să-l trezesc. 12I-au zis deci ucenicii Lui: Doamne, dacă a adormit, se va mântui. 13Iar Iisus vorbise despre moartea lui, dar ei credeau că vorbeşte despre adormire ca somn. 14Atunci deci le-a zis lor Iisus pe faţă: Lazăr a murit. 15Şi Mă bucur pentru voi că n-am fost acolo, ca să credeţi; dar să mergem la el. 16A zis deci Toma, cel numit Geamănul, celorlalţi ucenici: Să mergem şi noi ca să murim cu El. 17Venind deci Iisus, l-a găsit deja de patru zile în mormânt. 18Şi Betania era aproape de Ierusalim, ca la cincisprezece stadii. 19Şi mulţi dintre iudei veniseră la Marta şi Maria, ca să le mângîie pentru fratele lor. 20Deci Marta, când a auzit că vine Iisus, a ieşit întru întâmpinarea Lui; Maria însă şedea în casă. 21A zis deci Marta către Iisus: Doamne, dacă ai fi fost aici, fratele meu n-ar fi murit. 22Dar şi acum ştiu că oricâte vei cere de la Dumnezeu, Îţi va da Dumnezeu. 23I-a zis ei Iisus: Va învia fratele tău. 24I-a zis Lui Marta: Ştiu că va învia la Înviere, în ziua de apoi. 25I-a zis ei Iisus: Eu sunt învierea şi viaţa; 26cel ce crede în Mine, chiar dacă va muri, va fi viu; şi tot cel ce este viu şi crede în Mine

πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. πιστεύεις τοῦτο; 27λέγει αὐτῷ· ναί, Κύριε, ἐγὼ πεπίστευκα ὅτι σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ ὁ εἰς τὸν κόσμον ἐρχόμενος. 28καὶ ταῦτα εἰποῦσα ἀπῆλθε καὶ ἐφώνησε Μαρίαν τὴν ἀδελφὴν αὐτῆς λάθρα εἰποῦσα· ὁ διδάσκαλος πάρεστι καὶ φωνεῖ σε. 29ἐκείνη ὡς ἤκουσεν, ἐγείρεται ταχὺ καὶ ἔρχεται πρὸς αὐτόν. 30οὔπω δὲ ἐληλύθει ὁ Ἰησοῦς εἰς τὴν κώμην, ἀλλ' ἦν ἐν τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ Μάρθα. 31οἱ οὖν Ἰουδαῖοι οἱ ὄντες μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ παραμυθούμενοι αὐτήν, ἰδόντες τὴν Μαρίαν ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν, ἠκολούθησαν αὐτῇ, λέγοντες ὅτι ὑπάγει εἰς τὸ μνημεῖον ἵνα κλαύσῃ ἐκεῖ. 32ἡ οὖν Μαρία ὡς ἦλθεν ὅπου ἦν ὁ Ἰησοῦς, ἰδοῦσα αὐτὸν ἔπεσεν αὐτοῦ εἰς τοὺς πόδας λέγουσα αὐτῷ· Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφός. 33 Ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν καὶ τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι καὶ ἐτάραξεν ἑαυτόν, 34καὶ εἶπε· ποῦ τεθείκατε αὐτόν; λέγουσιν αὐτῷ· Κύριε, ἔρχου καὶ ἴδε. 35ἐδάκρυσεν ὁ Ἰησοῦς. 36ἔλεγον οὖν οἱ Ἰουδαῖοι· ἴδε πῶς ἐφίλει αὐτόν· 37τινὲς δὲ ἐξ αὐτῶν εἶπον· οὐκ ἠδύνατο οὗτος, ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ; 38Ἰησοῦς οὖν, πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ, ἔρχεται εἰς τὸ μνημεῖον· ἦν δὲ σπήλαιον, καὶ λίθος ἐπέκειτο ἐπ' αὐτῷ. 39λέγει ὁ Ἰησοῦς· ἄρατε τὸν λίθον. λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τεθνηκότος Μάρθα· Κύριε, ἤδη ὄζει· τεταρταῖος γάρ ἐστι. 40λέγει αὐτῇ ὁ Ἰησοῦς· οὐκ εἶπόν σοι ὅτι ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ Θεοῦ; 41ἦραν οὖν τὸν λίθον οὗ ἦν ὁ τεθνηκὼς κείμενος. ὁ δὲ Ἰησοῦς ἦρε τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπε· πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου. 42ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις· ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. 43καὶ ταῦτα εἰπὼν

nu va muri în veac. Crezi aceasta? 27I-a spus Lui: Da, Doamne. Eu cred că Tu eşti Hristosul, Fiul lui Dumnezeu, Care vine în lume. 28Şi zicând aceasta, a plecat şi a chemat-o pe Maria, sora ei, zicându-i în ascuns: Învăţătorul este aici şi te cheamă. 29Când a auzit aceea, s-a sculat degrabă şi a venit la El. 30Şi încă nu venise Iisus în sat, ci era în locul unde Îl întâmpinase Marta. 31Iar iudeii care erau cu ea în casă şi o mângâiau, văzând-o pe Maria că s-a ridicat degrabă şi a ieşit, au urmat-o, zicând că se duce la mormânt, ca să plângă acolo. 32Deci Maria, când a venit unde era Iisus, văzându-L, a căzut la picioarele Lui, zicându-I: Doamne, dacă ai fi fost aici, nu ar fi murit fratele meu. 33Iisus deci, când a văzut-o plângând şi pe iudeii care veniseră cu ea plângând, S-a înăsprit cu duhul şi S-a tulburat întru Sine; 34şi a zis: Unde l-aţi pus? I-au zis: Doamne, vino şi vezi. 35A lăcrimat Iisus. 36Deci ziceau iudeii: Iată cât îl iubea. 37Iar unii dintre ei au zis: El, Care a deschis ochii orbului, nu putea face ca şi acesta să nu moară? 38Deci Iisus, înăsprindu-Se iarăşi întru Sine, a mers la mormânt. Şi era o peşteră şi o piatră era aşezată pe ea. 39A zis Iisus: Ridicaţi piatra. I-a zis Lui sora celui ce murise, Marta: Doamne, deja miroase, căci este a patra zi. 40Iisus i-a zis: Nu ţi-am spus că dacă vei crede vei vedea slava lui Dumnezeu? 41Au ridicat deci piatra unde fusese pus cel ce murise, iar Iisus Şi-a ridicat ochii în sus şi a zis: Părinte, Îţi mulţumesc că M-ai ascultat. 42Eu ştiam că întotdeauna Mă asculţi, dar pentru mulţimea care stă împrejur am zis, ca ei să creadă că Tu M-ai trimis. 43Şi zicând acestea, a strigat cu glas mare: Lazăre, vino afară! 44Şi a

φωνῇ μεγάλῃ ἐκραύγασε· Λάζαρε, δεῦρο ἔξω.
44καὶ ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις, καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ περιεδέδετο. λέγει αὐτοῖς ὁ Ἰησοῦς· λύσατε αὐτὸν καὶ ἄφετε ὑπάγειν.

Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων, οἱ ἐλθόντες πρὸς τὴν Μαρίαν καὶ θεασάμενοι ἃ ἐποίησεν ὁ Ἰησοῦς, ἐπίστευσαν εἰς αὐτόν. 46τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον πρὸς τοὺς Φαρισαίους καὶ εἶπον αὐτοῖς ἃ ἐποίησεν ὁ Ἰησοῦς. 47συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον καὶ ἔλεγον· τί ποιοῦμεν, ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ; 48ἐὰν ἀφῶμεν αὐτὸν οὕτω, πάντες πιστεύσουσιν εἰς αὐτόν, καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος. 49εἷς δέ τις ἐξ αὐτῶν Καϊάφας, ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς· ὑμεῖς οὐκ οἴδατε οὐδέν, 50οὐδὲ διαλογίζεσθε ὅτι συμφέρει ἡμῖν ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ τοῦ λαοῦ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. 51τοῦτο δὲ ἀφ' ἑαυτοῦ οὐκ εἶπεν, ἀλλὰ ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου προεφήτευσεν ὅτι ἔμελλεν ὁ Ἰησοῦς ἀποθνῄσκειν ὑπὲρ τοῦ ἔθνους, 52καὶ οὐχ ὑπὲρ τοῦ ἔθνους μόνον, ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν. 53ἀπ' ἐκείνης οὖν τῆς ἡμέρας συνεβουλεύσαντο ἵνα ἀποκτείνωσιν αὐτόν. 54Ἰησοῦς οὖν οὐκέτι παρρησίᾳ περιεπάτει ἐν τοῖς Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς Ἐφραὶμ λεγομένην πόλιν, κἀκεῖ διέτριβε μετὰ τῶν μαθητῶν αὐτοῦ. 55ἦν δὲ ἐγγὺς τὸ πάσχα τῶν Ἰουδαίων, καὶ ἀνέβησαν πολλοὶ εἰς Ἱεροσόλυμα ἐκ τῆς χώρας πρὸ τοῦ πάσχα ἵνα ἁγνίσωσιν ἑαυτούς. 56ἐζήτουν οὖν τὸν Ἰησοῦν καὶ ἔλεγον μετ' ἀλλήλων ἐν τῷ ἱερῷ ἑστηκότες· τί δοκεῖ ὑμῖν, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν ἑορτήν; 57δεδώκεισαν δὲ καὶ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἐντολὴν ἵνα ἐάν τις γνῷ ποῦ ἐστι, μηνύσῃ, ὅπως πιάσωσιν αὐτόν.

ieşit cel ce murise, legat la picioare şi la mâini cu feşe şi faţa lui era înfăşurată cu mahramă. Le-a zis Iisus: Dezlegaţi-l şi lăsaţi-l să meargă.

Deci mulţi dintre iudeii care veniseră la Maria şi văzuseră cele ce făcuse Iisus au crezut în El. 46Iar unii dintre ei au plecat la farisei şi le-au zis cele ce făcuse Iisus. 47Deci au adunat arhiereii şi fariseii sinedriul şi ziceau: Ce vom face, că Omul Acesta face multe semne? 48Dacă-L lăsăm aşa, toţi vor crede în El şi vor veni romanii şi ne vor lua şi locul, şi neamul. 49Iar unul dintre ei, Caiafa, fiind arhiereu al acelui an, le-a zis: Voi nu ştiţi nimic; 50nici nu cugetaţi că ne este de folos ca un singur om să moară pentru popor, şi să nu piară tot neamul. 51Dar aceasta n-a zis-o de la Sine, ci, fiind arhiereu al anului aceluia, a proorocit că Iisus avea să moară pentru neam; 52şi nu numai pentru neam, ci ca şi pe fiii lui Dumnezeu cei risipiţi să-i adune întru una. 53Deci, din ziua aceea, s-au sfătuit să-L omoare. 54De aceea, Iisus nu mai umbla pe faţă printre iudei, ci a plecat de acolo într-un ţinut aproape de pustie, într-o cetate numită Efraim, şi acolo petrecea cu ucenicii Săi. 55Şi erau aproape Paştile iudeilor şi mulţi din ţinut s-au suit la Ierusalim, mai înainte de Paşti, ca să se curăţească. 56Deci Îl căutau pe Iisus şi ziceau între ei, stând în templu: Ce vi se pare? Oare nu va veni la praznic? 57Dar şi arhiereii, şi fariseii dăduseră poruncă, dacă va şti cineva unde este, să dea de veste, ca să-L prindă.

Κεφάλαιον ΙΒ΄

Πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα ἦλθεν εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς, ὃν ἤγειρεν ἐκ νεκρῶν. 2ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν τῶν ἀνακειμένων σὺν αὐτῷ. 3ἡ οὖν Μαρία, λαβοῦσα λίτραν μύρου νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ· ἡ δὲ οἰκία ἐπληρώθη ἐκ τῆς ὀσμῆς τοῦ μύρου. 4λέγει οὖν εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, Ἰούδας Σίμωνος Ἰσκαριώτης, ὁ μέλλων αὐτὸν παραδιδόναι· 5διατί τοῦτο τὸ μύρον οὐκ ἐπράθη τριακοσίων δηναρίων καὶ ἐδόθη πτωχοῖς; 6εἶπε δὲ τοῦτο οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ' ὅτι κλέπτης ἦν, καὶ τὸ γλωσσόκομον εἶχε καὶ τὰ βαλλόμενα ἐβάσταζεν. 7εἶπεν οὖν ὁ Ἰησοῦς· ἄφες αὐτήν, εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. 8τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. 9 Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ ἐστι, καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν ὃν ἤγειρεν ἐκ νεκρῶν. 10ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσιν, 11ὅτι πολλοὶ δι' αὐτὸν ὑπῆγον τῶν Ἰουδαίων καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν.

Τῇ ἐπαύριον ὄχλος πολὺς ὁ ἐλθὼν εἰς τὴν ἑορτήν, ἀκούσαντες ὅτι ἔρχεται Ἰησοῦς εἰς Ἱεροσόλυμα, 13ἔλαβον τὰ βαΐα τῶν φοινίκων καὶ ἐξῆλθον εἰς ὑπάντησιν αὐτῷ, καὶ ἔκραζον· *ὡσαννά, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*, βασιλεὺς τοῦ Ἰσραήλ. 14εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον ἐκάθισεν ἐπ' αὐτό, καθὼς

Capitolul 12

Deci Iisus, cu şase zile înainte de Paşti, a venit în Betania, unde era Lazăr, cel ce fusese mort, pe care îl sculase din morţi. 2Deci I-au făcut acolo cină şi Marta slujea, iar Lazăr era unul dintre cei ce şedeau cu El la masă. 3Deci Maria, luând o litră cu mir de nard curat, de mult preţ, a uns picioarele lui Iisus şi a şters cu părul ei picioarele Lui, şi casa s-a umplut de mireasma mirului. 4Deci a zis unul dintre ucenicii Lui, Iuda al lui Simon, Iscarioteanul, care avea să-L vândă: 5Pentru ce mirul acesta nu s-a vândut cu trei sute de dinari şi nu s-a dat săracilor? 6Dar a zis aceasta nu pentru că îi păsa de săraci, ci pentru că era fur şi avea punga şi lua cele puse în ea. 7A zis deci Iisus: Las-o! Pentru ziua îngropării Mele l-a păstrat. 8Căci pe săraci totdeauna îi aveţi cu voi, dar pe Mine nu Mă aveţi totdeauna. 9Deci au cunoscut mulţime mare de iudei că este acolo şi au venit nu numai pentru Iisus, ci să vadă şi pe Lazăr pe care-l sculase din morţi. 10Şi s-au sfătuit arhiereii ca şi pe Lazăr să-l omoare. 11Că din pricina lui mulţi dintre iudei plecau şi credeau în Iisus.

A doua zi, mulţime multă care venise la praznic, auzind că vine Iisus în Ierusalim, 13au luat ramuri de finic şi au ieşit în întâmpinarea Lui şi strigau: *Osana! Binecuvântat este Cel ce vine întru numele Domnului*, Împăratul lui Israel! 14Şi găsind Iisus un asin, a şezut pe el, precum

ἐστι γεγραμμένον· 15*μὴ φοβοῦ, θύγατερ Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεται καθήμενος ἐπὶ πῶλον ὄνου.* 16Ταῦτα δὲ οὐκ ἔγνωσαν οἱ μαθηταὶ αὐτοῦ τὸ πρῶτον, ἀλλ' ὅτε ἐδοξάσθη ὁ Ἰησοῦς, τότε ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμμένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ. 17Ἐμαρτύρει οὖν ὁ ὄχλος ὁ ὢν μετ' αὐτοῦ ὅτε τὸν Λάζαρον ἐφώνησεν ἐκ τοῦ μνημείου καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. 18διὰ τοῦτο καὶ ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσαν τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. 19οἱ οὖν Φαρισαῖοι εἶπον πρὸς ἑαυτούς· θεωρεῖτε ὅτι οὐκ ὠφελεῖτε οὐδέν; ἴδε ὁ κόσμος ὀπίσω αὐτοῦ ἀπῆλθεν.

Ἦσαν δέ τινες Ἕλληνες ἐκ τῶν ἀναβαινόντων ἵνα προσκυνήσωσιν ἐν τῇ ἑορτῇ. 21οὗτοι οὖν προσῆλθον Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτὸν λέγοντες· κύριε, θέλομεν τὸν Ἰησοῦν ἰδεῖν. 22ἔρχεται Φίλιππος καὶ λέγει τῷ Ἀνδρέᾳ, καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ· 23ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο αὐτοῖς λέγων· ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου. 24ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. 25ὁ φιλῶν τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ μισῶν τὴν ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον φυλάξει αὐτήν. 26ἐὰν ἐμοὶ διακονῇ τις, ἐμοὶ ἀκολουθείτω, καὶ ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται· καὶ ἐάν τις ἐμοὶ διακονῇ, τιμήσει αὐτὸν ὁ πατήρ.

Νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω; πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης. ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. 28πάτερ, δόξασόν σου τὸ ὄνομα. ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ· καὶ ἐδόξασα καὶ πάλιν δοξάσω. 29ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας ἔλεγε βροντὴν γεγονέναι· ἄλλοι ἔλεγον· ἄγγελος αὐτῷ λελάληκεν. 30ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν· οὐ

este scris: 15 *Nu te teme, fiică a Sionului! Iată Împăratul tău vine, şezând pe mânzul asinei.* 16Acestea nu le-au cunoscut ucenicii Lui la început, ci, când S-a slăvit Iisus, atunci şi-au adus aminte că acestea erau scrise despre El şi pe acestea I le-au făcut Lui. 17Deci mărturisea mulţimea care era cu El când l-a strigat pe Lazăr din mormânt şi l-a sculat din morţi. 18De aceea L-a şi întâmpinat mulţimea, pentru că auzise că El a făcut semnul acesta. 19Deci fariseii au zis între ei: Vedeţi că nu vă e de nici un folos? Iată, lumea s-a dus după El.

Şi erau nişte elini dintre cei ce urcau ca să se închine la praznic. 21Deci aceştia au venit la Filip, cel ce era din Betsaida Galileii, şi l-au rugat, zicând: Doamne, voim să-L vedem pe Iisus. 22A venit Filip şi i-a zis lui Andrei, şi iarăşi Andrei şi Filip I-au zis lui Iisus. 23Iar Iisus le-a răspuns, zicând: A venit ceasul ca să Se slăvească Fiul Omului. 24Amin, amin zic vouă, dacă grăuntele de grâu, căzând în pământ, nu va muri, rămâne singur; iar dacă moare, mult rod aduce. 25Cel ce îşi iubeşte sufletul său îl va pierde; iar cel ce îşi urăşte sufletul în lumea aceasta îl va păzi pentru viaţa veşnică. 26Dacă Îmi slujeşte cineva, să-Mi urmeze Mie; şi unde sunt Eu, acolo va fi şi slujitorul Meu; şi dacă cineva Îmi slujeşte Mie, îl va cinsti pe el Tatăl.

Acum sufletul Meu e tulburat, şi ce voi zice? Părinte, mântuieşte-Mă de ceasul acesta. Dar pentru aceasta am venit la ceasul acesta. 28Părinte, slăveşte-Ţi numele! A venit deci glas din cer: Şi L-am slăvit şi iarăşi Îl voi slăvi. 29Deci mulţimea care stătea şi auzise zicea: A fost tunet! Alţii ziceau: Un înger I-a vorbit! 30A răspuns

δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς. 31νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω· 32κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. 33τοῦτο δὲ ἔλεγε σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνῄσκειν. 34ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα, καὶ πῶς σὺ λέγεις, δεῖ ὑψωθῆναι τὸν υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ υἱὸς τοῦ ἀνθρώπου; 35εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ· καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ οὐκ οἶδε ποῦ ὑπάγει. 36ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε.

Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἀπελθὼν ἐκρύβη ἀπ' αὐτῶν. 37Τοσαῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν οὐκ ἐπίστευον εἰς αὐτόν, 38ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου πληρωθῇ ὃν εἶπε· *Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη;* 39διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν, ὅτι πάλιν εἶπεν Ἡσαΐας· 40*τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ νοήσωσι τῇ καρδίᾳ καὶ ἐπιστραφῶσι, καὶ ἰάσομαι αὐτούς.* 41ταῦτα εἶπεν Ἡσαΐας ὅτε εἶδε τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησε περὶ αὐτοῦ. 42ὅμως μέντοι καὶ ἐκ τῶν ἀρχόντων πολλοὶ ἐπίστευσαν εἰς αὐτόν, ἀλλὰ διὰ τοὺς Φαρισαίους οὐχ ὡμολόγουν, ἵνα μὴ ἀποσυνάγωγοι γένωνται· 43ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ τὴν δόξαν τοῦ Θεοῦ.

Ἰησοῦς δὲ ἔκραξε καὶ εἶπεν· ὁ πιστεύων εἰς ἐμὲ οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά με, 45καὶ ὁ θεωρῶν ἐμὲ θεωρεῖ τὸν πέμψαντά με. 46ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα πᾶς ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ.

Iisus şi a zis: Nu pentru Mine s-a făcut glasul acesta, ci pentru voi. 31Acum este judecata acestei lumi; acum stăpânitorul lumii acesteia va fi aruncat afară. 32Iar Eu, dacă Mă voi înălța de pe pământ, pe toți îi voi trage la Mine. 33Iar aceasta zicea însemnând cu ce moarte avea să moară. 34I-a răspuns mulțimea: Noi am auzit din Lege că Hristosul rămâne în veac; şi cum zici Tu: Trebuie să Se înalțe Fiul Omului? Cine este Acesta Fiul Omului? 35Deci le-a zis lor Iisus: Încă puțin timp Lumina este cu voi. Umblați până aveți Lumina, ca să nu vă prindă întunericul; şi cel ce umblă în întuneric nu ştie unde merge. 36Până când aveți Lumina, credeți în Lumină, ca să fiți fii ai Luminii.

Acestea le-a spus Iisus şi, plecând, S-a ascuns de ei. 37Şi, deşi a făcut atâtea semne înaintea lor, ei nu credeau în El; 38ca să se împlinească cuvântul proorocului Isaia, pe care l-a zis: *Doamne, cine a crezut celor auzite de la noi? Şi brațul Domnului cui s-a descoperit?* 39De aceea nu puteau să creadă, că iarăşi a zis Isaia: 40*A orbit ochii lor şi a împietrit inima lor, ca să nu vadă cu ochii şi să nu înțeleagă cu inima şi să se întoarcă şi să-i vindec.* 41Acestea le-a zis Isaia, când a văzut slava Lui şi a grăit despre El. 42Totuşi, şi dintre căpetenii mulți au crezut în El, dar, din pricina fariseilor, nu mărturiseau, ca să nu fie izgoniți din sinagogă; 43căci au iubit slava oamenilor mai mult decât slava lui Dumnezeu.

Iar Iisus a strigat şi a zis: Cel ce crede în Mine nu crede în Mine, ci în Cel ce M-a trimis pe Mine. 45Şi cel ce Mă vede pe Mine vede pe Cel ce M-a trimis pe Mine. 46Eu Lumină am venit în lume, ca tot cel

47καὶ ἐάν τίς μου ἀκούσῃ τῶν ῥημάτων καὶ
μὴ πιστεύσῃ, ἐγὼ οὐ κρίνω αὐτόν· οὐ γὰρ
ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ᾽ ἵνα σώσω
τὸν κόσμον. 48ὁ ἀθετῶν ἐμὲ καὶ μὴ λαμβάνων
τὰ ῥήματά μου, ἔχει τὸν κρίνοντα αὐτόν· ὁ
λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν
τῇ ἐσχάτῃ ἡμέρᾳ· 49ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ
ἐλάλησα, ἀλλ᾽ ὁ πέμψας με πατὴρ αὐτός μοι
ἐντολὴν ἔδωκε τί εἴπω καὶ τί λαλήσω· 50καὶ
οἶδα ὅτι ἡ ἐντολὴ αὐτοῦ ζωὴ αἰώνιός ἐστιν.
ἃ οὖν λαλῶ ἐγώ, καθὼς εἴρηκέ μοι ὁ πατήρ,
οὕτω λαλῶ.

47Şi dacă aude cineva cuvintele Mele
şi nu le crede, Eu nu îl judec; căci n-am
venit să judec lumea, ci să mântuiesc lu-
mea. 48Cel care se leapădă de Mine şi nu
primeşte cuvintele Mele are cine să-l ju-
decе: cuvântul pe care l-am grăit – acela îl
va judeca în ziua cea de apoi. 49Pentru că
Eu n-am vorbit de la Mine Însumi, ci În-
suşi Tatăl Care M-a trimis pe Mine Mi-a
dat poruncă ce să spun şi ce să vorbesc.
50Şi ştiu că porunca Lui este viaţă veşni-
că. Deci cele ce vorbesc Eu, precum Mi-a
spus Mie Tatăl, astfel vorbesc.

Κεφάλαιον ΙΓ΄

Πρὸ δὲ τῆς ἑορτῆς τοῦ πάσχα
εἰδὼς ὁ Ἰησοῦς ὅτι ἐλήλυθεν
αὐτοῦ ἡ ὥρα ἵνα μεταβῇ ἐκ τοῦ
κόσμου τούτου πρὸς τὸν πατέρα,
ἀγαπήσας τοὺς ἰδίους τοὺς ἐν
τῷ κόσμῳ, εἰς τέλος ἠγάπησεν
αὐτούς. 2καὶ δείπνου γενομένου, τοῦ διαβό-
λου ἤδη βεβληκότος εἰς τὴν καρδίαν Ἰούδα
Σίμωνος Ἰσκαριώτου ἵνα αὐτὸν παραδῷ, 3εἰ-
δὼς ὁ Ἰησοῦς ὅτι πάντα δέδωκεν αὐτῷ ὁ πα-
τὴρ εἰς τὰς χεῖρας, καὶ ὅτι ἀπὸ Θεοῦ ἐξῆλθε
καὶ πρὸς τὸν Θεὸν ὑπάγει, 4ἐγείρεται ἐκ τοῦ
δείπνου καὶ τίθησι τὰ ἱμάτια, καὶ λαβὼν λέν-
τιον διέζωσεν ἑαυτόν· 5εἶτα βάλλει ὕδωρ εἰς
τὸν νιπτῆρα, καὶ ἤρξατο νίπτειν τοὺς πόδας
τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν
διεζωσμένος. 6ἔρχεται οὖν πρὸς Σίμωνα Πέ-
τρον, καὶ λέγει αὐτῷ ἐκεῖνος· Κύριε, σύ μου
νίπτεις τοὺς πόδας; 7ἀπεκρίθη Ἰησοῦς καὶ
εἶπεν αὐτῷ· ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι,

Capitolul 13

Iar înainte de praznicul Paştilor, şti-
ind Iisus că a sosit ceasul Lui, ca să
Se mute din lumea aceasta la Tatăl,
iubind pe ai Săi cei din lume, până
la sfârşit i-a iubit pe ei. 2Şi făcân-
du-se Cină, când diavolul pusese de
acum în inima lui Iuda fiul lui Simon, Isca-
rioteanul, ca să-L vândă, 3 ştiind Iisus că
Tatăl a dat toate în mâinile Sale şi că de la
Dumnezeu a ieşit şi la Dumnezeu merge,
4S-a sculat de la Cină şi Şi-a pus deoparte
hainele şi, luând un ştergar, S-a încins cu el.
5După aceea, a turnat apă în vasul de spă-
lat şi a început să spele picioarele ucenicilor
şi să le şteargă cu ştergarul cu care era în-
cins. 6A venit deci la Simon Petru şi acela
I-a spus: Doamne, Tu îmi speli mie picioa-
rele? 7A răspuns Iisus şi i-a zis: Ceea ce fac
Eu, tu nu ştii acum, dar vei cunoaşte după
aceasta. 8I-a zis Lui Petru: Nu-mi vei spăla

γνώσῃ δὲ μετὰ ταῦτα. 8λέγει αὐτῷ Πέτρος· οὐ μὴ νίψῃς τοὺς πόδας μου εἰς τὸν αἰῶνα. ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. 9λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, μὴ τοὺς πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κεφαλήν. 10λέγει αὐτῷ ὁ Ἰησοῦς· ὁ λελουμένος οὐ χρείαν ἔχει ἢ τοὺς πόδας νίψασθαι, ἀλλ' ἔστι καθαρὸς ὅλος· καὶ ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες. 11ᾔδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ τοῦτο εἶπεν· οὐχὶ πάντες καθαροί ἐστε. 12Ὅτε οὖν ἔνιψε τοὺς πόδας αὐτῶν καὶ ἔλαβε τὰ ἱμάτια αὐτοῦ, ἀναπεσὼν πάλιν εἶπεν αὐτοῖς· γινώσκετε τί πεποίηκα ὑμῖν; 13ὑμεῖς φωνεῖτέ με, ὁ Διδάσκαλος καὶ ὁ Κύριος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ. 14εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, ὁ Κύριος καὶ ὁ Διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. 15ὑπόδειγμα γὰρ δέδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. 16ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ, οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. 17εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά. 18οὐ περὶ πάντων ὑμῶν λέγω· ἐγὼ οἶδα οὓς ἐξελεξάμην· ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ, *ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ.* 19ἀπ' ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα ὅταν γένηται πιστεύσητε ὅτι ἐγώ εἰμι. 20ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ λαμβάνων ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει, ὁ δὲ ἐμὲ λαμβάνων λαμβάνει τὸν πέμψαντά με.

Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐταράχθη τῷ πνεύματι, καὶ ἐμαρτύρησε καὶ εἶπεν· ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με. 22ἔβλεπον οὖν εἰς ἀλλήλους οἱ μαθηταί, ἀπορούμενοι περὶ τίνος λέγει. 23ἦν δὲ ἀνακείμενος εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ ἐν τῷ κόλπῳ τοῦ Ἰησοῦ, ὃν ἠγάπα ὁ Ἰησοῦς· 24νεύει οὖν τούτῳ Σίμων Πέτρος πυθέσθαι τίς ἂν εἴη περὶ

picioarele în veac. Iisus i-a răspuns: Dacă nu te spăl, nu ai parte cu Mine. 9I-a zis Simon Petru: Doamne, nu doar picioarele mele, ci şi mâinile şi capul. 10Iisus i-a spus: Cel ce s-a scăldat nu are trebuinţă să-şi spele decât picioarele, căci este curat tot. Şi voi sunteţi curaţi, însă nu toţi. 11Că îl ştia pe cel ce avea să-L vândă; pentru aceasta a spus: Nu toţi sunteţi curaţi. 12Deci, după ce le-a spălat picioarele lor şi Şi-a luat hainele Sale, aşezându-Se iarăşi la masă, le-a zis: Cunoaşteţi ce v-am făcut Eu vouă? 13Voi Mă numiţi pe Mine: Învăţătorul şi Domnul, şi bine ziceţi, căci sunt. 14Deci, dacă Eu, Domnul şi Învăţătorul, v-am spălat vouă picioarele, şi voi sunteţi datori să vă spălaţi picioarele unii altora; 15că v-am dat vouă pildă, ca, precum v-am făcut Eu vouă, şi voi să faceţi. 16Amin, amin zic vouă: Nu este robul mai mare decât domnul său, nici trimisul mai mare decât cel ce l-a trimis pe el. 17Dacă ştiţi acestea, fericiţi sunteţi când le faceţi. 18Nu zic despre voi toţi; căci Eu ştiu pe cei pe care i-am ales; dar, ca să se împlinească Scriptura: *Cel ce mănâncă pâinea cu Mine şi-a ridicat împotriva Mea călcâiul.* 19De acum vă spun vouă, înainte de a fi acestea, ca, atunci când vor fi, să credeţi că Eu sunt. 20Amin, amin zic vouă: Cel ce primeşte pe cel pe care-l trimit Eu pe Mine Mă primeşte; şi cel ce Mă primeşte pe Mine primeşte pe Cel care M-a trimis pe Mine.

Acestea zicând, Iisus S-a tulburat cu duhul şi a mărturisit şi a zis: Amin, amin zic vouă, că unul dintre voi Mă va vinde. 22Deci ucenicii se uitau unii la alţii, nedumerindu-se despre cine vorbeşte. 23Şi unul dintre ucenicii Lui, pe care-l iubea Iisus, şedea la masă, la sânul lui Iisus. 24Deci Simon Petru i-a făcut semn acestuia să întrebe cine

οὖ λέγει. 25ἐπιπεσὼν δὲ ἐκεῖνος ἐπὶ τὸ στῆθος
τοῦ Ἰησοῦ λέγει αὐτῷ· Κύριε, τίς ἐστιν; 26ἀπο-
κρίνεται ὁ Ἰησοῦς· ἐκεῖνός ἐστιν ᾧ ἐγὼ βάψας
τὸ ψωμίον ἐπιδώσω. καὶ ἐμβάψας τὸ ψωμί-
ον δίδωσιν Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ. 27καὶ
μετὰ τὸ ψωμίον τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ
σατανᾶς. λέγει οὖν αὐτῷ ὁ Ἰησοῦς· ὃ ποιεῖς,
ποίησον τάχιον. 28τοῦτο δὲ οὐδεὶς ἔγνω τῶν
ἀνακειμένων πρὸς τί εἶπεν αὐτῷ· 29τινὲς γὰρ
ἐδόκουν, ἐπεὶ τὸ γλωσσόκομον εἶχεν ὁ Ἰούδας,
ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς, ἀγόρασον ὧν χρείαν
ἔχομεν εἰς τὴν ἑορτήν, ἢ τοῖς πτωχοῖς ἵνα τι
δῷ. 30λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος εὐθέως
ἐξῆλθεν· ἦν δὲ νύξ.

Οτε οὖν ἐξῆλθε, λέγει ὁ Ἰησοῦς· νῦν ἐδο-
ξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ Θεὸς
ἐδοξάσθη ἐν αὐτῷ. 32εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν
αὐτῷ, καὶ ὁ Θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ,
καὶ εὐθὺς δοξάσει αὐτόν. 33τεκνία, ἔτι μικρὸν
μεθ' ὑμῶν εἰμι. ζητήσετέ με, καὶ καθὼς εἶπον
τοῖς Ἰουδαίοις ὅτι ὅπου ὑπάγω ἐγώ, ὑμεῖς οὐ
δύνασθε ἐλθεῖν, καὶ ὑμῖν λέγω ἄρτι. 34ἐντολὴν
καινὴν δίδωμι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους,
καθὼς ἠγάπησα ὑμᾶς ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε
ἀλλήλους. 35ἐν τούτῳ γνώσονται πάντες ὅτι
ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλ-
λήλοις.

Λέγει αὐτῷ Σίμων Πέτρος· Κύριε, ποῦ ὑπά-
γεις; ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· ὅπου ἐγὼ
ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι,
ὕστερον δὲ ἀκολουθήσεις μοι. 37λέγει αὐτῷ
ὁ Πέτρος· Κύριε, διατί οὐ δύναμαί σοι ἀκο-
λουθῆσαι ἄρτι; τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω.
38ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· τὴν ψυχήν σου
ὑπὲρ ἐμοῦ θήσεις; ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ
ἀλέκτωρ φωνήσει ἕως οὗ ἀπαρνήσῃ με τρίς.

este cel despre care vorbeşte. 25Şi căzând
acela la pieptul lui Iisus, I-a zis: Doamne,
cine este? 26A răspuns Iisus: Acela este, că-
ruia Eu, întingând bucăţica de pâine, i-o
voi da. Şi, întingând bucăţica de pâine, i-a
dat-o lui Iuda al lui Simon, Iscarioteanul.
27Şi, după bucăţica de pâine, atunci a intrat
în acela satana. I-a zis deci Iisus: Ceea ce
faci, fă mai repede! 28Şi nimeni dintre cei ce
şedeau la masă nu a cunoscut pentru ce i-a
spus lui. 29Căci unii socoteau, pentru că Iu-
da avea punga, că i-a zis Iisus: Cumpără cele
de care avem trebuinţă pentru praznic, sau
să dea ceva săracilor. 30Luând deci acela bu-
căţica de pâine, a ieşit îndată; şi era noapte.

Deci, când a ieşit, a zis Iisus: Acum S-a
slăvit Fiul Omului şi Dumnezeu S-a
slăvit întru El. 32Iar dacă Dumnezeu S-a
slăvit întru El, şi Dumnezeu Îl va slăvi pe
El întru Sine, şi îndată Îl va slăvi. 33Copii,
încă puţin timp sunt cu voi. Voi Mă veţi
căuta şi, după cum am spus iudeilor că un-
de Mă duc Eu, voi nu puteţi veni, vă spun
şi vouă acum. 34Poruncă nouă vă dau vo-
uă: Să vă iubiţi unii pe alţii; precum Eu
v-am iubit pe voi, aşa şi voi să vă iubiţi
unii pe alţii. 35Întru aceasta vor cunoaşte
toţi că Îmi sunteţi Mie ucenici, dacă veţi
avea dragoste unii pentru alţii.

I-a spus Simon Petru: Doamne, unde Te
duci? I-a răspuns Iisus: Unde Mă duc
Eu, tu nu poţi să-Mi urmezi acum, dar
mai târziu Îmi vei urma. 37I-a zis Petru:
Doamne, pentru ce nu pot să-Ţi urmez
Ţie acum? Sufletul meu îl voi pune pen-
tru Tine. 38I-a răspuns Iisus: Sufletul tău
pentru Mine îl vei pune? Amin, amin zic
ţie: Nu va cânta cocoşul, până nu te vei
lepăda de Mine de trei ori!

Κεφάλαιον ΙΔ΄

Μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία· πιστεύετε εἰς τὸν Θεόν, καὶ εἰς ἐμὲ πιστεύετε. 2ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου μοναὶ πολλαί εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν. πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν· 3καὶ ἐὰν πορευθῶ καὶ ἑτοιμάσω ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν, ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε. 4καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. 5Λέγει αὐτῷ Θωμᾶς· Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι; 6λέγει αὐτῷ ὁ Ἰησοῦς· ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα εἰ μὴ δι' ἐμοῦ. 7εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἄν. καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν. 8Λέγει αὐτῷ Φίλιππος· Κύριε, δεῖξον ἡμῖν τὸν πατέρα καὶ ἀρκεῖ ἡμῖν. 9λέγει αὐτῷ ὁ Ἰησοῦς· τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα· καὶ πῶς σὺ λέγεις, δεῖξον ἡμῖν τὸν πατέρα; 10οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι; τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ ἔργα. 11πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι. 12ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει, ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι, 13καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ. 14ἐάν τι αἰτήσητε ἐν τῷ ὀνόματί μου, ἐγὼ ποιήσω.

Capitolul 14

Să nu se tulbure inima voastră; credeți în Dumnezeu şi în Mine credeți. 2În casa Tatălui Meu multe locaşuri sunt. Iar de nu, v-aş fi spus; Mă duc să vă pregătesc loc. 3Şi dacă Mă duc şi vă pregătesc loc, iarăşi vin şi vă voi lua la Mine, ca acolo unde sunt Eu să fiți şi voi. 4Şi unde Mă duc Eu ştiți, şi calea o ştiți. 5I-a zis Toma: Doamne, nu ştim unde Te duci; şi cum putem şti calea? 6I-a zis Iisus: Eu sunt Calea şi Adevărul şi Viața; nimeni nu vine la Tatăl decât prin Mine. 7Dacă M-ați fi cunoscut pe Mine, şi pe Tatăl Meu L-ați fi cunoscut; şi de acum Îl cunoaşteți şi L-ați şi văzut. 8I-a zis Filip: Doamne, arată-ne nouă pe Tatăl şi ne este de ajuns. 9I-a zis Iisus: De atâta vreme sunt cu voi şi nu M-ai cunoscut, Filipe? Cel ce M-a văzut pe Mine L-a văzut pe Tatăl; şi cum spui tu: Arată-ne nouă pe Tatăl? 10Nu crezi că Eu sunt în Tatăl şi Tatăl în Mine este? Cuvintele pe care vi le grăiesc nu le grăiesc de la Mine; ci Tatăl, Cel care rămâne în Mine, El săvârşeşte lucrurile. 11Credeți Mie că Eu sunt în Tatăl şi Tatăl în Mine, iar de nu, pentru lucrurile acestea credeți Mie. 12Amin, amin zic vouă: Cel ce crede în Mine va face şi acela lucrurile pe care Eu le fac, şi mai mari decât acestea va face, pentru că Eu merg la Tatăl Meu. 13Şi orice veți cere în numele Meu, aceea voi face, ca să Se slăvească Tatăl în Fiul. 14Dacă veți cere ceva în numele Meu, Eu voi face.

ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε, 16καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα καὶ ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, 17τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει καὶ ἐν ὑμῖν ἔσται. 18οὐκ ἀφήσω ὑμᾶς ὀρφανούς· ἔρχομαι πρὸς ὑμᾶς. 19ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με, ὅτι ἐγὼ ζῶ καὶ ὑμεῖς ζήσεσθε. 20ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ πατρί μου καὶ ὑμεῖς ἐν ἐμοὶ κἀγὼ ἐν ὑμῖν. 21ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου, καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν. 22Λέγει αὐτῷ Ἰούδας, οὐχ ὁ Ἰσκαριώτης· Κύριε, καὶ τί γέγονεν ὅτι ἡμῖν μέλλεις ἐμφανίζειν σεαυτὸν καὶ οὐχὶ τῷ κόσμῳ; 23ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ· ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. 24ὁ μὴ ἀγαπῶν με τοὺς λόγους μου οὐ τηρεῖ· καὶ ὁ λόγος ὃν ἀκούετε οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός με πατρός. 25Ταῦτα λελάληκα ὑμῖν παρ' ὑμῖν μένων· 26ὁ δὲ παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον ὃ πέμψει ὁ πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα καὶ ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν.

εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ καθὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν. μὴ ταρασσέσθω ὑμῶν ἡ καρδία μηδὲ δειλιάτω. 28ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν, ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς· εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι εἶπον, πορεύομαι πρὸς τὸν πατέρα· ὅτι ὁ πατήρ μου μείζων μού ἐστι· 29καὶ νῦν εἰρηκα ὑμῖν πρὶν γενέσθαι, ἵνα ὅταν γένηται πιστεύσητε. 30οὐκέτι πολλὰ λα-

Dacă Mă iubiți, păziți poruncile Mele. 16Şi Eu voi ruga pe Tatăl şi alt Mângâietor vă va da vouă, ca să rămână cu voi în veac, 17Duhul Adevărului, pe Care lumea nu poate să-L primească, pentru că nu-L vede, nici nu-L cunoaşte pe El; voi însă Îl cunoaşteți, fiindcă rămâne la voi şi în voi va fi. 18Nu vă voi lăsa pe voi orfani; vin la voi. 19Încă puțin şi lumea nu Mă va mai vedea; voi însă Mă veți vedea, pentru că Eu sunt viu şi voi veți fi vii. 20În ziua aceea veți cunoaşte că Eu sunt în Tatăl Meu şi voi în Mine şi Eu în voi. 21Cel ce are poruncile Mele şi le păzeşte, acela este cel ce Mă iubeşte; iar cel ce Mă iubeşte pe Mine va fi iubit de Tatăl Meu şi Eu îl voi iubi pe el şi Mă voi arăta lui. 22I-a zis Iuda, nu Iscarioteanul: Doamne, ce este că ai să Te arăți nouă, şi nu lumii? 23A răspuns Iisus şi i-a zis: Dacă Mă iubeşte cineva, va păzi cuvântul Meu, şi Tatăl Meu îl va iubi pe el, şi vom veni la el şi vom face locaş la el. 24Cel ce nu Mă iubeşte nu păzeşte cuvintele Mele; şi cuvântul pe care îl auziți nu este al Meu, ci al Tatălui Care M-a trimis pe Mine. 25Acestea vi le-am grăit, fiind cu voi; 26dar Mângâietorul, Duhul cel Sfânt, pe Care-L va trimite Tatăl în numele Meu, Acela vă va învăța pe voi toate şi vă va aduce aminte toate pe care vi le-am spus.

Pace vă las vouă, pacea Mea vă dau vouă, nu precum dă lumea vă dau Eu vouă. Să nu se tulbure inima voastră, nici să se înfricoşeze. 28Ați auzit că v-am spus: Mă duc şi vin la voi. Dacă M-ați iubi, v-ați bucura că v-am zis: Merg la Tatăl; pentru că Tatăl Meu este mai mare decât Mine. 29Şi acum v-am spus vouă înainte să fie, ca atunci când vor fi, să credeți. 30Nu voi

λήσω μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν· 31ἀλλ' ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα, καὶ καθὼς ἐνετείλατό μοι ὁ πατήρ, οὕτω ποιῶ. ἐγείρεσθε ἄγωμεν ἐντεῦθεν.

mai grăi multe cu voi, căci vine stăpânitorul lumii şi în Mine nu are nimic; 31dar, ca să cunoască lumea că Eu iubesc pe Tatăl şi, precum Mi-a poruncit Mie Tatăl, aşa fac. Sculaţi-vă, să mergem de aici.

Κεφάλαιον ΙΕ΄

Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστι. 2πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπόν, αἴρει αὐτό, καὶ πᾶν τὸ καρπὸν φέρον, καθαίρει αὐτό, ἵνα πλείονα καρπὸν φέρῃ. 3ἤδη ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν. 4μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. καθὼς τὸ κλῆμα οὐ δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ ἐν τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, ἐὰν μὴ ἐν ἐμοὶ μείνητε. 5ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τὰ κλήματα. ὁ μένων ἐν ἐμοὶ κἀγὼ ἐν αὐτῷ, οὗτος φέρει καρπὸν πολύν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. 6ἐὰν μή τις μείνῃ ἐν ἐμοί, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα καὶ ἐξηράνθη, καὶ συνάγουσιν αὐτὰ καὶ εἰς τὸ πῦρ βάλλουσι, καὶ καίεται. 7ἐὰν μείνητε ἐν ἐμοὶ καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσασθε, καὶ γενήσεται ὑμῖν. 8ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε, καὶ γενήσεσθε ἐμοὶ μαθηταί.

Καθὼς ἠγάπησέ με ὁ πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. 10ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου, καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. 11Ταῦτα λελάληκα ὑμῖν ἵνα ἡ χαρὰ ἡ

Capitolul 15

Eu sunt viţa cea adevărată şi Tatăl Meu este lucrătorul. 2Toată mlădiţa din Mine care nu aduce rod El o îndepărtează; şi toată mlădiţa care aduce rod El o curăţeşte, ca mai mult rod să aducă. 3Voi sunteţi de-acum curaţi, pentru cuvântul pe care vi l-am grăit. 4Rămâneţi în Mine şi Eu în voi. Precum mlădiţa nu poate să aducă rod de la sine, dacă nu rămâne în viţă, aşa nici voi, dacă nu rămâneţi în Mine. 5Eu sunt viţa, voi mlădiţele. Cel ce rămâne întru Mine şi Eu în el, acesta aduce rod mult, căci fără Mine nu puteţi face nimic. 6Dacă cineva nu rămâne în Mine este aruncat afară ca mlădiţa şi se usucă; şi le adună şi le aruncă în foc şi ard. 7Dacă rămâneţi în Mine şi cuvintele Mele rămân în voi, ceea ce voiţi cereţi şi va fi vouă. 8În aceasta S-a slăvit Tatăl Meu, ca voi să aduceţi rod mult şi să-Mi fiţi ucenici.

Precum M-a iubit pe Mine Tatăl, şi Eu v-am iubit pe voi; rămâneţi în iubirea Mea. 10Dacă veţi păzi poruncile Mele, veţi rămâne în iubirea Mea precum şi Eu am păzit poruncile Tatălui Meu şi rămân în iubirea Lui. 11Acestea vi le-am grăit vouă,

ἐμὴ ἐν ὑμῖν μείνῃ καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. 12αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς. 13μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. 14ὑμεῖς φίλοι μου ἐστέ, ἐὰν ποιῆτε ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν. 15οὐκέτι ὑμᾶς λέγω δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ πατρός μου ἐγνώρισα ὑμῖν. 16οὐχ ὑμεῖς με ἐξελέξασθε, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς, καὶ ἔθηκα ὑμᾶς ἵνα ὑμεῖς ὑπάγητε καὶ καρπὸν φέρητε, καὶ ὁ καρπὸς ὑμῶν μένῃ, ἵνα ὅ τι ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δῷ ὑμῖν. 17ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους.

Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. 19εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. 20μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. 21ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. 22εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. 23ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ. 24εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου. 25ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι *ἐμίσησάν με δωρεάν*. 26ὅταν δὲ ἔλθῃ ὁ παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται,

ca bucuria Mea să rămână în voi şi ca bucuria voastră să se plinească. 12Aceasta este porunca Mea: să vă iubiţi unii pe alţii, precum v-am iubit Eu pe voi. 13Mai mare iubire decât aceasta nimeni nu are, ca să-şi pună cineva sufletul său pentru prietenii săi. 14Voi sunteţi prietenii Mei, dacă faceţi câte vă poruncesc Eu vouă. 15Nu vă mai zic robi, pentru că robul nu ştie ce face domnul său, ci v-am zis prieteni, pentru că toate câte am auzit de la Tatăl Meu vi le-am făcut cunoscute. 16Nu voi M-aţi ales pe Mine, ci Eu v-am ales pe voi şi v-am pus să mergeţi şi rod să aduceţi, şi rodul vostru să rămână, ca orice aţi cere de la Tatăl în numele Meu să vă dea. 17Acestea vă poruncesc vouă: să vă iubiţi unii pe alţii.

Dacă lumea vă urăşte pe voi, cunoaşteţi că pe Mine mai înainte de voi M-a urât. 19Dacă aţi fi din lume, lumea ar iubi ce este al său; dar pentru că nu sunteţi din lume, ci Eu v-am ales pe voi din lume, de aceea vă urăşte pe voi lumea. 20Aduceţi-vă aminte de cuvântul pe care Eu vi l-am spus: Nu este robul mai mare decât domnul său. Dacă pe Mine M-au prigonit, şi pe voi vă vor prigoni; dacă au păzit cuvântul Meu, şi pe al vostru îl vor păzi. 21Dar acestea toate vi le vor face pentru numele Meu, fiindcă ei nu-L ştiu pe Cel ce M-a trimis. 22Dacă n-aş fi venit şi nu le-aş fi grăit lor, păcat nu ar avea; dar acum nu au dezvinovăţire pentru păcatul lor. 23Cel ce Mă urăşte pe Mine, şi pe Tatăl Meu Îl urăşte. 24Dacă nu aş fi făcut între ei lucrurile pe care nimeni altul nu le-a făcut, păcat nu ar avea; dar acum au văzut şi M-au urât, şi pe Mine, şi pe Tatăl Meu. 25Dar ca să se împlinească cuvântul scris în Legea lor: *M-au urât fără pricină*. 26Iar când va veni

ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· 27καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε.

Mângâietorul, pe Care Eu Îl voi trimite vouă de la Tatăl, Duhul Adevărului, Care de la Tatăl purcede, Acela va mărturisi despre Mine. 27Dar şi voi mărturisiţi, pentru că de la început sunteţi cu Mine.

Κεφάλαιον Ις΄

Ταῦτα λελάληκα ὑμῖν ἵνα μὴ σκανδαλισθῆτε. 2ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ. 3καὶ ταῦτα ποιήσουσιν, ὅτι οὐκ ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ. 4ἀλλὰ ταῦτα λελάληκα ὑμῖν ἵνα ὅταν ἔλθῃ ἡ ὥρα, μνημονεύητε αὐτῶν ὅτι ἐγὼ εἶπον ὑμῖν. ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην.

Νῦν δὲ ὑπάγω πρὸς τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με ποῦ ὑπάγεις; 6ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. 7ἀλλ' ἐγὼ τὴν ἀλήθειαν λέγω ὑμῖν· συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς· ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς· 8καὶ ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως. 9περὶ ἁμαρτίας μέν, ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ· 10περὶ δικαιοσύνης δέ, ὅτι πρὸς τὸν πατέρα μου ὑπάγω καὶ οὐκέτι θεωρεῖτέ με· 11περὶ δὲ κρίσεως, ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. 12"Ετι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. 13ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς

Capitolul 16

Acestea vi le-am grăit, ca să nu vă smintiţi. 2Vă vor scoate pe voi din sinagogi; ba chiar vine ceasul când tot cel ce vă va ucide va crede că aduce închinare lui Dumnezeu. 3Şi vor face acestea, pentru că n-au cunoscut nici pe Tatăl, nici pe Mine. 4Dar acestea vi le-am grăit, ca, atunci când vine ceasul, să vă aduceţi aminte de ele, că Eu vi le-am spus. Şi acestea nu vi le-am spus de la început, fiindcă eram cu voi.

Dar acum Mă duc la Cel ce M-a trimis şi nimeni dintre voi nu Mă întreabă: Unde Te duci? 6Ci, fiindcă v-am grăit acestea, întristarea a umplut inima voastră. 7Dar Eu vă spun adevărul: Vă este de folos ca Eu să plec. Căci dacă Eu nu plec, Mângâietorul nu va veni la voi, iar dacă voi merge, Îl voi trimite la voi. 8Şi venind Acela, va vădi lumea de păcat şi de dreptate şi de judecată. 9De păcat, pentru că ei nu cred în Mine; 10de dreptate, pentru că Mă duc la Tatăl Meu şi nu Mă veţi mai vedea; 11şi de judecată, pentru că stăpânitorul acestei lumi a fost judecat. 12Încă multe am a vă spune, însă nu puteţi să le purtaţi acum. 13Dar când va veni Acela, Duhul Adevă-

εἰς πᾶσαν τὴν ἀλήθειαν· οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα ἂν ἀκούσῃ λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. 14ἐκεῖνος ἐμὲ δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. 15πάντα ὅσα ἔχει ὁ πατὴρ ἐμά ἐστι· διὰ τοῦτο εἶπον ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν.

Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα. 17Εἶπον οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλλήλους· τί ἐστι τοῦτο ὃ λέγει ἡμῖν, μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με, καὶ ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέρα; 18ἔλεγον οὖν· τοῦτο τί ἐστιν ὃ λέγει τὸ μικρόν; οὐκ οἴδαμεν τί λαλεῖ. 19ἔγνω οὖν ὁ Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν αὐτοῖς· περὶ τούτου ζητεῖτε μετ' ἀλλήλων ὅτι εἶπον, μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; 20ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· ὑμεῖς δὲ λυπηθήσεσθε, ἀλλ' ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. 21ἡ γυνὴ ὅταν τίκτῃ, λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. 22καὶ ὑμεῖς οὖν λύπην μὲν νῦν ἔχετε· πάλιν δὲ ὄψομαι ὑμᾶς καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ' ὑμῶν. 23καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐμὲ οὐκ ἐρωτήσετε οὐδέν· ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὅσα ἂν αἰτήσητε τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δώσει ὑμῖν. 24ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε καὶ λήψεσθε, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.

Ταῦτα ἐν παροιμίαις λελάληκα ὑμῖν· ἀλλ' ἔρχεται ὥρα ὅτε οὐκέτι ἐν παροιμίαις λαλήσω ὑμῖν, ἀλλὰ παρρησίᾳ περὶ τοῦ πατρὸς ἀναγγελῶ ὑμῖν. 26ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐν τῷ ὀνόματί μου αἰτήσεσθε· καὶ οὐ λέγω ὑμῖν ὅτι ἐγὼ ἐρωτήσω τὸν πατέρα περὶ ὑμῶν· 27αὐ-

rului, vă va călăuzi la tot adevărul; căci nu va grăi de la Sine, ci câte va auzi va grăi şi cele viitoare vă va vesti. 14Acela Mă va slăvi, pentru că din al Meu va lua şi vă va vesti. 15Toate câte are Tatăl ale Mele sunt; de aceea am zis că din al Meu va lua şi vă va vesti.

Puţin şi nu Mă veţi mai vedea, şi iarăşi puţin şi Mă veţi vedea, pentru că Eu Mă duc la Tatăl. 17Deci unii dintre ucenicii Lui au zis între ei: Ce este aceasta ce ne spune: Puţin şi nu Mă veţi mai vedea, şi iarăşi puţin şi Mă veţi vedea, şi: Eu Mă duc la Tatăl? 18Deci ziceau: Ce este aceasta ce zice: Puţin? Nu ştim ce grăieşte. 19Deci a cunoscut Iisus că voiau să-L întrebe şi le-a zis: Despre aceasta vă întrebaţi între voi, că am zis: Puţin şi nu Mă veţi vedea şi iarăşi puţin şi Mă veţi vedea? 20Amin, amin zic vouă, că veţi plânge şi vă veţi tângui, iar lumea se va bucura; şi voi vă veţi întrista, dar întristarea voastră se va preface în bucurie. 21Femeia, când e să nască, se întristează, fiindcă a sosit ceasul ei; dar când s-a născut copilul, nu-şi mai aduce aminte de strâmtorare, pentru bucuria că s-a născut om în lume. 22Deci şi voi acum vă întristaţi, dar iarăşi vă voi vedea şi se va bucura inima voastră, şi bucuria voastră nimeni nu o ia de la voi. 23Şi în ziua aceea nu Mă veţi întreba nimic. Amin, amin zic vouă: Câte veţi cere de la Tatăl în numele Meu El vă va da. 24Până acum n-aţi cerut nimic în numele Meu; cereţi şi veţi primi, ca bucuria voastră să fie deplină.

Acestea vi le-am grăit în pilde, dar vine ceasul când nu vă voi mai vorbi în pilde, ci pe faţă vă voi vesti despre Tatăl. 26În ziua aceea în numele Meu veţi cere; şi nu vă zic că Eu voi ruga pe Tatăl pentru voi,

τὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε, καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ Θεοῦ ἐξῆλθον. 28ἐξῆλθον παρὰ τοῦ πατρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον· πάλιν ἀφίημι τὸν κόσμον καὶ πορεύομαι πρὸς τὸν πατέρα. 29Λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· ἴδε νῦν παρρησίᾳ λαλεῖς, καὶ παροιμίαν οὐδεμίαν λέγεις. 30νῦν οἴδαμεν ὅτι οἶδας πάντα καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ. ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ Θεοῦ ἐξῆλθες. 31ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· ἄρτι πιστεύετε· 32ἰδοὺ ἔρχεται ὥρα, καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε ἕκαστος εἰς τὰ ἴδια καὶ ἐμὲ μόνον ἀφῆτε· καὶ οὐκ εἰμὶ μόνος, ὅτι ὁ πατὴρ μετ' ἐμοῦ ἐστι. 33ταῦτα λελάληκα ὑμῖν ἵνα ἐν ἐμοὶ εἰρήνην ἔχητε. ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον.

27căci Însuşi Tatăl vă iubeşte pe voi, fiindcă voi M-aţi iubit pe Mine şi aţi crezut că Eu de la Dumnezeu am ieşit. 28Am ieşit de la Tatăl şi am venit în lume; iarăşi las lumea şi Mă duc la Tatăl. 29I-au zis ucenicii Lui: Iată acum grăieşti pe faţă şi nu spui nici o pildă. 30Acum ştim că Tu ştii toate şi n-ai trebuinţă să Te întrebe cineva. De aceea credem că de la Dumnezeu ai ieşit. 31Le-a răspuns Iisus: Acum credeţi; 32iată, vine ceasul şi acum a venit, ca să vă risipiţi fiecare la ale sale şi pe Mine să Mă lăsaţi singur. Dar nu sunt singur, pentru că Tatăl este cu Mine. 33Acestea vi le-am grăit, ca în Mine pace să aveţi. În lume strâmtorare veţi avea; dar îndrăzniţi. Eu am biruit lumea.

Κεφάλαιον ΙΖ΄

Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρε τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανὸν καὶ εἶπε· πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε, 2καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ δώσῃ αὐτοῖς ζωὴν αἰώνιον. 3αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. 4ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον ἐτελείωσα ὃ δέδωκάς μοι ἵνα ποιήσω· 5καὶ νῦν δόξασόν με σύ, πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρά σοί. 6Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου. σοὶ ἦσαν καὶ ἐμοὶ αὐτοὺς δέδωκας, καὶ τὸν λόγον σου τετηρήκασι. 7νῦν

Capitolul 17

Acestea le-a grăit Iisus şi Şi-a ridicat ochii la cer şi a zis: Părinte, a venit ceasul! Slăveşte pe Fiul Tău, ca şi Fiul să Te slăvească. 2Precum I-ai dat stăpânire peste tot trupul, ca să dea viaţă veşnică tuturor acelora pe care Tu i-ai dat Lui. 3Şi aceasta este viaţa veşnică: Să Te cunoască pe Tine, singurul Dumnezeu adevărat, şi pe Cel pe Care L-ai trimis, pe Iisus Hristos. 4Eu Te-am slăvit pe Tine pe pământ; lucrul pe care Mi l-ai dat să-l fac l-am săvârşit. 5Şi acum, slăveşte-Mă Tu pe Mine, Părinte, la Tine Însuţi, cu slava pe care o aveam la Tine mai înainte de a fi lumea. 6Am arătat numele Tău oamenilor pe care Mi i-ai dat Mie din lume. Ai Tăi erau şi Mie Mi i-ai

ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι παρὰ σοῦ ἐστιν· 8ὅτι τὰ ῥήματα ἃ δέδωκάς μοι δέδωκα αὐτοῖς, καὶ αὐτοὶ ἔλαβον, καὶ ἔγνωσαν ἀληθῶς ὅτι παρὰ σοῦ ἐξῆλθον, καὶ ἐπίστευσαν ὅτι σύ με ἀπέστειλας. 9Ἐγὼ περὶ αὐτῶν ἐρωτῶ· οὐ περὶ τοῦ κόσμου ἐρωτῶ, ἀλλὰ περὶ ὧν δέδωκάς μοι, ὅτι σοί εἰσι, 10καὶ τὰ ἐμὰ πάντα σά ἐστι καὶ τὰ σὰ ἐμά, καὶ δεδόξασμαι ἐν αὐτοῖς. 11καὶ οὐκέτι εἰμὶ ἐν τῷ κόσμῳ, καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί, καὶ ἐγὼ πρὸς σὲ ἔρχομαι. πάτερ ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου ᾧ δέδωκάς μοι, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς. 12ὅτε ἤμην μετ᾽ αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου· οὓς δέδωκάς μοι ἐφύλαξα, καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας, ἵνα ἡ γραφὴ πληρωθῇ. 13νῦν δὲ πρὸς σὲ ἔρχομαι, καὶ ταῦτα λαλῶ ἐν τῷ κόσμῳ ἵνα ἔχωσι τὴν χαρὰν τὴν ἐμὴν πεπληρωμένην ἐν αὐτοῖς. 14ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. 15οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ᾽ ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. 16ἐκ τοῦ κόσμου οὐκ εἰσί, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί. 17ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· ὁ λόγος ὁ σὸς ἀλήθειά ἐστι. 18καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον· 19καὶ ὑπὲρ αὐτῶν ἐγὼ ἁγιάζω ἐμαυτόν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ. 20Οὐ περὶ τούτων δὲ ἐρωτῶ μόνον, ἀλλὰ καὶ περὶ τῶν πιστευόντων διὰ τοῦ λόγου αὐτῶν εἰς ἐμέ, 21ἵνα πάντες ἓν ὦσι, καθὼς σύ, πάτερ, ἐν ἐμοὶ κἀγὼ ἐν σοί, ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν, ἵνα ὁ κόσμος πιστεύσῃ ὅτι σύ με ἀπέστειλας. 22καὶ ἐγὼ τὴν δόξαν ἣν δέδωκάς μοι δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν καθὼς ἡμεῖς ἕν ἐσμεν, 23ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοί, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν, καὶ ἵνα γινώσκῃ ὁ κόσμος ὅτι σύ με ἀπέστειλας καὶ ἠγάπησας αὐτοὺς

dat şi cuvântul Tău l-au păzit. 7Acum au cunoscut că toate câte Mi-ai dat Mie de la Tine sunt; 8Pentru că le-am dat lor cuvintele pe care Mi le-ai dat Mie şi ei le-au primit şi au cunoscut cu adevărat că de la Tine am ieşit, şi au crezut că Tu M-ai trimis. 9Eu pentru ei Mă rog; nu pentru lume Mă rog, ci pentru cei pe care Mi i-ai dat, pentru că ai Tăi sunt. 10Şi toate ale Mele ale Tale sunt, şi ale Tale sunt ale Mele şi M-am slăvit în ei. 11Şi Eu nu mai sunt în lume, iar ei în lume sunt şi Eu la Tine vin. Părinte Sfinte, păzeşte-i întru numele Tău pe care Mi l-ai dat, ca să fie una, precum suntem şi Noi. 12Când eram cu ei în lume, Eu îi păzeam în numele Tău; pe cei pe care Mi i-ai dat i-am păzit şi nici unul dintre ei n-a pierit, fără numai fiul pierzării, ca să se împlinească Scriptura. 13Iar acum vin la Tine şi acestea le grăiesc în lume, ca ei să aibă bucuria Mea deplină în ei. 14Eu le-am dat cuvântul Tău, şi lumea i-a urât, pentru că nu sunt din lume, precum Eu nu sunt din lume. 15Nu Mă rog ca să-i iei din lume, ci ca să-i păzeşti pe ei de cel viclean. 16Ei nu sunt din lume, precum nici Eu nu sunt din lume. 17Sfinţeşte-i pe ei întru adevărul Tău; cuvântul Tău este adevăr. 18Precum M-ai trimis pe Mine în lume, şi Eu i-am trimis pe ei în lume. 19Şi pentru ei Eu Mă sfinţesc pe Mine Însumi, ca şi ei să fie sfinţiţi întru adevăr. 20Dar nu numai pentru aceştia Mă rog, ci şi pentru cei ce cred în Mine prin cuvântul lor, 21ca toţi să fie una, după cum Tu, Părinte, în Mine şi Eu în Tine, ca şi aceştia în Noi una să fie, ca lumea să creadă că Tu M-ai trimis. 22Şi Eu slava pe care Tu Mi-ai dat-o le-am dat-o lor, ca să fie una, precum Noi Una suntem: 23Eu în ei şi Tu în Mine, ca

καθὼς ἐμὲ ἠγάπησας. 24πάτερ, οὓς δέδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν ἣν δέδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. 25πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων, καὶ οὗτοι ἔγνωσαν ὅτι σύ με ἀπέστειλας· 26καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω, ἵνα ἡ ἀγάπη ἣν ἠγάπησάς με ἐν αὐτοῖς ᾖ, κἀγὼ ἐν αὐτοῖς.

să fie desăvârşiţi în una, şi să cunoască lumea că Tu M-ai trimis şi că i-ai iubit pe ei, precum M-ai iubit pe Mine. 24Părinte, voiesc ca unde sunt Eu să fie împreună cu Mine şi aceia pe care Mi i-ai dat, ca să vadă slava Mea pe care Mi-ai dat-o, pentru că Tu M-ai iubit pe Mine înainte de întemeierea lumii. 25Părinte drepte, lumea nu Te-a cunoscut, dar Eu Te-am cunoscut, şi aceştia au cunoscut că Tu M-ai trimis. 26Şi le-am făcut cunoscut numele Tău şi-l voi face cunoscut, ca iubirea cu care M-ai iubit pe Mine în ei să fie şi Eu în ei.

Κεφάλαιον ΙΗ΄

Ταῦτα εἰπὼν ὁ Ἰησοῦς ἐξῆλθε σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τῶν Κέδρων, ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ. 2ᾔδει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν τὸν τόπον, ὅτι πολλάκις συνήχθη καὶ ὁ Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. 3ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν καὶ ἐκ τῶν ἀρχιερέων καὶ Φαρισαίων ὑπηρέτας ἔρχεται ἐκεῖ μετὰ φανῶν καὶ λαμπάδων καὶ ὅπλων. 4 Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτόν, ἐξελθὼν εἶπεν αὐτοῖς· τίνα ζητεῖτε; 5ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον. λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἐγώ εἰμι. εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. 6ὡς οὖν εἶπεν αὐτοῖς ὅτι ἐγώ εἰμι, ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσον χαμαί. 7πάλιν οὖν αὐτοὺς ἐπηρώτησε· τίνα ζητεῖτε; οἱ δὲ εἶπον· Ἰησοῦν τὸν Ναζωραῖον. 8ἀπεκρίθη Ἰησοῦς· εἶπον ὑμῖν

Capitolul 18

Acestea zicând, Iisus a ieşit împreună cu ucenicii Săi dincolo de pârâul Cedrilor, unde era o grădină, în care a intrat El şi ucenicii Săi. 2Iar Iuda, cel care-L vânduse, ştia şi el locul, pentru că adesea Se aduna acolo Iisus împreună cu ucenicii Săi. 3Deci Iuda, luând cohorta şi slujitori de la arhierei şi de la farisei, a venit acolo cu felinare şi cu făclii şi cu arme. 4Deci, Iisus, ştiind toate cele ce aveau să vină asupra Lui, ieşind, le-a zis: Pe cine căutaţi? 5I-au răspuns: Pe Iisus Nazarineanul. Le-a zis Iisus: Eu sunt. Iar Iuda, cel care-L vânduse, stătea şi el împreună cu ei. 6Deci, când le-a spus: Eu sunt, ei s-au dat înapoi şi au căzut la pământ. 7Deci iarăşi i-a întrebat: Pe cine căutaţi? Iar ei au zis: Pe Iisus Nazarineanul. 8A răspuns Iisus: V-am spus că Eu sunt. Deci, dacă

ὅτι ἐγώ εἰμι. εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν· 9ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν, ὅτι οὓς δέδωκάς μοι, οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. 10Σίμων οὖν Πέτρος ἔχων μάχαιραν εἵλκυσεν αὐτήν, καὶ ἔπαισε τὸν τοῦ ἀρχιερέως δοῦλον καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτίον τὸ δεξιόν· ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος. 11εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· βάλε τὴν μάχαιραν εἰς τὴν θήκην· τὸ ποτήριον ὃ δέδωκέ μοι ὁ πατήρ, οὐ μὴ πίω αὐτό;

Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων συνέλαβον τὸν Ἰησοῦν καὶ ἔδησαν αὐτόν, 13καὶ ἀπήγαγον αὐτὸν πρὸς Ἄνναν πρῶτον· ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου. 14ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις ὅτι συμφέρει ἕνα ἄνθρωπον ἀπολέσθαι ὑπὲρ τοῦ λαοῦ.

Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος καὶ ὁ ἄλλος μαθητής. ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ συνεισῆλθε τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως· 16ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος, ὃς ἦν γνωστὸς τῷ ἀρχιερεῖ, καὶ εἶπε τῇ θυρωρῷ, καὶ εἰσήγαγε τὸν Πέτρον. 17λέγει οὖν ἡ παιδίσκη ἡ θυρωρὸς τῷ Πέτρῳ· μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; λέγει ἐκεῖνος· οὐκ εἰμί. 18εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο· ἦν δὲ μετ' αὐτῶν ὁ Πέτρος ἑστὼς καὶ θερμαινόμενος.

Ὁ οὖν ἀρχιερεὺς ἠρώτησε τὸν Ἰησοῦν περὶ τῶν μαθητῶν αὐτοῦ καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. 20ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· ἐγὼ παρρησίᾳ ἐλάλησα τῷ κόσμῳ· ἐγὼ πάντοτε ἐδίδαξα ἐν συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, ὅπου πάντοτε οἱ Ἰουδαῖοι συνέρχονται, καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. 21τί με ἐπερωτᾷς; ἐπερώτησον τοὺς ἀκηκοότας τί ἐλάλησα αὐτοῖς· ἴδε οὗτοι

Mă căutaţi pe Mine, lăsaţi-i pe aceştia să se ducă; 9ca să se împlinească cuvântul pe care L-a spus: Din cei pe care Mi i-ai dat, n-am pierdut pe nici unul. 10Deci Simon Petru, având sabie, a scos-o şi l-a lovit pe robul arhiereului şi i-a tăiat urechea dreaptă; iar numele robului era Malhus. 11Deci i-a zis Iisus lui Petru: Pune sabia în teacă. Paharul pe care Mi l-a dat Tatăl oare nu-l voi bea?

Deci cohorta şi tribunul şi slujitorii iudeilor l-au prins pe Iisus şi L-au legat. 13Şi L-au dus întâi la Anna, căci era socrul lui Caiafa, care era arhiereu în anul acela. 14Iar Caiafa era cel care-i sfătuise pe iudei că este de folos să piară un singur om pentru popor.

Şi-i urma lui Iisus Simon Petru şi celălalt ucenic. Iar ucenicul acela era cunoscut arhiereului şi a intrat împreună cu Iisus în curtea arhiereului; 16şi Petru stătea la poartă, afară. A ieşit deci celălalt ucenic, care era cunoscut arhiereului, şi a vorbit cu portăreasa şi l-a băgat pe Petru înăuntru. 17Deci, slujnica portăreasă i-a zis lui Petru: Nu cumva eşti şi tu dintre ucenicii omului acestuia? A zis acela: Nu sunt. 18Iar robii şi slujitorii, făcând foc, stăteau şi se încălzeau, că era frig; şi era şi Petru cu ei, stând şi încălzindu-se.

Deci arhiereul L-a întrebat pe Iisus despre ucenicii Lui şi despre învăţătura Lui. 20I-a răspuns Iisus: Eu am grăit lumii pe faţă; întotdeauna am învăţat în sinagogă şi în templu, unde se adună întotdeauna iudeii, şi în ascuns nimic nu am grăit. 21De ce Mă întrebi pe Mine? Întreabă pe cei ce au auzit ce le-am grăit. Iată, aceştia

οἶδασιν ἃ εἶπον ἐγώ. 22ταῦτα δὲ αὐτοῦ εἰπόντος εἷς τῶν ὑπηρετῶν παρεστηκὼς ἔδωκε ῥάπισμα τῷ Ἰησοῦ εἰπών· οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ; 23ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· εἰ κακῶς ἐλάλησα, μαρτύρησον περὶ τοῦ κακοῦ· εἰ δὲ καλῶς, τί με δέρεις; 24ἀπέστειλεν αὐτὸν ὁ Ἅννας δεδεμένον πρὸς Καϊάφαν τὸν ἀρχιερέα.

Ἦν δὲ Σίμων Πέτρος ἑστὼς καὶ θερμαινόμενος. εἶπον οὖν αὐτῷ· μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; 26ἠρνήσατο οὖν ἐκεῖνος καὶ εἶπεν· οὐκ εἰμί. λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, συγγενὴς ὢν οὗ ἀπέκοψε Πέτρος τὸ ὠτίον· οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ' αὐτοῦ; 27πάλιν οὖν ἠρνήσατο ὁ Πέτρος, καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν.

Ἄγουσιν οὖν τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· ἦν δὲ πρωΐ· καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα. 29ἐξῆλθεν οὖν ὁ Πιλᾶτος πρὸς αὐτοὺς καὶ εἶπε· τίνα κατηγορίαν φέρετε κατὰ τοῦ ἀνθρώπου τούτου; 30ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ· εἰ μὴ ἦν οὗτος κακοποιός, οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. 31εἶπεν οὖν αὐτοῖς ὁ Πιλᾶτος· λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· ἡμῖν οὐκ ἔξεστιν ἀποκτεῖναι οὐδένα· 32ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ ὃν εἶπε σημαίνων ποίῳ θανάτῳ ἤμελλεν ἀποθνήσκειν. 33Εἰσῆλθεν οὖν εἰς τὸ πραιτώριον πάλιν ὁ Πιλᾶτος καὶ ἐφώνησε τὸν Ἰησοῦν καὶ εἶπεν αὐτῷ· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; 34ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς· ἀφ' ἑαυτοῦ σὺ τοῦτο λέγεις ἢ ἄλλοι σοι εἶπον περὶ ἐμοῦ; 35ἀπεκρίθη ὁ Πιλᾶτος· μήτι ἐγὼ Ἰουδαῖός εἰμι; τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· τί ἐποίησας; 36ἀπεκρίθη Ἰησοῦς· ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις·

ştiu cele ce am spus Eu. 22Şi zicând El acestea, unul din slujitori, care era de faţă, I-a dat lui Iisus o palmă, zicând: Aşa răspunzi Tu arhiereului? 23I-a răspuns Iisus: Dacă am grăit rău, adu mărturie că este rău, iar dacă am grăit bine, pentru ce Mă baţi? 24L-a trimis Anna legat la Caiafa arhiereul.

Iar Simon Petru stătea şi se încălzea. Deci i-au zis: Nu cumva eşti şi tu dintre ucenicii Lui? 26Deci acela s-a lepădat şi a zis: Nu sunt. A zis unul din robii arhiereului, care era rudă cu cel căruia Petru îi tăiase urechea: Nu te-am văzut eu în grădină cu El? 27Deci iarăşi s-a lepădat Petru şi îndată a cântat cocoşul.

Deci L-au adus pe Iisus de la Caiafa la pretoriu; şi era dimineaţă; şi ei n-au intrat în pretoriu, ca să nu se spurce, ci să mănânce Paştile. 29Deci a ieşit Pilat la ei şi le-a zis: Ce învinuire aduceţi împotriva omului acestuia? 30Au răspuns şi i-au zis: Dacă acesta n-ar fi răufăcător, nu ţi L-am fi dat ţie. 31Deci le-a zis Pilat: Luaţi-L voi şi după legea voastră judecaţi-L. Deci i-au zis iudeii: Nouă nu ne este îngăduit să omorâm pe nimeni; 32ca să se împlinească cuvântul lui Iisus, pe care îl spusese, arătând cu ce fel de moarte avea să moară. 33A intrat deci Pilat iarăşi în pretoriu şi L-a chemat pe Iisus şi I-a zis: Tu eşti împăratul iudeilor? 34Iisus i-a răspuns: De la tine însuţi zici aceasta sau alţii ţi-au spus despre Mine? 35A răspuns Pilat: Oare eu sunt iudeu? Neamul Tău şi arhiereii Te-au dat mie. Ce ai făcut? 36Iisus a răspuns: Împărăţia Mea nu este din lumea aceasta. Dacă Împărăţia Mea ar fi fost din lumea aceasta, slujitorii Mei s-ar fi luptat ca să nu fiu dat iudeilor. Acum însă Împărăţia Mea

νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. 37εἶπεν οὖν αὐτῷ ὁ Πιλᾶτος· οὐκοῦν βασιλεὺς εἶ σύ; ἀπεκρίθη Ἰησοῦς· σὺ λέγεις ὅτι βασιλεύς εἰμι ἐγώ. ἐγὼ εἰς τοῦτο γεγέννημαι καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ. πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας ἀκούει μου τῆς φωνῆς. 38λέγει αὐτῷ ὁ Πιλᾶτος· τί ἐστιν ἀλήθεια;

Καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθε πρὸς τοὺς Ἰουδαίους καὶ λέγει αὐτοῖς· ἐγὼ οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ· 39ἔστι δὲ συνήθεια ὑμῖν ἵνα ἕνα ὑμῖν ἀπολύσω ἐν τῷ πάσχα· βούλεσθε οὖν ὑμῖν ἀπολύσω τὸν βασιλέα τῶν Ἰουδαίων; 40ἐκραύγασαν οὖν πάλιν πάντες λέγοντες· μὴ τοῦτον, ἀλλὰ τὸν Βαραββᾶν. ἦν δὲ ὁ Βαραββᾶς λῃστής.

nu este de aici. 37Deci, i-a zis Pilat: Aşadar, eşti Tu împărat? A răspuns Iisus: Tu zici că Eu sunt împărat. Eu pentru aceasta M-am născut şi pentru aceasta am venit în lume, ca să dau mărturie pentru adevăr; tot cel ce este din adevăr ascultă glasul Meu. 38I-a zis Pilat: Ce este adevărul?

Şi aceasta zicând, a ieşit iarăşi la iudei şi le-a zis: Eu nu găsesc în El nici o vină; 39dar este la voi obiceiul ca să vă slobozesc pe unul de Paşti. Voiţi deci să vă slobozesc pe împăratul iudeilor? 40Au strigat deci iarăşi toţi, zicând: Nu pe Acesta, ci pe Baraba. Iar Baraba era tâlhar.

Κεφάλαιον ΙΘ΄

Τότε οὖν ἔλαβεν ὁ Πιλᾶτος τὸν Ἰησοῦν καὶ ἐμαστίγωσε. 2καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ, καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτὸν 3καὶ ἔλεγον· χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων· καὶ ἐδίδουν αὐτῷ ῥαπίσματα. 4ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλᾶτος καὶ λέγει αὐτοῖς· ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν εὑρίσκω. 5ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω φορῶν τὸν ἀκάνθινον στέφανον καὶ τὸ πορφυροῦν ἱμάτιον, 6καὶ λέγει αὐτοῖς· ἴδε ὁ ἄνθρωπος. ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται, ἐκραύγασαν λέγοντες· σταύρωσον σταύρωσον αὐτόν. λέγει αὐτοῖς ὁ Πιλᾶτος· λάβετε αὐτὸν ὑμεῖς καὶ σταυρώσατε·

Capitolul 19

Atunci L-a luat deci Pilat pe Iisus şi L-a biciuit. 2Şi ostaşii, împletind cunună din spini, I-au pus-o pe cap şi L-au înfăşurat cu o haină purpurie. 3Şi ziceau: Bucură-te, Împăratul iudeilor! Şi-I dădeau palme. 4Atunci a ieşit Pilat iarăşi afară şi le-a zis: Iată vi-L aduc afară, ca să ştiţi că nu găsesc în El nici o vină. 5Deci a ieşit Iisus afară, purtând cununa de spini şi haina purpurie. 6Şi le-a zis: Iată Omul! Când L-au văzut deci arhiereii şi slujitorii au strigat, zicând: Răstigneşte-L! Răstigneşte-L! Le-a zis Pilat: Luaţi-L voi şi răstigniţi-L, căci eu nu găsesc în El vină. 7I-au răspuns iudeii: Noi lege avem şi după legea noastră El trebuie să moară, că S-a făcut

ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. 7ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν Θεοῦ υἱὸν ἐποίησεν. 8Ὅτε οὖν ἤκουσεν ὁ Πιλᾶτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη, 9καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν καὶ λέγει τῷ Ἰησοῦ· πόθεν εἶ σύ; ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. 10λέγει οὖν αὐτῷ ὁ Πιλᾶτος· ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε καὶ ἐξουσίαν ἔχω ἀπολῦσαί σε; 11ἀπεκρίθη Ἰησοῦς· οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, εἰ μὴ ἦν σοι δεδομένον ἄνωθεν· διὰ τοῦτο ὁ παραδιδούς μέ σοι μείζονα ἁμαρτίαν ἔχει. 12ἐκ τούτου ἐζήτει ὁ Πιλᾶτος ἀπολῦσαι αὐτόν· οἱ δὲ Ἰουδαῖοι ἔκραζον λέγοντες· ἐὰν τοῦτον ἀπολύσῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος. πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν ἀντιλέγει τῷ Καίσαρι. 13ὁ οὖν Πιλᾶτος ἀκούσας τοῦτον τὸν λόγον ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος εἰς τόπον λεγόμενον Λιθόστρωτον, ἑβρα�ϊστὶ δὲ Γαββαθᾶ· 14ἦν δὲ παρασκευὴ τοῦ πάσχα, ὥρα δὲ ὡσεὶ ἕκτη· καὶ λέγει τοῖς Ἰουδαίοις· ἴδε ὁ βασιλεὺς ὑμῶν. 15οἱ δὲ ἐκραύγασαν· ἆρον ἆρον, σταύρωσον αὐτόν. λέγει αὐτοῖς ὁ Πιλᾶτος· τὸν βασιλέα ὑμῶν σταυρώσω; ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. 16τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς ἵνα σταυρωθῇ.

Παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ ἤγαγον· καὶ βαστάζων τὸν σταυρὸν αὐτοῦ ἐξῆλθεν εἰς τὸν λεγόμενον κρανίου τόπον, ὃς λέγεται Ἑβρα�ϊστὶ Γολγοθᾶ, 18ὅπου αὐτὸν ἐσταύρωσαν, καὶ μετ' αὐτοῦ ἄλλους δύο ἐντεῦθεν καὶ ἐντεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν. 19ἔγραψε δὲ καὶ τίτλον ὁ Πιλᾶτος καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ· ἦν δὲ γεγραμμένον· Ἰησοῦς ὁ Ναζωραῖος ὁ βασιλεὺς τῶν Ἰουδαίων. 20τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τῆς πόλεως ὁ τόπος ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμέ-

pe Sine Fiu al lui Dumnezeu. 8Deci, când a auzit Pilat acest cuvânt, mai mult s-a temut. 9Şi a intrat iarăşi în pretoriu şi I-a zis lui Iisus: De unde eşti Tu? Iar Iisus nu i-a dat răspuns. 10Deci i-a zis Pilat: Mie nu-mi vorbeşti? Nu ştii că putere am să Te răstignesc şi putere am să Te slobozesc? 11A răspuns Iisus: N-ai avea nici o putere asupra Mea, dacă nu ţi-ar fi fost dat ţie de sus. De aceea, cel care M-a dat ţie mai mare păcat are. 12De atunci, căuta Pilat să-L slobozească; dar iudeii strigau, zicând: Dacă Îl slobozeşti pe Acesta, nu eşti prieten al Cezarului. Tot cel ce se face pe sine împărat se împotriveşte Cezarului. 13Deci Pilat, auzind acest cuvânt, L-a dus afară pe Iisus şi s-a aşezat pe scaunul de judecată, în locul numit Pardosit cu pietre, iar evreieşte Gabbatha. 14Şi era Vinerea Paştilor, cam la al şaselea ceas, şi a zis iudeilor: Iată Împăratul vostru. 15Iar ei au strigat: Ia-L! Ia-L! Răstigneşte-L! Pilat le-a zis: Pe Împăratul vostru să-L răstignesc? Au răspuns arhiereii: Nu avem împărat decât pe Cezarul. 16Deci, atunci, L-a dat în mâinile lor ca să fie răstignit.

Şi L-au luat pe Iisus şi L-au dus. Şi, purtându-Şi crucea, a ieşit la locul zis al Căpăţânii, care evreieşte se zice Golgota, 18unde L-au răstignit, şi împreună cu El pe alţi doi, de o parte şi de alta, iar în mijloc pe Iisus. 19Iar Pilat a scris şi o însemnare şi a pus-o pe Cruce. Şi era scris: Iisus Nazarineanul, Împăratul iudeilor. 20Deci mulţi dintre iudei au citit această însemnare, pentru că era aproape de cetate locul unde a fost răstignit Iisus. Şi era scris evreieşte, elineşte şi latineşte. 21Deci îi zi-

νον Ἑβραϊστί, Ἑλληνιστί, Ῥωμαϊστί. 21ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων· μὴ γράφε, ὁ βασιλεὺς τῶν Ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπε, βασιλεύς εἰμι τῶν Ἰουδαίων. 22ἀπεκρίθη ὁ Πιλᾶτος· ὃ γέγραφα, γέγραφα. 23Οἱ οὖν στρατιῶται ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος, καὶ τὸν χιτῶνα· ἦν δὲ ὁ χιτὼν ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου. 24εἶπον οὖν πρὸς ἀλλήλους· μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ τίνος ἔσται· ἵνα ἡ γραφὴ πληρωθῇ ἡ λέγουσα· *διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.* 25Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν. εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ καὶ Μαρία ἡ Μαγδαληνή. 26Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ μητρὶ αὐτοῦ· γύναι, ἴδε ὁ υἱός σου. 27εἶτα λέγει τῷ μαθητῇ· ἰδοὺ ἡ μήτηρ σου. καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. 28Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς ὅτι πάντα ἤδη τετέλεσται, ἵνα τελειωθῇ ἡ γραφή, λέγει· διψῶ. 29σκεῦος οὖν ἔκειτο ὄξους μεστόν· οἱ δὲ πλήσαντες σπόγγον ὄξους καὶ ὑσσώπῳ περιθέντες προσήνεγκαν αὐτοῦ τῷ στόματι. 30ὅτε οὖν ἔλαβε τὸ ὄξος ὁ Ἰησοῦς εἶπε, τετέλεσται, καὶ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα.

Οἱ οὖν Ἰουδαῖοι, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, ἐπεὶ παρασκευὴ ἦν· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ σαββάτου· ἠρώτησαν τὸν Πιλᾶτον ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. 32ἦλθον οὖν οἱ στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ· 33ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, 34ἀλλ' εἷς τῶν στρα-

ceau lui Pilat arhiereii iudeilor: Nu scrie: Împăratul iudeilor, ci că Acela a zis: Eu sunt Împăratul iudeilor. 22A răspuns Pilat: Ce am scris, am scris. 23Deci ostaşii, când L-au răstignit pe Iisus, I-au luat hainele şi au făcut patru părţi, fiecărui ostaş o parte, şi cămaşa. Iar cămaşa era fără cusătură, de sus ţesută în întregime. 24Deci, au zis unii către alţii: Să n-o sfâşiem, ci să aruncăm sorţi pentru ea, a cui să fie; ca să se împlinească Scriptura, care zice: *Împărţit-au hainele Mele loruşi, şi pentru cămaşa Mea au aruncat sorţi.* 25Deci, ostaşii au făcut acestea. Şi stăteau lângă Crucea lui Iisus mama Lui şi sora mamei Lui, Maria lui Cleopa, şi Maria Magdalena. 26Deci Iisus, văzând pe mama Sa şi pe ucenicul pe care Îl iubea stând alături, i-a zis mamei Sale: Femeie, iată fiul tău! 27Apoi a zis ucenicului: Iată mama ta! Şi din acel ceas ucenicul a luat-o la sine. 28După aceasta, ştiind Iisus că acum toate s-au săvârşit, ca să se împlinească Scriptura, a zis: Mi-e sete. 29Deci era un vas plin cu oţet; iar ei, înmuind un burete în oţet şi punându-l într-o ramură de isop, I l-au dus la gură. 30Deci când a luat Iisus oţetul, a zis: Săvârşitu-s-a. Şi plecându-Şi capul, Şi-a dat duhul.

Deci iudeii, ca să nu rămână trupurile pe cruce sâmbăta, fiindcă era vineri – căci era mare ziua sâmbetei aceleia – l-au rugat pe Pilat să le zdrobească fluierele picioarelor şi să-i ridice. 32Deci au venit ostaşii şi au zdrobit fluierele picioarelor celui dintâi şi ale celuilalt, care era răstignit împreună cu El. 33Dar, venind la Iisus, dacă au văzut că deja murise, nu I-au zdrobit fluierele picioarelor. 34Ci unul dintre

τιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷμα καὶ ὕδωρ. 35καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ μαρτυρία, κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα καὶ ὑμεῖς πιστεύσητε. 36ἐγένετο γὰρ ταῦτα, ἵνα ἡ γραφὴ πληρωθῇ, *ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ.* 37καὶ πάλιν ἑτέρα γραφὴ λέγει· *ὄψονται εἰς ὃν ἐξεκέντησαν.*

Μετὰ δὲ ταῦτα ἠρώτησε τὸν Πιλᾶτον Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, ὢν μαθητὴς τοῦ Ἰησοῦ, κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· καὶ ἐπέτρεψεν ὁ Πιλᾶτος. ἦλθεν οὖν καὶ ἦρε τὸ σῶμα τοῦ Ἰησοῦ. 39ἦλθε δὲ καὶ Νικόδημος ὁ ἐλθὼν πρὸς τὸν Ἰησοῦν νυκτὸς τὸ πρῶτον, φέρων μῖγμα σμύρνης καὶ ἀλόης ὡς λίτρας ἑκατόν. 40ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ καὶ ἔδησαν αὐτὸ ἐν ὀθονίοις μετὰ τῶν ἀρωμάτων, καθὼς ἔθος ἐστὶ τοῖς Ἰουδαίοις ἐνταφιάζειν. 41ἦν δὲ ἐν τῷ τόπῳ ὅπου ἐσταυρώθη κῆπος, καὶ ἐν τῷ κήπῳ μνημεῖον καινόν, ἐν ᾧ οὐδέπω οὐδεὶς ἐτέθη· 42ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, ἔθηκαν τὸν Ἰησοῦν.

ostaşi I-a împuns coasta cu suliţa şi îndată a ieşit sânge şi apă. 35Şi cel ce a văzut a mărturisit şi adevărată este mărturia lui; şi acela ştie că spune adevărul, ca şi voi să credeţi. 36Căci s-au făcut acestea, ca să se împlinească Scriptura: *Os nu I se va zdrobi.* 37Şi iarăşi altă Scriptură zice: *Vor privi la Cel pe Care L-au străpuns.*

Şi, după acestea, Iosif cel din Arimateea, fiind ucenic al lui Iisus, dar în ascuns, de frica iudeilor, l-a rugat pe Pilat să ridice trupul lui Iisus. Şi Pilat a îngăduit. Deci a venit şi a ridicat trupul lui Iisus. 39Şi a venit şi Nicodim, cel care venise la El mai înainte noaptea, aducând amestec de smirnă şi aloe, ca la o sută de litre. 40Au luat deci trupul lui Iisus şi l-au înfăşurat în giulgiuri cu miresme, precum este obiceiul la iudei să înmormânteze. 41Iar în locul unde a fost răstignit era o grădină, şi în grădină un mormânt nou, în care nu mai fusese nimeni pus vreodată. 42Acolo deci, din pricina vinerii iudeilor, L-au pus pe Iisus, pentru că mormântul era aproape.

Κεφάλαιον Κ΄

Τῇ δὲ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωῒ σκοτίας ἔτι οὔσης εἰς τὸ μνημεῖον, καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. 2τρέχει οὖν καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον καὶ πρὸς τὸν ἄλλον μαθητὴν ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς· ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν. 3ἐξῆλθεν οὖν ὁ Πέτρος καὶ ὁ ἄλλος μαθητὴς

Capitolul 20

Iar în ziua cea dintâi a săptămânii, a venit Maria Magdalena la mormânt dimineaţă, fiind încă întuneric, şi a văzut piatra ridicată de pe mormânt. 2Deci a alergat şi a venit la Simon Petru şi la celălalt ucenic, pe care-l iubea Iisus, şi le-a zis: L-au luat pe Domnul din mormânt şi nu ştim unde L-au pus. 3Deci a ieşit Petru şi celălalt ucenic şi au pornit la mormânt. 4Şi alergau cei

καὶ ἤρχοντο εἰς τὸ μνημεῖον. 4ἔτρεχον δὲ οἱ
δύο ὁμοῦ· καὶ ὁ ἄλλος μαθητὴς προέδραμε
τάχιον τοῦ Πέτρου καὶ ἦλθε πρῶτος εἰς τὸ
μνημεῖον, 5καὶ παρακύψας βλέπει κείμενα
τὰ ὀθόνια, οὐ μέντοι εἰσῆλθεν. 6ἔρχεται οὖν
Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν
εἰς τὸ μνημεῖον καὶ θεωρεῖ τὰ ὀθόνια κείμε-
να, 7καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς
αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ
χωρὶς ἐντετυλιγμένον εἰς ἕνα τόπον. 8τότε οὖν
εἰσῆλθε καὶ ὁ ἄλλος μαθητὴς ὁ ἐλθὼν πρῶτος
εἰς τὸ μνημεῖον, καὶ εἶδε καὶ ἐπίστευσεν· 9οὐ-
δέπω γὰρ ᾔδεισαν τὴν γραφὴν ὅτι δεῖ αὐτὸν
ἐκ νεκρῶν ἀναστῆναι. 10ἀπῆλθον οὖν πάλιν
πρὸς ἑαυτοὺς οἱ μαθηταί.

Μαρία δὲ εἱστήκει πρὸς τῷ μνημείῳ κλαί-
ουσα ἔξω. 12ὡς οὖν ἔκλαιε, παρέκυψεν
εἰς τὸ μνημεῖον καὶ θεωρεῖ δύο ἀγγέλους ἐν
λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ
καὶ ἕνα πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶ-
μα τοῦ Ἰησοῦ. 13καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι·
γύναι, τί κλαίεις; λέγει αὐτοῖς· ὅτι ἦραν τὸν
Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν.
14καὶ ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω,
καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει
ὅτι Ἰησοῦς ἐστι. 15λέγει αὐτῇ ὁ Ἰησοῦς· γύ-
ναι, τί κλαίεις; τίνα ζητεῖς; ἐκείνη δοκοῦσα
ὅτι ὁ κηπουρός ἐστι, λέγει αὐτῷ· κύριε, εἰ σὺ
ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ ἔθηκας αὐ-
τόν, κἀγὼ αὐτὸν ἀρῶ. 16λέγει αὐτῇ ὁ Ἰησοῦς·
Μαρία. στραφεῖσα ἐκείνη λέγει αὐτῷ· ῥαβ-
βουνί, ὃ λέγεται, διδάσκαλε. 17λέγει αὐτῇ ὁ
Ἰησοῦς· μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα
πρὸς τὸν πατέρα μου· πορεύου δὲ πρὸς τοὺς
ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς· ἀναβαίνω
πρὸς τὸν πατέρα μου καὶ πατέρα ὑμῶν, καὶ
Θεόν μου καὶ Θεὸν ὑμῶν. 18ἔρχεται Μαρία
ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς
ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

doi împreună; iar celălalt ucenic a alergat
înainte mai repede decât Petru şi a sosit
cel dintâi la mormânt. 5Şi aplecându-se,
a văzut giulgiurile zăcând, dar n-a intrat.
6Deci a venit Simon Petru, urmând lui, a
intrat în mormânt şi a văzut giulgiurile zăcând 7şi mahrama care fusese pe capul Lui,
nu cu giulgiurile zăcând, ci înfăşurată de-
oparte într-un loc. 8Atunci, dar, a intrat
şi celălalt ucenic, care sosise cel dintâi la
mormânt, şi a văzut şi a crezut; 9căci încă
nu ştiau Scriptura, că El trebuie să învie-
ze din morţi. 10Deci au plecat iarăşi uce-
nicii la ai lor.

Iar Maria stătea la mormânt plângând
afară. 12Deci, pe când plângea, s-a aple-
cat spre mormânt şi a văzut doi îngeri în
veşminte albe, şezând unul către cap şi
altul către picioare, unde zăcuse trupul
lui Iisus. 13Şi aceia i-au zis: Femeie, de
ce plângi? Le-a zis: Pentru că au luat pe
Domnul meu şi nu ştiu unde L-au pus. 14Şi,
acestea zicând, ea s-a întors şi L-a văzut pe
Iisus stând, dar nu ştia că este Iisus. 15I-a
zis Iisus: Femeie, de ce plângi? Pe cine
cauţi? Aceea, crezând că este grădinarul,
I-a zis: Doamne, dacă Tu L-ai dus de-aici,
spune-mi unde L-ai pus şi eu Îl voi lua.
16Iisus i-a zis: Maria! Întorcându-se aceea,
I-a zis Lui: Rabbuni! adică, Învăţătorule!
17Iisus i-a zis: Nu Mă atinge, căci încă nu
M-am suit la Tatăl Meu. Mergi la fraţii
Mei şi le spune: Mă sui la Tatăl Meu şi Ta-
tăl vostru şi la Dumnezeul Meu şi Dum-
nezeul vostru. 18Şi a venit Maria Magda-
lena vestindu-le ucenicilor că L-a văzut
pe Domnul şi acestea i-a zis ei.

ὔσης οὖν ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μιᾷ τῶν σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων ὅπου ἦσαν οἱ μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν. 20καὶ τοῦτο εἰπὼν ἔδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τὴν πλευρὰν αὐτοῦ. ἐχάρησαν οὖν οἱ μαθηταὶ ἰδόντες τὸν Κύριον. 21εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς πάλιν· εἰρήνη ὑμῖν. καθὼς ἀπέσταλκέ με ὁ πατήρ, κἀγὼ πέμπω ὑμᾶς. 22καὶ τοῦτο εἰπὼν ἐνεφύσησε καὶ λέγει αὐτοῖς· λάβετε Πνεῦμα Ἅγιον· 23ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται.

Θωμᾶς δὲ εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν ὅτε ἦλθεν ὁ Ἰησοῦς. 25ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι μαθηταί· ἑωράκαμεν τὸν Κύριον. ὁ δὲ εἶπεν αὐτοῖς· ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. 26Καὶ μεθ' ἡμέρας ὀκτὼ πάλιν ἦσαν ἔσω οἱ μαθηταὶ αὐτοῦ καὶ Θωμᾶς μετ' αὐτῶν. ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον καὶ εἶπεν· εἰρήνη ὑμῖν. 27εἶτα λέγει τῷ Θωμᾷ· φέρε τὸν δάκτυλόν σου ὧδε καὶ ἴδε τὰς χεῖράς μου, καὶ φέρε τὴν χεῖρά σου καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. 28καὶ ἀπεκρίθη Θωμᾶς καὶ εἶπεν αὐτῷ· ὁ Κύριός μου καὶ ὁ Θεός μου. 29λέγει αὐτῷ ὁ Ἰησοῦς· ὅτι ἑώρακάς με, πεπίστευκας· μακάριοι οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες.

Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ· 31ταῦτα δὲ γέγραπται ἵνα πιστεύσητε ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

Deci, fiind seară, în ziua aceea, cea dintâi a săptămânii, şi uşile fiind încuiate, unde erau adunaţi ucenicii de frica iudeilor, a venit Iisus şi a stat în mijloc şi le-a zis: Pace vouă! 20Şi aceasta zicând, le-a arătat mâinile şi coasta Sa. Deci s-au bucurat ucenicii, văzându-L pe Domnul. 21Le-a zis, dar, Iisus iarăşi: Pace vouă! Precum M-a trimis pe Mine Tatăl, şi Eu vă trimit pe voi. 22Şi aceasta zicând, a suflat asupra lor şi le-a zis: Luaţi Duhul Sfânt; 23cărora veţi ierta păcatele le sunt iertate şi cărora le veţi ţine sunt ţinute.

Iar Toma, unul din cei doisprezece, cel numit Geamănul, nu era cu ei când a venit Iisus. 25Deci i-au zis lui ceilalţi ucenici: Am văzut pe Domnul! Dar el le-a zis: Dacă nu voi vedea în mâinile Lui semnul cuielor şi dacă nu voi pune degetul meu în semnul cuielor şi dacă nu voi pune mâna mea în coasta Lui, nu voi crede. 26Şi după opt zile, ucenicii Lui erau iarăşi înăuntru, şi Toma, împreună cu ei. Şi a venit Iisus, uşile fiind încuiate, şi a stat în mijloc şi a zis: Pace vouă! 27Apoi i-a zis lui Toma: Adu degetul tău încoace şi vezi mâinile Mele şi adu mâna ta şi pune-o în coasta Mea şi nu fi necredincios, ci credincios. 28Şi a răspuns Toma şi I-a zis: Domnul meu şi Dumnezeul meu! 29I-a zis Iisus: Pentru că M-ai văzut ai crezut; fericiţi cei ce n-au văzut şi au crezut!

Deci şi multe alte semne a făcut Iisus înaintea ucenicilor Săi, care nu sunt scrise în cartea aceasta. 31Iar acestea s-au scris, ca să credeţi că Iisus este Hristosul, Fiul lui Dumnezeu, şi, crezând, viaţă să aveţi în numele Lui.

Κεφάλαιον ΚΑ΄

Μετὰ ταῦτα ἐφανέρωσεν ἑαυτὸν πάλιν ὁ Ἰησοῦς τοῖς μαθηταῖς ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσε δὲ οὕτως. 2ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν μαθητῶν αὐτοῦ δύο. 3λέγει αὐτοῖς Σίμων Πέτρος· ὑπάγω ἁλιεύειν. λέγουσιν αὐτῷ· ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. ἐξῆλθον καὶ ἐνέβησαν εἰς τὸ πλοῖον εὐθύς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν. 4πρωΐας δὲ ἤδη γενομένης ἔστη ὁ Ἰησοῦς εἰς τὸν αἰγιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ μαθηταὶ ὅτι Ἰησοῦς ἐστι. 5λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· παιδία, μή τι προσφάγιον ἔχετε; ἀπεκρίθησαν αὐτῷ· οὔ. 6ὁ δὲ εἶπεν αὐτοῖς· βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. 7λέγει οὖν ὁ μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς, τῷ Πέτρῳ· ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο –ἦν γὰρ γυμνός– καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν· 8οἱ δὲ ἄλλοι μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον –οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων– σύροντες τὸ δίκτυον τῶν ἰχθύων. 9ὡς οὖν ἀπέβησαν εἰς τὴν γῆν, βλέπουσιν ἀνθρακιὰν κειμένην καὶ ὀψάριον ἐπικείμενον καὶ ἄρτον. 10λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων ὧν ἐπιάσατε νῦν. 11ἀνέβη Σίμων Πέτρος καὶ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς, μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν· καὶ τοσούτων

Capitolul 21

După acestea, S-a arătat iarăşi Iisus ucenicilor la Marea Tiberiadei; şi S-a arătat aşa: 2Erau împreună Simon Petru şi Toma, cel numit Geamănul, şi Natanail, cel din Cana Galileii, şi ai lui Zevedeu şi alţi doi dintre ucenicii Lui. 3Le-a zis Simon Petru: Mă duc să pescuiesc. I-au zis: Mergem şi noi cu tine. Au ieşit şi s-au suit în corabie îndată, şi în noaptea aceea n-au prins nimic. 4Şi făcându-se de acum dimineaţă, a stat Iisus la ţărm; dar n-au ştiut ucenicii că este Iisus. 5Deci le-a zis Iisus: Fiilor, nu cumva aveţi ceva de mâncare? Ei I-au răspuns: Nu. 6Iar El le-a zis: Aruncaţi mreaja în partea dreaptă a corăbiei şi veţi afla. Deci au aruncat şi n-au mai putut s-o tragă de mulţimea peştilor. 7Deci i-a zis lui Petru ucenicul acela pe care-l iubea Iisus: Domnul este! Deci Simon Petru, auzind că Domnul este, şi-a încins haina, căci era gol, şi s-a aruncat în mare. 8Iar ceilalţi ucenici au venit cu corabia, căci nu erau departe de ţărm, ci ca la două sute de coţi, trăgând mreaja cu peşti. 9Deci când au coborât la ţărm, au văzut jos jăratec şi peşte pus deasupra şi pâine. 10Le-a zis Iisus: Aduceţi din peştii pe care i-aţi prins acum. 11Deci s-a suit Simon Petru şi a tras mreaja la ţărm, plină cu peşti mari, o sută cincizeci şi trei; şi, atâţia fiind, nu s-a rupt mreaja. 12Le-a zis Iisus: Veniţi de prânziţi! Şi nimeni dintre

ὄντων οὐκ ἐσχίσθη τὸ δίκτυον. 12λέγει αὐτοῖς ὁ Ἰησοῦς· δεῦτε ἀριστήσατε. οὐδεὶς δὲ ἐτόλμα τῶν μαθητῶν ἐξετάσαι αὐτόν, σὺ τίς εἶ, εἰδότες ὅτι ὁ Κύριός ἐστιν. 13ἔρχεται οὖν ὁ Ἰησοῦς καὶ λαμβάνει τὸν ἄρτον καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. 14Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς μαθηταῖς αὐτοῦ ἐγερθεὶς ἐκ νεκρῶν.

Ὅτε οὖν ἠρίστησαν, λέγει τῷ Σίμωνι Πέτρῳ ὁ Ἰησοῦς· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; λέγει αὐτῷ· ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ· βόσκε τὰ ἀρνία μου. 16λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; λέγει αὐτῷ· ναί, Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. λέγει αὐτῷ· ποίμαινε τὰ πρόβατά μου. 17λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; ἐλυπήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, φιλεῖς με, καὶ εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε. λέγει αὐτῷ ὁ Ἰησοῦς· βόσκε τὰ πρόβατά μου. 18ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτὸν καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, καὶ ἄλλος σε ζώσει, καὶ οἴσει ὅπου οὐ θέλεις. 19τοῦτο δὲ εἶπε σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. καὶ τοῦτο εἰπὼν λέγει αὐτῷ· ἀκολούθει μοι.

Ἐπιστραφεὶς δὲ ὁ Πέτρος βλέπει τὸν μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκολουθοῦντα, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ καὶ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; 21τοῦτον ἰδὼν ὁ Πέτρος λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί; 22λέγει αὐτῷ ὁ Ἰησοῦς· ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; σὺ ἀκολούθει μοι. 23ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς ἀδελφοὺς ὅτι ὁ μαθητὴς ἐκεῖνος οὐκ ἀποθνῄσκει· καὶ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι οὐκ ἀποθνῄσκει, ἀλλ᾽ ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; 24Οὗτός

ucenici nu îndrăznea să-L întrebe: Cine eşti Tu?, ştiind că este Domnul. 13Deci a venit Iisus şi a luat pâinea şi le-a dat lor, şi de asemenea şi peştele. 14Aceasta este acum a treia oară când Iisus S-a arătat ucenicilor, după ce S-a sculat din morţi.

Deci după ce au prânzit, i-a zis Iisus lui Simon Petru: Simone al lui Iona, Mă iubeşti tu mai mult decât aceştia? El I-a răspuns: Da, Doamne, Tu ştii că Te iubesc. I-a zis lui: Paşte mieluşeii Mei. 16I-a zis iarăşi, a doua oară: Simone al lui Iona, Mă iubeşti? I-a zis lui: Da, Doamne, Tu ştii că Te iubesc. I-a zis lui: Păstoreşte oile Mele. 17I-a zis a treia oară: Simone al lui Iona, Mă iubeşti? S-a întristat Petru, că i-a zis a treia oară: Mă iubeşti? şi I-a zis: Doamne, Tu pe toate le ştii. Tu ştii că Te iubesc. Iisus i-a zis: Paşte oile Mele. 18Amin, amin zic ţie: Când erai mai tânăr, te încingeai singur şi umblai unde voiai; dar când vei îmbătrâni, vei întinde mâinile tale şi altul te va încinge şi te va duce unde nu voieşti. 19Iar aceasta a zis-o, însemnând cu ce moarte va slăvi pe Dumnezeu. Şi aceasta spunând, i-a zis: Urmează Mie.

Şi întorcându-se Petru, l-a văzut pe ucenicul pe care-l iubea Iisus urmându-i, cel care la Cină s-a rezemat de pieptul Lui şi I-a zis: Doamne, cine este cel care Te va vinde? 21Pe acesta văzându-l Petru, I-a zis lui Iisus: Doamne, cu acesta ce va fi? 22Şi i-a zis Iisus: Dacă voiesc ca acesta să rămână până voi veni, ce-ţi este ţie? Tu urmează Mie. 23Deci, a ieşit cuvântul acesta la fraţi, că ucenicul acela nu va muri; şi Iisus nu i-a zis că nu va muri, ci: Dacă voiesc ca acesta să rămână până voi veni,

ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων καὶ γράψας ταῦτα, καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. 25ἔστι δὲ καὶ ἄλλα πολλὰ ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. ἀμήν.

ce-ți este ție? 24Acesta este ucenicul care mărturiseşte despre acestea şi care a scris acestea, şi ştim că adevărată este mărturia lui. 25Sunt însă şi multe altele câte le-a făcut Iisus, care, dacă s-ar scrie fiecare, socotesc că lumea însăşi n-ar cuprinde cărțile scrise. Amin.

Κεφάλαιον Α΄

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην
περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξα-
το ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν
2ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς ἀπο-
στόλοις διὰ Πνεύματος Ἁγίου οὓς
ἐξελέξατο ἀνελήφθη· 3οἷς καὶ πα-
ρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ
παθεῖν αὐτὸν ἐν πολλοῖς τεκμηρίοις, δι' ἡμε-
ρῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ
λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ. 4καὶ
συναλιζόμενος παρήγγειλεν αὐτοῖς ἀπὸ Ἱερο-
σολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν
ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατέ μου· 5ὅτι
Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βα-
πτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ οὐ μετὰ πολ-
λὰς ταύτας ἡμέρας. 6οἱ μὲν οὖν συνελθόντες
ἐπηρώτων αὐτὸν λέγοντες· Κύριε, εἰ ἐν τῷ χρό-
νῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ
Ἰσραήλ; 7εἶπε δὲ πρὸς αὐτούς· οὐχ ὑμῶν ἐστι
γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο
ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, 8ἀλλὰ λήψεσθε δύναμιν
ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ' ὑμᾶς,
καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἰερουσαλὴμ

Capitolul 1

Cuvântul cel dintâi l-am întoc-
mit, o, Teofile, despre toate
câte a început Iisus a face şi a în-
văţa, 2până în ziua în care, po-
runcind prin Duhul Sfânt
apostolilor pe care i-a ales, S-a
înălţat; 3cărora S-a şi înfăţişat pe
Sine viu după ce a pătimit, cu multe sem-
ne doveditoare, vreme de patruzeci de zile
fiind văzut de ei şi vorbind cele despre
Împărăţia lui Dumnezeu. 4Şi mâncând îm-
preună cu ei, le-a poruncit: Nu vă depăr-
taţi de Ierusalim, ci aşteptaţi făgăduinţa
Tatălui, pe care aţi auzit-o de la Mine: 5Că
Ioan a botezat cu apă, iar voi vă veţi bo-
teza în Duhul Sfânt, nu mult după aceste
zile. 6Deci adunându-se ei, Îl întrebau, zi-
când: Doamne, oare în acest timp vei adu-
ce la starea cea dintâi împărăţia lui Israel?
7Şi El a zis către ei: Nu este al vostru a
cunoaşte vremile sau soroacele pe care
Tatăl le-a pus în stăpânirea Sa, 8ci veţi lua
putere, venind Duhul Sfânt peste voi, şi

καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς. 9καὶ ταῦτα εἰπὼν βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. 10καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ, 11οἳ καὶ εἶπον· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανόν, οὕτως ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανόν.

Τότε ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἰερουσαλήμ, σαββάτου ἔχον ὁδόν. 13καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον οὗ ἦσαν καταμένοντες, ὅ τε Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος καὶ Ματθαῖος, Ἰάκωβος Ἀλφαίου καὶ Σίμων ὁ Ζηλωτὴς καὶ Ἰούδας Ἰακώβου. 14οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ καὶ τῇ δεήσει σὺν γυναιξὶ καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ καὶ σὺν τοῖς ἀδελφοῖς αὐτοῦ. 15Καὶ ἐν ταῖς ἡμέραις ταύταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν εἶπεν· ἦν τε ὄχλος ὀνομάτων ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσιν· 16ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην ἣν προεῖπε τὸ Πνεῦμα τὸ Ἅγιον διὰ στόματος Δαυὶδ περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν, 17ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης. 18οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας, καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ· 19καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἰερουσαλήμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Ἀκελδαμᾶ, τουτέστι χωρίον αἵματος. 20γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν· *γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος*

Îmi veți fi Mie martori în Ierusalim şi în toată Iudeea şi Samaria şi până la marginea pământului. 9Şi acestea zicând, pe când ei priveau, S-a înălțat şi un nor L-a luat de la ochii lor. 10Şi privind ei la cer pe când El se ducea, iată, au stat înaintea lor doi bărbați în veşmânt alb, 11care au şi zis: Bărbați galileeni, de ce stați privind la cer? Acest Iisus care S-a înălțat de la voi la cer, aşa va veni, cum L-ați văzut mergând la cer.

Atunci s-au întors la Ierusalim de la muntele numit al Măslinilor, care este aproape de Ierusalim, cale de o sâmbătă. 13Şi când au intrat, s-au suit în încăperea de sus, unde stăteau de obicei, Petru şi Iacov şi Ioan şi Andrei, Filip şi Toma, Bartolomeu şi Matei, Iacov al lui Alfeu şi Simon Zelotul şi Iuda al lui Iacov. 14Aceştia toți, într-un cuget, stăruiau în rugăciune şi în cerere împreună cu femeile şi cu Maria, mama lui Iisus, şi împreună cu frații Lui. 15Şi în zilele acelea, sculându-se Petru în mijlocul ucenicilor – şi mulțimea numelor laolaltă era ca la o sută douăzeci –, a zis: 16Bărbați frați, trebuia să se împlinească Scriptura aceasta pe care a spus-o mai înainte Duhul cel Sfânt, prin gura lui David, despre Iuda, care s-a făcut călăuză celor ce L-au prins pe Iisus. 17Că era numărat împreună cu noi şi primise sorțul acestei slujiri. 18Deci acesta a dobândit o țarină din plata nedreptății şi, căzând cu fața în jos, a crăpat la mijloc şi i s-au vărsat toate măruntaiele. 19Şi s-a făcut cunoscut tuturor celor ce locuiesc în Ierusalim, încât s-a numit țarina aceasta în limba lor Acheldama, adică Țarina Sângelui. 20Că scris este în cartea Psalmilor: *Facă-se sălaşul lui pustiu şi să nu fie cel ce locuieşte în*

καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ· καί· τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. 21δεῖ οὖν τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς, 22ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενέσθαι σὺν ἡμῖν ἕνα τούτων. 23Καὶ ἔστησαν δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαββᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν, 24καὶ προσευξάμενοι εἶπον· σὺ Κύριε, καρδιογνῶστα πάντων, ἀνάδειξον ὃν ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα, 25λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον. 26καὶ ἔδωκαν κλήρους αὐτῶν, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων.

el! şi: *Dregătoria lui s-o ia altul.* 21Trebuie, aşadar, ca dintre bărbaţii care s-au adunat împreună cu noi tot timpul în care a intrat şi a ieşit la noi Domnul Iisus, 22începând de la botezul lui Ioan până în ziua în care S-a înălţat de la noi, unul dintre aceştia să se facă martor al învierii Lui împreună cu noi. 23Şi au pus înainte doi: pe Iosif, cel numit Barsaba, zis şi Iustus, şi pe Matia. 24Şi rugându-se, au zis: Tu, Doamne, cunoscătorule al inimilor tuturor, arată pe unul dintre aceştia doi, cel pe care l-ai ales, 25ca să ia sorţul slujirii şi apostoliei acesteia din care a căzut Iuda, pentru a merge la locul său. 26Şi au tras la sorţi şi a căzut sorţul pe Matia şi s-a numărat împreună cu cei unsprezece apostoli.

Κεφάλαιον Β΄

Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς ἦσαν ἅπαντες ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό. 2καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι· 3καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν, 4καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. 5Ἦσαν δὲ ἐν Ἰερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι, ἄνδρες εὐλαβεῖς ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν· 6γενομένης δὲ τῆς φωνῆς ταύτης συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη, ὅτι ἤκουον εἷς ἕκαστος τῇ ἰδίᾳ

Capitolul 2

Şi când s-a împlinit ziua Cincizecimii, erau toţi într-un cuget la un loc. 2Şi s-a făcut deodată din cer un vuiet, ca o suflare ce vine năpraznic, şi a umplut toată casa unde şedeau. 3Şi li s-au arătat, împărţite, limbi ca de foc, şi a şezut câte una pe fiecare dintre ei. 4Şi s-au umplut toţi de Duhul Sfânt şi au început să vorbească în alte limbi, precum Duhul le dădea lor a grăi. 5Şi erau în Ierusalim locuitori iudei, bărbaţi evlavioşi din toate neamurile de sub cer. 6Şi făcându-se vuietul acesta, s-a adunat mulţimea şi s-a tulburat, pentru că îi auzeau fiecare în parte grăind în limba sa. 7Şi erau uimiţi toţi şi se minunau,

διαλέκτῳ λαλούντων αὐτῶν. 7ἐξίσταντο δὲ πάντες καὶ ἐθαύμαζον λέγοντες πρὸς ἀλλήλους· οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; 8καὶ πῶς ἡμεῖς ἀκούομεν ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν, 9Πάρθοι καὶ Μῆδοι καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰουδαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, 10Φρυγίαν τε καὶ Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ προσήλυτοι, 11Κρῆτες καὶ Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ; 12ἐξίσταντο δὲ πάντες καὶ διηπόρουν, ἄλλος πρὸς ἄλλον λέγοντες· τί ἂν θέλοι τοῦτο εἶναι; 13ἕτεροι δὲ χλευάζοντες ἔλεγον ὅτι γλεύκους μεμεστωμένοι εἰσί.

14Σταθεὶς δὲ Πέτρος σὺν τοῖς ἕνδεκα ἐπῆρε τὴν φωνὴν αὐτοῦ καὶ ἀπεφθέγξατο αὐτοῖς· ἄνδρες Ἰουδαῖοι καὶ οἱ κατοικοῦντες Ἰερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. 15οὐ γάρ, ὡς ὑμεῖς ὑπολαμβάνετε, οὗτοι μεθύουσιν· ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας· 16ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ· 17*καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει ὁ Θεός, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται· 18καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου, καὶ προφητεύσουσι. 19καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα καὶ πῦρ καὶ ἀτμίδα καπνοῦ· 20ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος καὶ ἡ σελήνη εἰς αἷμα πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. 21καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται.*

zicând unii către alții: Iată, nu sunt toți aceştia care grăiesc galileeni? 8Şi cum auzim noi fiecare în limba noastră, în care ne-am născut? 9Parți şi mezi şi elamiți şi cei ce locuiesc în Mesopotamia, în Iudeea şi în Capadocia, în Pont şi în Asia, 10în Frigia şi în Pamfilia, în Egipt şi în părțile Libiei cea de lângă Cirene, şi romani care locuiesc aici vremelnic, iudei şi prozeliți, 11cretani şi arabi, îi auzim pe ei vorbind în limbile noastre despre măririle lui Dumnezeu! 12Şi toți erau uimiți şi nedumeriți, zicând unul către altul: Ce să fie oare aceasta? 13Iar alții, luându-i în râs, ziceau că sunt plini de must.

14Şi stând Petru în picioare împreună cu cei unsprezece, şi-a ridicat glasul şi le-a grăit: Bărbați iudei, şi toți cei ce locuiți în Ierusalim, aceasta să vă fie cunoscut şi auziți cuvintele mele; 15că aceştia nu sunt beți, cum socotiți voi; căci este ceasul al treilea din zi; 16ci aceasta este ce s-a spus prin proorocul Ioil: 17*Şi va fi* în zilele din urmă, zice Dumnezeu, *că voi vărsa din Duhul Meu peste tot trupul şi vor prooroci fiii voştri şi fiicele voastre, şi tinerii voştri vedenii vor vedea, şi bătrânii voştri vise vor visa.* 18*Încă şi peste robii Mei şi peste roabele Mele în zilele acelea voi vărsa din Duhul Meu* şi vor prooroci. 19*Şi voi da minuni în cer sus şi semne pe pământ jos,. sânge şi foc şi fumegare de fum.* 20*Soarele se va schimba în întuneric şi luna în sânge, înainte de a veni ziua Domnului, cea mare şi strălucită.* 21*Şi tot cel ce va chema numele Domnului se va mântui.* 22Bărbați israeliteni, ascultați cuvintele acestea: Pe Iisus Nazarineanul, bărbat adeverit între

22Ἄνδρες Ἰσραηλῖται, ἀκούσατε τοὺς λόγους
τούτους. Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀπὸ
τοῦ Θεοῦ ἀποδεδειγμένον εἰς ὑμᾶς δυνάμεσι
καὶ τέρασι καὶ σημείοις οἷς ἐποίησε δι' αὐτοῦ
ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε,
23τοῦτον τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει
τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ χειρῶν ἀνό-
μων προσπήξαντες ἀνείλετε· 24ὃν ὁ Θεὸς ἀνέ-
στησε λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι
οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ.
25Δαυὶδ γὰρ λέγει εἰς αὐτόν· *προωρώμην
τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ
δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ.* 26*διὰ τοῦτο
εὐφράνθη ἡ καρδία μου καὶ ἠγαλλιάσατο ἡ
γλῶσσά μου, ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκη-
νώσει ἐπ' ἐλπίδι,* 27*ὅτι οὐκ ἐγκαταλείψεις τὴν
ψυχήν μου εἰς ᾅδου οὐδὲ δώσεις τὸν ὅσιόν σου
ἰδεῖν διαφθοράν.* 28*ἐγνώρισάς μοι ὁδοὺς ζωῆς,
πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώ-
που σου.* 29Ἄνδρες ἀδελφοί, ἐξὸν εἰπεῖν μετὰ
παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου
Δαυὶδ ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη καὶ τὸ
μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας
ταύτης. 30προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς
ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεὸς ἐκ καρποῦ τῆς
ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν
τὸν Χριστὸν καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ,
31προϊδὼν ἐλάλησε περὶ τῆς ἀναστάσεως τοῦ
Χριστοῦ ὅτι οὐ κατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς
ᾅδου οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν.
32τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός, οὗ
πάντες ἡμεῖς ἐσμεν μάρτυρες. 33τῇ δεξιᾷ οὖν
τοῦ Θεοῦ ὑψωθείς, τήν τε ἐπαγγελίαν τοῦ Ἁγί-
ου Πνεύματος λαβὼν παρὰ τοῦ πατρός, ἐξέχεε
τοῦτο ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε. 34οὐ
γὰρ Δαυὶδ ἀνέβη εἰς τοὺς οὐρανούς, λέγει δὲ
αὐτός· *εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου
ἐκ δεξιῶν μου* 35*ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
ὑποπόδιον τῶν ποδῶν σου.* 36ἀσφαλῶς οὖν
γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ Κύριον

voi de Dumnezeu cu puteri şi minuni şi
semne pe care le-a făcut Dumnezeu prin
El în mijlocul vostru, precum şi voi înşivă
ştiţi, 23pe Acesta, dat în mâinile voastre
după sfatul cel rânduit şi după mai-ina-
inte-ştiinţa lui Dumnezeu, luându-L, pi-
ronindu-L prin mâna celor fără de lege,
voi L-aţi omorât; 24pe Care Dumnezeu
L-a înviat, dezlegând durerile morţii, în-
trucât nu era cu putinţă ca El să fie ţinut
de ea. 25Căci David zice despre El: *Mai
dinainte vedeam pe Domnul înaintea mea
de-a pururi, că de-a dreapta mea este, ca să
nu mă clatin.* 26*Pentru aceasta s-a bucurat
inima mea şi s-a veselit limba mea, încă şi
trupul meu va sălăşlui întru nădejde.* 27*Că
nu vei părăsi sufletul meu în iad, nici nu-l
vei da pe cuviosul Tău să vadă stricăciune.*
28*Făcutu-mi-ai cunoscute căile vieţii, mă
vei umple de bucurie cu faţa Ta.* 29Bărbaţi
fraţi, se cuvine să vorbim cu îndrăzneală
către voi despre patriarhul David, că s-a
săvârşit şi a fost îngropat şi mormântul lui
este între noi până în ziua aceasta. 30Deci
prooroc fiind el şi ştiind că Dumnezeu cu
jurământ i S-a jurat ca din rodul coapsei
lui, după trup, să-L învieze pe Hristos, ca
să şadă pe tronul lui, 31mai înainte văzând,
a grăit despre Învierea lui Hristos că n-a
fost părăsit sufletul Lui în iad, nici trupul
Lui n-a văzut stricăciune. 32Pe Acest Iisus
L-a înviat Dumnezeu, Căruia noi toţi Îi
suntem martori. 33Deci, înălţându-Se cu
dreapta lui Dumnezeu şi luând de la Tatăl
făgăduinţa Duhului Sfânt, L-a vărsat pe
Acesta, pe Care voi acum Îl vedeţi şi-L
auziţi. 34Căci David nu s-a suit la ceruri,
dar el însuşi zice: *Zis-a Domnul Domnului
meu: Şezi de-a dreapta Mea,* 35*până ce voi
pune pe vrăjmaşii Tăi aşternut picioarelor*

καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. 37Ἀκούσαντες δὲ κατενύγησαν τῇ καρδίᾳ, εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· τί ποιήσομεν, ἄνδρες ἀδελφοί; 38Πέτρος δὲ ἔφη πρὸς αὐτούς· μετανοήσατε, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος. 39ὑμῖν γάρ ἐστιν ἡ ἐπαγγελία καὶ τοῖς τέκνοις ὑμῶν καὶ πᾶσι τοῖς εἰς μακράν, ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν. 40ἑτέροις τε λόγοις πλείοσι διεμαρτύρετο καὶ παρεκάλει λέγων· σώθητε ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης. 41οἱ μὲν οὖν ἀσμένως ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν, καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι.

Ἦσαν δὲ προσκαρτεροῦντες τῇ διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ καὶ τῇ κλάσει τοῦ ἄρτου καὶ ταῖς προσευχαῖς. 43Ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος, πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο. 44πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτὸ καὶ εἶχον ἅπαντα κοινά, 45καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον καὶ διεμέριζον αὐτὰ πᾶσι καθότι ἄν τις χρείαν εἶχε· 46καθ' ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ, κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας, 47αἰνοῦντες τὸν Θεὸν καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν λαόν. ὁ δὲ Κύριος προσετίθει τοὺς σῳζομένους καθ' ἡμέραν τῇ ἐκκλησίᾳ.

Tale. 36Aşadar să ştie bine toată casa lui Israel că şi Domn, şi Hristos L-a făcut pe El Dumnezeu, pe Acest Iisus pe Care voi L-aţi răstignit. 37Şi auzind, s-au străpuns la inimă şi au zis către Petru şi către ceilalţi apostoli: Bărbaţi fraţi, ce să facem? 38Iar Petru a zis către ei: Pocăiţi-vă şi să se boteze fiecare dintre voi în numele lui Iisus Hristos spre iertarea păcatelor, şi veţi lua darul Sfântului Duh. 39Căci către voi este făgăduinţa, şi către fiii voştri, şi către toţi cei de departe, pe oricâţi îi va chema Domnul Dumnezeul nostru. 40Şi cu alte cuvinte, mai multe, îi îndemna şi-i ruga, zicând: Mântuiţi-vă de acest neam stricat. 41Deci cei ce au primit cu bucurie cuvântul lui s-au botezat, şi s-au adăugat în ziua aceea ca la trei mii de suflete.

Şi stăruiau în învăţătura apostolilor şi în împărtăşire şi în frângerea pâinii şi în rugăciuni. 43Şi frică s-a făcut la tot sufletul, şi multe minuni şi semne se făceau prin apostoli. 44Iar toţi cei ce credeau erau la un loc şi aveau toate de obşte, 45şi îşi vindeau avuţiile şi bunurile şi le împărţeau tuturor, după cum avea cineva trebuinţă. 46Şi în fiecare zi stăruind într-un cuget în templu şi frângând pâinea acasă, se împărtăşeau de hrană cu bucurie şi întru simplitatea inimii, 47lăudând pe Dumnezeu şi având har la tot poporul. Iar Domnul în fiecare zi adăuga Bisericii pe cei ce se mântuiau.

Κεφάλαιον Γ΄

Πὶ τὸ αὐτὸ δὲ Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην. 2καί τις ἀνὴρ χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο, ὃν ἐτίθουν καθ' ἡμέραν πρὸς τὴν θύραν τοῦ ἱεροῦ τὴν λεγομένην ὡραίαν τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν· 3ὃς ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερὸν ἠρώτα ἐλεημοσύνην. 4ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ εἶπε· βλέψον εἰς ἡμᾶς. 5ὁ δὲ ἐπεῖχεν αὐτοῖς προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν. 6εἶπε δὲ Πέτρος· ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου ἔγειρε καὶ περιπάτει. 7καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρε· παραχρῆμα δὲ ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά, 8καὶ ἐξαλλόμενος ἔστη καὶ περιεπάτει, καὶ εἰσῆλθε σὺν αὐτοῖς εἰς τὸ ἱερὸν περιπατῶν καὶ ἁλλόμενος καὶ αἰνῶν τὸν Θεόν. 9καὶ εἶδεν αὐτὸν πᾶς ὁ λαὸς περιπατοῦντα καὶ αἰνοῦντα τὸν Θεόν· 10ἐπεγίνωσκόν τε αὐτὸν ὅτι οὗτος ἦν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ, καὶ ἐπλήσθησαν θάμβους καὶ ἐκστάσεως ἐπὶ τῷ συμβεβηκότι αὐτῷ.

Κρατοῦντος δὲ τοῦ ἰαθέντος χωλοῦ τὸν Πέτρον καὶ Ἰωάννην συνέδραμε πρὸς αὐτοὺς πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος ἔκθαμβοι. 12ἰδὼν δὲ Πέτρος ἀπεκρίνατο πρὸς τὸν λαόν· ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ

Capitolul 3

Si Petru şi Ioan se suiau împreună la templu la ceasul rugăciunii, al nouălea. 2Şi era un bărbat olog din pântecele mamei sale, pe care îl purtau şi îl puneau în fiecare zi la poarta templului, zisă cea Frumoasă, ca să ceară milostenie de la cei care intrau în templu; 3acesta, văzând că Petru şi Ioan aveau să intre în templu, a cerut milostenie. 4Iar Petru, căutând spre el, împreună cu Ioan, a zis: Uită-te la noi! 5Iar el se uita la ei cu luare-aminte, aşteptând să primească ceva de la ei. 6Şi a zis Petru: Argint şi aur nu am; dar ce am, aceasta îţi dau. În numele lui Iisus Hristos Nazarineanul, scoală-te şi umblă! 7Şi apucându-l de mâna dreaptă, l-a sculat; şi îndată i s-au întărit tălpile şi gleznele. 8Şi sărind, a stat în picioare şi a început să meargă, şi a intrat cu ei în templu, mergând, sărind şi lăudând pe Dumnezeu. 9Şi tot poporul l-a văzut umblând şi lăudând pe Dumnezeu. 10Şi îl cunoşteau că acesta era cel care şedea pentru milostenie la Poarta Frumoasă a templului, şi s-au umplut de mirare şi de uimire pentru ceea ce i se întâmplase.

Si ţinându-se ologul vindecat de Petru şi de Ioan, a alergat la ei tot poporul, plin de uimire, în pridvorul numit al lui Solomon. 12Şi văzând Petru, a răspuns către popor: Bărbaţi israeliteni, de ce vă miraţi de aceasta, sau de ce vă uitaţi la noi ca şi cum prin puterea sau buna noastră

περιπατεῖν αὐτόν; 13ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ
καὶ Ἰακώβ, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, ἐδόξα-
σε τὸν παῖδα αὐτοῦ Ἰησοῦν· ὃν ὑμεῖς μὲν πα-
ρεδώκατε καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσω-
πον Πιλάτου, κρίναντος ἐκείνου ἀπολύειν·
14ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε,
καὶ ᾐτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν,
15τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε, ὃν ὁ
Θεὸς ἤγειρεν ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές
ἐσμεν. 16καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ
τοῦτον, ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ
ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν
αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάν-
των ὑμῶν. 17καὶ νῦν, ἀδελφοί, οἶδα ὅτι κατὰ
ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες
ὑμῶν· 18ὁ δὲ Θεὸς ἃ προκατήγγειλε διὰ στό-
ματος πάντων τῶν προφητῶν αὐτοῦ παθεῖν
τὸν Χριστόν, ἐπλήρωσεν οὕτω. 19μετανοήσατε
οὖν καὶ ἐπιστρέψατε εἰς τὸ ἐξαλειφθῆναι
ὑμῶν τὰς ἁμαρτίας, 20ὅπως ἂν ἔλθωσι καιροὶ
ἀναψύξεως ἀπὸ προσώπου τοῦ Κυρίου καὶ
ἀποστείλῃ τὸν προκεχειρισμένον ὑμῖν Χριστὸν
Ἰησοῦν, 21ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι ἄχρι
χρόνων ἀποκαταστάσεως πάντων ὧν ἐλά-
λησεν ὁ Θεὸς διὰ στόματος πάντων ἁγίων
αὐτοῦ προφητῶν ἀπ' αἰῶνος. 22Μωϋσῆς μὲν
γὰρ πρὸς τοὺς πατέρας εἶπεν *ὅτι προφήτην
ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν
ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ
πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς.* 23*ἔσται δὲ
πᾶσα ψυχή, ἥτις ἐὰν μὴ ἀκούσῃ τοῦ προφή-
του ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ.*
24καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ
τῶν καθεξῆς ὅσοι ἐλάλησαν, καὶ κατήγγει-
λαν τὰς ἡμέρας ταύτας. 25ὑμεῖς ἐστε υἱοὶ τῶν
προφητῶν καὶ τῆς διαθήκης ἧς διέθετο ὁ
Θεὸς πρὸς τοὺς πατέρας ἡμῶν, λέγων πρὸς
Ἀβραάμ· *καὶ ἐν τῷ σπέρματί σου ἐνευλογη-
θήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς.* 26ὑμῖν
πρῶτον ὁ Θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ

cinstire l-am fi făcut pe el să meargă?
13Dumnezeul lui Avraam şi al lui Isaac şi
al lui Iacov, Dumnezeul părinţilor noştri,
a slăvit pe Fiul Său Iisus, pe Care voi L-aţi
dat pe mâna lui Pilat şi v-aţi lepădat de El
în faţa lui, după ce acela judecase să-L slo-
bozească. 14Voi însă v-aţi lepădat de Cel
sfânt şi drept şi aţi cerut să vă fie dăruit un
bărbat ucigaş. 15Iar pe Începătorul vieţii
L-aţi omorât, pe Care Dumnezeu L-a scu-
lat din morţi, ai Cărui martori suntem noi.
16Şi, pentru credinţa în numele Lui, pe
acesta, pe care îl vedeţi şi îl ştiţi, l-a întărit
numele Lui, şi credinţa cea prin El i-a dat
lui întregirea aceasta, înaintea voastră, a
tuturor. 17Şi acum, fraţilor, ştiu că din ne-
ştiinţă aţi făptuit aceasta, ca şi mai-marii
voştri; 18iar Dumnezeu pe cele pe care le
vestise dinainte prin gura tuturor proo-
rocilor Lui, că Hristosul va pătimi, le-a
împlinit astfel. 19Deci pocăiţi-vă şi vă în-
toarceţi, ca să se şteargă păcatele voastre,
20ca să vină de la faţa Domnului vremuri
de uşurare şi ca să trimită pe Cel mai di-
nainte rânduit vouă, pe Hristos Iisus, 21pe
Care trebuie să-L primească cerul până
la timpurile aducerii la starea cea dintâi
a tuturor, despre care a grăit Dumnezeu
prin gura tuturor sfinţilor Săi prooroci din
veac. 22Căci Moise a zis către părinţi: *Pro-
oroc asemenea mie vă va ridica Domnul
Dumnezeul vostru dintre fraţii voştri; de
El să ascultaţi în toate câte va grăi către voi.*
23*Şi va fi că tot sufletul care nu va ascul-
ta de Proorocul Acela se va stârpi din po-
por.* 24Dar şi toţi proorocii, de la Samuel
şi cei de după el, câţi au grăit, au vestit şi
zilele acestea. 25Voi sunteţi fiii proorocil-
lor şi ai Testamentului pe care l-a lăsat
Dumnezeu părinţilor noştri, zicând către

Ἰησοῦν ἀπέστειλεν αὐτὸν εὐλογοῦντα ὑμᾶς ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν ὑμῶν.

Avraam: *Şi întru sămânța ta se vor binecuvânta toate seminţiile pământului.* [26]Vouă mai întâi, Dumnezeu, înviind pe Fiul Său, Iisus, vi L-a trimis pe El, Care vă binecuvântează când vă întoarceți fiecare de la vicleniile voastre.

Κεφάλαιον Δ΄

Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαὸν ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ Σαδδουκαῖοι, [2]διαπονούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαὸν καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τῶν νεκρῶν· [3]καὶ ἐπέβαλον αὐτοῖς τὰς χεῖρας καὶ ἔθεντο εἰς τήρησιν εἰς τὴν αὔριον· ἦν γὰρ ἑσπέρα ἤδη. [4]πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν, καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε. [5]Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ τοὺς πρεσβυτέρους καὶ γραμματεῖς εἰς Ἰερουσαλήμ, [6]καὶ Ἄνναν τὸν ἀρχιερέα καὶ Καϊάφαν καὶ Ἰωάννην καὶ Ἀλέξανδρον καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ, [7]καὶ στήσαντες αὐτοὺς ἐν τῷ μέσῳ ἐπυνθάνοντο· ἐν ποίᾳ δυνάμει ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς; [8]τότε Πέτρος πλησθεὶς Πνεύματος Ἁγίου εἶπε πρὸς αὐτούς· ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ, [9]εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, ἐν τίνι οὗτος σέσωσται, [10]γνωστὸν ἔστω πᾶσιν ὑμῖν καὶ παντὶ τῷ λαῷ Ἰσραὴλ ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν

Capitolul 4

Şi pe când grăiau către popor, au venit peste ei preoții şi căpetenia templului şi saducheii, [2]mânioşi că ei învață poporul şi vestesc întru Iisus învierea din morți. [3]Şi au pus mâinile pe ei şi i-au pus sub pază, până a doua zi; căci era de-acum seară. [4]Şi mulți din cei care auziseră cuvântul au crezut şi s-a făcut numărul bărbaților ca la cinci mii. [5]Şi s-au adunat a doua zi căpeteniile lor şi bătrânii şi cărturarii la Ierusalim, [6]şi Anna arhiereul, şi Caiafa, şi Ioan, şi Alexandru şi câți erau din neamul arhieresc, [7]şi punându-i să stea în mijloc, îi întrebau: Cu ce putere sau în numele cui ați făcut voi aceasta? [8]Atunci Petru, umplându-se de Duhul Sfânt, a zis către ei: Căpetenii ale poporului şi bătrâni ai lui Israel, [9]dacă noi astăzi suntem cercetați pentru facerea de bine asupra unui om bolnav, prin cine a fost mântuit acesta, [10]cunoscut să vă fie vouă tuturor şi la tot poporul Israel că în numele lui Iisus Hristos Nazarineanul, pe Care voi L-ați răstignit, pe Care Dumnezeu L-a sculat din morți, prin Acesta stă el sănătos înaintea voastră! [11]Acesta este piatra neluată în seamă de către voi, ziditorii, care a ajuns în capul

ὑγιής. 11οὗτός ἐστιν ὁ λίθος ὁ ἐξουθενηθεὶς
ὑφ' ὑμῶν τῶν οἰκοδομούντων, ὁ γενόμενος εἰς
κεφαλὴν γωνίας. 12καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐ-
δενὶ ἡ σωτηρία· οὐδὲ γὰρ ὄνομά ἐστιν ἕτερον
ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις
ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. 13Θεωροῦντες δὲ τὴν
τοῦ Πέτρου παρρησίαν καὶ Ἰωάννου, καὶ
καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί
εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν
τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν, 14τὸν δὲ
ἄνθρωπον βλέποντες σὺν αὐτοῖς ἑστῶτα
τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν.
15κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου
ἀπελθεῖν, συνέβαλλον πρὸς ἀλλήλους 16λέγον-
τες· τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; ὅτι
μὲν γὰρ γνωστὸν σημεῖον γέγονε δι' αὐτῶν,
πᾶσι τοῖς κατοικοῦσιν Ἰερουσαλὴμ φανερόν,
καὶ οὐ δυνάμεθα ἀρνήσασθαι· 17ἀλλ' ἵνα μὴ
ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαόν, ἀπειλῇ
ἀπειλησώμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ
ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων. 18καὶ κα-
λέσαντες αὐτοὺς παρῄγγειλαν αὐτοῖς τὸ κα-
θόλου μὴ φθέγγεσθαι μηδὲ διδάσκειν ἐπὶ τῷ
ὀνόματι τοῦ Ἰησοῦ. 19ὁ δὲ Πέτρος καὶ Ἰωάννης
ἀποκριθέντες πρὸς αὐτοὺς εἶπον· εἰ δίκαιόν
ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλλον
ἢ τοῦ Θεοῦ, κρίνατε. 20οὐ δυνάμεθα γὰρ ἡμεῖς
ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν. 21οἱ δὲ
προσαπειλησάμενοι ἀπέλυσαν αὐτούς, μηδὲν
εὑρίσκοντες τὸ πῶς κολάσονται αὐτούς, διὰ
τὸν λαόν, ὅτι πάντες ἐδόξαζον τὸν Θεὸν ἐπὶ
τῷ γεγονότι· 22ἐτῶν γὰρ ἦν πλειόνων τεσσαρά-
κοντα ὁ ἄνθρωπος ἐφ' ὃν ἐγεγόνει τὸ σημεῖον
τοῦτο τῆς ἰάσεως.

Ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους καὶ
ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς
καὶ οἱ πρεσβύτεροι εἶπον. 24οἱ δὲ ἀκούσαντες
ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν Θεὸν καὶ
εἶπον· Δέσποτα, σὺ ὁ ποιήσας τὸν οὐρανὸν
καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ

unghiului; 12şi întru nimeni altul nu este
mântuirea; căci nu este sub cer nici un alt
nume, dat între oameni, în care trebuie să
ne mântuim noi. 13 Şi văzând ei îndrăznea-
la lui Petru şi a lui Ioan şi înţelegând că
sunt oameni fără carte şi simpli, se mirau
şi îi cunoşteau că fuseseră cu Iisus; 14şi
văzând pe omul cel tămăduit stând cu ei,
n-aveau nimic de zis împotrivă. 15Şi po-
runcindu-le să iasă afară din sinedriu, se
sfătuiau unii cu alţii, 16zicând: Ce vom fa-
ce acestor oameni? Căci tuturor locuitori-
lor Ierusalimului le este învederat că un
semn cunoscut s-a făcut prin ei şi nu pu-
tem tăgădui; 17dar, ca să nu se răspândeas-
că mai mult în popor, cu ameninţare să-i
ameninţăm să nu mai grăiască în numele
acesta niciunui om. 18Şi chemându-i, le-au
poruncit ca nicidecum să nu mai grăias-
că, nici să mai înveţe în numele lui Iisus.
19Iar Petru şi Ioan, răspunzând către ei, au
zis: Judecaţi dacă este drept înaintea lui
Dumnezeu să ascultăm de voi mai degra-
bă decât de Dumnezeu. 20Căci noi nu pu-
tem să nu grăim cele ce am văzut şi am
auzit. 21Dar ei, ameninţându-i şi mai ta-
re, i-au slobozit, negăsind nimic cum să-i
pedepsească, din pricina poporului, că
toţi slăveau pe Dumnezeu, pentru ceea
ce se făcuse. 22Căci omul asupra căruia
se făcuse acest semn al vindecării avea
mai mult de patruzeci de ani.

Şi fiind sloboziţi, au venit la ai lor şi
le-au vestit câte au zis către ei arhiere-
ii şi bătrânii. 24Iar ei, auzind, într-un cuget
au ridicat glas către Dumnezeu şi au zis:
Stăpâne, Tu, Care ai făcut cerul şi pămân-
tul şi marea şi toate cele ce sunt într-însele,

ἐν αὐτοῖς, 25ὁ διὰ στόματος Δαυὶδ παιδός σου εἰπών· *ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; 26παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.* 27συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας, Ἡρῴδης τε καὶ Πόντιος Πιλᾶτος σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραήλ, 28ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι. 29καὶ τὰ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον σου, 30ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν σε εἰς ἴασιν καὶ σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ. 31καὶ δεηθέντων αὐτῶν ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου, καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ παρρησίας.

Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία, καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά. 33καὶ μεγάλῃ δυνάμει ἀπεδίδουν τὸ μαρτύριον οἱ ἀπόστολοι τῆς ἀναστάσεως τοῦ Κυρίου Ἰησοῦ, χάρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς. 34οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς· ὅσοι γὰρ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων· 35διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις χρείαν εἶχεν. 36Ἰωσῆς δὲ ὁ ἐπικληθεὶς Βαρνάβας ἀπὸ τῶν ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον υἱὸς παρακλήσεως, Λευίτης, Κύπριος τῷ γένει, 37ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

25Care prin gura lui David, sluga Ta, ai zis: *Pentru ce s-au întărâtat neamurile şi popoarele au cugetat cele deşarte? 26Înfăţişatu-s-au împăraţii pământului şi căpeteniile s-au adunat la un loc împotriva Domnului şi împotriva Hristosului Său,* 27căci s-au adunat cu adevărat împotriva Fiului Tău celui sfânt Iisus, pe Care Tu L-ai uns, şi Irod şi Ponţiu Pilat împreună cu neamurile şi cu popoarele lui Israel, 28ca să facă toate câte mâna Ta şi sfatul Tău mai dinainte au rânduit să fie. 29Şi acum, Doamne, caută spre ameninţările lor şi dă robilor Tăi să grăiască cuvântul Tău cu toată îndrăzneala, 30întinzând Tu mâna Ta spre vindecare şi semne şi minuni făcându-se prin numele Sfântului Tău Fiu, Iisus. 31Şi rugându-se ei, s-a cutremurat locul în care erau adunaţi şi s-au umplut toţi de Duhul Sfânt şi grăiau cuvântul lui Dumnezeu cu îndrăzneală.

Iar inima şi sufletul mulţimii celor care crezuseră erau una şi nici unul nu zicea că este al său ceva din cele ce avea, ci toate le erau de obşte. 33Şi cu mare putere dădeau apostolii mărturia despre Învierea Domnului Iisus şi mare har era peste ei toţi. 34Şi nimeni între ei nu era lipsit; căci câţi aveau ţarini sau case, vânzându-le, aduceau preţul celor vândute şi-l puneau la picioarele apostolilor; 35şi se împărţea fiecăruia după cum avea cineva trebuinţă. 36Iar Iosi, cel numit de către apostoli Barnaba, care se tâlcuieşte Fiul Mângâierii, levit, cipriot de neam, 37având un ogor, l-a vândut, a adus banii şi i-a pus la picioarele apostolilor.

Κεφάλαιον Ε΄

Ἀνὴρ δέ τις Ἀνανίας ὀνόματι σὺν Σαπφείρῃ τῇ γυναικὶ αὐτοῦ ἐπώλησε κτῆμα 2καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς γυναικὸς αὐτοῦ, καὶ ἐνέγκας μέρος τι παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκεν. 3εἶπε δὲ Πέτρος· Ἀνανία, διατί ἐπλήρωσεν ὁ σατανᾶς τὴν καρδίαν σου, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ Ἅγιον καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; 4οὐχὶ μένον σοι ἔμενε καὶ πραθὲν ἐν τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο; οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ. 5ἀκούων δὲ ὁ Ἀνανίας τοὺς λόγους τούτους πεσὼν ἐξέψυξε, καὶ ἐγένετο φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. 6ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν καὶ ἐξενέγκαντες ἔθαψαν. 7Ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα καὶ ἡ γυνὴ αὐτοῦ, μὴ εἰδυῖα τὸ γεγονός, εἰσῆλθεν. 8ἀπεκρίθη δὲ αὐτῇ ὁ Πέτρος· εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; ἡ δὲ εἶπε· ναί, τοσούτου. 9ὁ δὲ Πέτρος εἶπε πρὸς αὐτήν· τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ Πνεῦμα Κυρίου; ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ καὶ ἐξοίσουσί σε. 10ἔπεσε δὲ παραχρῆμα παρὰ τοὺς πόδας αὐτοῦ καὶ ἐξέψυξεν· εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκράν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς. 11καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησίαν καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα.

Διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά· καὶ

Capitolul 5

Iar un bărbat pe nume Anania, împreună cu Safira, femeia lui, şi-a vândut ţarina. 2Şi a dosit din preţ, ştiind şi femeia lui, şi aducând o parte, a pus-o la picioarele apostolilor. 3Şi a zis Petru: Anania, pentru ce a umplut satana inima ta, ca să minţi tu pe Duhul Sfânt şi să doseşti din preţul ţarinii? 4Oare, de-ar fi rămas, nu ţie îţi rămânea? Şi, de-ar fi fost vândută, nu întru stăpânirea ta era? De ce ai pus în inima ta lucrul acesta? N-ai minţit oamenilor, ci lui Dumnezeu. 5Şi auzind Anania aceste cuvinte, căzând, şi-a dat sufletul. Şi s-a făcut frică mare peste toţi care au auzit acestea. 6Şi sculându-se cei mai tineri, l-au înfăşurat şi, scoţându-l afară, l-au îngropat. 7Iar la un răstimp ca de trei ceasuri a intrat şi femeia lui, neştiind cele întâmplate. 8Şi i-a zis Petru: Spune-mi dacă aţi vândut ţarina cu atât? Iar ea a zis: Da, cu atât. 9Iar Petru a zis către ea: De ce v-aţi învoit să ispitiţi Duhul Domnului? Iată picioarele celor ce l-au îngropat pe bărbatul tău sunt la uşă şi te vor scoate şi pe tine. 10Şi a căzut îndată la picioarele lui şi şi-a dat sufletul. Şi intrând tinerii, au găsit-o moartă şi, scoţând-o afară, au îngropat-o lângă bărbatul ei. 11Şi s-a făcut frică mare peste toată Biserica şi peste toţi cei care au auzit acestea.

Iar prin mâinile apostolilor se făceau multe semne şi minuni în popor; şi erau toţi într-un cuget în pridvorul lui Solomon.

ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος· 13τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός· 14μᾶλλον δὲ προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν, 15ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραβάττων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. 16συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἰερουσαλὴμ φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο ἅπαντες.

Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου 18καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ. 19ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς θύρας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς εἶπε· 20πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης. 21ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν καὶ ἐδίδασκον. παραγενόμενος δὲ ὁ ἀρχιερεὺς καὶ οἱ σὺν αὐτῷ συνεκάλεσαν τὸ συνέδριον καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ, καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον ἀχθῆναι αὐτούς. 22οἱ δὲ ὑπηρέται παραγενόμενοι οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ, ἀναστρέψαντες δὲ ἀπήγγειλαν 23λέγοντες ὅτι τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον ἐν πάσῃ ἀσφαλείᾳ καὶ τοὺς φύλακας ἑστῶτας πρὸ τῶν θυρῶν, ἀνοίξαντες δὲ ἔσω οὐδένα εὕρομεν. 24ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους ὅ τε ἱερεὺς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διηπόρουν περὶ αὐτῶν τί ἂν γένοιτο τοῦτο. 25παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς ὅτι ἰδοὺ οἱ ἄνδρες, οὓς ἔθεσθε ἐν τῇ φυλακῇ, εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν. 26τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις ἤγαγεν αὐτοὺς οὐ μετὰ βίας· ἐφοβοῦντο γὰρ

13Dintre ceilalți, nimeni nu cuteza să se alipească de ei, dar poporul îi preamărea; 14şi mai mult se adăugau, crezând în Domnul, mulțimi de bărbați şi de femei, 15încât îi scoteau pe bolnavi pe ulițe şi-i puneau pe paturi şi pe aşternuturi, ca, venind Petru, măcar umbra lui să umbrească pe vreunul dintre ei. 16Şi se aduna şi mulțimea din cetățile dimprejur la Ierusalim, aducând bolnavi şi chinuiți de duhuri necurate, care toți se vindecau.

Şi sculându-se arhiereul şi toți cei împreună cu el, adică eresul saducheilor, s-au umplut de pizmă 18şi au pus mâna pe apostoli şi i-au aruncat în temnița obşteas-că. 19Şi un înger al Domnului, în timpul nopții, a deschis porțile temniței şi, scoțându-i, a zis: 20Mergeți şi, stând tari, grăiți poporului în templu toate cuvintele vieții acesteia. 21Şi auzind, au intrat dis-de-dimineață în templu şi au început să învețe. Şi venind arhiereul şi cei dimpreună cu el, au chemat sinedriul şi tot sfatul bătrânilor fiilor lui Israel, şi au trimis în temniță să fie aduşi. 22Iar slujitorii s-au dus şi nu i-au găsit în temniță; şi, întorcându-se, au vestit 23zicând: Temnița am găsit-o încuiată cu toată străşnicia şi pe paznici stând înaintea porților, dar, deschizând, n-am găsit pe nimeni înăuntru. 24Şi când au auzit aceste cuvinte, şi preotul, şi căpetenia templului, şi arhiereii erau nedumeriți cu privire la ei, ce ar putea să fie aceasta. 25Şi venind cineva, le-a vestit: Iată, bărbații pe care i-ați pus în temniță sunt în templu, stând şi învățând poporul. 26Atunci, plecând căpetenia templului împreună cu slujitorii i-au adus, dar nu cu sila, căci se temeau de popor să nu-i omoare cu pietre. 27Şi

τὸν λαόν, ἵνα μὴ λιθασθῶσιν. 27ἀγαγόντες δὲ
αὐτοὺς ἔστησαν ἐν τῷ συνεδρίῳ. καὶ ἐπηρώ-
τησεν αὐτοὺς ὁ ἀρχιερεὺς 28λέγων· οὐ πα-
ραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν
ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ πεπληρώκα-
τε τὴν Ἰερουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ
βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ
ἀνθρώπου τούτου. 29ἀποκριθεὶς δὲ Πέτρος
καὶ οἱ ἀπόστολοι εἶπον· πειθαρχεῖν δεῖ Θεῷ
μᾶλλον ἢ ἀνθρώποις. 30ὁ Θεὸς τῶν πατέρων
ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς διεχειρίσα-
σθε κρεμάσαντες ἐπὶ ξύλου· 31τοῦτον ὁ Θεὸς
ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ
δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρ-
τιῶν. 32καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυρες τῶν
ῥημάτων τούτων, καὶ τὸ Πνεῦμα δὲ τὸ Ἅγιον
ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. 33οἱ
δὲ ἀκούσαντες διεπρίοντο καὶ ἐβουλεύοντο
ἀνελεῖν αὐτούς. 34Ἀναστὰς δέ τις ἐν τῷ συνε-
δρίῳ Φαρισαῖος ὀνόματι Γαμαλιήλ, νομοδιδά-
σκαλος τίμιος παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω
βραχύ τι τοὺς ἀποστόλους ποιῆσαι, 35εἶπέ τε
πρὸς αὐτούς· ἄνδρες Ἰσραηλῖται, προσέχετε
ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις τί μέλλετε
πράσσειν. 36πρὸ γὰρ τούτων τῶν ἡμερῶν ἀνέ-
στη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν, ᾧ προσ-
εκλίθη ἀριθμὸς ἀνδρῶν ὡσεὶ τετρακοσίων·
ὃς ἀνῃρέθη, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ
διελύθησαν καὶ ἐγένοντο εἰς οὐδέν. 37μετὰ
τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς
ἡμέραις τῆς ἀπογραφῆς καὶ ἀπέστησε λαὸν
ἱκανὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ
πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθη-
σαν. 38καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ
τῶν ἀνθρώπων τούτων καὶ ἐάσατε αὐτούς·
ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ
ἔργον τοῦτο, καταλυθήσεται· 39εἰ δὲ ἐκ Θεοῦ
ἐστιν, οὐ δύνασθε καταλῦσαι αὐτό, μή ποτε
καὶ θεομάχοι εὑρεθῆτε. 40ἐπείσθησαν δὲ αὐτῷ,
καὶ προσκαλεσάμενοι τοὺς ἀποστόλους δεί-

aducându-i, i-au pus în faţa sinedriului.
Şi i-a întrebat arhiereul, 28zicând: Nu
v-am poruncit vouă cu poruncă să nu în-
văţaţi în numele acesta? Şi iată, aţi um-
plut Ierusalimul de învăţătura voastră şi
voiţi să aduceţi asupra noastră sângele
omului acestuia. 29Şi răspunzând Petru şi
apostolii, au zis: Trebuie să ne supunem
lui Dumnezeu mai mult decât oamenilor.
30Dumnezeul părinţilor noştri L-a înviat
pe Iisus, pe Care voi L-aţi omorât, spânzu-
rându-L pe lemn. 31Pe Acesta Dumnezeu
L-a înălţat Stăpânitor şi Mântuitor cu
dreapta Sa, ca să dea lui Israel pocăinţă şi
iertarea păcatelor. 32Şi suntem martori ai
acestor cuvinte ale Lui noi şi Duhul Sfânt,
pe Care Dumnezeu L-a dat celor ce I se
supun Lui. 33Iar ei, auzind, fremătau de
mânie şi se sfătuiau să-i omoare. 34Şi ridi-
cându-se în sinedriu un fariseu, pe nume
Gamaliel, învăţător de Lege, cinstit de tot
poporul, a poruncit să-i scoată afară pu-
ţin pe apostoli 35şi a zis către ei: Bărbaţi
israeliteni, luaţi seama la voi înşivă, ce
aveţi să faceţi cu aceşti oameni. 36Că îna-
inte de zilele acestea s-a ridicat Teuda, zi-
când că el este cineva, căruia i s-au alătu-
rat un număr de bărbaţi ca la patru sute;
care a fost ucis şi toţi câţi s-au supus lui au
fost risipiţi şi n-a rămas niciunul. 37După
aceasta s-a ridicat Iuda Galileeanul, în zi-
lele recensământului, şi a atras destul po-
por în urma lui; şi acela a pierit şi toţi câţi
i s-au supus s-au risipit. 38Şi acum vă zic:
Ţineţi-vă departe de oamenii aceştia şi lă-
saţi-i, căci dacă este de la oameni acest sfat
sau lucru, se va nimici; 39iar dacă este de
la Dumnezeu, nu puteţi să-l nimiciţi, nu
cumva să vă aflaţi şi luptători împotriva
lui Dumnezeu. 40Şi l-au ascultat; şi, che-

ραντες παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἀπέλυσαν αὐτούς. 41οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ κατηξιώθησαν ἀτιμασθῆναι· 42πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν τὸν Χριστόν.

mându-i pe apostoli şi bătându-i, le-au poruncit să nu vorbească în numele lui Iisus şi i-au slobozit. 41Deci ei au plecat de la faţa sinedriului, bucurându-se că pentru numele Lui s-au învrednicit să sufere necinste. 42Şi în fiecare zi, în templu şi acasă, nu încetau să înveţe şi să binevestească pe Iisus Hristos.

Κεφάλαιον ς΄

Ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. 2προσκαλεσάμενοι δὲ οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν εἶπον· οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις. 3ἐπισκέψασθε οὖν, ἀδελφοί, ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτά, πλήρεις Πνεύματος Ἁγίου καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης· 4ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. 5καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους· καὶ ἐξελέξαντο Στέφανον, ἄνδρα πλήρη πίστεως καὶ Πνεύματος Ἁγίου, καὶ Φίλιππον καὶ Πρόχορον καὶ Νικάνορα καὶ Τίμωνα καὶ Παρμενᾶν καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, 6οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων, καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. 7καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἰερουσαλὴμ σφόδρα, πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουον τῇ πίστει.

Capitolul 6

Şi în zilele acestea, înmulţindu-se ucenicii, s-a făcut cârtire a eleniştilor împotriva evreilor, pentru că văduvele lor erau trecute cu vederea la slujirea cea de fiecare zi. 2Şi chemând cei doisprezece mulţimea ucenicilor, au zis: Nu este bineplăcut ca noi, părăsind cuvântul lui Dumnezeu, să slujim la mese. 3Drept aceea, fraţilor, căutaţi şapte bărbaţi dintre voi, cu mărturie bună, plini de Duhul Sfânt şi de înţelepciune, pe care să-i rânduim la această trebuinţă. 4Iar noi vom stărui în rugăciune şi în slujirea cuvântului. 5Şi a plăcut cuvântul înaintea a toată mulţimea, şi au ales pe Ştefan, bărbat plin de credinţă şi de Duhul Sfânt, şi pe Filip, şi pe Prohor, şi pe Nicanor, şi pe Timon, şi pe Parmena, şi pe Nicolae, prozelit din Antiohia, 6pe care i-au pus înaintea apostolilor, şi, rugându-se, şi-au pus mâinile peste ei. 7Şi cuvântul lui Dumnezeu creştea şi se înmulţea foarte numărul ucenicilor în Ierusalim şi mulţime mare de preoţi se supuneau credinţei.

Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. 9ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων καὶ Κυρηναίων καὶ Ἀλεξανδρέων καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας συζητοῦντες τῷ Στεφάνῳ, 10καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. 11τότε ὑπέβαλον ἄνδρας λέγοντας ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν καὶ τὸν Θεόν· 12συνεκίνησάν τε τὸν λαὸν καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς, καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν καὶ ἤγαγον εἰς τὸ συνέδριον, 13ἔστησάν τε μάρτυρας ψευδεῖς λέγοντας· ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα βλάσφημα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου καὶ τοῦ νόμου· 14ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς. 15καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου.

Iar Ştefan, plin de credinţă şi de putere, făcea minuni şi semne mari în popor. 9Şi s-au ridicat unii din sinagoga cea numită a liberţilor şi a cirinenilor şi a alexandrinilor şi a celor din Cilicia şi din Asia, sfădindu-se cu Ştefan. 10Şi nu puteau să stea împotriva înţelepciunii şi a Duhului cu care el grăia. 11Atunci au pus nişte bărbaţi să zică: L-am auzit grăind cuvinte de hulă împotriva lui Moise şi a lui Dumnezeu; 12şi au stârnit poporul şi pe bătrâni şi pe cărturari şi, venind asupra lui, au pus mâna pe el şi l-au dus în sinedriu, 13şi au pus martori mincinoşi, zicând: Omul acesta nu încetează să grăiască cuvinte hulitoare împotriva locului sfânt şi a Legii; 14căci l-am auzit zicând: Acest Iisus Nazarineanul va strica locul acesta şi va schimba obiceiurile pe care ni le-a predat Moise. 15Şi aţintindu-şi privirea asupra lui, toţi cei ce şedeau în sinedriu au văzut faţa lui ca o faţă de înger.

Κεφάλαιον Ζ΄

Εἶπε δὲ ὁ ἀρχιερεύς· εἰ ἄρα ταῦτα οὕτως ἔχει; 2ὁ δὲ ἔφη· ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε. ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαρράν, 3καὶ εἶπε πρὸς αὐτόν· *ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω*. 4τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων κατῴκησεν ἐν Χαρράν. κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ μετῴκισεν αὐτὸν εἰς τὴν

Capitolul 7

Şi a zis arhiereul: Oare aşa sunt acestea? 2Iar el a zis: Bărbaţi fraţi şi părinţi, ascultaţi! Dumnezeul slavei i S-a arătat părintelui nostru Avraam, când era în Mesopotamia, înainte să locuiască el în Haran, 3şi a zis către el: *Ieşi din pământul tău şi din rudenia ta şi vino în pământul pe care ţi-l voi arăta*. 4Atunci, ieşind din pământul haldeilor, a locuit în Haran. Şi de acolo, după ce a murit tatăl său, l-a strămutat în pământul acesta, în care locuiţi

γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε· 5καὶ
οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ οὐδὲ
βῆμα ποδός, καὶ ἐπηγγείλατο δοῦναι αὐτῷ
εἰς κατάσχεσιν αὐτὴν καὶ τῷ σπέρματι αὐτοῦ
μετ' αὐτόν, οὐκ ὄντος αὐτῷ τέκνου. 6ἐλάλησε
δὲ οὕτως ὁ Θεός, ὅτι *ἔσται τὸ σπέρμα αὐτοῦ
πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν
αὐτὸ καὶ κακώσουσιν ἔτη τετρακόσια·* 7*καὶ
τὸ ἔθνος ᾧ ἐὰν δουλεύσωσι κρινῶ ἐγώ,* εἶπεν
ὁ Θεός· *καὶ μετὰ ταῦτα ἐξελεύσονται καὶ λα-
τρεύσουσί μοι ἐν τῷ τόπῳ τούτῳ.* 8καὶ ἔδωκεν
αὐτῷ διαθήκην περιτομῆς· καὶ οὕτως ἐγέννησε
τὸν Ἰσαὰκ καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ
ὀγδόῃ, καὶ ὁ Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ὁ Ἰακὼβ
τοὺς δώδεκα πατριάρχας. 9Καὶ οἱ πατριάρχαι
ζηλώσαντες τὸν Ἰωσὴφ ἀπέδοντο εἰς Αἴγυ-
πτον. 10καὶ ἦν ὁ Θεὸς μετ' αὐτοῦ, καὶ ἐξεί-
λετο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ,
καὶ ἔδωκεν αὐτῷ χάριν καὶ σοφίαν ἐναντίον
Φαραὼ βασιλέως Αἰγύπτου, καὶ κατέστησεν
αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον καὶ ὅλον τὸν
οἶκον αὐτοῦ. 11ἦλθε δὲ λιμὸς ἐφ' ὅλην τὴν γῆν
Αἰγύπτου καὶ Χαναὰν καὶ θλῖψις μεγάλη, καὶ
οὐχ εὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν.
12ἀκούσας δὲ Ἰακὼβ ὄντα σῖτα ἐν Αἰγύπτῳ
ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον·
13καὶ ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ
τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ φανερὸν ἐγένετο
τῷ Φαραὼ τὸ γένος τοῦ Ἰωσήφ. 14ἀποστείλας
δὲ Ἰωσὴφ μετεκαλέσατο τὸν πατέρα αὐτοῦ
Ἰακὼβ καὶ πᾶσαν τὴν συγγένειαν αὐτοῦ ἐν
ψυχαῖς ἑβδομήκοντα πέντε. 15κατέβη δὲ Ἰα-
κὼβ εἰς Αἴγυπτον καὶ ἐτελεύτησεν αὐτὸς καὶ
οἱ πατέρες ἡμῶν, 16καὶ μετετέθησαν εἰς Συ-
χὲμ καὶ ἐτέθησαν ἐν τῷ μνήματι ᾧ ὠνήσατο
Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμ-
μὸρ τοῦ Συχέμ. 17Καθὼς δὲ ἤγγιζεν ὁ χρόνος
τῆς ἐπαγγελίας ἣν ὤμοσεν ὁ Θεὸς τῷ Ἀβραάμ,
ηὔξησεν ὁ λαὸς καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ,
18ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος, ὃς οὐκ

voi acum, 5şi nu i-a dat lui moştenire în el
nici un picior de pământ, ci i-a făgăduit să
i-l dea în stăpânire lui şi sămânţei lui de
după el, neavând el fiu. 6Şi astfel a grăit
Dumnezeu: *Fi-va sămânţa lui pribeagă în
pământ străin, şi o vor robi şi o vor asupri
patru sute de ani.* 7*Şi neamul la care vor
robi Eu îl voi judeca*, a zis Dumnezeu; *iar
după aceea vor ieşi şi Mi se vor închina în
locul acesta.* 8Şi i-a dat Testamentul tăie-
rii-împrejur; şi aşa a născut pe Isaac şi l-a
tăiat împrejur în ziua a opta; şi Isaac pe Ia-
cov, şi Iacov pe cei doisprezece patriarhi.
9Şi patriarhii, pizmuind pe Iosif, l-au vân-
dut în Egipt; 10şi Dumnezeu era cu el, şi
l-a scos pe el din toate strâmtorările lui
şi i-a dat lui har şi înţelepciune înaintea
lui Faraon, împăratul Egiptului, şi l-a rân-
duit pe el căpetenie peste Egipt şi peste
toată casa lui. 11Şi a venit foamete peste
tot pământul Egiptului şi al Canaanului
şi strâmtorare mare, şi nu găseau părinţii
noştri hrană. 12Şi auzind Iacov că este grâu
în Egipt, i-a trimis mai întâi pe părinţii
noştri; 13iar a doua oară Iosif s-a făcut cu-
noscut fraţilor săi şi s-a descoperit lui Fa-
raon neamul lui Iosif. 14Şi trimiţând Iosif,
l-a chemat pe Iacov, tatăl său, şi toată ru-
denia sa, în număr de şaptezeci şi cinci de
suflete. 15Şi s-a coborât Iacov în Egipt;
şi s-a săvârşit el şi părinţii noştri; 16şi au
fost strămutaţi în Sichem şi au fost puşi în
mormântul pe care îl cumpărase Avraam
cu preţ de argint de la fiii lui Emor al lui
Sichem; 17dar cum se apropia timpul fă-
găduinţei cu care S-a jurat Dumnezeu lui
Avraam, a crescut poporul şi s-a înmul-
ţit în Egipt, 18până când s-a ridicat un alt
împărat, care nu îl ştia pe Iosif. 19Acesta,
uneltind împotriva neamului nostru, i-a

ᾔδει τὸν Ἰωσήφ. 19οὗτος κατασοφισάμενος
τὸ γένος ἡμῶν ἐκάκωσε τοὺς πατέρας ἡμῶν
τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη αὐτῶν, εἰς τὸ μὴ
ζωογονεῖσθαι· 20ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς,
καὶ ἦν ἀστεῖος τῷ Θεῷ· ὃς ἀνετράφη μῆνας
τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ. 21ἐκτεθέντα
δὲ αὐτὸν ἀνείλετο αὐτὸν ἡ θυγάτηρ Φαραὼ
καὶ ἀνεθρέψατο αὐτὸν ἑαυτῇ εἰς υἱόν. 22καὶ
ἐπαιδεύθη Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων,
ἦν δὲ δυνατὸς ἐν λόγοις καὶ ἐν ἔργοις. 23Ὡς δὲ
ἐπληροῦτο αὐτῷ τεσσαρακονταετὴς χρόνος,
ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτοῦ ἐπισκέψασθαι
τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ. 24καὶ
ἰδών τινα ἀδικούμενον ἠμύνατο, καὶ ἐποιή-
σατο ἐκδίκησιν τῷ καταπονουμένῳ πατάξας
τὸν Αἰγύπτιον. 25ἐνόμιζε δὲ συνιέναι τοὺς
ἀδελφοὺς αὐτοῦ ὅτι ὁ Θεὸς διὰ χειρὸς αὐτοῦ
δίδωσιν αὐτοῖς σωτηρίαν· οἱ δὲ οὐ συνῆκαν.
26τῇ τε ἐπιούσῃ ἡμέρᾳ ὤφθη αὐτοῖς μαχομέ-
νοις, καὶ συνήλασεν αὐτοὺς εἰς εἰρήνην εἰπών·
ἄνδρες, ἀδελφοί ἐστε ὑμεῖς· ἵνα τί ἀδικεῖτε
ἀλλήλους; 27ὁ δὲ ἀδικῶν τὸν πλησίον ἀπώσατο
αὐτὸν εἰπών· *τίς σε κατέστησεν ἄρχοντα καὶ*
δικαστὴν ἐφ' ἡμῶν; 28*μὴ ἀνελεῖν με σὺ θέλεις*
ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; 29ἔφυγε
δὲ Μωϋσῆς ἐν τῷ λόγῳ τούτῳ καὶ ἐγένετο
πάροικος ἐν γῇ Μαδιάμ, οὗ ἐγέννησεν υἱοὺς
δύο. 30Καὶ πληρωθέντων ἐτῶν τεσσαράκον-
τα ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ ὄρους Σινᾶ
ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς βάτου. 31ὁ δὲ
Μωϋσῆς ἰδὼν ἐθαύμαζε τὸ ὅραμα· προσερ-
χομένου δὲ αὐτοῦ κατανοῆσαι ἐγένετο φωνὴ
Κυρίου πρὸς αὐτόν· 32*ἐγὼ ὁ Θεὸς τῶν πατέ-*
ρων σου, ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαὰκ
καὶ ὁ Θεὸς Ἰακώβ. ἔντρομος δὲ γενόμενος
Μωϋσῆς οὐκ ἐτόλμα κατανοῆσαι. 33εἶπε δὲ
αὐτῷ ὁ Κύριος· *λῦσον τὸ ὑπόδημα τῶν ποδῶν*
σου· ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας γῆ ἁγία ἐστίν.
34*ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ*
ἐν Αἰγύπτῳ καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα,

asuprit pe părinții noștri să-și arunce pruncii, ca să nu aibă viață. 20În vremea aceea
s-a născut Moise și era plăcut lui Dumnezeu; acesta a fost crescut trei luni în casa
tatălui său. 21Și fiind aruncat, l-a luat fiica
lui Faraon și l-a crescut ca pe un fiu al ei.
22Și s-a deprins Moise cu toată înțelepciunea egiptenilor și era puternic în cuvinte
și în fapte. 23Iar când a împlinit patruzeci
de ani, s-a ridicat în inima lui să-și cerceteze frații, pe fiii lui Israel. 24Și văzând
pe unul nedreptățit, l-a apărat și l-a răzbunat pe cel asuprit, doborând pe egiptean. 25Și credea că frații săi vor înțelege
că Dumnezeu, prin mâna lui, le dă mântuire; dar ei n-au înțeles. 26Și în ziua ur-
mătoare s-a arătat unora care se băteau
și i-a îndemnat la pace, zicând: *Bărbaților,*
frați sunteți voi. De ce vă faceți unul altuia nedreptate? 27Și cel ce nedreptățea pe
aproapele l-a dat la o parte, zicând: *Cine*
te-a rânduit pe tine stăpânitor și judecător
peste noi? 28*Nu cumva vrei să mă omori,*
cum ai omorât ieri pe egiptean? 29Și la
acest cuvânt, Moise a fugit și a fost străin
în țara Madianului, unde a născut doi fii.
30Și împlinindu-se patruzeci de ani, i s-a
arătat lui în pustia Muntelui Sinai un înger al Domnului, în para de foc a unui rug.
31Iar Moise, văzând, s-a minunat de vede-
nie; dar, apropiindu-se să privească, s-a
făcut glas al Domnului către el: 32*Eu sunt*
Dumnezeul părinților tăi, Dumnezeul lui
Avraam și Dumnezeul lui Isaac și Dum-
nezeul lui Iacov. Și tremurând, Moise nu
îndrăznea să privească; 33iar Domnul i-a
zis: *Dezleagă încălțămintea picioarelor tale,*
căci locul în care stai este pământ sfânt.
34*Privind, am văzut asuprirea poporului*
Meu în Egipt și suspinul lor l-am auzit și

καὶ κατέβην ἐξελέσθαι αὐτούς· καὶ νῦν δεῦρο ἀποστελῶ σε εἰς Αἴγυπτον. 35Τοῦτον τὸν Μωϋσῆν ὃν ἠρνήσαντο εἰπόντες· τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστήν; τοῦτον ὁ Θεὸς ἄρχοντα καὶ λυτρωτὴν ἀπέστειλεν ἐν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ. 36οὗτος ἐξήγαγεν αὐτοὺς ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ Αἰγύπτῳ καὶ ἐν Ἐρυθρᾷ θαλάσσῃ καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσσαράκοντα. 37οὗτός ἐστιν ὁ Μωϋσῆς ὁ εἰπὼν τοῖς υἱοῖς Ἰσραήλ· *προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε.* 38οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ἡμῖν. 39ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν, ἀλλ' ἀπώσαντο καὶ ἐστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον 40εἰπόντες τῷ Ἀαρών· *ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ.* 41καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν. 42ἔστρεψε δὲ ὁ Θεὸς καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν· *μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραήλ;* 43*καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν Ῥεμφάν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς· καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος.* 44Ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ, καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωϋσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει· 45ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν ὧν ἔξωσεν ὁ Θεὸς ἀπὸ προ-

M-am pogorât ca să-i scap; şi acum vino să te trimit în Egipt. 35Pe acest Moise de care s-au lepădat, zicând: Cine te-a rânduit pe tine stăpânitor şi judecător?, pe acesta Dumnezeu l-a trimis stăpânitor şi răscumpărător, prin mâna îngerului care i se arătase lui în rug. 36Acesta i-a scos afară, făcând minuni şi semne în ţara Egiptului şi în Marea Roşie şi în pustie patruzeci de ani. 37Acesta este Moise cel ce a zis fiilor lui Israel: *Prooroc asemenea mie vă va ridica Domnul Dumnezeul vostru dintre fraţii voştri; de El să ascultaţi.* 38Acesta este cel ce a fost în adunarea din pustie, împreună cu îngerul care i-a grăit în Muntele Sinai şi cu părinţii noştri, care a primit cuvinte vii să ni le dea nouă, 39de care n-au voit să fie ascultători părinţii noştri, ci l-au lepădat şi s-au întors cu inima lor în Egipt, 40zicând lui Aaron: *Fă-ne dumnezei care să meargă înaintea noastră; căci acest Moise, care ne-a scos din pământul Egiptului, nu ştim ce i s-a întâmplat.* 41Şi au făcut un viţel în zilele acelea şi au adus idolului jertfă şi se veseleau întru lucrurile mâinilor lor. 42Şi S-a întors Dumnezeu de la ei şi i-a dat să se închine oştirii cerului, precum s-a scris în Cartea Proorocilor: *Oare junghieri şi jertfe Mi-aţi adus voi Mie, patruzeci de ani în pustie, casă a lui Israel?* 43*Şi aţi purtat cortul lui Moloh şi steaua dumnezeului vostru Remfan, chipurile pe care le-aţi făcut ca să vă închinaţi lor! Şi vă voi strămuta dincolo de Babilon.* 44Părinţii noştri aveau în pustie Cortul Mărturiei, precum poruncise Cel ce a grăit lui Moise, ca să-l facă după chipul pe care îl văzuse; 45şi pe acesta, primindu-l, părinţii noştri l-au adus împreună cu Iisus în pământul stăpânit de neamuri, pe care le-a izgonit

σώπου τῶν πατέρων ἡμῶν, ἕως τῶν ἡμερῶν Δαυῒδ· 46ὃς εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ Θεῷ Ἰακώβ. 47Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον. 48ἀλλ' οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ προφήτης λέγει· 49*ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος, ἢ τίς τόπος τῆς καταπαύσεώς μου;* 50*οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα;* 51Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς. 52τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε· 53οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

Dumnezeu din faţa părinţilor noştri, până în zilele lui David; 46acesta a aflat har înaintea lui Dumnezeu şi a cerut să afle sălaş Dumnezeului lui Iacov. 47Iar Solomon I-a zidit Lui casă. 48Dar Cel Preaînalt nu locuieşte în temple făcute de mâini, precum zice proorocul: 49*Cerul este Mie tron, iar pământul aşternut picioarelor Mele; ce fel de casă Îmi veţi zidi Mie?, – zice Domnul – sau care este locul odihnei Mele?* 50*Oare nu mâna Mea a făcut toate acestea?* 51Voi cei tari în cerbice şi netăiaţi împrejur la inimă şi la urechi, voi pururea vă împotriviţi Duhului Sfânt; precum părinţii voştri, aşa şi voi! 52Pe care dintre prooroci nu l-au prigonit părinţii voştri? Şi i-au ucis pe cei ce mai dinainte au vestit despre venirea Celui Drept, ai Cărui vânzători şi ucigaşi v-aţi făcut voi acum, 53care aţi primit Legea prin porunci de îngeri şi n-aţi păzit-o!

Ἀκούοντες δὲ ταῦτα διεπρίοντο ταῖς καρδίαις αὐτῶν καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν. 55ὑπάρχων δὲ πλήρης Πνεύματος Ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν εἶδε δόξαν Θεοῦ καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, 56καὶ εἶπεν· Ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν τοῦ Θεοῦ ἑστῶτα. 57κράξαντες δὲ φωνῇ μεγάλῃ συνέσχον τὰ ὦτα αὐτῶν καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν, 58καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως ἐλιθοβόλουν. καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου, 59καὶ ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον καὶ λέγοντα· Κύριε Ἰησοῦ, δέξαι τὸ πνεῦμά μου. 60θεὶς δὲ τὰ γόνατα ἔκραξε φωνῇ μεγάλῃ· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. καὶ τοῦτο εἰπὼν ἐκοιμήθη. Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ.

Iar ei, auzind acestea, fremătau de mânie în inimile lor şi scrâşneau din dinţi împotriva lui. 55Şi fiind plin de Duhul Sfânt, aţintindu-şi privirea la cer, a văzut slava lui Dumnezeu şi pe Iisus stând de-a dreapta lui Dumnezeu. 56Şi a zis: Iată, văd cerurile deschise şi pe Fiul Omului stând de-a dreapta lui Dumnezeu! 57Iar ei, strigând cu glas mare, şi-au astupat urechile şi s-au năpustit toţi deodată asupra lui. 58Şi scoţându-l afară din cetate, îl loveau cu pietre. Iar martorii şi-au pus hainele lor la picioarele unui tânăr, numit Saul. 59Şi îl loveau cu pietre pe Ştefan, care chema numele Domnului şi zicea: Doamne, Iisuse, primeşte duhul meu! 60Şi plecând genunchii, a strigat cu glas mare: Doamne, nu le socoti lor păcatul acesta! Şi zicând acestea, a adormit. Iar Saul se învoise la uciderea lui.

Κεφάλαιον Η΄

Ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἰεροσολύμοις· πάντες δὲ διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων. 2συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς καὶ ἐποίησαν κοπετὸν μέγαν ἐπ᾽ αὐτῷ. 3Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας παρεδίδου εἰς φυλακήν.

Οἱ μὲν οὖν διασπαρέντες διῆλθον εὐαγγελιζόμενοι τὸν λόγον. 5Φίλιππος δὲ κατελθὼν εἰς πόλιν τῆς Σαμαρείας ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν. 6προσεῖχον δὲ οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδὸν ἐν τῷ ἀκούειν αὐτοὺς καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει. 7πολλῶν γὰρ τῶν ἐχόντων πνεύματα ἀκάθαρτα βοῶντα φωνῇ μεγάλῃ ἐξῄρχετο, πολλοὶ δὲ παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν, 8καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ.

Ἀνὴρ δέ τις ὀνόματι Σίμων προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων καὶ ἐξιστῶν τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν· 10ᾧ προσεῖχον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου λέγοντες· οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη. 11προσεῖχον δὲ αὐτῷ διὰ τὸ ἱκανῷ χρόνῳ ταῖς μαγείαις ἐξεστακέναι αὐτούς. 12ὅτε δὲ ἐπίστευσαν τῷ Φιλίππῳ εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄνδρες τε καὶ γυναῖκες. 13ὁ δὲ Σίμων καὶ αὐτὸς ἐπίστευσε, καὶ βαπτισθεὶς ἦν προσ-

Capitolul 8

Şi s-a făcut în ziua aceea prigoană mare împotriva Bisericii din Ierusalim; şi toţi s-au împrăştiat prin ţinuturile Iudeii şi ale Samariei, în afară de apostoli. 2Şi l-au îngropat pe Ştefan nişte bărbaţi evlavioşi şi au făcut jelire mare pentru el. 3Şi Saul pustia Biserica intrând prin case şi, târând bărbaţi şi femei, îi da la temniţă.

Deci unii, risipindu-se, străbăteau ţinutul, binevestind cuvântul; 5iar Filip, coborându-se într-o cetate a Samariei, le propovăduia pe Hristos. 6Şi luau aminte mulţimile într-un cuget la cele spuse de către Filip, când ascultau şi vedeau semnele pe care le făcea. 7Căci din mulţi care aveau duhuri necurate acestea ieşeau, strigând cu glas mare, şi mulţi paralitici şi ologi s-au vindecat. 8Şi s-a făcut mare bucurie în cetatea aceea.

Iar un bărbat pe nume Simon era mai dinainte în cetate, făcând vrăji şi uimind neamul Samariei, zicând despre sine că este cineva mare; 10la care luau aminte toţi, de la mic la mare, zicând: Acesta este puterea lui Dumnezeu cea mare. 11Şi luau aminte la el fiindcă multă vreme îi uimise cu vrăjile. 12Iar când au crezut lui Filip, care binevestea cele despre Împărăţia lui Dumnezeu şi despre numele lui Iisus Hristos, se botezau şi bărbaţi şi femei. 13Iar Simon a crezut şi el şi, botezându-se,

καρτερῶν τῷ Φιλίππῳ, θεωρῶν τε δυνάμεις καὶ σημεῖα γινόμενα ἐξίστατο. 14Ἀκούσαντες δὲ οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι ὅτι δέδεκται ἡ Σαμάρεια τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς τὸν Πέτρον καὶ Ἰωάννην· 15οἵτινες καταβάντες προσηύξαντο περὶ αὐτῶν ὅπως λάβωσι Πνεῦμα Ἅγιον· 16οὔπω γὰρ ἦν ἐπ᾽ οὐδενὶ αὐτῶν ἐπιπεπτωκός, μόνον δὲ βεβαπτισμένοι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. 17τότε ἐπετίθουν τὰς χεῖρας ἐπ᾽ αὐτούς, καὶ ἐλάμβανον Πνεῦμα Ἅγιον. 18Ἰδὼν δὲ ὁ Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ Ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα 19λέγων· δότε κἀμοὶ τὴν ἐξουσίαν ταύτην, ἵνα ᾧ ἐὰν ἐπιθῶ τὰς χεῖρας λαμβάνῃ Πνεῦμα Ἅγιον. 20Πέτρος δὲ εἶπε πρὸς αὐτόν· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. 21οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ· ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ. 22μετανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Θεοῦ εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου· 23εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας ὁρῶ σε ὄντα. 24ἀποκριθεὶς δὲ ὁ Σίμων εἶπε· δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεὸν ὅπως μηδὲν ἐπέλθῃ ἐπ᾽ ἐμὲ ὧν εἰρήκατε. 25Οἱ μὲν οὖν διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον τοῦ Κυρίου ὑπέστρεψαν εἰς Ἱερουσαλήμ, πολλάς τε κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο.

Ἄγγελος δὲ Κυρίου ἐλάλησε πρὸς Φίλιππον λέγων· ἀνάστηθι καὶ πορεύου κατὰ μεσημβρίαν ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν· αὕτη ἐστὶν ἔρημος. 27καὶ ἀναστὰς ἐπορεύθη. καὶ ἰδοὺ ἀνὴρ Αἰθίοψ εὐνοῦχος δυνάστης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ὃς ἐληλύθει προσκυνήσων εἰς

petrecea mereu în preajma lui Filip; şi văzând puterile şi semnele făcute, era uimit. 14Şi auzind apostolii din Ierusalim că Samaria a primit cuvântul lui Dumnezeu, i-au trimis la ei pe Petru şi pe Ioan, 15care, coborând, s-au rugat pentru ei ca să primească Duhul Sfânt. 16Căci nu căzuse încă peste niciunul dintre ei, ci erau doar botezaţi în numele Domnului Iisus. 17Atunci îşi puneau mâinile peste ei, iar ei primeau Duhul Sfânt. 18Şi văzând Simon că prin punerea mâinilor apostolilor se dă Duhul Sfânt, le-a adus bani, 19zicând: Daţi-mi şi mie puterea aceasta, ca acela pe care voi pune mâinile să primească Duhul Sfânt. 20Iar Petru a zis către el: Argintul tău să fie cu tine spre pierzare, că ai socotit că darul lui Dumnezeu se agoniseşte cu bani. 21Tu n-ai parte, nici sorţ în cuvântul acesta, căci inima ta nu este dreaptă înaintea lui Dumnezeu. 22Deci pocăieşte-te de această răutate a ta şi roagă-te lui Dumnezeu, poate ţi se va ierta cugetul inimii tale, 23căci te văd că eşti în fierea amărăciunii şi întru legătura nedreptăţii. 24Şi răspunzând, Simon a zis: Rugaţi-vă voi pentru mine la Dumnezeu, ca nimic să nu vină asupra mea din cele ce aţi zis. 25Deci ei, mărturisind şi grăind cuvântul Domnului, s-au întors în Ierusalim şi au binevestit în multe sate ale samarinenilor.

Şi un înger al Domnului a grăit către Filip, zicând: Scoală-te şi mergi spre Miazăzi, pe calea care coboară de la Ierusalim la Gaza; aceasta este pustie. 27Şi sculându-se, a mers. Şi iată un bărbat etiopian, famen, mare dregător al Candachiei, împărăteasa etiopienilor, cel care era peste toată vistieria ei şi venise să se închine

Ἰερουσαλήμ, 28ἦν τε ὑποστρέφων καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, καὶ ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν. 29εἶπε δὲ τὸ Πνεῦμα τῷ Φιλίππῳ· πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ. 30προσδραμὼν δὲ ὁ Φίλιππος ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος τὸν προφήτην Ἡσαΐαν, καὶ εἶπεν· ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις; 31ὁ δὲ εἶπε· πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; παρεκάλεσέ τε τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ. 32ἡ δὲ περιοχὴ τῆς γραφῆς ἣν ἀνεγίνωσκεν ἦν αὕτη· *ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ.* 33*ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.* 34ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ εἶπε· δέομαί σου, περὶ τίνος ὁ προφήτης λέγει τοῦτο; περὶ ἑαυτοῦ ἢ περὶ ἑτέρου τινός; 35ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν. 36ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδόν, ἦλθον ἐπί τι ὕδωρ, καί φησιν ὁ εὐνοῦχος· ἰδοὺ ὕδωρ· τί κωλύει με βαπτισθῆναι; 37εἶπε δὲ ὁ Φίλιππος· εἰ πιστεύεις ἐξ ὅλης τῆς καρδίας, ἔξεστιν. ἀποκριθεὶς δὲ εἶπε· πιστεύω τὸν υἱὸν τοῦ Θεοῦ εἶναι τὸν Ἰησοῦν Χριστόν. 38καὶ ἐκέλευσε στῆναι τὸ ἅρμα, καὶ κατέβησαν ἀμφότεροι εἰς τὸ ὕδωρ, ὅ τε Φίλιππος καὶ ὁ εὐνοῦχος, καὶ ἐβάπτισεν αὐτόν. 39ὅτε δὲ ἀνέβησαν ἐκ τοῦ ὕδατος Πνεῦμα Κυρίου ἥρπασε τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος· ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων. 40Φίλιππος δὲ εὑρέθη εἰς Ἄζωτον, καὶ διερχόμενος εὐηγγελίζετο τὰς πόλεις πάσας ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν.

în Ierusalim, 28se întorcea şi şedea în carul său, şi citea pe proorocul Isaia. 29Şi a zis Duhul lui Filip: Apropie-te şi te alipeşte de carul acesta. 30Şi alergând Filip, l-a auzit citind pe proorocul Isaia, şi i-a zis: Oare înţelegi ce citeşti? 31Iar el a zis: Cum aş putea, dacă nu mă va călăuzi cineva? Şi l-a rugat pe Filip să se urce şi să şadă cu el. 32Iar locul din Scriptură pe care-l citea era acesta: *Ca o oaie spre junghiere S-a adus şi ca un miel fără de glas înaintea celui ce îl tunde, aşa nu Îşi deschide gura Sa.* 33*Întru smerenia Lui judecata Lui s-a ridicat, şi neamul Lui cine-l va spune? Că se ia de pe pământ viaţa Lui.* 34Şi răspunzând famenul lui Filip, a zis: Rogu-te, despre cine zice proorocul aceasta, despre sine ori despre altcineva? 35Şi deschizând Filip gura sa şi începând de la scriptura aceasta, i-a binevestit lui pe Iisus. 36Şi, când mergeau pe cale, au ajuns la o apă, şi a zis famenul: Iată apă; ce mă împiedică să mă botez? 37Şi a zis Filip: Dacă crezi din toată inima, este cu putinţă. Şi răspunzând, a zis: Cred că Iisus Hristos este Fiul lui Dumnezeu. 38Şi a poruncit să stea carul şi au coborât amândoi în apă, şi Filip şi famenul, şi l-a botezat. 39Iar când au ieşit din apă, Duhul Domnului l-a răpit pe Filip, şi famenul nu l-a mai văzut pe el; şi mergea pe calea sa, bucurându-se. 40Iar Filip s-a aflat în Azot şi, călătorind, binevestea tuturor cetăţilor, până a ajuns în Cezareea.

Κεφάλαιον Θ΄

Ὁ δὲ Σαῦλος ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ Κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ 2ᾐτήσατο παρ᾽ αὐτοῦ ἐπιστολὰς εἰς Δαμασκὸν πρὸς τὰς συναγωγάς, ὅπως ἐάν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας, ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἰερουσαλήμ. 3ἐν δὲ τῷ πορεύεσθαι ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ, καὶ ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ, 4καὶ πεσὼν ἐπὶ τὴν γῆν ἤκουσε φωνὴν λέγουσαν αὐτῷ· Σαοὺλ Σαούλ, τί με διώκεις; 5εἶπε δέ· τίς εἶ, κύριε; ὁ δὲ Κύριος εἶπεν· ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις· 6ἀλλὰ ἀνάστηθι καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι τί σε δεῖ ποιεῖν. 7οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ εἱστήκεισαν ἐνεοί, ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες. 8ἠγέρθη δὲ ὁ Σαῦλος ἀπὸ τῆς γῆς, ἀνεῳγμένων τε τῶν ὀφθαλμῶν αὐτοῦ οὐδένα ἔβλεπε· χειραγωγοῦντες δὲ αὐτὸν εἰσήγαγον εἰς Δαμασκόν. 9καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν οὐδὲ ἔπιεν. 10Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι Ἀνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι· Ἀνανία. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ, Κύριε. 11ὁ δὲ Κύριος πρὸς αὐτόν· ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην εὐθεῖαν καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι Ταρσέα· ἰδοὺ γὰρ προσεύχεται, 12καὶ εἶδεν ἐν ὁράματι ἄνδρα ὀνόματι Ἀνανίαν εἰσελθόντα καὶ ἐπιθέντα αὐτῷ χεῖρα, ὅπως ἀναβλέψῃ. 13ἀπεκρίθη δὲ Ἀνανίας· Κύριε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἰερουσαλήμ· 14καὶ

Capitolul 9

Şi Saul, încă suflând ameninţare şi ucidere împotriva ucenicilor Domnului, a mers la arhiereu 2şi a cerut de la el scrisori către sinagogile din Damasc ca, dacă va afla pe vreunii că sunt pe Cale, şi bărbaţi şi femei, să-i aducă legaţi la Ierusalim. 3Şi, pe când călătorea, a fost că s-a apropiat de Damasc şi deodată a fulgerat împrejurul lui o lumină din cer. 4Şi, căzând la pământ, a auzit un glas, zicându-i: Saule, Saule, de ce Mă prigoneşti? 5Şi a zis: Cine eşti, Doamne? Iar Domnul a zis: Eu sunt Iisus, pe Care tu Îl prigoneşti. 6Ci scoală-te şi mergi în cetate şi ţi se va spune ce trebuie să faci. 7Iar bărbaţii care îl însoţeau stăteau fără grai, auzind glasul, dar nevăzând pe nimeni. 8Saul s-a ridicat de la pământ şi, deşi avea ochii deschişi, nu vedea pe nimeni. Şi luându-l ei de mână, l-au dus în Damasc. 9Şi a fost trei zile fără să vadă şi nu a mâncat, nici nu a băut. 10Şi era în Damasc un ucenic, pe nume Anania, şi Domnul i-a zis în vedenie: Anania! Iar el a zis: Iată-mă, Doamne. 11Iar Domnul către el: Scoală-te şi mergi pe uliţa care se cheamă Dreaptă şi caută în casa lui Iuda pe un om din Tars cu numele Saul; căci, iată, se roagă. 12Şi a văzut în vedenie un bărbat, pe nume Anania, intrând la el şi punându-şi mâna peste el, ca să vadă iarăşi. 13Şi a răspuns Anania: Doamne, am auzit de la mulţi despre bărbatul acesta, câte rele a făcut sfinţilor Tăi în Ierusalim.

ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου. 15εἶπε δὲ πρὸς αὐτὸν ὁ Κύριος· πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραήλ· 16ἐγὼ γὰρ ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν. 17Ἀπῆλθε δὲ Ἀνανίας καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ ἐπιθεὶς ἐπ᾽ αὐτὸν τὰς χεῖρας εἶπε· Σαοὺλ ἀδελφέ, ὁ Κύριος ἀπέσταλκέ με, Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς καὶ πλησθῇς Πνεύματος Ἁγίου. 18καὶ εὐθέως ἀπέπεσον ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες, ἀνέβλεψέ τε, καὶ ἀναστὰς ἐβαπτίσθη, καὶ λαβὼν τροφὴν ἐνίσχυσεν.

Ἐγένετο δὲ ὁ Σαῦλος μετὰ τῶν ὄντων ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς, 20καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Ἰησοῦν ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. 21ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες καὶ ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἰερουσαλὴμ τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο, καὶ ὧδε εἰς τοῦτο ἐλήλυθεν, ἵνα δεδεμένους αὐτοὺς ἀγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς; 22Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυνε τοὺς Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ, συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός. 23ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν· 24ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν. παρετήρουν τε τὰς πύλας ἡμέρας τε καὶ νυκτὸς ὅπως αὐτὸν ἀνέλωσι· 25λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς καθῆκαν διὰ τοῦ τείχους χαλάσαντες ἐν σπυρίδι.

Παραγενόμενος δὲ ὁ Σαῦλος εἰς Ἰερουσαλὴμ ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς· καὶ πάντες ἐφοβοῦντο αὐτόν, μὴ πιστεύοντες ὅτι ἐστὶ μαθητής. 27Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν ἤγαγε πρὸς τοὺς ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δα-

14Şi aici are putere de la arhierei să-i lege pe toţi care cheamă numele Tău. 15Şi a zis Domnul către el: Mergi, că vas ales Îmi este acesta, ca să poarte numele Meu înaintea neamurilor şi a împăraţilor şi a fiilor lui Israel; 16căci Eu îi voi arăta câte trebuie să pătimească el pentru numele Meu. 17Şi a plecat Anania şi a intrat în casă şi, punându-şi mâinile pe el, a zis: Frate Saul, Domnul m-a trimis, Iisus, Cel ce ţi S-a arătat pe calea pe care veneai, ca să vezi iarăşi şi să te umpli de Duhul Sfânt. 18Şi îndată au căzut de pe ochii lui ca nişte solzi şi a văzut iarăşi şi, sculându-se, s-a botezat; şi, luând mâncare, s-a întărit.

Şi a fost Saul cu ucenicii care erau în Damasc câteva zile. 20Şi îndată Îl propovăduia pe Iisus în sinagogi, că Acesta este Fiul lui Dumnezeu. 21Şi toţi câţi îl auzeau erau uimiţi şi ziceau: Nu este acesta cel care i-a dat pierzării în Ierusalim pe cei ce cheamă acest nume şi pentru aceasta a venit aici, ca să-i ducă legaţi la arhierei? 22Şi Saul se întărea mai mult şi îi tulbura pe iudeii care locuiau în Damasc, dovedind că Acesta este Hristos. 23Şi când s-au împlinit destule zile, iudeii s-au sfătuit să-l omoare, 24dar lui Saul i s-a făcut cunoscută uneltirea lor. Şi păzeau porţile şi ziua şi noaptea, ca să-l ucidă, 25dar, luându-l ucenicii noaptea, l-au coborât prin zid, lăsându-l jos într-un coş.

Şi venind Saul la Ierusalim, încerca să se alipească de ucenici; şi toţi se temeau de el, necrezând că este ucenic. 27Iar Barnaba, luându-l cu sine, l-a dus la apostoli şi el le-a povestit cum a văzut pe cale pe Domnul şi că i-a grăit lui şi cum în Damasc a vorbit cu îndrăzneală în numele lui

μασκῷ ἐπαρρησιάσατο ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ. 28καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος καὶ ἐκπορευόμενος ἐν Ἰερουσαλὴμ καὶ παρρησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ, 29ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς· οἱ δὲ ἐπεχείρουν αὐτὸν ἀνελεῖν. 30ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ κατήγαγον αὐτὸν εἰς Καισάρειαν καὶ ἐξαπέστειλαν αὐτὸν εἰς Ταρσόν. 31Αἱ μὲν οὖν ἐκκλησίαι καθ' ὅλης τῆς Ἰουδαίας καὶ Γαλιλαίας καὶ Σαμαρείας εἶχον εἰρήνην οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ τοῦ Κυρίου, καὶ τῇ παρακλήσει τοῦ Ἁγίου Πνεύματος ἐπληθύνοντο.

Ἐγένετο δὲ Πέτρον διερχόμενον διὰ πάντων κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν. 33εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραβάττῳ, ὃς ἦν παραλελυμένος. 34καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός· ἀνάστηθι καὶ στρῶσον σεαυτῷ. καὶ εὐθέως ἀνέστη. 35καὶ εἶδον αὐτὸν πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Σάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον.

Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἣ διερμηνευομένη λέγεται Δορκάς· αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει. 37ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν· λούσαντες δὲ αὐτὴν ἔθηκαν ἐν ὑπερῴῳ. 38ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας πρὸς αὐτὸν παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. 39ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον, καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι καὶ ἐπιδεικνύμεναι χιτῶνας καὶ ἱμάτια ὅσα ἐποίει μετ' αὐτῶν οὖσα ἡ Δορκάς. 40ἐκβαλὼν δὲ ἔξω πάντας ὁ Πέτρος θεὶς τὰ γόνατα προσηύξατο, καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπε· Ταβιθά, ἀνάστηθι. ἡ δὲ ἤνοιξε

Iisus. 28Şi era cu ei intrând şi ieşind în Ierusalim şi vorbind cu îndrăzneală în numele Domnului Iisus. 29Şi vorbea şi se sfădea cu eleniştii, iar ei încercau să-l ucidă. 30Dar fraţii, aflând, l-au dus în Cezareea şi l-au trimis la Tars. 31Deci Bisericile din toată Iudeea şi Galileea şi Samaria aveau pace, zidindu-se şi umblând cu frica Domnului, şi, cu mângâierea Duhului Sfânt, sporeau.

Şi a fost că Petru, trecând pe la toţi, a coborât şi la sfinţii care locuiau în Lida. 33Şi a aflat acolo pe un om pe nume Enea, care de opt ani zăcea în pat, fiindcă era paralitic. 34Şi Petru i-a zis: Enea, te vindecă Iisus Hristos; ridică-te şi strânge-ţi patul, şi îndată s-a ridicat. 35Şi l-au văzut toţi cei ce locuiau în Lida şi în Saron, care s-au întors la Domnul.

Şi în Iope era o uceniţă, pe nume Tavita, care tâlcuindu-se se zice Căprioară; aceasta era plină de fapte bune şi de milosteniile pe care le făcea. 37Şi a fost în zilele acelea că s-a îmbolnăvit şi a murit; şi, scăldând-o, au pus-o în încăperea de sus. 38Şi fiind aproape Lida de Iope, ucenicii, auzind că Petru este acolo, au trimis doi bărbaţi la el, rugându-l să nu pregete să vină până la ei. 39Şi Petru, sculându-se, a venit împreună cu ei; când a sosit, l-au dus în încăperea de sus, şi au stat înaintea lui toate văduvele, plângând şi arătând cămăşile şi hainele câte le făcea Căprioara, pe când era cu ele. 40Şi Petru scoţându-i afară pe toţi, plecând genunchii, s-a rugat şi, întorcându-se către trup, a zis: Ta-

τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε. 41δοὺς δὲ αὐτῇ χεῖρα ἀνέστησεν αὐτήν, φωνήσας δὲ τοὺς ἁγίους καὶ τὰς χήρας παρέστησεν αὐτὴν ζῶσαν. 42γνωστὸν δὲ ἐγένετο καθ' ὅλης τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον. 43 Ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν Ἰόππῃ παρά τινι Σίμωνι βυρσεῖ.

vita, scoală-te! Iar ea şi-a deschis ochii şi, văzându-l pe Petru, s-a sculat în capul oaselor. 41Şi dându-i mâna, a ridicat-o şi, strigând pe sfinţi şi pe văduve, le-a dat-o vie. 42Şi s-a făcut cunoscută aceasta în întreaga Iope şi mulţi au crezut în Domnul. 43Şi el a rămas în Iope multe zile la un oarecare Simon tăbăcarul.

Κεφάλαιον Ι΄

Ἀνὴρ δέ τις ἐν Καισαρείᾳ ὀνόματι Κορνήλιος, ἑκατοντάρχης ἐκ σπείρης τῆς καλουμένης Ἰταλικῆς, 2εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν τε ἐλεημοσύνας πολλὰς τῷ λαῷ καὶ δεόμενος τοῦ Θεοῦ διὰ παντός, 3εἶδεν ἐν ὁράματι φανερῶς ὡσεὶ ὥραν ἐνάτην τῆς ἡμέρας ἄγγελον τοῦ Θεοῦ εἰσελθόντα πρὸς αὐτὸν καὶ εἰπόντα αὐτῷ· Κορνήλιε. 4ὁ δὲ ἀτενίσας αὐτῷ καὶ ἔμφοβος γενόμενος εἶπε· τί ἐστι, κύριε; εἶπε δὲ αὐτῷ· αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. 5καὶ νῦν πέμψον εἰς Ἰόππην ἄνδρας καὶ μετάπεμψαι Σίμωνα τὸν ἐπικαλούμενον Πέτρον· 6οὗτος ξενίζεται παρά τινι Σίμωνι βυρσεῖ, ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν. 7ὡς δὲ ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν αὐτοῦ καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ, 8καὶ ἐξηγησάμενος αὐτοῖς ἅπαντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην. 9Τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων καὶ τῇ πόλει ἐγγιζόντων ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύ-

Capitolul 10

Şi un om în Cezareea pe nume Corneliu, sutaş din cohorta numită Italica, 2binecinstitor şi temător de Dumnezeu cu toată casa lui, făcând milostenii multe poporului şi rugându-se lui Dumnezeu totdeauna, 3a văzut în vedenie, lămurit, cam pe la ceasul al nouălea al zilei, un înger al lui Dumnezeu, intrând la el şi zicându-i: Cornelie! 4Iar el, aţintindu-şi privirea spre acela şi înfricoşându-se, a zis: Ce este, Doamne? Şi i-a zis lui: Rugăciunile tale şi milosteniile tale s-au suit spre pomenire înaintea lui Dumnezeu. 5Şi acum, trimite la Iope bărbaţi şi cheamă-l pe Simon, cel numit Petru. 6Acesta este găzduit la un om oarecare Simon, tăbăcar, a cărui casă este lângă mare. 7Şi când a plecat îngerul care a vorbit cu Corneliu, strigând pe doi dintre slujitorii săi şi pe un ostaş binecinstitor din cei care îi stăteau adeseori în preajmă 8şi povestindu-le toate, i-a trimis la Iope. 9Iar a doua zi, pe când ei călătoreau şi se apropiau de cetate, s-a suit Petru pe acoperiş să se roage

ξασθαι περὶ ὥραν ἕκτην. 10ἐγένετο δὲ πρόσπεινος καὶ ἤθελε γεύσασθαι· παρασκευαζόντων δὲ ἐκείνων ἐπέπεσεν ἐπ᾽ αὐτὸν ἔκστασις, 11καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον καὶ καταβαῖνον ἐπ᾽ αὐτὸν σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδεμένον καὶ καθιέμενον ἐπὶ τῆς γῆς, 12ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ. 13καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε. 14ὁ δὲ Πέτρος εἶπε· μηδαμῶς, Κύριε· ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον. 15καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· ἃ ὁ Θεὸς ἐκαθάρισε σὺ μὴ κοίνου. 16τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν. 17Ὡς δὲ ἐν ἑαυτῷ διηπόρει ὁ Πέτρος τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδε, καὶ ἰδοὺ οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου διερωτήσαντες τὴν οἰκίαν Σίμωνος ἐπέστησαν ἐπὶ τὸν πυλῶνα, 18καὶ φωνήσαντες ἐπυνθάνοντο εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος ἐνθάδε ξενίζεται. 19τοῦ δὲ Πέτρου διενθυμουμένου περὶ τοῦ ὁράματος εἶπεν αὐτῷ τὸ Πνεῦμα· ἰδοὺ ἄνδρες τρεῖς ζητοῦσί σε· 20ἀλλὰ ἀναστὰς κατάβηθι καὶ πορεύου σὺν αὐτοῖς μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς. 21καταβὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας εἶπεν· ἰδοὺ ἐγώ εἰμι ὃν ζητεῖτε· τίς ἡ αἰτία δι᾽ ἣν πάρεστε; 22οἱ δὲ εἶπον· Κορνήλιος ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεόν, μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ. 23εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισε. Τῇ δὲ ἐπαύριον ἀναστὰς ἐξῆλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ τῆς Ἰόππης συνῆλθον αὐτῷ, 24καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν Καισάρειαν. ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτοὺς συγκαλεσάμενος τοὺς συγ-

pe la ceasul al şaselea. 10Şi i s-a făcut foame, şi voia să guste ceva; şi, pe când ei îi pregăteau, a căzut asupra lui extaz 11şi a văzut cerul deschis şi coborându-se peste el ceva ca o pânză mare, legată în patru colţuri şi lăsându-se pe pământ, 12în care erau toate animalele cu patru picioare ale pământului şi fiarele şi târâtoarele şi păsările cerului. 13Şi a fost glas către el: Scoală-te, Petre, junghie şi mănâncă. 14Iar Petru a zis: Nicidecum, Doamne; că niciodată n-am mâncat ceva spurcat sau necurat. 15Şi glasul iarăşi, a doua oară către el: Cele ce Dumnezeu a curăţit, tu să nu le spurci. 16Şi aceasta s-a făcut de trei ori, şi s-a ridicat acel lucru înapoi la cer. 17Şi pe când Petru era nedumerit întru sine ce ar putea să fie vedenia pe care o văzuse, iată, bărbaţii trimişi de Corneliu, întrebând de casa lui Simon, au stat la poartă 18şi, strigând, au întrebat dacă Simon, cel numit Petru, este găzduit acolo. 19Şi în timp ce Petru se gândea la vedenie, Duhul i-a zis: Iată, trei bărbaţi te caută; 20ci sculându-te, coboară şi mergi împreună cu ei, de nimic îndoindu-te, fiindcă Eu i-am trimis. 21Şi coborând Petru la bărbaţii aceia, a zis: Iată, eu sunt cel pe care îl căutaţi; care este pricina pentru care sunteţi aici? 22Iar ei au zis: Corneliu sutaşul, om drept şi temător de Dumnezeu şi având mărturie de la tot neamul iudeilor, a fost înştiinţat de un înger sfânt să trimită după tine şi să te cheme la casa lui şi să audă cuvinte de la tine. 23Deci, chemându-i pe ei înăuntru, i-a găzduit. Şi a doua zi, sculându-se, a ieşit împreună cu ei, şi unii dintre fraţii cei din Iope au venit împreună cu el. 24Şi a doua zi au intrat în Cezareea. Iar Corneliu îi aştepta

γενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους.
25 Ὡς δὲ ἐγένετο τοῦ εἰσελθεῖν τὸν Πέτρον,
συναντήσας αὐτῷ ὁ Κορνήλιος πεσὼν ἐπὶ
τοὺς πόδας προσεκύνησεν. 26ὁ δὲ Πέτρος
αὐτὸν ἤγειρε λέγων· ἀνάστηθι· κἀγὼ αὐτὸς
ἄνθρωπός εἰμι. 27καὶ συνομιλῶν αὐτῷ εἰσ-
ῆλθε, καὶ εὑρίσκει συνεληλυθότας πολλούς,
28ἔφη τε πρὸς αὐτούς· ὑμεῖς ἐπίστασθε ὡς
ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἢ
προσέρχεσθαι ἀλλοφύλῳ· καὶ ἐμοὶ ὁ Θεὸς
ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν
ἄνθρωπον· 29διὸ καὶ ἀναντιρρήτως ἦλθον
μεταπεμφθείς. πυνθάνομαι οὖν τίνι λόγῳ με-
τεπέμψασθέ με; 30καὶ ὁ Κορνήλιος ἔφη· ἀπὸ
τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην
νηστεύων, καὶ τὴν ἐνάτην ὥραν προσευχό-
μενος ἐν τῷ οἴκῳ μου· καὶ ἰδοὺ ἀνὴρ ἔστη
ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ, 31καί φησι·
Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχὴ καὶ
αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ
Θεοῦ. 32πέμψον οὖν εἰς Ἰόππην καὶ μετακά-
λεσαι Σίμωνα ὃς ἐπικαλεῖται Πέτρος· οὗτος
ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ
θάλασσαν· ὃς παραγενόμενος λαλήσει σοι.
33ἐξαυτῆς οὖν ἔπεμψα πρὸς σέ, σύ τε καλῶς
ἐποίησας παραγενόμενος. νῦν οὖν πάντες
ἡμεῖς ἐνώπιον τοῦ Θεοῦ πάρεσμεν ἀκοῦσαι
πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ.

Ἀνοίξας δὲ Πέτρος τὸ στόμα αὐτοῦ εἶπεν·
ἐπ' ἀληθείας καταλαμβάνομαι ὅτι οὐκ
ἔστι προσωπολήπτης ὁ Θεός, 35ἀλλ' ἐν παντὶ
ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος
δικαιοσύνην δεκτὸς αὐτῷ ἐστι. 36τὸν Λόγον
ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ εὐαγγελι-
ζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ· οὗτός
ἐστι πάντων Κύριος· 37ὑμεῖς οἴδατε τὸ γενό-
μενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξά-
μενον ἀπὸ τῆς Γαλιλαίας μετὰ τὸ βάπτισμα
ὃ ἐκήρυξεν Ἰωάννης, 38Ἰησοῦν τὸν ἀπὸ Να-

şi chemase rudeniile sale şi prietenii cei
mai de nădejde. 25Şi când a intrat Petru,
întâmpinându-l Corneliu şi căzând la pi-
cioarele lui, i s-a închinat. 26Iar Petru l-a
ridicat, zicând: Scoală-te! Şi eu sunt om.
27Şi, vorbind cu el, a intrat şi a aflat pe
mulţi adunaţi. 28Şi a zis către ei: Voi ştiţi
că un bărbat iudeu este oprit de Lege să
se alipească sau să se apropie de cel de alt
neam; dar mie Dumnezeu mi-a arătat să
nu numesc pe nici un om spurcat sau ne-
curat. 29De aceea, chemat fiind să vin, am
venit fără împotrivire. Deci întreb: Pen-
tru care pricină aţi trimis după mine? 30Şi
Corneliu a zis: Acum patru zile posteam
până la vremea aceasta şi mă rugam la
ceasul al nouălea în casa mea; şi iată un
bărbat a stat în faţa mea în veşmânt strălu-
citor 31şi a zis: Corneliu, s-a auzit rugăciu-
nea ta şi milosteniile tale au fost pomeni-
te înaintea lui Dumnezeu. 32Deci, trimite
la Iope şi cheamă pe Simon, cel ce se nu-
meşte Petru; acesta este găzduit în casa
lui Simon tăbăcarul, lângă mare; care, ve-
nind, îţi va vorbi. 33Deci îndată am trimis
la tine şi tu bine ai făcut venind. Acum,
dar, noi toţi suntem de faţă înaintea lui
Dumnezeu, ca să ascultăm toate cele po-
runcite ţie de Dumnezeu.

Iar Petru, deschizându-şi gura, a zis: Cu
adevărat înţeleg că Dumnezeu nu este
părtinitor, 35ci, în tot neamul, cel ce se
teme de El şi lucrează dreptatea este pri-
mit de El. 36Cuvântul pe care l-a trimis
fiilor lui Israel, binevestind pacea prin
Iisus Hristos; Acesta este Domnul tutu-
ror. 37Voi ştiţi cuvântul care a fost în toată
Iudeea, începând din Galileea, după bote-
zul pe care l-a propovăduit Ioan, 38pe Iisus
din Nazaret, cum L-a uns pe El Dumnezeu

ζαρέτ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι
Ἁγίῳ καὶ δυνάμει, ὃς διῆλθεν εὐεργετῶν καὶ
ἰώμενος πάντας τοὺς καταδυναστευομένους
ὑπὸ τοῦ διαβόλου, ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ·
39καὶ ἡμεῖς ἐσμεν μάρτυρες πάντων ὧν ἐποί-
ησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ ἐν Ἰε-
ρουσαλήμ· ὃν καὶ ἀνεῖλον κρεμάσαντες ἐπὶ
ξύλου. 40τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέ-
ρᾳ καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι, 41οὐ
παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχει-
ροτονημένοις ὑπὸ τοῦ Θεοῦ, ἡμῖν, οἵτινες
συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ
ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν· 42καὶ παρήγγει-
λεν ἡμῖν κηρῦξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι
ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ
κριτὴς ζώντων καὶ νεκρῶν. 43τούτῳ πάντες
οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν
λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν
πιστεύοντα εἰς αὐτόν.

Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα
ἐπέπεσε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπὶ πάντας
τοὺς ἀκούοντας τὸν λόγον. 45καὶ ἐξέστησαν
οἱ ἐκ περιτομῆς πιστοὶ ὅσοι συνῆλθον τῷ Πέ-
τρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ Ἁγίου
Πνεύματος ἐκκέχυται· 46ἤκουον γὰρ αὐτῶν
λαλούντων γλώσσαις καὶ μεγαλυνόντων τὸν
Θεόν. 47τότε ἀπεκρίθη ὁ Πέτρος· μήτι τὸ ὕδωρ
κωλῦσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι
τούτους, οἵτινες τὸ Πνεῦμα τὸ Ἅγιον ἔλαβον
καθὼς καὶ ἡμεῖς; 48προσέταξέ τε αὐτοὺς βα-
πτισθῆναι ἐν τῷ ὀνόματι τοῦ Κυρίου. τότε
ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς.

cu Duhul Sfânt şi cu putere, Care a străbătut ţinuturile făcând bine şi vindecând pe toţi cei asupriţi de diavolul, pentru că Dumnezeu era cu El; 39şi noi suntem martorii tuturor celor pe care le-a făcut şi în ţara iudeilor şi în Ierusalim; pe Care L-au şi omorât, spânzurându-L pe lemn. 40Pe acesta Dumnezeu L-a înviat a treia zi şi I-a dat să Se facă arătat, 41nu la tot poporul, ci nouă, martorilor celor mai înainte rânduiţi de Dumnezeu, care am mâncat şi am băut cu El, după ce a înviat din morţi. 42Şi ne-a poruncit să propovăduim poporului şi să mărturisim că El este Cel rânduit de Dumnezeu judecător al celor vii şi al celor morţi. 43Despre Acesta toţi proorocii dau mărturie, că tot cel ce crede în El va primi iertarea păcatelor, prin numele Lui.

Încă grăind Petru aceste cuvinte, a căzut Duhul Sfânt peste toţi cei care ascultau cuvântul. 45Şi au fost cuprinşi de uimire credincioşii cei cu tăiere-împrejur, câţi veniseră cu Petru, pentru că darul Duhului Sfânt s-a vărsat şi peste neamuri; 46căci îi auzeau pe ei grăind în limbi şi mărind pe Dumnezeu. 47Atunci a răspuns Petru: Poate cineva să oprească apa, ca să nu se boteze aceştia care au primit Duhul Sfânt ca şi noi? 48Şi a poruncit ca aceştia să se boteze în numele Domnului. Atunci l-au rugat să rămână la ei câteva zile.

Κεφάλαιον ΙΑ΄

Capitolul 11

Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ. 2καὶ ὅτε ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς 3λέγοντες ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθες καὶ συνέφαγες αὐτοῖς. 4ἀρξάμενος δὲ ὁ Πέτρος ἐξετίθετο αὐτοῖς καθεξῆς λέγων· 5ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος, καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνον σκεῦός τι ὡς ὀθόνην μεγάλην τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ· 6εἰς ἣν ἀτενίσας κατενόουν, καὶ εἶδον τὰ τετράποδα τῆς γῆς καὶ τὰ θηρία καὶ τὰ ἑρπετὰ καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ. 7ἤκουσα δὲ φωνῆς λεγούσης μοι· ἀναστάς, Πέτρε, θῦσον καὶ φάγε. 8εἶπον δέ· μηδαμῶς, Κύριε· ὅτι πᾶν κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου. 9ἀπεκρίθη δέ μοι φωνὴ ἐκ δευτέρου ἐκ τοῦ οὐρανοῦ· ἃ ὁ Θεὸς ἐκαθάρισε σὺ μὴ κοίνου. 10τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν. 11καὶ ἰδοὺ ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με. 12εἶπε δέ μοι τὸ Πνεῦμα συνελθεῖν αὐτοῖς μηδὲν διακρινόμενον. ἦλθον δὲ σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι, καὶ εἰσήλθομεν εἰς τὸν οἶκον τοῦ ἀνδρός. 13ἀπήγγειλέ τε ἡμῖν πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα αὐτῷ· ἀπόστειλον εἰς Ἰόππην ἄνδρας καὶ μετάπεμψαι Σίμωνα τὸν

Și au auzit apostolii şi fraţii care erau prin Iudeea că şi neamurile au primit cuvântul lui Dumnezeu. 2Şi când s-a suit Petru în Ierusalim, îl judecau cei cu tăiere-împrejur, 3zicându-i: La bărbaţi netăiaţi împrejur ai intrat şi ai mâncat împreună cu ei. 4Şi începând, Petru le-a înfăţişat rând pe rând, zicând: 5Eu eram în cetatea Iope, rugându-mă, şi, în extaz, am văzut vedenie, ceva coborând ca o pânză mare, în patru colţuri, lăsându-se în jos din cer, şi a venit până la mine; 6spre care, aţintindu-mi privirea, luam seama; şi am văzut animalele pământului cele cu patru picioare şi fiarele şi târâtoarele şi păsările cerului. 7Şi am auzit glas, zicându-mi: Scoală-te, Petre, junghie şi mănâncă. 8Şi am zis: Nicidecum, Doamne; că nimic spurcat sau necurat n-a intrat vreodată în gura mea. 9Şi mi-a răspuns glasul a doua oară din cer: Cele ce Dumnezeu a curăţit, tu să nu le spurci. 10Şi aceasta s-a făcut de trei ori, şi iarăşi s-au tras toate în cer. 11Şi iată, îndată, trei bărbaţi au venit la casa în care eram, trimişi din Cezareea la mine. 12Şi mi-a zis Duhul să merg împreună cu ei, de nimic îndoindu-mă. Şi au venit împreună cu mine şi aceşti şase fraţi şi am intrat în casa bărbatului; 13şi el ne-a vestit nouă cum a văzut îngerul în casa lui stând şi zicându-i: Trimite la Iope bărbaţi şi cheamă-l pe Simon, cel numit şi Petru, 14care

ἐπικαλούμενον Πέτρον, 14ὃς λαλήσει ῥήματα
πρὸς σέ, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός
σου. 15ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν ἐπέπεσε
τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ' αὐτοὺς ὥσπερ καὶ
ἐφ' ἡμᾶς ἐν ἀρχῇ. 16ἐμνήσθην δὲ τοῦ ῥήματος
Κυρίου ὡς ἔλεγεν· Ἰωάννης μὲν ἐβάπτισεν
ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι
Ἁγίῳ. 17εἰ οὖν τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς
ὁ Θεὸς ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν Κύριον
Ἰησοῦν Χριστόν, ἐγὼ δὲ τίς ἤμην δυνατὸς
κωλῦσαι τὸν Θεόν; 18ἀκούσαντες δὲ ταῦτα
ἡσύχασαν καὶ ἐδόξαζον τὸν Θεὸν λέγοντες·
ἄρα γε καὶ τοῖς ἔθνεσιν ὁ Θεὸς τὴν μετάνοιαν
ἔδωκεν εἰς ζωήν.

Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως
τῆς γενομένης ἐπὶ Στεφάνῳ διῆλθον ἕως
Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ
λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις.
20Ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι
καὶ Κυρηναῖοι, οἵτινες εἰσελθόντες εἰς Ἀντι-
όχειαν ἐλάλουν πρὸς τοὺς Ἑλληνιστάς, εὐαγ-
γελιζόμενοι τὸν Κύριον Ἰησοῦν. 21καὶ ἦν χεὶρ
Κυρίου μετ' αὐτῶν, πολύς τε ἀριθμὸς πιστεύ-
σας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον. 22Ἠκούσθη
δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς ἐν
Ἱεροσολύμοις περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν
Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας· 23ὃς πα-
ραγενόμενος καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ
ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει
τῆς καρδίας προσμένειν τῷ Κυρίῳ, 24ὅτι ἦν
ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος Ἁγίου
καὶ πίστεως· καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ
Κυρίῳ. 25ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας
ἀναζητῆσαι Σαῦλον, καὶ εὑρὼν αὐτὸν ἤγαγεν
αὐτὸν εἰς Ἀντιόχειαν. 26ἐγένετο δὲ αὐτοὺς ἐνι-
αυτὸν ὅλον συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ καὶ
διδάξαι ὄχλον ἱκανόν, χρηματίσαι τε πρῶτον
ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς. 27Ἐν
ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱερο-
σολύμων προφῆται εἰς Ἀντιόχειαν· 28ἀναστὰς

va grăi către tine cuvinte întru care te vei
mântui tu şi toată casa ta. 15Şi când am
început să vorbesc, a căzut Duhul Sfânt
peste ei, ca şi peste noi la început. 16Şi
mi-am adus aminte de cuvântul Domnu-
lui, când zicea: Ioan a botezat în apă, voi
însă vă veţi boteza în Duh Sfânt. 17Deci,
dacă Dumnezeu le-a dat lor acelaşi dar ca
şi nouă, crezând în Domnul Iisus Hristos,
cine eram eu să-L pot împiedica pe Dum-
nezeu? 18Şi auzind acestea, s-au liniştit şi
L-au slăvit pe Dumnezeu, zicând: Aşadar
şi neamurilor le-a dat Dumnezeu pocăin-
ţa spre viaţă.

Deci cei care se risipiseră din pricina
strâmtorării făcute cu Ştefan au trecut
până în Fenicia şi în Cipru şi în Antiohia,
nimănui grăind cuvântul, decât numai iu-
deilor. 20Însă erau unii dintre ei, bărbaţi
ciprioţi şi cirineni, care, intrând în Antio-
hia, grăiau către elenişti, binevestind pe
Domnul Iisus. 21Şi era mâna Domnului cu
ei, şi era mare numărul celor care au cre-
zut şi s-au întors la Domnul. 22Şi s-a auzit
cuvântul despre ei la urechile Bisericii ce-
lei din Ierusalim, şi au trimis pe Barnaba
să meargă până la Antiohia; 23care, ve-
nind şi văzând harul lui Dumnezeu, s-a
bucurat, şi îi îndemna pe toţi să rămână
în Domnul cu dăruirea inimii; 24pentru
că era bărbat bun şi plin de Duh Sfânt şi
de credinţă. Şi s-a adăugat mulţime multă
Domnului. 25Şi a ieşit Barnaba spre Tars,
ca să-l caute pe Saul, şi aflându-l, l-a dus
la Antiohia. 26Şi vreme de un an s-au adu-
nat ei în Biserică şi au învăţat mulţime ma-
re. Şi pentru prima dată în Antiohia uce-
nicii s-au numit creştini. 27Şi în aceste zile
s-au coborât de la Ierusalim prooroci în
Antiohia; 28şi ridicându-se unul dintre ei

δὲ εἷς ἐξ αὐτῶν ὀνόματι Ἄγαβος ἐσήμανε διὰ τοῦ Πνεύματος λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος. 29τῶν δὲ μαθητῶν καθὼς ηὐπορεῖτό τις, ὥρισαν ἕκαστος αὐτῶν εἰς διακονίαν πέμψαι τοῖς κατοικοῦσιν ἐν τῇ Ἰουδαίᾳ ἀδελφοῖς· 30ὃ καὶ ἐποίησαν ἀποστείλαντες πρὸς τοὺς πρεσβυτέρους διὰ χειρὸς Βαρνάβα καὶ Σαύλου.

cu numele Agav, a însemnat prin Duhul că foamete mare are să fie în toată lumea, care a şi fost în zilele Cezarului Claudiu. 29Şi dintre ucenici, au hotărât ca fiecare dintre ei, după cât era de înstărit, să trimită spre slujirea fraţilor care locuiau în Iudeea; 30ceea ce au şi făcut, trimiţându-le preoţilor prin mâna lui Barnaba şi a lui Saul.

Κεφάλαιον ΙΒ΄

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. 2ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. 3καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον· ἦσαν δὲ αἱ ἡμέραι τῶν ἀζύμων· 4ὃν καὶ πιάσας ἔθετο εἰς φυλακήν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν, βουλόμενος μετὰ τὸ πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ. 5ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευχὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ.

Ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρῴδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν δεδεμένος ἁλύσεσι δυσί, φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. 7καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου ἤγειρεν αὐτὸν λέγων· ἀνάστα ἐν τάχει. καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. 8εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου. ἐποίησε δὲ οὕτω. καὶ λέγει αὐτῷ·

Capitolul 12

Şi în vremea aceea, împăratul Irod a pus mâna pe unii dintre cei din Biserică, să le facă rău. 2Şi a ucis cu sabia pe Iacov, fratele lui Ioan. 3Şi văzând că este bineplăcut iudeilor, a mai luat şi pe Petru; şi erau zilele Azimelor; 4pe care şi prinzându-l, l-a pus în temniţă, dându-l la patru străji de câte patru ostaşi, să-l păzească, vrând ca după Paşti să-l scoată poporului. 5Deci Petru era păzit în temniţă; şi se făcea rugăciune stăruitoare către Dumnezeu pentru el de către Biserică.

Şi când Irod avea să-l scoată afară, în noaptea aceea, Petru dormea între doi ostaşi, legat cu două lanţuri, iar paznicii înaintea porţii păzeau temniţa. 7Şi iată, un înger al Domnului a venit şi lumină a strălucit în încăpere; şi lovind coasta lui Petru, l-a sculat, zicând: Ridică-te degrabă! Şi i-au căzut lui lanţurile de la mâini. 8Şi a zis îngerul către el: Încinge-te şi încalţă-te cu sandalele. Şi el a făcut aşa. Şi i-a zis lui: Îmbracă-ţi haina şi urmează-mi.

περιβαλοῦ τὸ ἱμάτιόν σου καὶ ἀκολούθει μοι. 9καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου, ἐδόκει δὲ ὅραμα βλέπειν. 10διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς, καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ᾽ αὐτοῦ. 11καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ εἶπε· νῦν οἶδα ἀληθῶς ὅτι ἐξαπέστειλε Κύριος τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρῴδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων. 12συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου τοῦ ἐπικαλουμένου Μάρκου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι. 13κρούσαντος δὲ αὐτοῦ τὴν θύραν τοῦ πυλῶνος προσῆλθε παιδίσκη ὑπακοῦσαι ὀνόματι Ῥόδη, 14καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα, εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος. 15οἱ δὲ πρὸς αὐτὴν εἶπον· μαίνῃ. ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν. οἱ δὲ ἔλεγον· ὁ ἄγγελος αὐτοῦ ἐστιν. 16ὁ δὲ Πέτρος ἐπέμενε κρούων. ἀνοίξαντες δὲ εἶδον αὐτὸν καὶ ἐξέστησαν. 17κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾶν διηγήσατο αὐτοῖς πῶς ὁ Κύριος ἐξήγαγεν αὐτὸν ἐκ τῆς φυλακῆς, εἶπε δέ· ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον. 18Γενομένης δὲ ἡμέρας ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο. 19Ἡρῴδης δὲ ἐπιζητήσας αὐτὸν καὶ μὴ εὑρών, ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι, καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν διέτριβεν.

Ἦν δὲ Ἡρῴδης θυμομαχῶν Τυρίοις καὶ Σιδωνίοις· ὁμοθυμαδὸν τε παρῆσαν πρὸς αὐτόν, καὶ πείσαντες Βλάστον τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως ᾐτοῦντο εἰρήνην, διὰ

9Şi ieşind, îl urma; şi nu ştia că este adevărat ce se făcea prin înger, ci i se părea că vede vedenie. 10Şi trecând de straja întâi şi de a doua, au venit la poarta cea de fier care duce în cetate, care li s-a deschis de la sine. Şi ieşind, au trecut o uliţă şi îndată îngerul s-a îndepărtat de la el. 11Şi Petru, venindu-şi în sine, a zis: Acum ştiu cu adevărat că l-a trimis Domnul pe îngerul Său şi m-a scos din mâna lui Irod şi din tot ce aştepta poporul iudeilor. 12Şi dându-şi seama de cele întâmplate, a venit la casa Mariei, mama lui Ioan, cel numit Marcu, unde erau mulţi adunaţi şi se rugau. 13Şi bătând el la uşa de la poartă, a venit o slujnică pe nume Rodi, ca să asculte; 14şi, cunoscând glasul lui Petru, de bucurie nu a deschis poarta, ci, alergând înăuntru, a vestit că Petru stă înaintea porţii. 15Iar ei au zis către ea: Eşti nebună! Dar ea întărea că aşa este. Iar ei ziceau: Este îngerul lui. 16Dar Petru stăruia bătând. Şi deschizându-i, l-au văzut şi au fost cuprinşi de uimire. 17Şi făcându-le semn cu mâna să tacă, le-a povestit cum l-a scos Domnul din temniţă. Şi a zis: Vestiţi acestea lui Iacov şi fraţilor. Şi ieşind, s-a dus în alt loc. 18Şi făcându-se ziuă, nu puţină a fost tulburarea între ostaşi: Ce s-a întâmplat, oare, cu Petru? 19Iar Irod, cerându-l şi neaflându-l, cercetându-i pe paznici, a poruncit să fie ucişi. Şi el, coborând din Iudeea la Cezareea, petrecea acolo.

Şi Irod era mânios pe cei din Tir şi Sidon; şi ei într-un cuget au venit la el şi înduplecându-l pe Vlast, cel peste iatacul împăratului, cereau pace, pentru că

τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς. 21τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρῴδης ἐνδυσάμενος ἐσθῆτα βασιλικὴν καὶ καθίσας ἐπὶ τοῦ βήματος ἐδημηγόρει πρὸς αὐτούς. 22ὁ δὲ δῆμος ἐπεφώνει· Θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώπου. 23παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος Κυρίου ἀνθ' ὧν οὐκ ἔδωκε τὴν δόξαν τῷ Θεῷ, καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξεν. 24Ὁ δὲ λόγος τοῦ Θεοῦ ηὔξανε καὶ ἐπληθύνετο. 25Βαρνάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν ἐξ Ἰερουσαλὴμ πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες καὶ Ἰωάννην τὸν ἐπικληθέντα Μᾶρκον.

ținutul lor se hrănea din cel al împăratului. 21Şi într-o zi anume, Irod, îmbrăcându-se în veşmânt împărătesc şi şezând la tribună, cuvânta către ei; 22iar poporul striga: Glas dumnezeiesc şi nu omenesc! 23Şi îndată un înger al Domnului l-a lovit, ca plată pentru că nu a dat slavă lui Dumnezeu, şi fiind mâncat de viermi, şi-a dat sufletul. 24Şi cuvântul lui Dumnezeu creştea şi se înmulţea. 25Iar Barnaba şi Saul, împlinindu-şi slujirea, s-au întors de la Ierusalim, luând cu sine şi pe Ioan, cel numit Marcu.

Κεφάλαιον ΙΓ΄

Ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ τε Βαρνάβας καὶ Συμεὼν ὁ ἐπικαλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρῴδου τοῦ τετράρχου σύντροφος καὶ Σαῦλος. 2λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων εἶπε τὸ Πνεῦμα τὸ Ἅγιον· ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς. 3τότε νηστεύσαντες καὶ προσευξάμενοι καὶ ἐπιθέντες αὐτοῖς τὰς χεῖρας ἀπέλυσαν.

Οὗτοι μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου κατῆλθον εἰς τὴν Σελεύκειαν, ἐκεῖθέν τε ἀπέπλευσαν εἰς τὴν Κύπρον, 5καὶ γενόμενοι ἐν Σαλαμῖνι κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων· εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην. 6Διελθόντες δὲ τὴν νῆσον ἄχρι Πάφου εὗρόν τινα μάγον ψευδοπροφήτην

Capitolul 13

Şi erau în Biserica cea din Antiohia unii prooroci şi învăţători: Barnaba şi Simeon, cel numit Niger, şi Luciu Cirineanul, Manain, cel crescut împreună cu Irod tetrarhul, şi Saul. 2Şi slujind ei Domnului şi postind, a zis Duhul Sfânt: Osebiţi-Mi, dar, pe Barnaba şi pe Saul, pentru lucrul la care i-am chemat. 3Atunci, postind şi rugându-se, punându-şi mâinile peste ei, i-au slobozit.

Deci, aceştia, trimişi de Duhul Sfânt, au coborât în Seleucia şi de acolo au mers pe mare în Cipru. 5Şi ajungând în Salamina, au vestit cuvântul lui Dumnezeu în sinagogile iudeilor; şi îl aveau şi pe Ioan slujitor. 6Şi străbătând insula până la Pafos, au aflat un mag, prooroc mincinos, iudeu, al cărui nume era Bariisus, 7care

Ἰουδαῖον ᾧ ὄνομα Βαριησοῦς, 7ὃς ἦν σὺν τῷ
ἀνθυπάτῳ Σεργίῳ Παύλῳ, ἀνδρὶ συνετῷ. οὗ-
τος προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦ-
λον ἐπεζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ Θε-
οῦ· 8ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας ὁ μάγος
–οὕτω γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ–
ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς
πίστεως. 9Σαῦλος δέ, ὁ καὶ Παῦλος, πλησθεὶς
Πνεύματος Ἁγίου καὶ ἀτενίσας πρὸς αὐτὸν
εἶπεν· 10ὦ πλήρης παντὸς δόλου καὶ πάσης
ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δι-
καιοσύνης, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς
Κυρίου τὰς εὐθείας; 11καὶ νῦν ἰδοὺ χεὶρ Κυ-
ρίου ἐπὶ σέ, καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν
ἥλιον ἄχρι καιροῦ. παραχρῆμα δὲ ἔπεσεν ἐπ'
αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζή-
τει χειραγωγούς. 12τότε ἰδὼν ὁ ἀνθύπατος τὸ
γεγονὸς ἐπίστευσεν, ἐκπλησσόμενος ἐπὶ τῇ
διδαχῇ τοῦ Κυρίου.

Ἀναχθέντες δὲ ἀπὸ τῆς Πάφου οἱ περὶ τὸν
Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας·
Ἰωάννης δὲ ἀποχωρήσας ἀπ' αὐτῶν ὑπέστρε-
ψεν εἰς Ἱεροσόλυμα. 14Αὐτοὶ δὲ διελθόντες ἀπὸ
τῆς Πέργης παρεγένοντο εἰς Ἀντιόχειαν τῆς
Πισιδίας, καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν
τῇ ἡμέρᾳ τῶν σαββάτων ἐκάθισαν. 15μετὰ δὲ
τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν
ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς
λέγοντες· ἄνδρες ἀδελφοί, εἰ ἔστι λόγος ἐν ὑμῖν
παρακλήσεως πρὸς τὸν λαόν, λέγετε. 16ἀνα-
στὰς δὲ Παῦλος καὶ κατασείσας τῇ χειρὶ εἶπεν·
ἄνδρες Ἰσραηλῖται καὶ οἱ φοβούμενοι τὸν
Θεόν, ἀκούσατε. 17ὁ Θεὸς τοῦ λαοῦ τούτου
Ἰσραὴλ ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν
λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν γῇ Αἰγύπτῳ,
καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς
ἐξ αὐτῆς, 18καὶ ὡς τεσσαρακονταετῆ χρόνον
ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ, 19καὶ κα-
θελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν κατεκληρονό-

era împreună cu proconsulul Sergius Pau-
lus, bărbat înțelept. Acesta, chemându-i la
sine pe Barnaba şi pe Saul, era dornic să
audă cuvântul lui Dumnezeu; 8dar li se îm-
potrivea Elimas magul – căci aşa se tâlcu-
ieşte numele lui – căutând să-l întoarcă pe
proconsul de la credință. 9Iar Saul – care
se numea şi Pavel – umplându-se de Duh
Sfânt şi privind către el, a zis: 10O, tu cel
plin de tot vicleşugul şi de toată înşelăciu-
nea, fiule al diavolului, vrăjmaşule a toa-
tă dreptatea, nu vei înceta să strâmbi că-
ile Domnului cele drepte? 11Şi acum, iată,
mâna Domnului asupra ta şi vei fi orb, ne-
văzând soarele până la o vreme. Şi îndată
a căzut peste el pâclă şi întuneric şi, um-
blând împrejur, căuta cine să-l ducă de
mână. 12Atunci proconsulul, văzând cele
întâmplate, a crezut, minunându-se de în-
vățătura Domnului.

Şi plecând pe mare de la Pafos, cei dim-
preună cu Pavel au venit la Perga Pam-
filiei. Iar Ioan, despărțindu-se de ei, s-a în-
tors la Ierusalim. 14Iar ei, trecând de la
Perga, au ajuns la Antiohia Pisidiei şi, in-
trând în sinagogă, în ziua sâmbetei, au şe-
zut. 15Şi după citirea Legii şi a Proorocilor,
au trimis mai-marii sinagogii la ei, zicând:
Bărbați frați, dacă este în voi cuvânt de
mângâiere către popor, grăiți. 16Şi, sculân-
du-se Pavel şi făcându-le semn cu mâna,
a zis: Bărbați israeliteni şi cei temători de
Dumnezeu, ascultați: 17Dumnezeul acestui
popor al lui Israel i-a ales pe părinții noştri
şi a înălțat poporul în timpul înstrăinării
din pământul Egiptului, şi cu braț înalt i-a
scos din el, 18şi vreme ca de patruzeci de
ani le-a răbdat purtările în pustie, 19şi, ni-
micind şapte neamuri în pământul Canaa-
nului, le-a dat lor moştenire pământul ace-

μησεν αὐτοῖς τὴν γῆν αὐτῶν. 20καὶ μετὰ ταῦτα
ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα ἔδωκε
κριτὰς ἕως Σαμουὴλ τοῦ προφήτου. 21κἀκεῖθεν
ᾐτήσαντο βασιλέα, καὶ ἔδωκεν αὐτοῖς ὁ Θεὸς
τὸν Σαοὺλ υἱὸν Κίς, ἄνδρα ἐκ φυλῆς Βενιαμίν,
ἔτη τεσσαράκοντα· 22καὶ μεταστήσας αὐτὸν
ἤγειρεν αὐτοῖς τὸν Δαυῒδ εἰς βασιλέα, ᾧ καὶ
εἶπε μαρτυρήσας· *εὗρον Δαυῒδ τὸν τοῦ Ἰεσσαί,*
ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάν-
τα τὰ θελήματά μου. 23τούτου ὁ Θεὸς ἀπὸ
τοῦ σπέρματος κατ᾽ ἐπαγγελίαν ἤγαγε τῷ
Ἰσραὴλ σωτηρίαν, 24προκηρύξαντος Ἰωάν-
νου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτι-
σμα μετανοίας παντὶ τῷ λαῷ Ἰσραήλ. 25ὡς δὲ
ἐπλήρου ὁ Ἰωάννης τὸν δρόμον, ἔλεγε· τίνα με
ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγώ, ἀλλ᾽ ἰδοὺ ἔρχε-
ται μετ᾽ ἐμὲ οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν
ποδῶν λῦσαι. 26Ἄνδρες ἀδελφοί, υἱοὶ γένους
Ἀβραὰμ καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεόν,
ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη.
27οἱ γὰρ κατοικοῦντες ἐν Ἰερουσαλὴμ καὶ οἱ
ἄρχοντες αὐτῶν τοῦτον ἀγνοήσαντες, καὶ τὰς
φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον
ἀναγινωσκομένας κρίναντες ἐπλήρωσαν, 28καὶ
μηδεμίαν αἰτίαν θανάτου εὑρόντες ᾐτήσαντο
Πιλᾶτον ἀναιρεθῆναι αὐτόν. 29ὡς δὲ ἐτέλεσαν
πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόν-
τες ἀπὸ τοῦ ξύλου ἔθηκαν εἰς μνημεῖον. 30ὁ
δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· 31ὃς ὤφθη
ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ
ἀπὸ τῆς Γαλιλαίας εἰς Ἰερουσαλήμ, οἵτινές
εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. 32καὶ
ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς
πατέρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ
Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν, ἡμῖν,
ἀναστήσας Ἰησοῦν, 33ὡς καὶ ἐν τῷ ψαλμῷ τῷ
δευτέρῳ γέγραπται· *υἱός μου εἶ σύ, ἐγὼ σήμε-*
ρον γεγέννηκά σε. 34ὅτι δὲ ἀνέστησεν αὐτὸν
ἐκ νεκρῶν μηκέτι μέλλοντα ὑποστρέφειν εἰς
διαφθοράν, οὕτως εἴρηκεν, ὅτι *δώσω ὑμῖν*

lora. 20Şi după acestea, vreme ca de patru
sute cincizeci de ani, le-a dat judecători,
până la Samuel proorocul. 21Şi după aceea
au cerut împărat şi le-a dat lor Dumnezeu
pe Saul, fiul lui Chiş, bărbat din seminţia
lui Veniamin, vreme de patruzeci de ani.
22Şi înlăturându-l pe acesta, le-a ridicat
lor împărat pe David, despre care a şi zis,
mărturisind: *Aflat-am pe David al lui Ie-*
sei, bărbat după inima Mea, care va face
toate voile Mele. 23Din sămânţa acestuia,
Dumnezeu, după făgăduinţă, i-a adus lui
Israel mântuirea, 24propovăduind Ioan
botezul pocăinţei, înaintea venirii Lui, la
tot poporul lui Israel. 25Iar pe când îşi îm-
plinea Ioan calea sa, zicea: Cine mă soco-
tiţi a fi? Nu sunt eu, dar, iată, vine după
mine Cel căruia nu sunt vrednic să-I dez-
leg încălţămintea picioarelor. 26Bărbaţi
fraţi, fii din neamul lui Avraam şi cei din-
tre voi temători de Dumnezeu, vouă vi s-a
trimis cuvântul acestei mântuiri. 27Căci cei
ce locuiesc în Ierusalim şi căpeteniile lor,
necunoscându-L şi judecându-L, au împli-
nit glasurile proorocilor care se citesc în
fiecare sâmbătă; 28şi, neaflând nici o vină
de moarte, i-au cerut lui Pilat să-L omoare.
29Iar când au săvârşit toate cele scrise des-
pre El, coborându-L de pe lemn, L-au pus
în mormânt. 30Dar Dumnezeu L-a sculat
din morţi; 31Acesta S-a arătat mai multe
zile celor ce s-au suit împreună cu El din
Galileea la Ierusalim, care sunt martori ai
Lui către popor. 32Şi noi vă binevestim fă-
găduinţa făcută către părinţi, că pe aceas-
ta a împlinit-o fiilor lor, nouă, înviindu-L
pe Iisus, 33după cum este scris şi în psal-
mul al doilea: *Fiul Meu eşti Tu; Eu astăzi*
Te-am născut. 34Şi că L-a înviat pe El din
morţi, aşa încât nu Se va mai întoarce la

τὰ ὅσια Δαυὶδ τὰ πιστά. 35διὸ καὶ ἐν ἑτέρῳ
λέγει· *οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθο-*
ράν. 36Δαυὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας
τῇ τοῦ Θεοῦ βουλῇ ἐκοιμήθη καὶ προσετέθη
πρὸς τοὺς πατέρας αὐτοῦ καὶ εἶδε διαφθοράν·
37ὃν δὲ ὁ Θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν.
38γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοί, ὅτι
διὰ τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλε-
ται, 39καὶ ἀπὸ πάντων ὧν οὐκ ἠδυνήθητε ἐν
τῷ νόμῳ Μωϋσέως δικαιωθῆναι, ἐν τούτῳ
πᾶς ὁ πιστεύων δικαιοῦται. 40βλέπετε οὖν μὴ
ἐπέλθῃ ἐφ' ὑμᾶς τὸ εἰρημένον ἐν τοῖς προφή-
ταις· 41*ἴδετε, οἱ καταφρονηταί, καὶ θαυμάσατε*
καὶ ἀφανίσθητε, ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν
ταῖς ἡμέραις ὑμῶν, ἔργον ᾧ οὐ μὴ πιστεύσητε
ἐάν τις ἐκδιηγῆται ὑμῖν. 42Ἐξιόντων δὲ αὐτῶν
ἐκ τῆς συναγωγῆς τῶν Ἰουδαίων παρεκάλουν
τὰ ἔθνη εἰς τὸ μεταξὺ σάββατον λαληθῆναι
αὐτοῖς τὰ ῥήματα ταῦτα. 43λυθείσης δὲ τῆς
συναγωγῆς ἠκολούθησαν πολλοὶ τῶν Ἰου-
δαίων καὶ τῶν σεβομένων προσηλύτων τῷ
Παύλῳ καὶ τῷ Βαρνάβᾳ, οἵτινες προσλα-
λοῦντες αὐτοῖς ἔπειθον αὐτοὺς προσμένειν
τῇ χάριτι τοῦ Θεοῦ. 44Τῷ τε ἐρχομένῳ σαβ-
βάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦ-
σαι τὸν λόγον τοῦ Θεοῦ. 45ἰδόντες δὲ οἱ Ἰου-
δαῖοι τοὺς ὄχλους ἐπλήσθησαν ζήλου καὶ
ἀντέλεγον τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις
ἀντιλέγοντες καὶ βλασφημοῦντες. 46παρρη-
σιασάμενοι δὲ ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶ-
πον· ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι
τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀπωθεῖσθε
αὐτὸν καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς
αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη.
47οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος· *τέθεικά*
σε εἰς φῶς ἐθνῶν τοῦ εἶναί σε εἰς σωτηρίαν
ἕως ἐσχάτου τῆς γῆς. 48ἀκούοντα δὲ τὰ ἔθνη
ἔχαιρον καὶ ἐδόξαζον τὸν λόγον τοῦ Κυρίου,
καὶ ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν
αἰώνιον· 49διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου

stricăciune, a spus-o astfel: *Vă voi da vouă*
cele cuvioase ale lui David, cele vrednice
de crezare. 35De aceea şi în alt loc zice: *Nu*
vei da pe Cel cuvios al Tău să vadă stri-
căciune. 36Căci David, slujind celor din
vremea sa, potrivit sfatului lui Dumne-
zeu, a adormit şi s-a adăugat la părinţii lui
şi a văzut stricăciune; 37dar Cel pe Care
Dumnezeu L-a ridicat n-a văzut strică-
ciune. 38Aşadar, cunoscut să vă fie vouă,
bărbaţi fraţi, că prin Acesta vi se vesteş-
te iertare de păcate, 39şi întru Acesta tot
cel ce crede se îndreptează de toate câte
n-aţi putut să vă îndreptaţi în Legea lui
Moise. 40Deci, luaţi aminte să nu vină pes-
te voi ceea ce s-a zis în prooroci: 41*Vedeţi,*
cei ce disprețuiți, şi miraţi-vă şi pieriţi, că
lucru lucrez Eu în zilele voastre, lucru pe
care nu-l veţi crede, dacă vă va povesti ci-
neva. 42Şi ieşind ei din sinagoga iudeilor,
îi rugau neamurile ca sâmbăta următoa-
re să li se grăiască cuvintele acestea. 43Şi,
sfârşindu-se adunarea, mulţi dintre iu-
dei şi dintre prozeliţii cucernici i-au ur-
mat lui Pavel şi lui Barnaba, care, vor-
bind către ei, îi îndemnau să rămână în
harul lui Dumnezeu. 44Iar în sâmbăta ur-
mătoare, aproape toată cetatea s-a adunat
ca să audă cuvântul lui Dumnezeu. 45Dar
iudeii, văzând mulţimile, s-au umplut de
pizmă şi vorbeau împotriva celor spuse
de Pavel, împotrivindu-se şi hulind. 46Iar
Pavel şi Barnaba, îndrăznind, au zis: Vouă
trebuia să vi se grăiască mai întâi cuvân-
tul lui Dumnezeu; dar de vreme ce îl le-
pădaţi şi nu vă judecaţi pe voi vrednici
de viaţa veşnică, iată ne întoarcem către
neamuri. 47Căci aşa ne-a poruncit nouă
Domnul: *Te-am pus lumină neamurilor,*
ca să fii Tu mântuire până la marginea pă-

δι' ὅλης τῆς χώρας. 50οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας καὶ τὰς εὐσχήμονας καὶ τοὺς πρώτους τῆς πόλεως καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ τὸν Βαρνάβαν, καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν. 51οἱ δὲ ἐκτιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν αὐτῶν ἐπ' αὐτοὺς ἦλθον εἰς Ἰκόνιον. 52οἱ δὲ μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ Πνεύματος Ἁγίου.

mântului. 48Şi, auzind neamurile, se bucurau şi slăveau cuvântul Domnului şi câţi erau rânduiţi spre viaţă veşnică au crezut; 49şi se răspândea cuvântul Domnului prin tot ţinutul. 50Dar iudeii au întărâtat pe femeile cucernice şi pe cele de cinste şi pe cei dintâi ai cetăţii, şi au ridicat prigoană împotriva lui Pavel şi a lui Barnaba, şi i-au scos din hotarele lor. 51Iar ei, scuturându-şi asupra lor praful de pe picioare, au venit la Iconiu; 52şi ucenicii se umpleau de bucurie şi de Duhul Sfânt.

Κεφάλαιον ΙΔ΄

Γένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων καὶ λαλῆσαι οὕτως ὥστε πιστεῦσαι Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος. 2οἱ δὲ ἀπειθοῦντες Ἰουδαῖοι ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν. 3ἱκανὸν μὲν οὖν χρόνον διέτριψαν παρρησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν. 4ἐσχίσθη δὲ τὸ πλῆθος τῆς πόλεως, καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις, οἱ δὲ σὺν τοῖς ἀποστόλοις. 5ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν τε καὶ Ἰουδαίων σὺν τοῖς ἄρχουσιν αὐτῶν ὑβρίσαι καὶ λιθοβολῆσαι αὐτούς, 6συνιδόντες κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας Λύστραν καὶ Δέρβην καὶ τὴν περίχωρον, 7κἀκεῖ ἦσαν εὐαγγελιζόμενοι.

Καί τις ἀνὴρ ἐν Λύστροις ἀδύνατος τοῖς ποσὶν ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων, ὃς οὐδέποτε περιπεπατήκει.

Capitolul 14

Şi, în Iconiu, au intrat ca de obicei în sinagoga iudeilor şi au vorbit astfel, încât au crezut mulţime multă şi de iudei şi de elini. 2Dar iudeii care nu au crezut au întărâtat şi au înrăit sufletele neamurilor împotriva fraţilor. 3Deci mult timp au petrecut, îndrăznind întru Domnul, Cel ce mărturisea pentru cuvântul harului Său, dând să se facă semne şi minuni prin mâinile lor. 4Şi s-a dezbinat mulţimea din cetate, şi unii erau cu iudeii, iar alţii cu apostolii. 5Şi când a fost pornirea neamurilor şi a iudeilor, împreună cu căpeteniile lor, ca să-i ocărască şi să-i lovească cu pietre, 6înţelegând ei, au scăpat în cetăţile Licaoniei, la Listra şi Derbe şi în împrejurimi. 7Şi au început să binevestească acolo.

Şi în Listra şedea un bărbat neputincios de picioare, olog fiind din pântecele maicii sale, care nu mersese niciodată.

9οὗτος ἤκουσε τοῦ Παύλου λαλοῦντος· ὃς
ἀτενίσας αὐτῷ καὶ ἰδὼν ὅτι πίστιν ἔχει τοῦ
σωθῆναι, 10εἶπε μεγάλῃ τῇ φωνῇ· ἀνάστηθι
ἐπὶ τοὺς πόδας σου ὀρθός. καὶ ἅλατο καὶ πε-
ριεπάτει. 11οἱ δὲ ὄχλοι ἰδόντες ὃ ἐποίησεν ὁ
Παῦλος ἐπῆραν τὴν φωνὴν αὐτῶν Λυκαο-
νιστὶ λέγοντες· οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώ-
ποις κατέβησαν πρὸς ἡμᾶς· 12ἐκάλουν τε τὸν
μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν,
ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου. 13ὁ
δὲ ἱερεὺς τοῦ Διὸς τοῦ ὄντος πρὸ τῆς πόλε-
ως αὐτῶν, ταύρους καὶ στέμματα ἐπὶ τοὺς
πυλῶνας ἐνέγκας, σὺν τοῖς ὄχλοις ἤθελε
θύειν. 14ἀκούσαντες δὲ οἱ ἀπόστολοι Βαρ-
νάβας καὶ Παῦλος, διαρρήξαντες τὰ ἱμάτια
αὐτῶν εἰσεπήδησαν εἰς τὸν ὄχλον κράζον-
τες 15καὶ λέγοντες· ἄνδρες, τί ταῦτα ποιεῖτε;
καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι,
εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν μα-
ταίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα,
ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν
θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· 16ὃς ἐν
ταῖς παρῳχημέναις γενεαῖς εἴασε πάντα τὰ
ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν· 17καίτοι γε
οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν ἀγαθοποιῶν,
οὐρανόθεν ὑμῖν ὑετοὺς διδοὺς καὶ καιροὺς
καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφρο-
σύνης τὰς καρδίας ὑμῶν. 18καὶ ταῦτα λέγον-
τες μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ
θύειν αὐτοῖς. 19Ἐπῆλθον δὲ ἀπὸ Ἀντιοχείας
καὶ Ἰκονίου Ἰουδαῖοι, καὶ πείσαντες τοὺς
ὄχλους καὶ λιθάσαντες τὸν Παῦλον ἔσυραν
ἔξω τῆς πόλεως, νομίσαντες αὐτὸν τεθνά-
ναι. 20κυκλωσάντων δὲ αὐτὸν τῶν μαθητῶν
ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν, καὶ τῇ ἐπαύ-
ριον ἐξῆλθε σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην.

Εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην καὶ
μαθητεύσαντες ἱκανοὺς ὑπέστρεψαν εἰς
τὴν Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν,
22ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν,

9Acesta l-a auzit pe Pavel vorbind; care,
căutând spre el şi văzând că are credinţă
să se mântuiască, 10a zis cu mare glas:
Scoală-te drept pe picioarele tale. Şi acela
a sărit şi a început să meargă. 11Iar mulţi-
mile, văzând ce făcuse Pavel, şi-au ridicat
glasul lor în limba licaonă, zicând: Zeii, fă-
cându-se asemenea oamenilor, au coborât
la noi. 12Şi îl numeau pe Barnaba Zeus, iar
pe Pavel Hermes, fiindcă el era cel dintâi
la cuvânt. 13Iar preotul lui Zeus, care era
în faţa cetăţii lor, aducând la porţi tauri şi
cununi, voia să aducă jertfă împreună cu
mulţimile. 14Şi auzind apostolii Barnaba şi
Pavel, sfâşiindu-şi hainele, au sărit în mul-
ţime, strigând 15şi zicând: Bărbaţilor, de
ce faceţi acestea? Şi noi suntem oameni,
asemenea pătimitori ca voi, binevestind
să vă întoarceţi de la aceste deşertăciuni
la Dumnezeu cel viu, Care a făcut cerul
şi pământul şi marea şi toate cele ce sunt
în ele; 16care, în veacurile trecute, a lăsat
ca toate neamurile să meargă în căile lor,
17deşi El nu S-a lăsat pe Sine nemărturisit,
făcând bine, dându-vă din cer ploi şi vre-
muri roditoare, umplând de hrană şi de
bucurie inimile voastre. 18Şi acestea zi-
când, abia au oprit mulţimile să nu le adu-
că jertfă. 19Şi au venit din Antiohia şi din
Iconiu iudei şi, înduplecând mulţimile şi
bătându-l cu pietre pe Pavel, l-au târât
afară din cetate, socotind că a murit. 20Dar
înconjurându-l ucenicii, s-a ridicat şi a in-
trat în cetate, şi a doua zi a ieşit împreună
cu Barnaba la Derbe.

Şi binevestind cetăţii aceleia şi făcând
mulţi ucenici, s-au întors în Listra şi în
Iconiu şi în Antiohia, 22întărind sufletele
ucenicilor, îndemnându-i să stăruie în cre-

παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. 23χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ' ἐκκλησίαν καὶ προσευξάμενοι μετὰ νηστειῶν παρέθεντο αὐτοὺς τῷ Κυρίῳ, εἰς ὃν πεπιστεύκασι. 24καὶ διελθόντες τὴν Πισιδίαν ἦλθον εἰς Παμφυλίαν, 25καὶ λαλήσαντες ἐν Πέργῃ τὸν λόγον κατέβησαν εἰς Ἀττάλειαν, 26κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιόχειαν, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν. 27Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν ἀνήγγειλαν ὅσα ἐποίησεν ὁ Θεὸς μετ' αὐτῶν, καὶ ὅτι ἤνοιξε τοῖς ἔθνεσι θύραν πίστεως. 28διέτριβον δὲ ἐκεῖ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς.

dință și spunându-le: Prin multe strâmtorări trebuie să intrăm în Împărăția lui Dumnezeu. 23Și hirotonindu-le preoți în fiecare Biserică și rugându-se cu postiri, i-au încredințat Domnului în Care crezuseră. 24Și străbătând Pisidia, au venit în Pamfilia. 25Și grăind cuvântul în Perga, au coborât în Atalia. 26Și de acolo au mers pe mare spre Antiohia, de unde fuseseră încredințați harului lui Dumnezeu, spre lucrul pe care l-au împlinit. 27Și venind și adunând Biserica, au vestit câte a făcut Dumnezeu cu ei și că a deschis neamurilor ușa credinței. 28Și au petrecut acolo nu puțină vreme împreună cu ucenicii.

Κεφάλαιον ΙΕ΄

Καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας ἐδίδασκον τοὺς ἀδελφοὺς ὅτι ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωϋσέως, οὐ δύνασθε σωθῆναι. 2γενομένης οὖν στάσεως καὶ ζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν ἀναβαίνειν Παῦλον καὶ Βαρνάβαν καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς ἀποστόλους καὶ πρεσβυτέρους εἰς Ἰερουσαλὴμ περὶ τοῦ ζητήματος τούτου. 3Οἱ μὲν οὖν προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας διήρχοντο τὴν Φοινίκην καὶ Σαμάρειαν ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν, καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς. 4παραγενόμενοι δὲ εἰς Ἰερουσαλὴμ ἀπεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας καὶ τῶν ἀποστόλων καὶ τῶν πρεσβυτέρων, ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν, καὶ ὅτι ἤνοιξε

Capitolul 15

Și unii, coborându-se din Iudeea, îi învățau pe frați: Dacă nu vă tăiați împrejur după datina lui Moise, nu puteți să vă mântuiți. 2Și făcându-se nu puțină împotrivire și vorbire a lui Pavel și Barnaba către ei, au rânduit să se suie Pavel și Barnaba și alți câțiva dintre ei la apostolii și la preoții din Ierusalim pentru această întrebare. 3Deci, fiind ei trimiși de Biserică, au trecut prin Fenicia și prin Samaria, povestind despre întoarcerea neamurilor, și făceau bucurie mare tuturor fraților. 4Și venind la Ierusalim, au fost primiți de Biserică și de apostoli și de preoți și au vestit câte a făcut Dumnezeu cu ei și că a deschis neamurilor ușa credinței. 5Și s-au ridicat unii din eresul fariseilor, care crezuseră,

τοῖς ἔθνεσι θύραν πίστεως. 5Ἐξανέστησαν δέ
τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων
πεπιστευκότες, λέγοντες ὅτι δεῖ περιτέμνειν
αὐτοὺς παραγγέλλειν τε τηρεῖν τὸν νόμον
Μωϋσέως. 6Συνήχθησαν δὲ οἱ ἀπόστολοι καὶ
οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου.
7Πολλῆς δὲ συζητήσεως γενομένης ἀναστὰς
Πέτρος εἶπε πρὸς αὐτούς· ἄνδρες ἀδελφοί,
ὑμεῖς ἐπίστασθε ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ὁ
Θεὸς ἐν ἡμῖν ἐξελέξατο διὰ τοῦ στόματός μου
ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ εὐαγγελίου
καὶ πιστεῦσαι. 8καὶ ὁ καρδιογνώστης Θεὸς
ἐμαρτύρησεν αὐτοῖς δοὺς αὐτοῖς τὸ Πνεῦμα
τὸ Ἅγιον καθὼς καὶ ἡμῖν, 9καὶ οὐδὲν διέκρινε
μεταξὺ ἡμῶν τε καὶ αὐτῶν τῇ πίστει καθαρί-
σας τὰς καρδίας αὐτῶν. 10νῦν οὖν τί πειράζετε
τὸν Θεόν, ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον
τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε
ἡμεῖς ἰσχύσαμεν βαστάσαι; 11ἀλλὰ διὰ τῆς χά-
ριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι
καθ' ὃν τρόπον κἀκεῖνοι. 12Ἐσίγησε δὲ πᾶν
τὸ πλῆθος καὶ ἤκουον Βαρνάβα καὶ Παύλου
ἐξηγουμένων ὅσα ἐποίησεν ὁ Θεὸς σημεῖα
καὶ τέρατα ἐν τοῖς ἔθνεσι δι' αὐτῶν. 13Μετὰ
δὲ τὸ σιγῆσαι αὐτοὺς ἀπεκρίθη Ἰάκωβος λέ-
γων· ἄνδρες ἀδελφοί, ἀκούσατέ μου. 14Συμεὼν
ἐξηγήσατο καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψα-
το λαβεῖν ἐξ ἐθνῶν λαὸν ἐπὶ τῷ ὀνόματι αὐ-
τοῦ. 15καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν
προφητῶν, καθὼς γέγραπται· 16*μετὰ ταῦτα
ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν
Δαυὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα
αὐτῆς ἀνοικοδομήσω καὶ ἀνορθώσω αὐτήν,
17ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν
ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη
ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς,
λέγει Κύριος ὁ ποιῶν ταῦτα πάντα.* 18γνωστὰ
ἀπ' αἰῶνός ἐστι τῷ Θεῷ πάντα τὰ ἔργα αὐτοῦ.
19διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν
ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν Θεόν, 20ἀλλὰ

zicând că trebuie să-i taie împrejur şi să
le poruncească să ţină Legea lui Moise.
6Şi s-au adunat apostolii şi preoţii să vadă
cele despre cuvântul acesta. 7Şi făcându-se
multă vorbire, s-a ridicat Petru şi a zis că-
tre ei: Bărbaţi fraţi, voi ştiţi că, din zilele
dintru început, Dumnezeu a ales între noi
ca, prin gura mea, să audă neamurile cu-
vântul Evangheliei şi să creadă. 8Şi Dum-
nezeu, cunoscătorul inimilor, a mărturi-
sit pentru ei, dându-le Duhul Sfânt, ca
şi nouă. 9Şi nimic n-a deosebit între noi
şi ei, curăţind prin credinţă inimile lor.
10Acum deci, de ce ispitiţi pe Dumnezeu
şi puneţi jug pe grumazul ucenicilor, pe
care nici părinţii noştri, nici noi n-am pu-
tut să-l purtăm? 11Ci, prin harul Domnului
Iisus, credem că ne mântuim în acelaşi
chip ca şi aceia. 12Şi a tăcut toată mulţimea
şi-i asculta pe Barnaba şi pe Pavel, care
povesteau câte semne şi minuni a făcut
Dumnezeu între neamuri prin ei. 13Şi după
ce au tăcut ei, a răspuns Iacov, zicând:
Bărbaţi fraţi, ascultaţi-mă! 14Simeon a po-
vestit cum mai întâi Dumnezeu a cercetat
să ia dintre neamuri un popor pentru nu-
mele Său. 15Şi cu aceasta glăsuiesc laolaltă
cuvintele proorocilor, precum este scris:
16*După acestea Mă voi întoarce şi iarăşi
voi zidi cortul cel căzut al lui David şi pe
cele dărâmate ale lui le voi zidi iarăşi şi-l
voi ridica drept, 17ca să-L caute pe Domnul
cei rămaşi dintre oameni şi toate neamuri-
le peste care s-a chemat numele Meu asu-
pra lor, zice Domnul, Cel ce face toate
acestea.* 18Cunoscute din veac Îi sunt lui
Dumnezeu toate lucrurile Lui. 19De aceea
eu judec să nu tulburăm pe cei dintre nea-
muri, care se întorc la Dumnezeu, 20ci să
le trimitem epistolă să se ţină departe de

ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων καὶ τῆς πορνείας καὶ τοῦ πνικτοῦ καὶ τοῦ αἵματος. 21Μωϋσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος.

Τότε ἔδοξε τοῖς ἀποστόλοις καὶ τοῖς πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν σὺν τῷ Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν τὸν ἐπικαλούμενον Βαρσαββᾶν καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, 23γράψαντες διὰ χειρὸς αὐτῶν τάδε· Οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι καὶ οἱ ἀδελφοὶ τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν χαίρειν. 24Ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐξελθόντες ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνεσθαι καὶ τηρεῖν τὸν νόμον, οἷς οὐ διεστειλάμεθα, 25ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδόν, ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, 26ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 27ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. 28ἔδοξε γὰρ τῷ Ἁγίῳ Πνεύματι καὶ ἡμῖν μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος πλὴν τῶν ἐπάναγκες τούτων, 29ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ καὶ πορνείας· ἐξ ὧν διατηροῦντες ἑαυτοὺς εὖ πράξετε. ἔρρωσθε. 30Οἱ μὲν οὖν ἀπολυθέντες ἦλθον εἰς Ἀντιόχειαν, καὶ συναγαγόντες τὸ πλῆθος ἐπέδωκαν τὴν ἐπιστολήν. 31ἀναγνόντες δὲ ἐχάρησαν ἐπὶ τῇ παρακλήσει. 32Ἰούδας τε καὶ Σίλας, καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς καὶ ἐπεστήριξαν. 33ποιήσαντες δὲ χρόνον ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς ἀποστόλους. 34ἔδοξε δὲ

întinările idolilor şi de desfrâu şi de cele sugrumate şi de sânge. 21Căci Moise are din moşi strămoşi prin toate cetăţile propovăduitorii săi, fiind citit în sinagogi în fiecare sâmbătă.

Atunci apostolii şi preoţii, împreună cu toată Biserica, au socotit de cuviinţă să aleagă bărbaţi dintre ei şi să-i trimită la Antiohia, împreună cu Pavel şi cu Barnaba, pe Iuda cel numit Barsaba, şi pe Sila, bărbaţi de frunte între fraţi, 23scriind prin mâna lor acestea: Apostolii şi preoţii şi fraţii, către fraţii dintre neamuri, din Antiohia şi Siria şi Cilicia, bucuraţi-vă! 24Pentru că am auzit că unii dintre noi, cărora noi nu le-am poruncit, au ieşit şi v-au tulburat cu cuvintele lor, răvăşind sufletele voastre, zicând să vă tăiaţi împrejur şi să ţineţi Legea, 25noi am socotit de cuviinţă, fiind într-un cuget, să trimitem la voi bărbaţi aleşi, împreună cu iubiţii noştri Barnaba şi Pavel, 26oameni care şi-au pus sufletele lor pentru numele Domnului nostru Iisus Hristos. 27Deci, i-am trimis pe Iuda şi pe Sila, ca şi ei să vestească prin cuvânt aceleaşi lucruri. 28Căci părutu-s-a Duhului Sfânt şi nouă, să nu vi se pună nicio altă povară afară de acestea care sunt de neapărată trebuinţă: 29Să vă ţineţi departe de cele jertfite idolilor şi de sânge şi de ceea ce este sugrumat şi de desfrâu, de care păzindu-vă pe voi înşivă, bine veţi face. Fiţi sănătoşi! 30Deci, fiind ei sloboziţi, au venit la Antiohia şi, adunând mulţimea, au înmânat epistola. 31Şi citind-o, s-au bucurat de mângâiere. 32Iar Iuda şi Sila, fiind ei înşişi prooroci, prin cuvânt mult i-au mângâiat pe fraţi şi i-au întărit. 33Şi rămânând un timp, au fost sloboziţi cu pace de fraţi către apostoli.

τῷ Σίλᾳ ἐπιμεῖναι αὐτοῦ. 35Παῦλος δὲ καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ διδάσκοντες καὶ εὐαγγελιζόμενοι μετὰ καὶ ἑτέρων πολλῶν τὸν λόγον τοῦ Κυρίου.

Μετὰ δέ τινας ἡμέρας εἶπε Παῦλος πρὸς Βαρνάβαν· ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς ἡμῶν κατὰ πᾶσαν πόλιν ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσι. 37Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν τὸν Ἰωάννην τὸν ἐπικαλούμενον Μᾶρκον· 38Παῦλος δὲ ἠξίου, τὸν ἀποστάντα ἀπ᾽ αὐτῶν ἀπὸ Παμφυλίας καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον. 39ἐγένετο οὖν παροξυσμός, ὥστε ἀποχωρισθῆναι αὐτοὺς ἀπ᾽ ἀλλήλων, τόν τε Βαρνάβαν παραλαβόντα τὸν Μᾶρκον ἐκπλεῦσαι εἰς Κύπρον. 40Παῦλος δὲ ἐπιλεξάμενος Σίλαν ἐξῆλθε, παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν, 41διῆρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν ἐπιστηρίζων τὰς ἐκκλησίας.

34Iar Sila a socotit de cuviință să rămână acolo. 35Şi Pavel şi Barnaba petreceau în Antiohia, învățând şi binevestind, împreună cu mulți alții, cuvântul Domnului.

Şi după câteva zile, Pavel a zis către Barnaba: Să ne întoarcem, dar, şi să-i cercetăm pe frații noştri în fiecare cetate în care am vestit cuvântul Domnului, cum sunt. 37Şi Barnaba a hotărât să-l ia împreună cu ei şi pe Ioan cel numit Marcu; 38Dar Pavel cerea să nu-l ia împreună cu ei pe acesta care se despărțise de ei din Pamfilia şi nu-i însoțise la lucrare. 39Deci, s-a iscat neînțelegere, aşa încât s-au despărțit unul de altul, şi Barnaba, luându-l pe Marcu, a plecat pe mare în Cipru. 40Iar Pavel, alegându-l pe Sila, a plecat, fiind încredințat harului Domnului de către frați. 41Şi străbătea Siria şi Cilicia, întărind Bisericile.

Κεφάλαιον Ις΄

Κατήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν. καὶ ἰδοὺ μαθητής τις ἦν ἐκεῖ ὀνόματι Τιμόθεος, υἱὸς γυναικός τινος Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος, 2ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν. 3τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν, καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις· ᾔδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ ὅτι Ἕλλην ὑπῆρχεν. 4Ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν ἀποστόλων

Capitolul 16

Şi a ajuns în Derbe şi Listra. Şi iată, era acolo un ucenic pe nume Timotei, fiul unei femei iudee credincioase şi al unui tată elin, 2despre care frații din Listra şi din Iconiu dădeau mărturie. 3Pavel a voit ca acesta să vină împreună cu el şi, luându-l, l-a tăiat împrejur, din pricina iudeilor care erau în locurile acelea; căci îl ştiau toți pe tatăl lui că era elin. 4Şi când străbăteau cetățile, le lăsau ca predanie să păzească dogmele hotărâte de apostolii şi de preoții din Ierusalim. 5Deci Bisericile

καὶ τῶν πρεσβυτέρων τῶν ἐν Ἰερουσαλήμ. 5Αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν.

6Διελθόντες δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ Ἁγίου Πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ, 7ἐλθόντες κατὰ τὴν Μυσίαν ἐπείραζον κατὰ τὴν Βιθυνίαν πορεύεσθαι· καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα. 8παρελθόντες δὲ τὴν Μυσίαν κατέβησαν εἰς Τρῳάδα. 9καὶ ὅραμα διὰ τῆς νυκτὸς ὤφθη τῷ Παύλῳ· ἀνήρ τις ἦν Μακεδὼν ἑστώς, παρακαλῶν αὐτὸν καὶ λέγων· διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν. 10ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος εὐαγγελίσασθαι αὐτούς.

11Ἀναχθέντες οὖν ἀπὸ τῆς Τρῳάδος εὐθυδρομήσαμεν εἰς Σαμοθρᾴκην, τῇ δὲ ἐπιούσῃ εἰς Νεάπολιν, 12ἐκεῖθέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς μερίδος τῆς Μακεδονίας πόλις κολωνία. Ἦμεν δὲ ἐν αὐτῇ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς, 13τῇ τε ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πόλεως παρὰ ποταμὸν οὗ ἐνομίζετο προσευχὴ εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. 14καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις πόλεως Θυατείρων, σεβομένη τὸν Θεόν, ἤκουεν, ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. 15ὡς δὲ ἐβαπτίσθη καὶ ὁ οἶκος αὐτῆς, παρεκάλεσε λέγουσα· εἰ κεκρίκατέ με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μείνατε· καὶ παρεβιάσατο ἡμᾶς.

16Ἐγένετο δὲ πορευομένων ἡμῶν εἰς προσευχὴν παιδίσκην τινὰ ἔχουσαν πνεῦμα πύθωνος ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς μαντευομένη. 17αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ τῷ Σίλᾳ ἔκραζε λέγουσα· οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες καταγγέλ-

se întăreau în credință și sporeau cu numărul în fiecare zi.

6Și străbătând Frigia și ținutul Galatiei, au fost împiedicați de Duhul Sfânt să grăiască cuvântul în Asia; 7venind spre Misia, încercau să meargă spre Bitinia; și nu i-a lăsat Duhul. 8Și trecând dincolo de Misia, au coborât la Troa. 9Și lui Pavel i s-a arătat noaptea o vedenie; un bărbat macedonean stătea, rugându-l și zicând: Treci în Macedonia și ne ajută. 10Și când a văzut vedenia, îndată noi am căutat să plecăm în Macedonia, înțelegând că Domnul ne cheamă să le binevestim lor.

11Deci, plecând pe mare din Troa, am mers drept la Samotracia, iar a doua zi la Neapoli, 12și de acolo la Filipi, care este cea dintâi cetate a acestei părți a Macedoniei și colonie. Și am petrecut în această cetate câteva zile. 13Și în ziua sâmbetei am ieșit afară din cetate, lângă râu, unde se obișnuia să fie rugăciune și, șezând, le grăiam femeilor care se adunaseră. 14Și o femeie, pe nume Lidia, vânzătoare de porfiră din cetatea Tiatirelor, cinstitoare de Dumnezeu, asculta; acesteia Dumnezeu i-a deschis inima ca să ia aminte la cele grăite de Pavel. 15Și, după ce s-a botezat ea și casa ei, ne-a rugat, zicând: De m-ați socotit că sunt credincioasă Domnului, intrați în casa mea și rămâneți; și ne-a silit.

16Și a fost că, ducându-ne noi la rugăciune, ne-a întâmpinat o slujnică, având duh pitonicesc, care aducea mult câștig stăpânilor ei, ghicind. 17Aceasta, ținându-se după Pavel și după Sila, striga, zicând: Aceștia oameni sunt robi ai Dumnezeului celui Preaînalt, care ne vestesc nouă calea mân-

λουσιν ἡμῖν ὁδὸν σωτηρίας. 18τοῦτο δὲ ἐποίει
ἐπὶ πολλὰς ἡμέρας. διαπονηθεὶς δὲ ὁ Παῦλος
καὶ ἐπιστρέψας τῷ πνεύματι εἶπε· παραγγέλλω
σοι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἐξελθεῖν ἀπ'
αὐτῆς. καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. 19Ἰδόντες δὲ
οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας
αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν
εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας,
20καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς
εἶπον· οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν
τὴν πόλιν Ἰουδαῖοι ὑπάρχοντες, 21καὶ καταγ-
γέλλουσιν ἔθη ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχε-
σθαι οὐδὲ ποιεῖν Ῥωμαίοις οὖσι. 22καὶ συνε-
πέστη ὁ ὄχλος κατ' αὐτῶν. καὶ οἱ στρατηγοὶ
περιρρήξαντες αὐτῶν τὰ ἱμάτια ἐκέλευον
ῥαβδίζειν, 23πολλάς τε ἐπιθέντες αὐτοῖς πλη-
γὰς ἔβαλον εἰς φυλακήν, παραγγείλαντες τῷ
δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς· 24ὃς
παραγγελίαν τοιαύτην εἰληφὼς ἔβαλεν αὐτοὺς
εἰς τὴν ἐσωτέραν φυλακὴν καὶ τοὺς πόδας
αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον. 25Κατὰ δὲ τὸ
μεσονύκτιον Παῦλος καὶ Σίλας προσευχόμε-
νοι ὕμνουν τὸν Θεόν· ἐπηκροῶντο δὲ αὐτῶν
οἱ δέσμιοι. 26ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας,
ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρί-
ου, ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι πᾶ-
σαι καὶ πάντων τὰ δεσμὰ ἀνέθη. 27ἔξυπνος δὲ
γενόμενος ὁ δεσμοφύλαξ καὶ ἰδὼν ἀνεῳγμένας
τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν
ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέ-
ναι τοὺς δεσμίους. 28ἐφώνησε δὲ φωνῇ μεγάλῃ
ὁ Παῦλος λέγων· μηδὲν πράξῃς σεαυτῷ κα-
κόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε. 29αἰτήσας
δὲ φῶτα εἰσεπήδησε, καὶ ἔντρομος γενόμε-
νος προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, 30καὶ
προαγαγὼν αὐτοὺς ἔξω ἔφη· κύριοι, τί με δεῖ
ποιεῖν ἵνα σωθῶ; 31οἱ δὲ εἶπον· πίστευσον ἐπὶ
τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ σωθήσῃ σὺ
καὶ ὁ οἶκός σου. 32καὶ ἐλάλησαν αὐτῷ τὸν λό-
γον τοῦ Κυρίου καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ.

tuirii. 18Şi făcea aceasta timp de multe zile.
Iar Pavel, mâniindu-se şi întorcându-se, a
zis duhului: Ţie îţi poruncesc în numele
lui Iisus Hristos să ieşi din ea; şi în acel
ceas a ieşit. 19Şi stăpânii ei, văzând că s-a
dus nădejdea câştigului lor, i-au prins pe
Pavel şi pe Sila şi i-au târât în piaţă îna-
intea stăpânitorilor. 20Şi ducându-i la pre-
tori, au zis: Aceşti oameni, iudei fiind, ne
tulbură cetatea 21şi ne vestesc datini pe
care nu este îngăduit să le primim, nici
să le facem, fiind romani. 22Şi s-a ridi-
cat mulţimea împotriva lor. Şi pretorii,
rupându-le hainele, au poruncit să-i bată
cu vergi; 23şi, după ce le-au dat multe lo-
vituri, i-au aruncat în temniţă, poruncind
temnicerului să-i păzească cu străşnicie;
24acesta, primind o asemenea poruncă, i-a
aruncat în temniţa cea mai de dinăuntru şi
le-a strâns picioarele în lemn; 25iar la mie-
zul nopţii, Pavel şi Sila, rugându-se, cân-
tau imne lui Dumnezeu, iar cei închişi îi
ascultau. 26Şi deodată s-a făcut cutremur
mare, încât s-au clătinat temeliile temni-
ţei şi îndată s-au deschis toate porţile şi
legăturile tuturor s-au dezlegat. 27Şi tre-
zindu-se temnicerul şi văzând deschise
porţile temniţei, scoţând sabia, voia să se
omoare, socotind că cei închişi au fugit.
28Iar Pavel a strigat cu glas mare, zicând:
Să nu-ţi faci niciun rău, că toţi suntem
aici. 29Şi cerând lumini, s-a repezit înăun-
tru şi, spăimântându-se, a căzut înaintea
lui Pavel şi a lui Sila; 30şi scoţându-i afa-
ră, le-a zis: Domnilor, ce trebuie să fac ca
să mă mântuiesc? 31Iar ei au zis: Crede în
Domnul Iisus Hristos şi te vei mântui tu şi
casa ta. 32Şi i-au grăit lui cuvântul Dom-
nului şi tuturor celor din casa lui. 33Şi lu-
ându-i la sine în acel ceas al nopţii, le-a

33καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς
νυκτὸς ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ ἐβαπτίσθη
αὐτὸς καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα, 34ἀνα-
γαγών τε αὐτοὺς εἰς τὸν οἶκον αὐτοῦ παρέ-
θηκε τράπεζαν, καὶ ἠγαλλιάσατο πανοικὶ πε-
πιστευκὼς τῷ Θεῷ. 35Ἡμέρας δὲ γενομένης
ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ῥαβδούχους λέ-
γοντες· ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους.
36ἀπήγγειλε δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους
τούτους πρὸς τὸν Παῦλον, ὅτι ἀπεστάλκασιν
οἱ στρατηγοὶ ἵνα ἀπολυθῆτε. νῦν οὖν ἐξελθόντες
πορεύεσθε ἐν εἰρήνῃ. 37ὁ δὲ Παῦλος ἔφη πρὸς
αὐτούς· δείραντες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους,
ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς
φυλακήν· καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν; οὐ
γάρ, ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν.
38ἀνήγγειλαν δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι
τὰ ῥήματα ταῦτα· καὶ ἐφοβήθησαν ἀκούσαν-
τες ὅτι Ῥωμαῖοί εἰσι, 39καὶ ἐλθόντες παρεκάλε-
σαν αὐτούς, καὶ ἐξαγαγόντες ἠρώτων ἐξελθεῖν
τῆς πόλεως. 40ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς
εἰσῆλθον πρὸς τὴν Λυδίαν, καὶ ἰδόντες τοὺς
ἀδελφοὺς παρεκάλεσαν αὐτοὺς καὶ ἐξῆλθον.

spălat rănile; şi s-a botezat el şi toţi ai lui
îndată. 34Şi ducându-i la casa lui, a pus
masa şi s-a veselit cu toată casa, crezând
în Dumnezeu. 35Şi făcându-se ziuă, preto-
rii au trimis pe lictori, zicând: Slobozeşte-i
pe oamenii aceia. 36Iar temnicerul a vestit
cuvintele acestea către Pavel: Pretorii au
trimis ca să fiţi sloboziţi. Acum deci ieşiţi
şi mergeţi în pace. 37Dar Pavel a zis că-
tre ei: După ce ne-au bătut fără judecată
înaintea poporului, fiind noi cetăţeni ro-
mani, ne-au aruncat în temniţă; şi acum
ne scot pe ascuns? Nu aşa, ci să vină ei şi
să ne scoată. 38Şi lictorii le-au vestit preto-
rilor cuvintele acestea. Şi s-au temut, au-
zind că sunt romani. 39Şi venind, s-au ru-
gat de ei şi, scoţându-i afară, le-au cerut
să plece din cetate. 40Şi ieşind din temni-
ţă, au intrat la Lidia şi, văzându-i pe fraţi,
i-au mângâiat şi au plecat.

Κεφάλαιον ΙΖ΄

Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ
Ἀπολλωνίαν ἦλθον εἰς Θεσσαλο-
νίκην, ὅπου ἦν ἡ συναγωγὴ τῶν
Ἰουδαίων. 2κατὰ δὲ τὸ εἰω-
θὸς τῷ Παύλῳ εἰσῆλθε πρὸς
αὐτούς, καὶ ἐπὶ σάββατα τρία
διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν, 3διανοί-
γων καὶ παρατιθέμενος ὅτι τὸν Χριστὸν ἔδει
παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗ-
τός ἐστιν ὁ Χριστός,Ἰησοῦς ὃν ἐγὼ καταγγέλ-
λω ὑμῖν. 4καί τινες ἐξ αὐτῶν ἐπείσθησαν καὶ

Capitolul 17

Şi trecând prin Amfipoli şi Apolonia,
au venit în Tesalonic, unde era si-
nagoga iudeilor. 2Şi, după obiceiul
lui, Pavel a intrat la ei şi trei sâmbe-
te a vorbit cu ei din Scripturi, 3tâlcu-
indu-le şi arătând că Hristos trebuia să
pătimească şi să învieze din morţi, şi că
Acesta este Hristosul, Iisus pe Care vi-L
vestesc eu vouă. 4Şi unii dintre ei au cre-
zut şi au trecut de partea lui Pavel şi a lui
Sila, şi mare mulţime de elini cinstitori

προσεκληρώθησαν τῷ Παύλῳ καὶ τῷ Σίλᾳ,
τῶν τε σεβομένων Ἑλλήνων πολὺ πλῆθος γυ-
ναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι. 5Προσ-
λαβόμενοι δὲ οἱ ἀπειθοῦντες Ἰουδαῖοι τῶν
ἀγοραίων τινὰς ἄνδρας πονηροὺς καὶ ὀχλο-
ποιήσαντες ἐθορύβουν τὴν πόλιν, ἐπιστάντες
τε τῇ οἰκίᾳ Ἰάσονος ἐζήτουν αὐτοὺς ἀγαγεῖν
εἰς τὸν δῆμον· 6μὴ εὑρόντες δὲ αὐτοὺς ἔσυρον
τὸν Ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολι-
τάρχας, βοῶντες ὅτι οἱ τὴν οἰκουμένην ἀνα-
στατώσαντες οὗτοι καὶ ἐνθάδε πάρεισιν, 7οὓς
ὑποδέδεκται Ἰάσων· καὶ οὗτοι πάντες ἀπέναν-
τι τῶν δογμάτων Καίσαρος πράσσουσι, βασι-
λέα ἕτερον λέγοντες εἶναι, Ἰησοῦν. 8ἐτάραξαν
δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρχας ἀκούον-
τας ταῦτα, 9καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ
Ἰάσονος καὶ τῶν λοιπῶν ἀπέλυσαν αὐτούς.

Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς ἐξέ-
πεμψαν τόν τε Παῦλον καὶ τὸν Σίλαν εἰς
Βέροιαν, οἵτινες παραγενόμενοι εἰς τὴν συνα-
γωγὴν ἀπῆεσαν τῶν Ἰουδαίων. 11οὗτοι δὲ ἦσαν
εὐγενέστεροι τῶν ἐν Θεσσαλονίκῃ, οἵτινες ἐδέ-
ξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, τὸ
καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφὰς εἰ ἔχοι
ταῦτα οὕτως. 12πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπί-
στευσαν, καὶ τῶν Ἑλληνίδων γυναικῶν τῶν
εὐσχημόνων καὶ ἀνδρῶν οὐκ ὀλίγοι. 13Ὡς δὲ
ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰουδαῖοι
ὅτι καὶ ἐν τῇ Βεροίᾳ κατηγγέλη ὑπὸ τοῦ Παύ-
λου ὁ λόγος τοῦ Θεοῦ, ἦλθον κἀκεῖ σαλεύον-
τες τοὺς ὄχλους. 14εὐθέως δὲ τότε τὸν Παῦλον
ἐξαπέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι ὡς ἐπὶ
τὴν θάλασσαν· ὑπέμενον δὲ ὅ τε Σίλας καὶ ὁ
Τιμόθεος ἐκεῖ. 15οἱ δὲ καθιστῶντες τὸν Παῦ-
λον ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν, καὶ λαβόντες
ἐντολὴν πρὸς τὸν Σίλαν καὶ Τιμόθεον ἵνα ὡς
τάχιστα ἔλθωσι πρὸς αὐτόν, ἐξῆεσαν.

Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ
Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ
ἐν αὐτῷ θεωροῦντι κατείδωλον οὖσαν τὴν

de Dumnezeu, şi dintre femeile de frunte
nu puține. 5Iar iudeii care nu au crezut,
luând cu ei nişte bărbaţi vicleni dintre
cei de rând şi adunând gloată, tulburau
cetatea; şi năvălind asupra casei lui Iason,
căutau să-i ducă înaintea poporului. 6Dar,
negăsindu-i, au târât pe Iason şi pe câţi-
va fraţi la mai-marii cetăţii, strigând că
cei ce au întors lumea pe dos, aceştia au
venit şi aici; 7pe care i-a primit Iason; şi
aceştia toţi lucrează împotriva poruncilor
Cezarului, zicând că este un alt împărat,
Iisus. 8Şi au tulburat mulţimea şi pe
mai-marii cetăţii, care auzeau acestea. 9Şi
luând chezăşie de la Iason şi de la ceilalţi,
i-au slobozit.

Iar fraţii au trimis îndată, noaptea, la Ve-
ria pe Pavel şi pe Sila, care, ajungând
acolo, se duceau în sinagoga iudeilor. 11Şi
aceştia erau mai binevoitori decât cei din
Tesalonic; ei au primit cuvântul cu toată
osârdia, în fiecare zi cercetând Scripturile
dacă lucrurile sunt întocmai. 12Deci, mulţi
dintre ei au crezut, iar dintre femeile eline
de cinste şi dintre bărbaţi, nu puţini. 13Şi
când au aflat iudeii din Tesalonic că şi în
Veria s-a vestit de către Pavel cuvântul
lui Dumnezeu, au venit şi acolo, răscolind
mulţimile. 14Şi atunci îndată fraţii l-au tri-
mis pe Pavel, ca să meargă înspre mare;
iar Sila şi Timotei au rămas acolo. 15Iar
cei care îl însoţeau pe Pavel l-au dus până
la Atena; şi luând poruncă pentru Sila şi
Timotei, ca să vină la el cât mai grabnic,
au plecat.

Iar în Atena, pe când Pavel îi aştepta, se
aprindea de mânie duhul lui în el, văzând
că cetatea este plină de idoli. 17Deci
vorbea în sinagogă cu iudeii şi cu cinstito-
rii de Dumnezeu, şi în piaţă, în toată ziua,

πόλιν. 17διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ
τοῖς Ἰουδαίοις καὶ τοῖς σεβομένοις καὶ ἐν τῇ
ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρα-
τυγχάνοντας. 18τινὲς δὲ τῶν Ἐπικουρείων
καὶ τῶν Στοϊκῶν φιλοσόφων συνέβαλλον
αὐτῷ, καί τινες ἔλεγον· τί ἂν θέλοι ὁ σπερμο-
λόγος οὗτος λέγειν; οἱ δέ· ξένων δαιμονίων
δοκεῖ καταγγελεὺς εἶναι· ὅτι τὸν Ἰησοῦν καὶ
τὴν ἀνάστασιν εὐηγγελίζετο αὐτοῖς. 19ἐπι-
λαβόμενοί τε αὐτοῦ ἐπὶ τὸν Ἄρειον πάγον
ἤγαγον λέγοντες· δυνάμεθα γνῶναι τίς ἡ
καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή;
20ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκο-
ὰς ἡμῶν· βουλόμεθα οὖν γνῶναι τί ἂν θέ-
λοι ταῦτα εἶναι. 21Ἀθηναῖοι δὲ πάντες καὶ
οἱ ἐπιδημοῦντες ξένοι εἰς οὐδὲν ἕτερον εὐ-
καίρουν ἢ λέγειν τι καὶ ἀκούειν καινότερον.
22Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου
πάγου ἔφη· ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα
ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. 23διερ-
χόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα
ὑμῶν εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέγραπτο,
ἀγνώστῳ Θεῷ. ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε,
τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. 24ὁ Θεὸς ὁ ποι-
ήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗ-
τος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων οὐκ
ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, 25οὐδὲ ὑπὸ
χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός
τινος, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν κατὰ
πάντα· 26ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος
ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον
τῆς γῆς, ὁρίσας προστεταγμένους καιροὺς καὶ
τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν, 27ζητεῖν
τὸν Κύριον, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ
εὕροιεν, καίγε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου
ἡμῶν ὑπάρχοντα. 28ἐν αὐτῷ γὰρ ζῶμεν καὶ
κινούμεθα καὶ ἐσμέν, ὡς καί τινες τῶν καθ'
ὑμᾶς ποιητῶν εἰρήκασι· τοῦ γὰρ καὶ γένος
ἐσμέν. 29γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ οὐκ
ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ,

către cei ce se întâmplau pe acolo. 18Iar
unii dintre filozofii epicurei şi stoici se
prindeau în vorbă cu el, şi unii ziceau: Ce
voieşte, oare, să ne spună acest semănător
de cuvinte? Iar alţii: Se pare că este ves-
titor de zei străini; că le binevestea lor pe
Iisus şi învierea. 19Şi prinzându-l, l-au dus
în Areopag, zicând: Putem să cunoaştem
ce este această învăţătură nouă, grăită de
tine? 20Căci lucruri străine aduci în auzul
nostru; voim deci să cunoaştem ce vor să
fie acestea. 21Toţi atenienii şi străinii care
locuiau acolo vremelnic, cu nimic altceva
nu-şi petreceau timpul decât spunând sau
auzind ceva nou. 22Şi stând Pavel în mijlo-
cul Areopagului, a zis: Bărbaţi atenieni, în
toate vă văd că sunteţi foarte temători de
zei. 23Căci trecând şi uitându-mă la locuri-
le voastre de închinare, am aflat şi un altar
pe care era scris: Dumnezeului necunoscut.
Deci pe Cel pe Care voi, necunoscându-L,
Îl cinstiţi, pe Acesta Îl vestesc eu vouă.
24Dumnezeu, Care a făcut lumea şi toate
cele din ea, Acesta, Domn fiind al cerului
şi al pământului, nu locuieşte în temple
făcute de mână, 25nici nu este îngrijit de
mâini omeneşti, ca şi cum ar avea trebu-
inţă de ceva, Însuşi dând tuturor viaţă şi
suflare întru toate. 26Şi a făcut dintr-un
sânge tot neamul oamenilor, să locuiasc
că peste toată faţa pământului, hotărând
vremuri mai dinainte rânduite şi hotare-
le locuirii lor, 27ca să-L caute pe Domnul,
doar de L-ar pipăi şi L-ar afla, deşi nu
este departe de fiecare dintre noi. 28Căci
în El trăim şi ne mişcăm şi suntem, cum
şi unii dintre poeţii de la voi au zis: Căci
ai Lui neam şi suntem. 29Deci neamul lui
Dumnezeu fiind, nu trebuie să socotim
că dumnezeiescul este asemenea aurului

χαράγματι τέχνης καὶ ἐνθυμήσεως ἀνθρώπου, τὸ θεῖον εἶναι ὅμοιον. 30τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν, 31διότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. 32ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· ἀκουσόμεθά σου πάλιν περὶ τούτου. 33καὶ οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν. 34τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ ἐπίστευσαν, ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης καὶ γυνὴ ὀνόματι Δάμαρις καὶ ἕτεροι σὺν αὐτοῖς.

sau argintului sau pietrei, lucrului cioplit din meşteşugul şi gândul omului. 30Deci Dumnezeu, trecând cu vederea vremurile neştiinţei, acum vesteşte tuturor oamenilor de pretutindeni să se pocăiască, 31pentru că a pus o zi în care va să judece lumea cu dreptate, întru Bărbatul pe care L-a rânduit, de vreme ce a dăruit tuturor credinţă, înviindu-L pe El din morţi. 32Şi auzind de învierea morţilor, unii l-au luat în râs, iar alţii i-au zis: Te vom asculta şi altă dată despre aceasta. 33Şi astfel Pavel a ieşit din mijlocul lor. 34Dar unii bărbaţi, alăturându-i-se, au crezut, între care şi Dionisie Areopagitul, şi o femeie pe nume Damaris, şi alţii împreună cu ei.

Κεφάλαιον ΙΗ΄

Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν ἦλθεν εἰς Κόρινθον· 2καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ, διὰ τὸ διατεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἀπὸ τῆς Ῥώμης, προσῆλθεν αὐτοῖς, 3καὶ διὰ τὸ ὁμότεχνον εἶναι ἔμεινε παρ᾽ αὐτοῖς καὶ εἰργάζετο· ἦσαν γὰρ σκηνοποιοὶ τῇ τέχνῃ. 4διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλληνας. 5Ὡς δὲ κατῆλθον ἀπό τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ πνεύματι ὁ Παῦλος διαμαρτυρόμενος τοῖς Ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν. 6ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων,

Capitolul 18

Şi după acestea, plecând Pavel din Atena, a venit la Corint; 2şi aflând un iudeu pe nume Acvila, de neam din Pont, de curând venit din Italia, şi pe Priscila, femeia lui, pentru că poruncise Claudiu ca toţi iudeii să plece din Roma, a venit la ei. 3Şi, pentru că aveau acelaşi meşteşug, a rămas la ei şi lucra, căci după meşteşug erau făcători de corturi. 4Şi vorbea în sinagogă în fiecare sâmbătă şi îndupleca iudei şi elini. 5Iar când au coborât din Macedonia Sila şi Timotei, Pavel era cuprins de Duhul, mărturisind iudeilor pe Hristos, Iisus. 6Şi, împotrivindu-se ei şi hulind, el le-a zis, scuturându-şi hainele: Sângele vostru asupra capului vostru! Curat sunt eu. De acum

ἐκτιναξάμενος τὰ ἱμάτια εἶπε πρὸς αὐτούς· τὸ
αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν· καθαρὸς
ἐγώ· ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι.
7καὶ μεταβὰς ἐκεῖθεν ἦλθεν εἰς οἰκίαν τινὸς
ὀνόματι Ἰούστου, σεβομένου τὸν Θεόν, οὗ ἡ
οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ. 8Κρί-
σπος δὲ ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυ-
ρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ πολλοὶ τῶν
Κορινθίων ἀκούοντες ἐπίστευον καὶ ἐβα-
πτίζοντο. 9Εἶπε δὲ ὁ Κύριος δι' ὁράματος
ἐν νυκτὶ τῷ Παύλῳ· μὴ φοβοῦ, ἀλλὰ λάλει
καὶ μὴ σιωπήσῃς, 10διότι ἐγώ εἰμι μετὰ σοῦ,
καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε,
διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ.
11ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἓξ διδάσκων
ἐν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ. 12Γαλλίωνος
δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας κατεπέστη-
σαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ καὶ
ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα, 13λέγοντες ὅτι
παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώ-
πους σέβεσθαι τὸν Θεόν. 14μέλλοντος δὲ τοῦ
Παύλου ἀνοίγειν τὸ στόμα εἶπεν ὁ Γαλλίων
πρὸς τοὺς Ἰουδαίους· εἰ μὲν οὖν ἦν ἀδίκημά
τι ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ
λόγον ἂν ἠνεσχόμην ὑμῶν· 15εἰ δὲ ζήτημά ἐστι
περὶ λόγου καὶ ὀνομάτων καὶ νόμου τοῦ καθ'
ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς γὰρ ἐγὼ τούτων
οὐ βούλομαι εἶναι. 16καὶ ἀπῆλασεν αὐτοὺς
ἀπὸ τοῦ βήματος. 17ἐπιλαβόμενοι δὲ πάντες
οἱ Ἕλληνες Σωσθένην τὸν ἀρχισυνάγωγον
ἔτυπτον ἔμπροσθεν τοῦ βήματος· καὶ οὐδὲν
τούτων τῷ Γαλλίωνι ἔμελεν.

Ὁ δὲ Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανάς,
τοῖς ἀδελφοῖς ἀποταξάμενος ἐξέπλει εἰς
τὴν Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ
Ἀκύλας, κειράμενος τὴν κεφαλὴν ἐν Κεγ-
χρεαῖς· εἶχε γὰρ εὐχήν. 19κατήντησε δὲ εἰς
Ἔφεσον, κἀκείνους κατέλιπεν αὐτοῦ, αὐτὸς
δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν διελέχθη τοῖς
Ἰουδαίοις. 20ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείο-

mă voi duce la neamuri. 7Şi, mutându-se
de acolo, a venit în casa unuia, pe nu-
me Iustus, cinstitor de Dumnezeu, a că-
rui casă era învecinată cu sinagoga. 8Dar
Crispus, mai-marele sinagogii, a crezut
în Domnul, împreună cu toată casa sa; şi
mulţi dintre corinteni, auzind, credeau şi
se botezau. 9Şi i-a zis Domnul lui Pavel,
noaptea, în vedenie: Nu te teme, ci vor-
beşte şi nu tăcea, 10pentru că Eu sunt cu
tine şi nimeni nu va pune mâna pe tine
ca să-ţi facă rău, pentru că am mult po-
por în cetatea aceasta. 11Şi a stat un an şi
şase luni, învăţând între ei cuvântul lui
Dumnezeu. 12Şi, pe când Galion era pro-
consulul Ahaiei, s-au ridicat într-un cu-
get iudeii împotriva lui Pavel şi l-au adus
la scaunul de judecată, 13zicând: Acesta
îi înduplecă pe oameni să se închine lui
Dumnezeu împotriva Legii. 14Şi vrând Pa-
vel să deschidă gura, a zis Galion către iu-
dei: Dacă ar fi vreo nedreptate sau vreo
faptă vicleană, o, iudeilor, v-aş îngădui cu
bună socotinţă; 15dar, dacă este vreo neîn-
ţelegere despre cuvânt şi despre nume şi
despre legea voastră, vedeţi voi înşivă;
căci eu nu vreau să fiu judecător al acesto-
ra. 16Şi i-a alungat de la scaunul de judeca-
tă. 17Şi prinzându-l toţi elinii pe Sostene,
mai-marele sinagogii, îl băteau înaintea
scaunului de judecată; şi lui Galion nu-i
păsa de nimic din acestea.

Şi Pavel, zăbovind încă multe zile, şi-a
luat rămas bun de la fraţi şi a plecat
cu corabia spre Siria, şi cu el Priscila şi
Acvila, care-şi tunsese capul la Chenhreea,
căci avea o făgăduinţă. 19Şi a sosit la
Efes, şi i-a lăsat acolo pe aceia; iar el, in-
trând în sinagogă, le-a vorbit iudeilor.
20Şi rugându-l să rămână la ei mai multă

να χρόνον μεῖναι παρ' αὐτοῖς οὐκ ἐπένευσεν,
21ἀλλὰ ἀπετάξατο αὐτοῖς εἰπών· δεῖ με πάντως
τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱερο-
σόλυμα, πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς τοῦ
Θεοῦ θέλοντος. καὶ ἀνήχθη ἀπὸ τῆς Ἐφέσου,
22καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς καὶ
ἀσπασάμενος τὴν ἐκκλησίαν κατέβη εἰς Ἀντι-
όχειαν, 23καὶ ποιήσας χρόνον τινὰ ἐξῆλθε δι-
ερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ
Φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς.
Ἰουδαῖος δέ τις Ἀπολλὼς ὀνόματι, Ἀλεξαν-
δρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς
Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. 25οὗτος
ἦν κατηχημένος τὴν ὁδὸν τοῦ Κυρίου, καὶ ζέων
τῷ πνεύματι ἐλάλει καὶ ἐδίδασκεν ἀκριβῶς τὰ
περὶ τοῦ Κυρίου, ἐπιστάμενος μόνον τὸ βάπτι-
σμα Ἰωάννου· 26οὗτός τε ἤρξατο παρρησιάζε-
σθαι ἐν τῇ συναγωγῇ. ἀκούσαντες δὲ αὐτοῦ
Ἀκύλας καὶ Πρίσκιλλα προσελάβοντο αὐτὸν
καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν ὁδὸν τοῦ
Θεοῦ. 27βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν
Ἀχαΐαν προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν
τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν· ὃς παρα-
γενόμενος συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι
διὰ τῆς χάριτος· 28εὐτόνως γὰρ τοῖς Ἰουδαίοις
διακατηλέγχετο δημοσίᾳ ἐπιδεικνὺς διὰ τῶν
γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν.

vreme, n-a încuviințat, 21ci şi-a luat rămas
bun de la ei, zicând: Trebuie negreşit ca
praznicul care vine să-l fac la Ierusalim,
dar iarăşi mă voi întoarce la voi, de va
voi Dumnezeu. Şi a plecat pe mare de la
Efes 22şi, coborând la Cezareea, s-a suit
(la Ierusalim) şi, îmbrățișând Biserica, a
coborât la Antiohia. 23Şi stând acolo cât-
va timp, a ieşit, străbătând pe rând ținutul
Galatiei şi Frigia, întărind pe toți ucenicii.
Iar un iudeu cu numele Apollo, alexan-
drin de neam, bărbat iscusit la cuvânt,
puternic fiind în Scripturi, a sosit la Efes.
25Acesta era învățat în Calea Domnului şi,
arzând cu duhul, grăia şi învăța cu acrivie
cele despre Domnul, ştiind numai de bo-
tezul lui Ioan. 26Şi acesta a început să vor-
bească cu îndrăzneală în sinagogă şi, au-
zindu-l Priscila şi Acvila, l-au luat cu ei şi
i-au înfățişat cu mai multă acrivie Calea
lui Dumnezeu. 27Şi, pentru că voia să trea-
că în Ahaia, frații, îndemnându-l, au scris
ucenicilor să-l primească; iar el, sosind,
le-a fost de mult folos celor ce crezuse-
ră prin har; 28căci cu tărie îi înfrunta pe
iudei înaintea poporului, dovedind prin
Scripturi că Iisus este Hristosul.

Κεφάλαιον ΙΘ΄

Γένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ εἶναι
ἐν Κορίνθῳ Παῦλον διελθόντα τὰ
ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς Ἔφε-
σον· καὶ εὑρών μαθητάς τινας 2εἶ-
πε πρὸς αὐτούς· εἰ Πνεῦμα Ἅγιον
ἐλάβετε πιστεύσαντες; οἱ δὲ εἶπον
πρὸς αὐτόν· ἀλλ' οὐδὲ εἰ Πνεῦμα

Capitolul 19

Şi a fost, pe când Apolo era în Co-
rint, că Pavel, străbătând părțile
de sus, a venit în Efes. Şi aflând
câțiva ucenici, 2a zis către ei: Ați
primit Duhul Sfânt când ați cre-
zut? Iar ei au zis către el: Dar nici
n-am auzit să fie Duh Sfânt. 3Şi a zis către

Ἅγιόν ἐστιν ἠκούσαμεν. 3εἶπέ τε πρὸς αὐτούς· εἰς τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπον· εἰς τὸ Ἰωάννου βάπτισμα. 4εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων εἰς τὸν ἐρχόμενον μετ᾽ αὐτὸν ἵνα πιστεύσωσι, τοῦτ᾽ ἔστιν εἰς τὸν Ἰησοῦν Χριστόν. 5ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. 6καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας ἦλθε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ᾽ αὐτούς, ἐλάλουν τε γλώσσαις καὶ προεφήτευον. 7ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο. 8Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν ἐπαρρησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ. 9ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ᾽ αὐτῶν ἀφώρισε τοὺς μαθητάς, καθ᾽ ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου τινός. 10τοῦτο δὲ ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας τοὺς κατοικοῦντας τὴν Ἀσίαν ἀκοῦσαι τὸν λόγον τοῦ Κυρίου Ἰησοῦ, Ἰουδαίους τε καὶ Ἕλληνας.

Δυνάμεις τε οὐ τὰς τυχούσας ἐποίει ὁ Θεὸς διὰ τῶν χειρῶν Παύλου, 12ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρωτὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια καὶ ἀπαλλάσσεσθαι ἀπ᾽ αὐτῶν τὰς νόσους, τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ᾽ αὐτῶν. 13Ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων Ἰουδαίων ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ λέγοντες· ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν ὃν ὁ Παῦλος κηρύσσει. 14ἦσαν δέ τινες υἱοὶ Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ οἱ τοῦτο ποιοῦντες. 15ἀποκριθὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν εἶπε· τὸν Ἰησοῦν γινώσκω καὶ τὸν Παῦλον ἐπίσταμαι· ὑμεῖς δὲ τίνες ἐστέ; 16καὶ ἐφαλλόμενος ἐπ᾽ αὐτοὺς ὁ ἄνθρωπος, ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρόν, καὶ κατακυριεύσας αὐτῶν ἴσχυσε κατ᾽ αὐτῶν, ὥστε γυμ-

ei: Atunci în ce v-aţi botezat? Iar ei au zis: În botezul lui Ioan. 4Şi a zis Pavel: Ioan a botezat cu botezul pocăinţei, zicând poporului să creadă în Cel ce vine după el, adică în Iisus Hristos. 5Şi auzind, s-au botezat în numele Domnului Iisus. 6Şi punându-şi Pavel mâinile peste ei, a venit Duhul Sfânt peste ei şi vorbeau în limbi şi prooroceau. 7Şi erau toţi ca la doisprezece bărbaţi. 8Şi el, intrând în sinagogă, a vorbit cu îndrăzneală vreme de trei luni, încredinţându-i de cele despre Împărăţia lui Dumnezeu. 9Şi cum unii se învârtoşau şi nu credeau, vorbind de rău Calea înaintea mulţimii, depărtându-se de ei, i-a osebit pe ucenici, în fiecare zi vorbind în şcoala unui oarecare Tiranus. 10Şi aceasta s-a întâmplat vreme de doi ani, încât toţi cei ce locuiau în Asia au auzit cuvântul Domnului Iisus, şi iudei şi elini.

Şi puteri nemaiîntâlnite făcea Dumnezeu prin mâinile lui Pavel. 12Încât şi peste cei bolnavi se puneau mahrame sau şorţuri de pe trupul lui Pavel, şi bolile se depărtau de ei, şi duhurile cele viclene ieşeau din ei. 13Iar unii dintre iudeii care cutreierau lumea, izgonitori de draci, au încercat să numească peste cei ce aveau duhurile cele viclene numele Domnului Iisus, zicând: Vă jurăm pe Iisus, pe Care-l propovăduieşte Pavel! 14Şi erau unii, şapte la număr, fiii lui Scheva, arhiereu Iudeu, cei care făceau aceasta. 15Şi răspunzând, duhul cel viclean a zis: Pe Iisus Îl cunosc şi pe Pavel îl ştiu, dar voi cine sunteţi? 16Şi sărind asupra lor omul în care era duhul cel viclean şi biruindu-i, s-a arătat mai tare decât ei, încât ei au fugit goi

νοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου ἐκείνου. 17τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον, καὶ ἐπέπεσε φόβος ἐπὶ πάντας αὐτούς, καὶ ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ· 18πολλοί τε τῶν πεπιστευκότων ἤρχοντο ἐξομολογούμενοι καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν. 19ἱκανοὶ δὲ τῶν τὰ περίεργα πραξάντων συνενέγκαντες τὰς βίβλους κατέκαιον ἐνώπιον πάντων· καὶ συνεψήφισαν τὰς τιμὰς αὐτῶν καὶ εὗρον ἀργυρίου μυριάδας πέντε. 20Οὕτω κατὰ κράτος ὁ λόγος τοῦ Κυρίου ηὔξανε καὶ ἴσχυεν.

Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν πορεύεσθαι εἰς Ἰερουσαλήμ, εἰπὼν ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ δεῖ με καὶ Ῥώμην ἰδεῖν. 22ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, αὐτὸς ἐπέσχε χρόνον εἰς τὴν Ἀσίαν. 23Ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ. 24Δημήτριος γάρ τις ὀνόματι, ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος παρείχετο τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην· 25οὓς συναθροίσας καὶ τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας εἶπεν· ἄνδρες, ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστι, 26καὶ θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον Ἐφέσου, ἀλλὰ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας μετέστησεν ἱκανὸν ὄχλον, λέγων ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι. 27οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς Ἀρτέμιδος ἱερὸν εἰς οὐθὲν λογισθῆναι, μέλλειν τε καὶ καθαιρεῖσθαι τὴν μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ Ἀσία καὶ ἡ οἰκουμένη σέβεται. 28ἀκούσαντες δὲ καὶ γενόμενοι πλῆρεις θυμοῦ ἔκραζον λέγοντες· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. 29καὶ

şi răniţi din casa aceea. 17Şi acest lucru s-a făcut cunoscut tuturor iudeilor şi elinilor care locuiau în Efes, şi a căzut frică peste toţi aceştia şi se mărea numele Domnului Iisus. 18Şi mulţi dintre cei ce crezuseră veneau mărturisindu-se şi vestind faptele lor. 19Şi destui dintre cei ce făcuseră vrăjitorie, aducându-şi cărţile, le ardeau în faţa tuturor; şi au socotit preţurile lor şi au aflat cincizeci de mii de arginţi. 20Astfel cu putere cuvântul Domnului creştea şi se întărea.

Şi când s-au împlinit acestea, Pavel a hotărât în Duhul ca, trecând prin Macedonia şi Ahaia să meargă la Ierusalim, zicând: După ce voi fi eu acolo, trebuie să văd şi Roma. 22Şi trimiţând în Macedonia pe doi dintre cei care îi slujeau, pe Timotei şi pe Erast, el însuşi a rămas o vreme în Asia. 23Şi nu mică tulburare s-a făcut în vremea aceea despre Cale. 24Căci un argintar, pe nume Dimitrie, care făcea temple de argint ale lui Artemis, le dădea meşterilor nu puţin de lucru; 25adunându-i pe ei şi pe cei care lucrau la unele ca acestea, le-a zis: Bărbaţilor, ştiţi că din această lucrare este bunăstarea noastră. 26Şi voi vedeţi şi auziţi că nu numai în Efes, ci aproape în toată Asia, Pavel acesta, înduplecând, a întors multă mulţime, zicând că nu sunt dumnezei cei făcuţi de mâini. 27Suntem în primejdie nu numai ca partea noastră să nu mai fie preţuită, ci şi ca templul marii zeiţe Artemis să fie socotit de nimic, ba încă să se nimicească măreţia aceleia, pe care o cinsteşte toată Asia şi lumea întreagă. 28Şi auzind ei şi umplându-se de mânie, strigau zicând: Mare

ἐπλήσθη ἡ πόλις ὅλη τῆς συγχύσεως, ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον συναρπάσαντες Γάϊον καὶ Ἀρίσταρχον Μακεδόνας, συνεκδήμους Παύλου. 30τοῦ δὲ Παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον οὐκ εἴων αὐτὸν οἱ μαθηταί· 31τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν, ὄντες αὐτῷ φίλοι, πέμψαντες πρὸς αὐτὸν παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον. 32ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον· ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη, καὶ οἱ πλείους οὐκ ᾔδεισαν τίνος ἕνεκεν συνεληλύθεισαν. 33ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν Ἀλέξανδρον, προβαλλόντων αὐτὸν τῶν Ἰουδαίων· ὁ δὲ Ἀλέξανδρος κατασείσας τὴν χεῖρα ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ. 34ἐπιγνόντες δὲ ὅτι Ἰουδαῖός ἐστι, φωνὴ ἐγένετο μία ἐκ πάντων, ὡς ἐπὶ ὥρας δύο κραζόντων· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. 35καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον φησίν· ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς; 36ἀναντιρρήτων οὖν ὄντων τούτων δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν καὶ μηδὲν προπετὲς πράσσειν. 37ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους οὔτε ἱεροσύλους οὔτε βλασφημοῦντας τὴν θεὰν ὑμῶν. 38εἰ μὲν οὖν Δημήτριος καὶ οἱ σὺν αὐτῷ τεχνῖται ἔχουσι πρός τινα λόγον, ἀγοραῖοι ἄγονται καὶ ἀνθύπατοί εἰσιν, ἐγκαλείτωσαν ἀλλήλοις. 39εἰ δέ τι περὶ ἑτέρων ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται. 40καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος περὶ οὗ δυνησόμεθα ἀποδοῦναι λόγον τῆς συστροφῆς ταύτης. 41καὶ ταῦτα εἰπὼν ἀπέλυσε τὴν ἐκκλησίαν.

este Artemis a efesenilor! 29Şi s-a umplut toată cetatea de tulburare şi au dat năvală toţi deodată la teatru, apucându-i pe Gaius şi Aristarh, macedonenii, însoţitorii lui Pavel. 30Şi vrând Pavel să vină în faţa poporului, nu l-au lăsat ucenicii. 31Iar unii dintre căpeteniile celor din Asia, care îi erau prieteni, trimiţând la el, îl rugau să nu se ducă în teatru. 32Deci, unii strigau una, alţii strigau alta; căci adunarea era tulburată, şi cei mai mulţi nu ştiau pentru ce se adunaseră. 33Iar din mulţime l-au scos în faţă pe Alexandru, iudeii împingându-l înainte; şi Alexandru, făcând semn cu mâna, voia să se apere înaintea poporului. 34Şi cunoscând că este iudeu, s-a făcut un singur glas din toţi, strigând ca la două ceasuri: Mare este Artemis a efesenilor! 35Iar grămăticul cetăţii, potolind mulţimea, a zis: Bărbaţi efeseni, cine este omul care nu cunoaşte că cetatea efesenilor este păzitoarea templului marii zeiţe Artemis şi a statuii Căzute-de-la-Zeus? 36Deci, fiind acestea de netăgăduit, este de trebuinţă să vă potoliţi şi să nu faceţi nimic pripit. 37Căci i-aţi adus pe bărbaţii aceştia, care nu sunt nici furi de cele sfinte, nici nu o hulesc pe zeiţa voastră. 38Iar dacă Dimitrie şi meşterii cei dimpreună cu el au vreo pricină împotriva cuiva, sunt rânduite zile de judecată şi sunt proconsuli; să se învinuiască unii pe alţii! 39Iar de căutaţi altceva, se va lămuri în adunarea legiuită; 40că suntem şi în primejdie să fim învinuiţi de răscoală pentru astăzi, nefiind nici o pricină pentru care să putem da seama de vălmăşagul acesta. 41Şi acestea zicând, a slobozit adunarea.

Κεφάλαιον Κ΄

Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον προσκαλεσάμενος ὁ Παῦλος τοὺς μαθητὰς καὶ ἀσπασάμενος ἐξῆλθε πορευθῆναι εἰς Μακεδονίαν. 2διελθὼν δὲ τὰ μέρη ἐκεῖνα καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ ἦλθεν εἰς τὴν Ἑλλάδα· 3ποιήσας τε μῆνας τρεῖς, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων μέλλοντι ἀνάγεσθαι εἰς τὴν Συρίαν, ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ Μακεδονίας. 4συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Βεροιαῖος, Θεσσαλονικέων δὲ Ἀρίσταρχος καὶ Σεκοῦνδος, καὶ Γάϊος Δερβαῖος καὶ Τιμόθεος, Ἀσιανοὶ δὲ Τυχικὸς καὶ Τρόφιμος. 5οὗτοι προελθόντες ἔμενον ἡμᾶς ἐν Τρῳάδι· 6ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ Φιλίππων καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρῳάδα ἄχρις ἡμερῶν πέντε, οὗ διετρίψαμεν ἡμέρας ἑπτά.

Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων συνηγμένων τῶν μαθητῶν κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπαύριον, παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου. 8ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ οὗ ἦμεν συνηγμένοι. 9καθήμενος δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς ἀπὸ τοῦ ὕπνου ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω καὶ ἤρθη νεκρός. 10καταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν αὐτῷ καὶ συμπεριλαβὼν εἶπε· μὴ θορυβεῖσθε· ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. 11ἀναβὰς δὲ καὶ κλάσας ἄρτον καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας

Capitolul 20

Şi după ce a încetat zarva, Pavel, chemând pe ucenici şi îmbrăţişându-i, a ieşit să meargă în Macedonia. 2Şi străbătând părţile acelea şi mângâindu-i cu cuvânt mult, a venit în Elada; 3şi stând acolo trei luni, şi făcându-se uneltire împotriva lui de către iudei când era să meargă pe mare în Siria, s-a hotărât să se întoarcă prin Macedonia. 4Şi îl însoţeau până în Asia Sopatru din Veria, dintre tesaloniceni Aristarh şi Secundus, şi Gaius din Derbe şi Timotei, iar din Asia Tihic şi Trofim. 5Aceştia, plecând mai înainte, ne aşteptau pe noi în Troa. 6Iar noi, după zilele Azimelor, am pornit cu corabia de la Filipi şi în cinci zile am ajuns la ei, în Troa, unde am petrecut şapte zile.

Iar în prima zi a săptămânii, adunându-se ucenicii să frângă pâinea, Pavel le vorbea, urmând să plece a doua zi; şi a lungit cuvântul până la miezul nopţii. 8Şi erau făclii multe în camera de sus unde eram adunaţi. 9Iar un tânăr pe nume Eutihie, şezând la fereastră şi fiind cuprins de somn adânc, pentru că Pavel a lungit cuvântul, a fost doborât de somn şi a căzut de la catul al treilea şi l-au ridicat mort. 10Şi coborându-se Pavel, s-a aruncat peste el şi, luându-l în braţe, a zis: Nu vă tulburaţi! Căci sufletul lui este în el. 11Şi suindu-se, frângând pâinea şi gustând, şi cuvântând din

ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν. 12ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως.

Ἡμεῖς δὲ προελθόντες ἐπὶ τὸ πλοῖον ἀνήχθημεν εἰς τὴν Ἄσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦλον· οὕτω γὰρ ἦν διατεταγμένος, μέλλων αὐτὸς πεζεύειν. 14ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν Ἄσσον, ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς Μυτιλήνην· 15κἀκεῖθεν ἀποπλεύσαντες τῇ ἐπιούσῃ κατηντήσαμεν ἀντικρὺ Χίου, τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον, καὶ μείναντες ἐν Τρωγυλίῳ τῇ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον. 16ἔκρινε γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ· ἔσπευδε γάρ, εἰ δυνατὸν ἦν αὐτῷ, τὴν ἡμέραν τῆς πεντηκοστῆς γενέσθαι εἰς Ἰεροσόλυμα.

Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. 18ὡς δὲ παρεγένοντο πρὸς αὐτόν, εἶπεν αὐτοῖς· ὑμεῖς ἐπίστασθε, ἀπὸ πρώτης ἡμέρας ἀφ' ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενόμην, 19δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης καὶ πολλῶν δακρύων καὶ πειρασμῶν τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων, 20ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ' οἴκους, 21διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς τὸν Θεὸν μετάνοιαν καὶ πίστιν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. 22καὶ νῦν ἰδοὺ ἐγὼ δεδεμένος τῷ πνεύματι πορεύομαι εἰς Ἰερουσαλήμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς, 23πλὴν ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον κατὰ πόλιν διαμαρτύρεταί λέγον ὅτι δεσμά με καὶ θλίψεις μένουσιν. 24ἀλλ' οὐδενὸς λόγον ποιοῦμαι οὐδὲ ἔχω τὴν ψυχήν μου τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύ-

destul până în zori, aşa a ieşit. 12Şi l-au adus pe copil viu şi s-au mângâiat nu puţin.

Iar noi, venind la corabie, am plutit spre Assos, de acolo urmând să îl luăm pe Pavel; căci astfel poruncise, el însuşi având să vină pe jos. 14Şi după ce ne-a întâlnit în Assos, luându-l în corabie, am venit la Mitilene; 15şi de acolo, plecând cu corabia, a doua zi am sosit în dreptul insulei Hios, iar în cealaltă am ajuns în Samos şi, rămânând la Troghilion, ziua următoare am venit la Milet. 16Căci Pavel a hotărât să treacă pe apă pe lângă Efes, ca să nu i se întâmple să zăbovească în Asia; căci se grăbea, dacă i-ar fi fost cu putinţă, să fie în ziua Cincizecimii la Ierusalim.

Şi din Milet, trimiţând la Efes, i-a chemat pe preoţii Bisericii. 18Şi când au venit la el, le-a zis: Voi ştiţi, din prima zi în care am venit în Asia, cum am fost cu voi în toată vremea, 19slujind Domnului cu toată smerita-cugetare şi cu multe lacrimi şi încercări, care mi s-au întâmplat prin uneltirile iudeilor, 20cum n-am ascuns nimic din cele folositoare, ca să nu vi le vestesc şi să nu vă învăţ înaintea poporului şi prin case, 21dând mărturie şi iudeilor şi elinilor despre pocăinţa către Dumnezeu şi credinţa cea în Domnul nostru Iisus Hristos. 22Şi acum iată că, fiind eu legat de Duhul, merg la Ierusalim, neştiind cele ce mă vor întâmpina acolo, 23numai că Duhul Sfânt dă mărturie prin cetăţi, zicând că lanţuri şi strâmtorări mă aşteaptă. 24Dar de nimic nu ţin seama, nici nu pun preţ pe sufletul meu, ca să săvârşesc drumul meu cu bucurie şi slujirea pe care am luat-o de la Domnul Iisus, de a mărturisi Evanghelia harului lui Dumnezeu. 25Şi acum, ia-

ρασθαι τὸ εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ.
25καὶ νῦν ἰδοὺ ἐγὼ οἶδα ὅτι οὐκέτι ὄψεσθε τὸ
πρόσωπόν μου ὑμεῖς πάντες, ἐν οἷς διῆλθον
κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ. 26διὸ μαρ-
τύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ ὅτι καθα-
ρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων· 27οὐ γὰρ
ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν πᾶσαν
τὴν βουλὴν τοῦ Θεοῦ. 28προσέχετε οὖν ἑαυ-
τοῖς καὶ παντὶ τῷ ποιμνίῳ ἐν ᾧ ὑμᾶς τὸ Πνεῦ-
μα τὸ Ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν
τὴν ἐκκλησίαν τοῦ Κυρίου καὶ Θεοῦ, ἣν πε-
ριεποιήσατο διὰ τοῦ ἰδίου αἵματος. 29ἐγὼ γὰρ
οἶδα τοῦτο, ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν
μου λύκοι βαρεῖς εἰς ὑμᾶς μὴ φειδόμενοι τοῦ
ποιμνίου· 30καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται
ἄνδρες λαλοῦντες διεστραμμένα τοῦ ἀποσπᾶν
τοὺς μαθητὰς ὀπίσω αὐτῶν. 31διὸ γρηγορεῖτε,
μνημονεύοντες ὅτι τριετίαν νύκτα καὶ ἡμέραν
οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα
ἕκαστον. 32καὶ τὰ νῦν παρατίθεμαι ὑμᾶς, ἀδελ-
φοί, τῷ Θεῷ καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ
τῷ δυναμένῳ ἐποικοδομῆσαι καὶ δοῦναι
ὑμῖν κληρονομίαν ἐν τοῖς ἡγιασμένοις πᾶσιν.
33ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς
ἐπεθύμησα· 34αὐτοὶ γινώσκετε ὅτι ταῖς χρεί-
αις μου καὶ τοῖς οὖσι μετ᾽ ἐμοῦ ὑπηρέτησαν
αἱ χεῖρες αὗται. 35πάντα ὑπέδειξα ὑμῖν ὅτι
οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν
ἀσθενούντων, μνημονεύειν τε τὸν λόγον τοῦ
Κυρίου Ἰησοῦ, ὅτι αὐτὸς εἶπε· μακάριόν ἐστι
μᾶλλον διδόναι ἢ λαμβάνειν. 36καὶ ταῦτα εἰ-
πὼν, θεὶς τὰ γόνατα αὐτοῦ σὺν πᾶσιν αὐτοῖς
προσηύξατο. 37ἱκανὸς δὲ ἐγένετο κλαυθμὸς
πάντων, καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον
τοῦ Παύλου κατεφίλουν αὐτόν, 38ὀδυνώμε-
νοι μάλιστα ἐπὶ τῷ λόγῳ ᾧ εἰρήκει, ὅτι οὐκέτι
μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. προέ-
πεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον.

tă, eu ştiu că nu veţi mai vedea faţa mea
voi toţi, cei între care am petrecut propo-
văduind Împărăţia lui Dumnezeu. 26Pentru
aceea mărturisesc vouă în ziua de astăzi
că sunt curat de sângele tuturor; 27căci nu
m-am dat înapoi să vă vestesc tot sfatul lui
Dumnezeu. 28Luaţi, dar, aminte la voi în-
şivă şi la toată turma întru care Duhul cel
Sfânt v-a pus pe voi episcopi, ca să păsto-
riţi Biserica Domnului şi Dumnezeu, pe
care a dobândit-o prin însuşi sângele Său.
29Căci eu ştiu aceasta, că după plecarea
mea vor intra lupi fioroşi între voi, care
nu vor cruţa turma; 30şi dintre voi înşivă se
vor scula bărbaţi, grăind lucruri strâmbe,
ca să tragă pe ucenici în urma lor. 31Pentru
aceea, privegheaţi, aducându-vă aminte că
timp de trei ani, noaptea şi ziua, n-am în-
cetat cu lacrimi să vă îndemn pe fiecare în
parte. 32Şi acum vă încredinţez pe voi, fra-
ţilor, lui Dumnezeu şi cuvântului harului
Său, care poate să vă zidească şi să vă dea
moştenire între toţi cei sfinţiţi. 33Argint,
sau aur, sau haină, de la nimeni n-am pof-
tit; 34voi înşivă cunoaşteţi că mâinile aces-
tea au slujit trebuinţelor mele şi ale celor
ce erau cu mine. 35În toate v-am arătat vo-
uă că, în chipul acesta ostenindu-vă, tre-
buie să sprijiniţi pe cei slabi şi să vă adu-
ceţi aminte de cuvântul Domnului Iisus,
că El a zis: Mai fericit este a da decât a
lua. 36Şi zicând acestea, plecându-şi genun-
chii împreună cu toţi ceilalţi, s-a rugat. 37Şi
plângere multă s-a făcut de toţi şi, căzând
pe grumazul lui Pavel, îl sărutau, 38cuprinşi
de durere mai ales pentru cuvântul pe care
îl spusese, că n-au să mai vadă faţa lui. Şi
l-au petrecut la corabie.

Κεφάλαιον ΚΑ΄

Ὡς δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ᾽ αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶ, τῇ δὲ ἑξῆς εἰς τὴν Ῥόδον, κἀκεῖθεν εἰς Πάταρα. 2καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην ἐπιβάντες ἀνήχθημεν. 3ἀναφανέντες δὲ τὴν Κύπρον καὶ καταλιπόντες αὐτὴν εὐώνυμον ἐπλέομεν εἰς Συρίαν, καὶ κατήχθημεν εἰς Τύρον· ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν γόμον. 4καὶ ἀνευρόντες τοὺς μαθητὰς ἐπεμείναμεν αὐτοῦ ἡμέρας ἑπτά· οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ Πνεύματος μὴ ἀναβαίνειν εἰς Ἰερουσόλυμα. 5ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ καὶ τέκνοις ἕως ἔξω τῆς πόλεως, καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν προσηυξάμεθα, 6καὶ ἀσπασάμενοι ἀλλήλους ἐπέβημεν εἰς τὸ πλοῖον, ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια. 7Ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ Τύρου κατηντήσαμεν εἰς Πτολεμαΐδα, καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς ἐμείναμεν ἡμέραν μίαν παρ᾽ αὐτοῖς. 8τῇ δὲ ἐπαύριον ἐξελθόντες ἤλθομεν εἰς Καισάρειαν, καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ, ὄντος ἐκ τῶν ἑπτά, ἐμείναμεν παρ᾽ αὐτῷ. 9τούτῳ δὲ ἦσαν θυγατέρες παρθένοι τέσσαρες προφητεύουσαι. 10ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους κατῆλθέ τις ἀπὸ τῆς Ἰουδαίας προφήτης ὀνόματι Ἄγαβος, 11καὶ ἐλθὼν πρὸς ἡμᾶς καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας τε αὐτοῦ τοὺς πόδας καὶ τὰς χεῖρας εἶπε· τάδε λέγει τὸ Πνεῦμα τὸ Ἅγιον· τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν εἰς Ἰερουσαλὴμ οἱ Ἰουδαῖοι καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν.

Capitolul 21

Şi a fost că, după ce ne-am despărţit de ei, am plecat pe mare şi, mergând drept, am venit la Cos, iar a doua zi la Rodos, şi de acolo la Patara. 2Şi, găsind o corabie care trecea marea spre Fenicia, urcându-ne în ea, am plecat. 3Şi zărind Ciprul şi lăsându-l la stânga, am plutit spre Siria şi am coborât la Tir; căci acolo corabia avea să descarce încărcătura. 4Şi găsind pe ucenici, am rămas acolo şapte zile; aceştia îi spuneau lui Pavel, prin Duhul, să nu se suie la Ierusalim. 5Şi când am împlinit zilele, ieşind noi, am plecat, petrecându-ne toţi, cu femei şi copii, până afară din cetate; şi plecând genunchii pe ţărm, ne-am rugat. 6Şi îmbrăţişându-ne unii pe alţii, ne-am urcat în corabie, iar aceia s-au întors la ale lor. 7Iar noi, sfârşind călătoria pe mare, de la Tir am ajuns la Ptolemaida şi, îmbrăţişându-i pe fraţi, am rămas la ei o zi. 8Iar a doua zi, ieşind, am venit la Cezareea, şi intrând în casa lui Filip evanghelistul, care era dintre cei şapte, am rămas la el. 9Şi acesta avea patru fiice, fecioare, care prooroceau. 10Şi rămânând noi mai multe zile, a coborât din Iudeea un prooroc pe nume Agav; 11şi, venind la noi, a luat brâul lui Pavel, şi-a legat picioarele şi mâinile şi a zis: Acestea zice Duhul Sfânt: Pe bărbatul al căruia este acest brâu, aşa îl vor lega în Ierusalim iudeii şi-l vor preda în mâinile neamurilor. 12Iar când am auzit acestea, îl rugam şi noi, şi localnicii, să nu se suie la Ierusalim. 13Şi a răspuns Pavel:

12ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς
τε καὶ οἱ ἐντόπιοι τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς
Ἰερουσαλήμ. 13ἀπεκρίθη τε ὁ Παῦλος· τί ποιεῖτε
κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν;
ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν
εἰς Ἰερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόμα-
τος τοῦ Κυρίου Ἰησοῦ. 14μὴ πειθομένου δὲ αὐ-
τοῦ ἡσυχάσαμεν εἰπόντες· τὸ θέλημα τοῦ Κυ-
ρίου γινέσθω. 15Μετὰ δὲ τὰς ἡμέρας ταύτας
ἐπισκευασάμενοι ἀνεβαίνομεν εἰς Ἰερουσαλήμ·
16συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας
σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ ξενισθῶμεν Μνάσωνί
τινι Κυπρίῳ, ἀρχαίῳ μαθητῇ.

Γενομένων δὲ ἡμῶν εἰς Ἰεροσόλυμα ἀσμέ-
νως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί. 18τῇ δὲ ἐπι-
ούσῃ εἰσήει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκω-
βον, πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι.
19καὶ ἀσπασάμενος αὐτοὺς ἐξηγεῖτο καθ' ἓν
ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι
διὰ τῆς διακονίας αὐτοῦ. 20οἱ δὲ ἀκούσαντες
ἐδόξαζον τὸν Κύριον, εἶπόν τε αὐτῷ· θεωρεῖς,
ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν
πεπιστευκότων, καὶ πάντες ζηλωταὶ τοῦ νόμου
ὑπάρχουσι. 21κατηχήθησαν δὲ περὶ σοῦ ὅτι
ἀποστασίαν διδάσκεις ἀπὸ Μωϋσέως τοὺς
κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ
περιτέμνειν αὐτοὺς τὰ τέκνα μηδὲ τοῖς ἔθεσι
περιπατεῖν. 22τί οὖν ἐστι; πάντως δεῖ πλῆθος
συνελθεῖν· ἀκούσονται γὰρ ὅτι ἐλήλυθας.
23τοῦτο οὖν ποίησον ὅ σοι λέγομεν· εἰσὶν ἡμῖν
ἄνδρες τέσσαρες εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν·
24τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς
καὶ δαπάνησον ἐπ' αὐτοῖς ἵνα ξυρήσωνται τὴν
κεφαλήν, καὶ γνῶσι πάντες ὅτι ὧν κατήχηνται
περὶ σοῦ οὐδέν ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς
τὸν νόμον φυλάσσων. 25περὶ δὲ τῶν πεπιστευ-
κότων ἐθνῶν ἡμεῖς ἐπεστείλαμεν κρίναντες
μηδὲν τοιοῦτον τηρεῖν αὐτούς, εἰ μὴ φυλάσσε-
σθαι αὐτοὺς τό τε εἰδωλόθυτον καὶ τὸ αἷμα
καὶ πνικτὸν καὶ πορνείαν. 26τότε ὁ Παῦλος

Ce faceți de plângeți şi-mi zdrobiți inima?
Căci eu sunt gata nu numai să fiu legat,
ci să şi mor în Ierusalim pentru numele
Domnului Iisus. 14Şi nelăsându-se el îndu-
plecat, ne-am liniştit, zicând: Voia Dom-
nului facă-se. 15Iar după zilele acestea,
pregătindu-ne, ne-am suit la Ierusalim.
16Şi au venit împreună cu noi şi dintre
ucenicii din Cezareea, ducându-ne la un
oarecare Mnason cipriotul, vechi ucenic,
la care am fost găzduiți.

Şi ajungând la Ierusalim, frații ne-au
primit cu bucurie. 18Iar a doua zi Pavel
a intrat împreună cu noi la Iacov şi au ve-
nit acolo toți preoții. 19Şi îmbrățişându-i
le povestea pe rând cele pe care le-a făcut
Dumnezeu între neamuri, prin slujirea lui.
20Şi ei auzind, slăveau pe Domnul şi i-au
zis: Vezi, frate, câte mii de iudei au crezut
şi toți sunt râvnitori pentru Lege. 21Şi lor li
s-a spus despre tine că îi înveți lepădarea
de Moise pe toți iudeii care sunt la nea-
muri, zicându-le să nu-şi taie împrejur fiii,
nici să umble după datini. 22Ce este deci?
Negreşit are să se adune mulțime, căci vor
auzi că ai venit. 23Fă, deci, ceea ce îți spu-
nem. Sunt la noi patru bărbați, având asu-
pra lor o făgăduință; 24pe aceştia luându-i,
curățeşte-te împreună cu ei şi cheltuieşte
pentru ei ca să-şi radă capul, şi vor cu-
noaşte toți că nimic nu este adevărat din
cele ce se spun despre tine, ci umbli păzind tu însuți Legea. 25Cât despre neamurile care au crezut, noi le-am trimis epistolă, judecând ca ei să nu țină nimic de acest fel, decât să se păzească de ceea ce este jertfit idolilor şi de sânge şi de ceea ce este sugrumat şi de desfrâu. 26Atunci

παραλαβὼν τοὺς ἄνδρας τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερόν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά.

Ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ συνέχεον πάντα τὸν ὄχλον, καὶ ἐπέβαλον τὰς χεῖρας ἐπ' αὐτὸν [28]κράζοντες· ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε· οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου καὶ τοῦ τόπου τούτου πάντας πανταχοῦ διδάσκων· ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν καὶ κεκοίνωκε τὸν ἅγιον τόπον τοῦτον· [29]ἦσαν γὰρ ἑωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσῆγαγεν ὁ Παῦλος. [30]ἐκινήθη τε ἡ πόλις ὅλη καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ, καὶ ἐπιλαβόμενοι τοῦ Παύλου εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ, καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι. [31]ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρης ὅτι ὅλη συγκέχυται Ἰερουσαλήμ· [32]ὃς ἐξαυτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους κατέδραμεν ἐπ' αὐτούς. οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας ἐπαύσαντο τύπτοντες τὸν Παῦλον. [33]ἐγγίσας δὲ ὁ χιλίαρχος ἐπελάβετο αὐτοῦ καὶ ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί, καὶ ἐπυνθάνετο τίς ἂν εἴη καὶ τί ἐστι πεποιηκώς. [34]ἄλλοι δὲ ἄλλο τι ἐβόων ἐν τῷ ὄχλῳ· μὴ δυνάμενος δὲ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν. [35]ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμούς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ ὄχλου· [36]ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ κρᾶζον· αἶρε αὐτόν.

Μέλλων τε εἰσάγεσθαι εἰς τὴν παρεμβολὴν ὁ Παῦλος λέγει τῷ χιλιάρχῳ· εἰ ἔξεστί μοι εἰπεῖν τι πρὸς σέ; ὁ δὲ ἔφη· Ἑλληνιστὶ γινώσκεις; [38]οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος ὁ

Pavel, luând cu el pe acei bărbați în ziua următoare, curățindu-se împreună cu ei, a intrat în templu, vestind împlinirea zilelor de curățire, până când a fost adusă pentru fiecare din ei ofranda.

Și când aveau să se împlinească cele șapte zile, iudeii din Asia, văzându-l în templu, au tulburat toată mulțimea și au pus mâna pe el, [28]strigând: Bărbați israeliteni, ajutați! Acesta este omul care îi învață pe toți pretutindeni, împotriva poporului și a Legii și a locului acestuia; încă și elini a adus în templu și a spurcat acest loc sfânt. [29]Căci îl văzuseră în cetate împreună cu el pe Trofim efeseanul, pe care socoteau că Pavel l-a adus în templu. [30]Și s-a mișcat toată cetatea și s-a făcut adunarea poporului și, prinzându-l pe Pavel, l-au târât afară din templu și îndată s-au închis porțile. [31]Și căutând să-l omoare, s-a dus vestea la tribunul cohortei, că tot Ierusalimul s-a tulburat. [32]Acela, luând de îndată cu sine ostași și sutași, a alergat la ei; iar ei, văzându-l pe tribun și pe ostași, au încetat să-l mai bată pe Pavel. [33]Și apropiindu-se tribunul, l-a prins și a poruncit să fie legat cu două lanțuri și întreba cine este și ce a făcut. [34]Dar unii în mulțime strigau una, alții altceva, și neputând să cunoască întocmai, din pricina zarvei, a poruncit să fie dus în fortăreață. [35]Când a ajuns la trepte, a trebuit să fie purtat de ostași din pricina furiei mulțimii. [36]Căci îl urma mulțimea poporului, strigând: Omoară-l!

Și când să fie dus în fortăreață, Pavel a zis tribunului: Îmi este îngăduit să-ți vorbesc? Iar el a zis: Știi elineşte? [38]Nu eşti tu, oare, egipteanul care, înainte de

πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων; 39εἶπε δὲ ὁ Παῦλος· ἐγὼ ἄνθρωπος μέν εἰμι Ἰουδαῖος Ταρσεύς, τῆς Κιλικίας οὐκ ἀσήμου πόλεως πολίτης· δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν. 40ἐπιτρέψαντος δὲ αὐτοῦ ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν κατέσεισε τῇ χειρὶ τῷ λαῷ· πολλῆς δὲ σιγῆς γενομένης προσεφώνησε τῇ Ἑβραΐδι διαλέκτῳ λέγων·

zilele acestea, te-ai răsculat şi ai scos în pustie pe cei patru mii de bărbaţi sicari? 39Şi a zis Pavel: Eu sunt un om iudeu din Tars, cetăţean al unei cetăţi a Ciliciei, care nu este neînsemnată; rogu-te, îngăduieşte-mi să vorbesc către popor. 40Şi îngăduindu-i-se, Pavel, stând în picioare pe trepte, a făcut poporului semn cu mâna. Şi făcându-se tăcere mare, le-a grăit în limba evreiască, zicând:

Κεφάλαιον ΚΒ΄

Capitolul 22

Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νυνὶ ἀπολογίας. 2ἀκούσαντες δὲ ὅτι τῇ Ἑβραΐδι διαλέκτῳ προσεφώνει αὐτοῖς, μᾶλλον παρέσχον ἡσυχίαν. 3καί φησιν· ἐγὼ μέν εἰμι ἀνὴρ Ἰουδαῖος, γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ παρὰ τοὺς πόδας Γαμαλιήλ, πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ Θεοῦ καθὼς πάντες ὑμεῖς ἐστε σήμερον· 4ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἄχρι θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε καὶ γυναῖκας, 5ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι καὶ πᾶν τὸ πρεσβυτέριον· παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφοὺς εἰς Δαμασκὸν ἐπορευόμην ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας δεδεμένους εἰς Ἰερουσαλὴμ ἵνα τιμωρηθῶσιν. 6Ἐγένετο δέ μοι πορευομένῳ καὶ ἐγγίζοντι τῇ Δαμασκῷ περὶ μεσημβρίαν ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμέ, 7ἔπεσόν τε εἰς τὸ ἔδαφος καὶ ἤκουσα φωνῆς λεγούBărbaţi fraţi şi părinţi, ascultaţi acum apărarea mea în faţa voastră! 2Şi auzind că le grăia în limba evreiască, au făcut mai multă linişte. 3Şi le-a zis: Eu sunt bărbat iudeu, născut în Tarsul Ciliciei şi crescut în cetatea aceasta la picioarele lui Gamaliel, învăţat după acrivia Legii părinteşti, râvnitor fiind al lui Dumnezeu, precum şi voi toţi sunteţi astăzi. 4Eu această Cale am prigonit-o până la moarte, legând şi dând la temniţă şi bărbaţi, şi femei, 5precum şi arhiereul dă mărturie pentru mine, şi tot sfatul bătrânilor; de la care primind şi scrisori către fraţi, mergeam la Damasc, ca să-i duc legaţi la Ierusalim şi pe cei ce erau acolo, să fie pedepsiţi. 6Şi s-a făcut că, pe când mergeam eu şi mă apropiam de Damasc, pe la amiază, deodată lumină multă din cer m-a învăluit ca un fulger. 7Şi am căzut la pământ şi am auzit un glas, zicându-mi: Saule, Saule, de ce Mă prigoneşti? 8Iar eu am răspuns:

σης μοι· Σαοὺλ Σαούλ, τί με διώκεις; 8ἐγὼ δὲ ἀπεκρίθην· τίς εἶ, Κύριε; εἶπέ τε πρός με· ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος ὃν σὺ διώκεις. 9οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο καὶ ἔμφοβοι ἐγένοντο, τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. 10εἶπον δέ· τί ποιήσω, Κύριε; ὁ δὲ Κύριος εἶπε πρός με· ἀναστὰς πορεύου εἰς Δαμασκόν, κἀκεῖ σοι λαληθήσεται περὶ πάντων ὧν τέτακταί σοι ποιῆσαι. 11ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι ἦλθον εἰς Δαμασκόν. 12Ἀνανίας δέ τις, ἀνὴρ εὐσεβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν κατοικούντων ἐν Δαμασκῷ Ἰουδαίων, 13ἐλθὼν πρός με καὶ ἐπιστὰς εἶπέ μοι· Σαοὺλ ἀδελφέ, ἀνάβλεψον. κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν. 14ὁ δὲ εἶπεν· ὁ Θεὸς τῶν πατέρων ἡμῶν προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ καὶ ἰδεῖν τὸν δίκαιον καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ, 15ὅτι ἔσῃ μάρτυς αὐτῷ πρὸς πάντας ἀνθρώπους ὧν ἑώρακας καὶ ἤκουσας. 16καὶ νῦν τί μέλλεις; ἀναστὰς βάπτισαι καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου, ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Κυρίου. 17 Ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς Ἰερουσαλὴμ καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ γενέσθαι με ἐν ἐκστάσει καὶ ἰδεῖν αὐτὸν λέγοντά μοι· 18σπεῦσον καὶ ἔξελθε ἐν τάχει ἐξ Ἰερουσαλήμ, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ. 19κἀγὼ εἶπον· Κύριε, αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην φυλακίζων καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ· 20καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ καὶ φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν. 21καὶ εἶπε πρός με· πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε.

Ἤκουον δὲ αὐτοῦ ἄχρι τούτου τοῦ λόγου, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν λέγοντες· αἶρε

Cine eşti, Doamne? A zis către mine: Eu sunt Iisus Nazarineanul, pe Care tu Îl prigoneşti. 9Iar cei ce erau cu mine au văzut lumina şi s-au înfricoşat, dar glasul Celui care îmi vorbea nu l-au auzit. 10Şi am zis: Ce să fac, Doamne? Iar Domnul a zis către mine: Scoală-te, mergi în Damasc şi acolo ți se va spune despre toate cele ce ți s-au rânduit să faci. 11Şi cum nu mai vedeam din pricina slavei acelei lumini, fiind dus de mână de către cei ce erau împreună cu mine, am venit în Damasc. 12Iar un oarecare Anania, bărbat binecinstitor după Lege, având mărturie de la toți iudeii care locuiau în Damasc, 13venind la mine şi stând alături, mi-a zis: Frate Saule, vezi iarăşi! Şi eu, în acel ceas, am văzut iarăşi, privind spre el. 14Iar el a zis: Dumnezeul părinților noştri te-a rânduit de mai înainte pe tine să cunoşti voia Lui şi să-L vezi pe Cel Drept şi să auzi glas din gura Lui, 15că Îi vei fi Lui martor înaintea tuturor oamenilor, despre cele ce ai văzut şi auzit. 16Şi acum de ce zăboveşti? Sculându-te, botează-te şi îți spală păcatele, chemând numele Domnului. 17Şi s-a făcut că, întorcându-mă la Ierusalim şi rugându-mă în templu, am fost în extaz şi L-am văzut, zicându-mi: 18Grăbeşte-te şi ieşi degrabă din Ierusalim, pentru că nu vor primi mărturia ta despre Mine. 19Şi eu am zis: Doamne, ei ştiu că eu îi duceam în temniță şi îi băteam prin sinagogi pe cei care credeau în Tine; 20iar când se vărsa sângele lui Ştefan, mucenicul Tău, eram şi eu de față şi încuviințam uciderea lui şi păzeam hainele celor care îl ucideau. 21Şi a zis către mine: Mergi, că Eu te voi trimite la neamuri, departe.

Şi l-au ascultat până la acest cuvânt, şi au ridicat glasul lor, zicând: Ia-l de

ἀπὸ τῆς γῆς τὸν τοιοῦτον· οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν. 23κραυγαζόντων δὲ αὐτῶν καὶ ῥιπτόντων τὰ ἱμάτια καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα, 24ἐκέλευσεν αὐτὸν ὁ χιλίαρχος ἄγεσθαι εἰς τὴν παρεμβολήν, εἰπὼν μάστιξιν ἀνετάζεσθαι αὐτόν, ἵνα ἐπιγνῷ δι' ἣν αἰτίαν οὕτως ἐπεφώνουν αὐτῷ. 25ὡς δὲ προέτειναν αὐτὸν τοῖς ἱμᾶσιν, εἶπε πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον ὁ Παῦλος· εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν; 26ἀκούσας δὲ ὁ ἑκατόνταρχος, προσελθὼν ἀπήγγειλε τῷ χιλιάρχῳ λέγων· ὅρα τί μέλλεις ποιεῖν· ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός ἐστι. 27προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ· λέγε μοι εἰ σὺ Ῥωμαῖος εἶ. ὁ δὲ ἔφη· ναί. 28ἀπεκρίθη τε ὁ χιλίαρχος· ἐγὼ πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην. ὁ δὲ Παῦλος ἔφη· ἐγὼ δὲ καὶ γεγέννημαι. 29εὐθέως οὖν ἀπέστησαν ἀπ' αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν· καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστι, καὶ ὅτι ἦν αὐτὸν δεδεκώς.

Τῇ δὲ ἐπαύριον βουλόμενος γνῶναι τὸ ἀσφαλές, τὸ τί κατηγορεῖται παρὰ τῶν Ἰουδαίων, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν καὶ ἐκέλευσεν ἐλθεῖν τοὺς ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον αὐτῶν, καὶ καταγαγὼν τὸν Παῦλον ἔστησεν εἰς αὐτούς.

pe pământ pe unul ca acesta! Căci nu se cade ca el să trăiască. 23Şi strigând ei şi aruncând hainele şi azvârlind ţărână în aer, 24tribunul a poruncit să fie dus în fortăreaţă, spunând să-l cerceteze, cu lovituri de bici, ca să afle din ce pricină strigau aşa împotriva lui. 25Şi când l-au întins cu curelele, Pavel a zis către sutaşul care era de faţă: Oare vă este îngăduit să biciuiţi un bărbat roman şi nejudecat? 26Şi auzind sutaşul, s-a dus la tribun şi i-a vestit, zicând: Vezi ce ai de gând să faci! Că omul acesta este roman. 27Şi venind, tribunul i-a zis: Spune-mi dacă tu eşti roman? Iar el a zis: Da! 28Şi a răspuns tribunul: Eu cu multă cheltuială am dobândit această cetăţenie. Iar Pavel a zis: Eu însă m-am şi născut. 29Deci, îndată s-au îndepărtat de el cei ce urmau să-l cerceteze, iar tribunul s-a temut, aflând că este roman şi că fusese legat.

Si a doua zi, voind să cunoască întocmai de ce este învinuit de iudei, l-a dezlegat de lanţuri şi a poruncit să vină arhiereii şi tot sinedriul lor şi, aducându-l pe Pavel, l-a pus înaintea lor.

Κεφάλαιον ΚΓ΄

Ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ εἶπεν· ἄνδρες ἀδελφοί, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολίτευμαι τῷ Θεῷ ἄχρι ταύτης τῆς ἡμέρας. 2ὁ δὲ ἀρχιερεὺς Ἀνανίας ἐπέταξε τοῖς παρεστῶσιν αὐτῷ τύπτειν αὐτοῦ τὸ στόμα. 3τότε ὁ Παῦλος πρὸς

Capitolul 23

Si Pavel, aţintindu-şi privirea spre sinedriu, a zis: Bărbaţi fraţi, eu cu toată buna conştiinţă am vieţuit înaintea lui Dumnezeu până în ziua aceasta. 2Şi arhiereul Anania le-a poruncit celor ce stăteau lângă el să-l bată peste gură. 3Atunci Pa-

αὐτὸν εἶπε· τύπτειν σε μέλλει ὁ Θεός, τοῖχε
κεκονιαμένε· καὶ σὺ κάθῃ κρίνων με κατὰ
τὸν νόμον, καὶ παρανομῶν κελεύεις με τύπτε-
σθαι; 4οἱ δὲ παρεστῶτες εἶπον· τὸν ἀρχιερέα
τοῦ Θεοῦ λοιδορεῖς; 5ἔφη τε ὁ Παῦλος· οὐκ
ᾔδειν, ἀδελφοί, ὅτι ἐστὶν ἀρχιερεύς· γέγρα-
πται γάρ· ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς
κακῶς. 6γνοὺς δὲ ὁ Παῦλος ὅτι τὸ ἓν μέρος
ἐστὶ Σαδδουκαίων, τὸ δὲ ἕτερον Φαρισαίων,
ἔκραξεν ἐν τῷ συνεδρίῳ· ἄνδρες ἀδελφοί, ἐγὼ
Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίου· περὶ ἐλπίδος
καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. 7τοῦ-
το δὲ αὐτοῦ λαλήσαντος ἐγένετο στάσις τῶν
Φαρισαίων καὶ τῶν Σαδδουκαίων, καὶ ἐσχίσθη
τὸ πλῆθος. 8Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ
εἶναι ἀνάστασιν μήτε ἄγγελον μήτε πνεῦμα,
Φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμφότερα. 9ἐγέ-
νετο δὲ κραυγὴ μεγάλη, καὶ ἀναστάντες οἱ
γραμματεῖς τοῦ μέρους τῶν Φαρισαίων διε-
μάχοντο λέγοντες· οὐδὲν κακὸν εὑρίσκομεν
ἐν τῷ ἀνθρώπῳ τούτῳ· εἰ δὲ πνεῦμα ἐλάλησεν
αὐτῷ ἢ ἄγγελος, μὴ θεομαχῶμεν. 10πολλῆς δὲ
γενομένης στάσεως εὐλαβηθεὶς ὁ χιλίαρχος
μὴ διασπασθῇ ὁ Παῦλος ὑπ᾽ αὐτῶν, ἐκέλευσε
τὸ στράτευμα καταβῆναι καὶ ἁρπάσαι αὐτὸν
ἐκ μέσου αὐτῶν ἄγειν τε εἰς τὴν παρεμβολήν.
11Τῇ δὲ ἐπιούσῃ νυκτὶ ἐπιστὰς αὐτῷ ὁ Κύριος
εἶπε· θάρσει, Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ
περὶ ἐμοῦ εἰς Ἰερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς
Ῥώμην μαρτυρῆσαι.

Γενομένης δὲ ἡμέρας ποιήσαντές τινες
τῶν Ἰουδαίων συστροφὴν ἀνεθεμάτισαν
ἑαυτούς, λέγοντες μήτε φαγεῖν μήτε πιεῖν
ἕως οὗ ἀποκτείνωσι τὸν Παῦλον. 13ἦσαν δὲ
πλείους τεσσαράκοντα οἱ ταύτην τὴν συνωμο-
σίαν πεποιηκότες· 14οἵτινες προσελθόντες
τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις εἶπον·
ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς μηδενὸς
γεύσασθαι ἕως οὗ ἀποκτείνωμεν τὸν Παῦλον.
15νῦν οὖν ὑμεῖς ἐμφανίσατε τῷ χιλιάρχῳ σὺν

vel a zis către el: Te va bate Dumnezeu pe
tine, perete văruit! Tu şezi judecându-mă
pe mine după Lege şi, călcând Legea, po-
runceşti să fiu bătut? 4Iar cei ce stăteau de
faţă au zis: Pe arhiereul lui Dumnezeu îl
ocărăşti? 5Şi a zis Pavel: Nu ştiam, fraţilor,
că este arhiereu; căci este scris: Pe căpete-
nia poporului tău să n-o vorbeşti de rău.
6Dar cunoscând Pavel că o parte sunt sa-
duchei şi cealaltă farisei, a strigat în sine-
driu: Bărbaţi fraţi, eu sunt fariseu, fiu de
fariseu; pentru nădejdea şi învierea mor-
ţilor sunt eu judecat! 7Şi grăind el aceasta,
s-a făcut neînţelegere între farisei şi sadu-
chei şi mulţimea s-a dezbinat; 8căci sadu-
cheii zic că nu este înviere, nici înger, nici
duh, iar fariseii le mărturisesc pe amân-
două. 9Şi a fost strigare mare şi, ridicân-
du-se cărturarii din partea fariseilor, se
certau zicând: nimic rău nu găsim în omul
acesta; şi dacă i-a vorbit duh sau înger, să
nu luptăm împotriva lui Dumnezeu. 10Şi
făcându-se multă neînţelegere şi temân-
du-se tribunul să nu fie sfâşiat Pavel de
ei, a poruncit ostaşilor să coboare şi să-l
smulgă din mijlocul lor şi să-l ducă în for-
tăreaţă. 11Iar în noaptea următoare, înfă-
ţişându-i-Se Domnul, a zis: Îndrăzneşte,
Pavele! Căci precum ai mărturisit cele
despre Mine în Ierusalim, aşa trebuie să
mărturiseşti şi în Roma.

Şi făcându-se ziuă, unii dintre iudei
au uneltit şi s-au legat pe ei înşişi cu
anatema, zicând că nu vor mânca, nici nu
vor bea până ce nu-l vor ucide pe Pavel.
13Şi erau mai mulţi de patruzeci cei ce fă-
cuseră împreună acest jurământ, 14care,
ducându-se la arhierei şi la bătrâni, au zis:
Cu anatema ne-am legat pe noi înşine să
nu gustăm nimic până ce nu vom ucide pe

τῷ συνεδρίῳ, ὅπως αὔριον αὐτὸν καταγάγῃ
πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκρι-
βέστερον τὰ περὶ αὐτοῦ· ἡμεῖς δὲ πρὸ τοῦ ἐγ-
γίσαι αὐτὸν ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐτόν.
16ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ
ἔνεδρον, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν
παρεμβολὴν ἀπήγγειλε τῷ Παύλῳ. 17προσ-
καλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατον-
τάρχων ἔφη· τὸν νεανίαν τοῦτον ἀπάγαγε
πρὸς τὸν χιλίαρχον· ἔχει γάρ τι ἀπαγγεῖλαι
αὐτῷ. 18ὁ μὲν οὖν παραλαβὼν αὐτὸν ἤγα-
γε πρὸς τὸν χιλίαρχον καί φησιν· ὁ δέσμιος
Παῦλος προσκαλεσάμενός με ἠρώτησε τοῦ-
τον τὸν νεανίαν ἀγαγεῖν πρὸς σέ, ἔχοντά τι
λαλῆσαί σοι. 19ἐπιλαβόμενος δὲ τῆς χειρὸς
αὐτοῦ ὁ χιλίαρχος καὶ ἀναχωρήσας κατ' ἰδί-
αν ἐπυνθάνετο, τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί
μοι; 20εἶπε δὲ ὅτι οἱ Ἰουδαῖοι συνέθεντο τοῦ
ἐρωτῆσαί σε ὅπως αὔριον εἰς τὸ συνέδριον
καταγάγῃς τὸν Παῦλον, ὡς μελλόντων τι ἀκρι-
βέστερον πυνθάνεσθαι περὶ αὐτοῦ. 21σὺ οὖν
μὴ πεισθῇς αὐτοῖς· ἐνεδρεύουσι γὰρ αὐτὸν
ἐξ αὐτῶν ἄνδρες πλείους τεσσαράκοντα, οἵ-
τινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε
πιεῖν ἕως οὗ ἀνέλωσιν αὐτόν, καὶ νῦν ἕτοιμοί
εἰσι προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν.
22ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν,
παραγγείλας μηδενὶ ἐκλαλῆσαι ὅτι ταῦτα
ἐνεφάνισας πρός με.

Καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκα-
τοντάρχων εἶπεν· ἑτοιμάσατε στρατιώτας
διακοσίους ὅπως πορευθῶσιν ἕως Καισαρείας,
καὶ ἱππεῖς ἑβδομήκοντα καὶ δεξιολάβους δια-
κοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτός, 24κτήνη
τε παραστῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν Παῦ-
λον διασώσωσι πρὸς Φήλικα τὸν ἡγεμόνα,
25γράψας ἐπιστολὴν περιέχουσαν τὸν τύπον
τοῦτον· 26Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγε-
μόνι Φήλικι χαίρειν. 27τὸν ἄνδρα τοῦτον συλ-
ληφθέντα ὑπὸ τῶν Ἰουδαίων καὶ μέλλοντα

Pavel. 15Deci acum voi împreună cu sine-
driul faceți-i cunoscut tribunului ca mâine
să-l coboare la voi, ca şi când ar urma să
lămuriți mai cu de-amănuntul cele despre
el; iar noi, înainte să se apropie el, sun-
tem pregătiți să-l ucidem. 16Şi auzind fiul
surorii lui Pavel de uneltire, mergând şi
intrând în fortăreață, i-a vestit lui Pavel.
17Şi chemând la el Pavel pe unul din sutaşi,
a zis: Pe tânărul acesta du-l la tribun, căci
are ceva să-i vestească. 18Deci acela luân-
du-l, l-a dus la tribun şi a zis: Întemnițatul
Pavel, chemându-mă, m-a rugat să aduc
la tine pe acest tânăr, care are ceva să-ți
spună. 19Şi luându-l de mână tribunul şi
trăgându-se la o parte, îl întreba: Ce ai
să-mi vesteşti? 20Şi i-a zis: Iudeii s-au în-
țeles să te roage, ca mâine să-l cobori pe
Pavel la sinedriu, ca şi când ar avea să
cerceteze mai cu de-amănuntul despre
el; 21Deci tu să nu te încrezi în ei; căci îl
pândesc mai mult de patruzeci de bărbați
dintre ei, care s-au legat pe sine cu ana-
temă să nu mănânce, nici să nu bea până
nu-l vor ucide, şi acum ei sunt pregătiți,
aşteptând încuviințare de la tine. 22Deci
tribunul l-a slobozit pe tânăr, poruncind:
Nimănui să nu spui că mi-ai făcut cunos-
cute acestea.

Şi chemând pe doi dintre sutaşi, a zis:
Pregătiți două sute de ostaşi ca să
meargă până la Cezareea şi şaptezeci de
călăreți şi două sute de sulițaşi, de la cea-
sul al treilea din noapte. 24Şi să fie aco-
lo dobitoace ca, punând pe Pavel călare,
să-l ducă teafăr la guvernatorul Felix, 25şi
a scris o epistolă, având acest cuprins:
26Claudiu Lisias, preaputernicului guver-
nator, Felix, bucurie! 27Pe acest bărbat,
prins de iudei şi care era să fie ucis de ei,

ἀναιρεῖσθαι ὑπ᾽ αὐτῶν ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην αὐτόν, μαθὼν ὅτι Ῥωμαῖός ἐστι. 28βουλόμενος δὲ γνῶναι τὴν αἰτίαν δι᾽ ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν· 29ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν δὲ ἄξιον θανάτου ἢ δεσμῶν ἔγκλημα ἔχοντα. 30μηνυθείσης δέ μοι ἐπιβουλῆς εἰς τὸν ἄνδρα μέλλειν ἔσεσθαι ὑπὸ τῶν Ἰουδαίων, ἐξαυτῆς ἔπεμψα πρὸς σέ, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ. ἔρρωσο. 31Οἱ μὲν οὖν στρατιῶται κατὰ τὸ διατεταγμένον αὐτοῖς ἀναλαβόντες τὸν Παῦλον ἤγαγον διὰ τῆς νυκτὸς εἰς τὴν Ἀντιπατρίδα, 32τῇ δὲ ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμβολήν· 33οἵτινες εἰσελθόντες εἰς τὴν Καισάρειαν καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι παρέστησαν καὶ τὸν Παῦλον αὐτῷ. 34ἀναγνοὺς δὲ ὁ ἡγεμὼν καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστί, καὶ πυθόμενος ὅτι ἀπὸ Κιλικίας, 35διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ κατήγοροί σου παραγένωνται· ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ τοῦ Ἡρῴδου φυλάσσεσθαι.

venind eu cu oaste, l-am scos, aflând că este roman. 28Şi vrând să cunosc pricina pentru care îl învinuiau, l-am coborât în sinedriul lor. 29Despre el am aflat că este învinuit pentru nedumeriri din legea lor, dar neavând vreo vină vrednică de moarte sau de lanțuri. 30Şi fiind înştiințat că avea să fie o uneltire împotriva acestui bărbat din partea iudeilor, îndată am trimis la tine, poruncind şi învinuitorilor să spună înaintea ta cele împotriva lui. Fii sănătos! 31Deci, ostaşii, luându-l pe Pavel, precum li se poruncise, l-au adus noaptea în Antipatrida. 32Şi a doua zi, lăsându-i pe călăreți să meargă cu el, s-au întors la fortăreață. 33Aceia, intrând în Cezareea şi dând epistola guvernatorului, i l-au înfățişat şi pe Pavel. 34Şi citind guvernatorul şi întrebând din ce eparhie este el şi aflând că este din Cilicia, 35a zis: Te voi asculta când vor fi de față şi învinuitorii tăi. Şi a poruncit să fie închis în pretoriul lui Irod.

Κεφάλαιον ΚΔ΄

Μετὰ δὲ πέντε ἡμέρας κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ τῶν πρεσβυτέρων καὶ ῥήτορος Τερτύλλου τινός, οἵτινες ἐνεφάνισαν τῷ ἡγεμόνι κατὰ τοῦ Παύλου. 2κληθέντος δὲ αὐτοῦ ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος λέγων· 3πολλῆς εἰρή-

Capitolul 24

Iar după cinci zile s-a coborât arhiereul Anania cu bătrânii şi cu un oarecare retor Tertullus, care s-au înfățişat guvernatorului împotriva lui Pavel. 2Şi fiind el chemat, Tertullus a început să-l învinuiască, zicând: 3Dobândind multă pace

νης τυγχάνοντες διὰ σοῦ καὶ κατορθωμάτων γινομένων τῷ ἔθνει τούτῳ διά τῆς σῆς προνοίας, πάντῃ τε καὶ πανταχοῦ ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πάσης εὐχαριστίας. 4ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν συντόμως τῇ σῇ ἐπιεικείᾳ. 5εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν καὶ κινοῦντα στάσιν πᾶσι τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως, 6ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι, ὃν καὶ ἐκρατήσαμεν καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρίνειν· 7παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγε, 8κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι ἐπὶ σέ· παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ. 9συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν.

Ἀπεκρίθη δὲ ὁ Παῦλος, νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν τῷ ἔθνει τούτῳ ἐπιστάμενος εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι, 11δυναμένου σου γνῶναι ὅτι οὐ πλείους εἰσί μοι ἡμέραι δεκαδύο ἀφ' ἧς ἀνέβην προσκυνήσων εἰς Ἰερουσαλήμ· 12καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον ἢ ἐπισύστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς οὔτε κατὰ τὴν πόλιν· 13οὔτε παραστῆσαι δύνανται περὶ ὧν νῦν κατηγοροῦσί μου. 14ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν οὕτω λατρεύω τῷ πατρῴῳ Θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον καὶ τοῖς ἐν τοῖς προφήταις γεγραμμένοις, 15ἐλπίδα ἔχων εἰς τὸν Θεὸν ἣν καὶ αὐτοὶ οὗτοι προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι νεκρῶν, δικαίων τε καὶ ἀδίκων· 16ἐν τούτῳ δὲ καὶ αὐτὸς ἀσκῶ ἀπρόσκοπον συνείδησιν ἔχειν πρὸς τὸν Θεὸν καὶ τοὺς ἀνθρώπους διὰ παντός. 17δι' ἐτῶν δὲ

prin tine şi având neamul acesta izbânzi prin purtarea ta de grijă, totdeauna şi pretutindeni le primim, preaputernice Felix, cu toată mulţumirea. 4Dar, ca să nu te ţin prea mult, te rog să ne asculţi, pe scurt, cu a ta bunăvoinţă. 5Căci am aflat pe omul acesta ca pe o ciumă şi stârnind răzvrătire între toţi iudeii din lume, fiind căpetenia eresului nazarinenilor, 6care şi templul a încercat să-l pângărească şi pe care l-am prins şi am vrut să-l judecăm după Legea noastră. 7Şi venind Lisias, tribunul, l-a scos cu de-a sila din mâinile noastre, 8poruncind învinuitorilor lui să vină la tine. De la el vei putea, cercetând tu însuţi, să afli despre toate acestea de care noi îl învinuim. 9Şi s-au alăturat acestei învinuiri şi iudeii, spunând că acestea aşa sunt.

Şi, făcându-i semn guvernatorul să vorbească, Pavel a răspuns: Ştiind că de mulţi ani eşti judecător neamului acestuia, mai bucuros mă apăr în cele despre mine, 11tu putând să cunoşti că nu am mai mult de douăsprezece zile de când m-am suit să mă închin la Ierusalim. 12Şi nici în templu nu m-au găsit vorbind cu cineva sau întărâtând mulţimea, nici în sinagogi, nici prin cetate, 13nici nu pot să dovedească cele de care mă învinuiesc. 14Şi-ţi mărturisesc aceasta, că după Calea pe care ei o numesc eres, aşa mă închin Dumnezeului Părinţilor, crezând tuturor celor după Lege şi celor scrise în Prooroci, 15având nădejde în Dumnezeu, pe care şi aceştia înşişi o aşteaptă, că are să fie învierea morţilor: şi a drepţilor şi a nedrepţilor. 16Şi întru aceasta mă nevoiesc şi eu să am întotdeauna conştiinţă fără poticnire că-

πλειόνων παρεγενόμην ἐλεημοσύνας ποιήσων
εἰς τὸ ἔθνος μου καὶ προσφοράς· 18ἐν οἷς εὗρόν
με ἡγνισμένον ἐν τῷ ἱερῷ, οὐ μετὰ ὄχλου οὐδὲ
μετὰ θορύβου, τινὲς ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι,
19οὓς ἔδει ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν εἴ
τι ἔχοιεν πρός με. 20ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν
τί εὗρον ἐν ἐμοὶ ἀδίκημα στάντος μου ἐπὶ
τοῦ συνεδρίου, 21ἢ περὶ μιᾶς ταύτης φωνῆς
ἧς ἔκραξα ἑστὼς ἐν αὐτοῖς, ὅτι περὶ ἀναστά-
σεως νεκρῶν ἐγὼ κρίνομαι σήμερον ὑφ' ὑμῶν.
22Ἀκούσας δὲ ταῦτα ὁ Φῆλιξ ἀνεβάλετο αὐ-
τούς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ,
εἰπών· ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, δια-
γνώσομαι τὰ καθ' ὑμᾶς, 23διαταξάμενός τε τῷ
ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον ἔχειν τε
ἄνεσιν καὶ μηδένα κωλύειν τῶν ἰδίων αὐτοῦ
ὑπηρετεῖν ἢ προσέρχεσθαι αὐτῷ.

Μετὰ δὲ ἡμέρας τινὰς παραγενόμενος ὁ
Φῆλιξ σὺν Δρουσίλλῃ τῇ γυναικὶ αὐτοῦ,
οὔσῃ Ἰουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον καὶ
ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν πίστεως.
25διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης
καὶ ἐγκρατείας καὶ τοῦ κρίματος τοῦ μέλ-
λοντος ἔσεσθαι, ἔμφοβος γενόμενος ὁ Φῆλιξ
ἀπεκρίθη· τὸ νῦν ἔχον πορεύου, καιρὸν δὲ
μεταλαβὼν μετακαλέσομαί σε, 26ἅμα δὲ καὶ
ἐλπίζων ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ
Παύλου ὅπως λύσῃ αὐτόν· διὸ καὶ πυκνότε-
ρον αὐτὸν μεταπεμπόμενος ὡμίλει αὐτῷ.
27Διετίας δὲ πληρωθείσης ἔλαβε διάδοχον ὁ
Φῆλιξ Πόρκιον Φῆστον· θέλων δὲ χάριν κατα-
θέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ κατέλιπε τὸν
Παῦλον δεδεμένον.

tre Dumnezeu şi către oameni. 17Şi, după
mai mulţi ani, am venit ca să aduc neamu-
lui meu milostenii şi ofrande, 18când m-au
găsit, curăţit, în templu, dar nu cu mul-
ţime, nici cu zarvă, nişte iudei din Asia,
19care trebuia să fie de faţă înaintea ta şi
să mă învinuiască, dacă aveau ceva cu mi-
ne, 20sau ei înşişi să spună ce nedreptate
au aflat în mine, când am stat înaintea
sinedriului, 21sau numai pentru această
vorbă pe care am strigat-o stând între ei,
că pentru învierea morţilor sunt eu as-
tăzi judecat de către voi. 22Şi Felix, au-
zind acestea, i-a amânat, cunoscând mai
cu de-amănuntul cele despre Cale, zicând:
Când tribunul Lisias se va coborî, voi ho-
tărî cele ale voastre. 23Şi poruncind suta-
şului ca Pavel să fie ţinut sub pază şi să
aibă tihnă şi să nu oprească pe nimeni
dintre ai lui să-i slujească sau să vină la el.

Şi după câteva zile, venind Felix cu
Drusila, femeia lui, care era iudee, a
trimis după Pavel şi l-a ascultat despre
credinţa în Hristos. 25Şi vorbind el despre
dreptate şi înfrânare şi judecata ce va să
fie, Felix s-a înfricoşat şi a răspuns: Acum
du-te şi, când voi avea vreme, te voi che-
ma din nou, 26 nădăjduind totodată că Pa-
vel îi va da bani, ca să-l elibereze; de aceea
şi trimitea după el mai des şi stătea de vor-
bă cu el. 27Şi împlinindu-se doi ani, Felix
a primit ca urmaş pe Porcius Festus. Şi
voind să le facă pe plac iudeilor, Felix l-a
lăsat pe Pavel întemniţat.

Κεφάλαιον ΚΕ΄

Ἧστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας· 2ἐνεφάνισαν δὲ αὐτῷ ὁ ἀρχιερεὺς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν αὐτόν, 3αἰτούμενοι χάριν κατ᾽ αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ, ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν. 4ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον ἐν Καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι· 5οἱ οὖν δυνατοὶ ἐν ὑμῖν, φησί, συγκαταβάντες, εἴ τί ἐστιν ἐν τῷ ἀνδρὶ τούτῳ, κατηγορείτωσαν αὐτοῦ. 6Διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλείους ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος ἐκέλευσε τὸν Παῦλον ἀχθῆναι. 7παραγενομένου δὲ αὐτοῦ περιέστησαν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιώματα φέροντες κατὰ τοῦ Παύλου, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι, 8ἀπολογουμένου αὐτοῦ ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων οὔτε εἰς τὸ ἱερὸν οὔτε εἰς Καίσαρά τι ἥμαρτον. 9ὁ Φῆστος δὲ θέλων τοῖς Ἰουδαίοις χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ εἶπε· θέλεις εἰς Ἱερουσαλὴμ ἀναβὰς ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ᾽ ἐμοῦ; 10εἶπε δὲ ὁ Παῦλος· ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις· 11εἰ μὲν γὰρ ἀδικῶ καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν· εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσί μου, οὐδείς με δύνα-

Capitolul 25

Deci, Festus, ajungând în eparhia sa, după trei zile s-a suit de la Cezareea la Ierusalim. 2Şi s-au înfăţişat înaintea lui arhiereul şi cei dintâi ai iudeilor împotriva lui Pavel şi îl rugau, 3cerând împotriva lui să le facă pe plac şi să-l trimită la Ierusalim, pregătind cursă ca să-l ucidă pe cale. 4Iar Festus a răspuns că Pavel este păzit în Cezareea şi că el însuşi are să plece în curând. 5Aşa că, a zis el, aceia dintre voi care aveţi putere să coboare cu mine şi dacă este ceva în acest bărbat, să-l învinuiască. 6Şi, petrecând cu ei mai mult de zece zile, coborându-se în Cezareea, a doua zi, şezând pe scaunul de judecată, a poruncit să fie adus Pavel. 7Şi venind el, l-au înconjurat iudeii care coborâseră din Ierusalim, aducând împotriva lui Pavel învinuiri multe şi grele, pe care nu puteau să le dovedească. 8Iar el se apăra: Nici faţă de Legea iudeilor, nici faţă de templu, nici faţă de Cezarul n-am păcătuit cu ceva. 9Iar Festus, voind să le facă pe plac iudeilor, răspunzând lui Pavel, a zis: Vrei să te sui la Ierusalim şi acolo să fii judecat înaintea mea pentru acestea? 10Şi a zis Pavel: Stau la scaunul de judecată al Cezarului, unde trebuie să fiu judecat. Pe iudei cu nimic nu i-am nedreptăţit, precum şi tu ştii mai bine. 11Deci, dacă nedreptăţesc şi am săvârşit ceva vrednic de moarte, nu mă dau înapoi de la moarte;

ται αὐτοῖς χαρίσασθαι· Καίσαρα ἐπικαλοῦμαι.
12τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμ-
βουλίου ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι, ἐπὶ
Καίσαρα πορεύσῃ.

Ἡμερῶν δὲ διαγενομένων τινῶν Ἀγρίππας
ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς
Καισάρειαν ἀσπασόμενοι τὸν Φῆστον. 14ὡς
δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος
τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον λέ-
γων· ἀνήρ τίς ἐστι καταλελειμμένος ὑπὸ Φή-
λικος δέσμιος, 15περὶ οὗ γενομένου μου εἰς
Ἱεροσόλυμα ἐνεφάνισαν οἱ ἀρχιερεῖς καὶ οἱ
πρεσβύτεροι τῶν Ἰουδαίων αἰτούμενοι κατ'
αὐτοῦ δίκην· 16πρὸς οὓς ἀπεκρίθην ὅτι οὐκ
ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄν-
θρωπον εἰς ἀπώλειαν πρὶν ἢ ὁ κατηγορούμε-
νος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους τό-
πον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος.
17συνελθόντων οὖν αὐτῶν ἐνθάδε ἀναβολὴν
μηδεμίαν ποιησάμενος τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ
βήματος ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα· 18περὶ
οὗ σταθέντες οἱ κατήγοροι οὐδεμίαν αἰτίαν
ἐπέφερον ὧν ὑπενόουν ἐγώ, 19ζητήματα δέ
τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς
αὐτὸν καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν
ἔφασκεν ὁ Παῦλος ζῆν. 20ἀπορούμενος δὲ ἐγὼ
τὴν περὶ τούτου ζήτησιν ἔλεγον εἰ βούλοιτο
πορεύεσθαι εἰς Ἱεροσόλυμα κἀκεῖ κρίνεσθαι
περὶ τούτων. 21τοῦ δὲ Παύλου ἐπικαλεσαμένου
τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διά-
γνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτὸν ἕως οὗ
πέμψω αὐτὸν πρὸς Καίσαρα. 22Ἀγρίππας δὲ
πρὸς τὸν Φῆστον ἔφη· ἐβουλόμην καὶ αὐτὸς
τοῦ ἀνθρώπου ἀκοῦσαι. ὁ δέ, αὔριον, φησίν,
ἀκούσῃ αὐτοῦ. 23Τῇ οὖν ἐπαύριον ἐλθόντος
τοῦ Ἀγρίππα καὶ τῆς Βερνίκης μετὰ πολλῆς
φαντασίας καὶ εἰσελθόντων εἰς τὸ ἀκροατή-
ριον σύν τε τοῖς χιλιάρχοις καὶ ἀνδράσι τοῖς

dacă însă nu este nimic din cele de care
ei mă învinuiesc, nimeni nu poate să mă
dea lor fără pricină. Cer să fiu judecat de
Cezarul! 12Atunci Festus, vorbind cu sfatul
său, a răspuns: Ai cerut să fii judecat de
Cezarul, la Cezarul te vei duce.

Și, trecând câteva zile, Agripa împărat-
tul şi Berenice au sosit la Cezareea, ca
să-l salute pe Festus. 14Şi, cum au petre-
cut mai multe zile acolo, Festus i-a înfăți-
şat împăratului cele despre Pavel, zicând:
Este un bărbat, lăsat de Felix întemnițat,
15în privința căruia, fiind eu la Ierusalim,
au făcut plângere arhiereii şi bătrânii iude-
ilor, cerând osândirea lui; 16eu le-am răs-
puns că romanii n-au obiceiul să dea pe
vreun om la pieire înainte ca cel învinuit
să aibă în față pe învinuitorii lui şi să aibă
prilej de apărare pentru vina sa. 17Deci,
adunându-se ei aici, fără să fac nici o amâ-
nare, stând eu a doua zi pe scaunul de ju-
decată, am poruncit să fie adus bărbatul.
18În jurul lui stând învinuitorii, nu i-au
adus nici o vină din cele pe care le bănu-
iam eu, 19ci aveau cu el nişte neînțelegeri
cu privire la credința lor şi la un oarecа-
re Iisus mort, despre Care Pavel zicea că
este viu. 20Şi fiind eu nedumerit cu privire
la aceste neînțelegeri, ziceam să meargă,
dacă ar vrea, la Ierusalim şi acolo să se ju-
dece pentru acestea. 21Dar Pavel, cerând
să fie ținut pentru hotărârea Augustului,
am poruncit să-l țină pe el până când îl voi
trimite la Cezarul. 22Şi Agripa a zis către
Festus: Voiam şi eu să-l aud pe omul aces-
ta. Iar el a zis: Mâine îl vei auzi. 23Deci, a
doua zi, venind Agripa şi Berenice cu mult
fast şi intrând în sala de judecată împreu-
nă cu tribunii şi cu bărbații cei mai de
frunte ai cetății, Festus a dat poruncă şi a

κατ᾽ ἐξοχὴν οὖσι τῆς πόλεως, καὶ κελεύσαντος τοῦ Φήστου ἤχθη ὁ Παῦλος. 24καί φησιν ὁ Φῆστος· Ἀγρίππα βασιλεῦ καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄνδρες, θεωρεῖτε τοῦτον περὶ οὗ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν μοι ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν ζῆν αὐτὸν μηκέτι. 25ἐγὼ δὲ καταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν πεπραχέναι, καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστόν, ἔκρινα πέμπειν αὐτόν. 26περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω· διὸ προῆγαγον αὐτὸν ἐφ᾽ ὑμῶν καὶ μάλιστα ἐπὶ σοῦ, βασιλεῦ Ἀγρίππα, ὅπως τῆς ἀνακρίσεως γενομένης σχῶ τι γράψαι. 27ἄλογον γάρ μοι δοκεῖ πέμποντα δέσμιον μὴ καὶ τὰς κατ᾽ αὐτοῦ αἰτίας σημᾶναι.

fost adus Pavel. 24Şi a zis Festus: Agripa împărate, şi voi, toţi bărbaţii care sunteţi aici cu noi, priviţi pe acela pentru care toată mulţimea iudeilor a venit la mine, şi în Ierusalim şi aici, strigând că el nu trebuie să mai trăiască. 25Iar eu, înţelegând că n-a făcut nimic vrednic de moarte şi el însuşi cerând să fie judecat de Augustul, am socotit să-l trimit. 26Despre acesta nu am ceva întemeiat să scriu stăpânului. De aceea l-am adus înaintea voastră şi mai ales înaintea ta, împărate Agripa, ca, făcându-se cercetare, să am ce scrie; 27căci mi se pare fără noimă să trimit un întemniţat dacă nu arăt şi învinuirile ce i se aduc.

Κεφάλαιον Κς΄

Ἀγρίππας δὲ πρὸς τὸν Παῦλον ἔφη· ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. τότε ὁ Παῦλος ἐκτείνας τὴν χεῖρα ἀπελογεῖτο· 2περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασιλεῦ Ἀγρίππα, ἥγημαι ἐμαυτὸν μακάριον ἐπὶ σοῦ μέλλων ἀπολογεῖσθαι σήμερον, 3μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους ἐθῶν τε καὶ ζητημάτων· διὸ δέομαί σου μακροθύμως ἀκοῦσαί μου. 4Τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος τὴν ἀπ᾽ ἀρχῆς γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις ἴσασι πάντες οἱ Ἰουδαῖοι, 5προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι μαρτυρεῖν, ὅτι κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα Φαρισαῖος. 6καὶ νῦν ἐπ᾽ ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας γενομένης ὑπὸ τοῦ Θε-

Capitolul 26

Şi Agripa a zis către Pavel: Îţi este îngăduit să vorbeşti pentru tine. Atunci Pavel, întinzând mâna, s-a apărat, zicând: 2Pentru toate de care sunt învinuit de iudei, împărate Agripa, mă socotesc fericit, având a mă apăra înaintea ta astăzi; 3mai ales că tu cunoşti toate obiceiurile şi neînţelegerile de la iudei. De aceea, te rog să mă asculţi cu multă îngăduinţă. 4Vieţuirea mea cea din tinereţe, care a fost de la început în neamul meu, în Ierusalim, o ştiu toţi iudeii, 5cunoscându-mă mai de dinainte, dacă vor să dea mărturie, că am trăit ca fariseu, după eresul cel mai riguros al religiei noastre. 6Şi acum stau la judecată pentru nădejdea făgăduinţei făcute către părinţi de Dumnezeu, 7la care cele douăsprezece

οῦ ἕστηκα κρινόμενος, 7εἰς ἣν τὸ δωδεκάφυλον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει καταντῆσαι· περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι, βασιλεῦ Ἀγρίππα, ὑπὸ τῶν Ἰουδαίων. 8τί ἄπιστον κρίνεται παρ' ὑμῖν εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει; 9ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι· 10ὃ καὶ ἐποίησα ἐν Ἰερουσολύμοις, καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ ἐν φυλακαῖς κατέκλεισα τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών, ἀναιρουμένων τε αὐτῶν κατήνεγκα ψῆφον, 11καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτοὺς ἠνάγκαζον βλασφημεῖν, περισσῶς τε ἐμμαινόμενος αὐτοῖς ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις. 12Ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν ἀρχιερέων, 13ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς καὶ τοὺς σὺν ἐμοὶ πορευομένους· 14πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν ἤκουσα φωνὴν λαλοῦσαν πρός με καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ· Σαοὺλ Σαούλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. 15ἐγὼ δὲ εἶπον· τίς εἶ, Κύριε; ὁ δὲ εἶπεν· ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις. 16ἀλλὰ ἀνάστηθι καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες ὧν τε ὀφθήσομαί σοι, 17ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν, εἰς οὓς ἐγώ σε ἀποστέλλω 18ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ. 19Ὅθεν, βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ, 20ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἰερουσολύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας καὶ τοῖς ἔθνεσιν ἀπαγ-

seminții ale noastre, slujind cu stăruință noapte şi zi, nădăjduiesc să ajungă; pentru această nădejde sunt învinuit, împărate Agripa, de către iudei. 8De ce se socoteşte la voi de necrezut că Dumnezeu îi scoală pe morți? 9Aşadar, eu am crezut în sinea mea că împotriva numelui lui Iisus Nazarineanul trebuia să săvârşesc multe lucruri potrivnice; 10ceea ce am şi făcut în Ierusalim, şi pe mulți dintre sfinți eu i-am zăvorât în temnițe, luând împuternicire de la arhierei, şi mi-am dat încuviințarea ca ei să fie uciși. 11Şi pedepsindu-i adesea prin toate sinagogile, îi sileam să hulească şi, peste măsură mâniindu-mă împotriva lor, îi prigoneam până şi prin cetățile din afară; 12şi pentru aceasta mergând eu la Damasc, cu împuternicire şi încuviințare de la arhierei, 13la miezul zilei, pe cale, am văzut, împărate, o lumină din cer strălucind mai mult decât strălucirea soarelui împrejurul meu şi a celor ce mergeau împreună cu mine. 14Şi noi toți căzând la pământ, eu am auzit un glas grăind către mine şi zicând în limba evreiască: Saule, Saule, de ce Mă prigoneşti? Greu îți este să loveşti în țepuşe cu piciorul. 15Iar eu am zis: Cine eşti, Doamne? Iar El a zis: Eu sunt Iisus, pe Care tu Îl prigoneşti. 16Dar scoală-te şi stai pe picioarele tale; căci spre aceasta M-am arătat ție, ca să te rânduiesc slujitor şi martor, şi al celor pe care le-ai văzut, şi al celor întru care Mă voi arăta ție, 17scoțându-te pe tine din popor şi din neamuri, la care Eu te trimit, 18să le deschizi ochii, ca să se întoarcă de la întuneric la lumină şi de la stăpânirea satanei la Dumnezeu, ca ei să ia iertarea păcatelor şi sorțul între cei sfințiți prin credința cea întru Mine. 19Drept aceea, împărate Agripa,

γέλλω μετανοεῖν καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας. 21ἕνεκα τούτων με οἱ Ἰουδαῖοι συλλαβόμενοι ἐν τῷ ἱερῷ ἐπειρῶντο διαχειρίσασθαι. 22ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ Θεοῦ ἄχρι τῆς ἡμέρας ταύτης ἕστηκα μαρτυρόμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γενέσθαι καὶ Μωϋσῆς, 23εἰ παθητὸς ὁ Χριστός, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν τῷ λαῷ καὶ τοῖς ἔθνεσι.

nu m-am făcut neascultător vedeniei cereşti; 20ci mai întâi celor din Damasc şi din Ierusalim, şi în tot ţinutul Iudeii, şi neamurilor le vestesc să se pocăiască şi să se întoarcă la Dumnezeu, făptuind lucruri vrednice de pocăinţă. 21Din pricina acestora, iudeii, prinzându-mă în templu, încercau să mă omoare cu mâna lor. 22Dobândind deci sprijin de la Dumnezeu, până în ziua aceasta am stat mărturisind la mic şi la mare, nimic altceva zicând decât cele ce şi Proorocii şi Moise au spus că vor să fie: 23Că Hristos are să pătimească şi, Cel dintâi din învierea morţilor fiind, lumină are să vestească poporului şi neamurilor.

Ταῦτα δὲ αὐτοῦ ἀπολογουμένου ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη· μαίνῃ, Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει. 25ὁ δέ, οὐ μαίνομαι, φησί, κράτιστε Φῆστε, ἀλλὰ ἀληθείας καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι. 26ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεύς, πρὸς ὃν καὶ παρρησιαζόμενος λαλῶ· λανθάνειν γὰρ αὐτόν τι τούτων οὐ πείθομαι οὐδέν· οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο. 27πιστεύεις, βασιλεῦ Ἀγρίππα, τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις. 28ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον ἔφη· ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι. 29ὁ δὲ Παῦλος εἶπεν· εὐξαίμην ἂν τῷ Θεῷ καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ οὐ μόνον σέ, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων. 30Καὶ ταῦτα εἰπόντος αὐτοῦ ἀνέστη ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν ἥ τε Βερνίκη καὶ οἱ συγκαθήμενοι αὐτοῖς, 31καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους λέγοντες ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν πράσσει ὁ ἄνθρωπος οὗτος. 32Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη· ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπεκέκλητο Καίσαρα.

Şi acestea grăind el întru apărarea sa, Festus a zis cu glas mare: Eşti nebun, Pavele! Cartea multă te trage la nebunie. 25Iar el a zis: Nu sunt nebun, preaputernice Festus, ci grăiesc cuvintele adevărului şi ale înţelepciunii. 26Că are ştiinţă despre acestea împăratul, către care şi îndrăznind grăiesc; căci nu cred să-i fi rămas ascuns ceva din ele, pentru că aceasta nu s-a făptuit într-un ungher. 27Crezi, împărate Agripa, proorocilor? Ştiu că crezi. 28Iar Agripa a zis către Pavel: Cu puţin de nu mă îndupleci să mă fac şi eu creştin! 29Iar Pavel a zis: M-aş ruga lui Dumnezeu ca, fie cu puţin, fie cu mult, nu numai tu, ci şi toţi care mă ascultă astăzi să se facă aşa cum sunt şi eu, afară de lanţurile acestea. 30Şi acestea zicând el, s-au ridicat împăratul şi guvernatorul, asemenea şi Berenice şi cei care şedeau împreună cu ei, 31şi plecând, grăiau unii către alţii, zicând că nimic vrednic de moarte sau de lanţuri nu făptuieşte omul acesta. 32Iar Agripa a zis lui Festus: Putea fi slobozit omul acesta, dacă nu cerea să fie judecat de Cezarul.

Κεφάλαιον ΚΖ΄

Capitolul 27

Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς
εἰς τὴν Ἰταλίαν, παρεδίδουν τόν
τε Παῦλον καί τινας ἑτέρους δε-
σμώτας ἑκατοντάρχῃ ὀνόματι Ἰου-
λίῳ σπείρης Σεβαστῆς. 2ἐπιβάντες
δὲ πλοίῳ Ἀδραμυττηνῷ μέλλοντες
πλεῖν τοὺς κατὰ τὴν Ἀσίαν τόπους ἀνή-
χθημεν, ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακεδό-
νος Θεσσαλονικέως, 3τῇ τε ἑτέρᾳ κατήχθημεν
εἰς Σιδῶνα· φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύ-
λῳ χρησάμενος ἐπέτρεψε πρὸς τοὺς φίλους
πορευθέντα ἐπιμελείας τυχεῖν. 4κἀκεῖθεν
ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον διὰ
τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους, 5τό τε πέλα-
γος τὸ κατὰ τὴν Κιλικίαν καὶ Παμφυλίαν δια-
πλεύσαντες κατήλθομεν εἰς Μύρα τῆς Λυκίας.
6Κἀκεῖ εὑρὼν ὁ ἑκατοντάρχης πλοῖον Ἀλε-
ξανδρῖνον πλέον εἰς τὴν Ἰταλίαν ἐνεβίβασεν
ἡμᾶς εἰς αὐτό. 7ἐν ἱκαναῖς δὲ ἡμέραις βρα-
δυπλοοῦντες καὶ μόλις γενόμενοι κατὰ τὴν
Κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου,
ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ Σαλμώνην,
8μόλις τε παραλεγόμενοι αὐτὴν ἤλθομεν εἰς
τόπον τινὰ καλούμενον Καλοὺς λιμένας, ᾧ
ἐγγὺς ἦν πόλις Λασαία. 9Ἱκανοῦ δὲ χρόνου
διαγενομένου καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ
πλοὸς διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυ-
θέναι, παρῄνει ὁ Παῦλος 10λέγων αὐτοῖς· ἄν-
δρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς
ζημίας οὐ μόνον τοῦ φόρτου καὶ τοῦ πλοίου,
ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι
τὸν πλοῦν. 11ὁ δὲ ἑκατοντάρχης τῷ κυβερνήτῃ
καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον ἢ τοῖς ὑπὸ
τοῦ Παύλου λεγομένοις. 12ἀνευθέτου δὲ τοῦ

Şar când s-a hotărât să plecăm pe
mare în Italia, l-au predat şi pe Pa-
vel, şi pe alţi câţiva întemniţaţi unui
sutaş pe nume Iuliu, din cohorta
Augusta. 2Şi suindu-ne pe o cora-
bie adramiteană, având să mergem
pe mare la locurile din Asia, am
plecat, fiind cu noi Aristarh, macedonean
din Tesalonic. 3Şi a doua zi am ajuns la
Sidon; şi Iuliu, purtându-se cu omenie faţă
de Pavel, a îngăduit ca, mergând la prie-
teni, să aibă parte de îngrijire. 4Şi plecând
de acolo, am plutit de-a lungul Ciprului,
pentru că vânturile erau potrivnice. 5Şi
străbătând marea Ciliciei şi a Pamfiliei, am
ajuns la Mira Lichiei. 6Şi acolo, găsind su-
taşul o corabie din Alexandria care mer-
gea spre Italia, ne-a suit în ea. 7Şi plutind
cu încetineală destule zile şi abia ajungând
în dreptul Cnidului, fiindcă vântul nu ne
îngăduia, am plutit pe lângă Creta, în drep-
tul Salmonei. 8Şi abia trecând noi pe lângă
ea, am ajuns într-un loc numit Limanuri
Bune, de care era aproape cetatea Laseea.
9Şi trecând destul timp şi fiind plutirea pri-
mejdioasă, fiindcă trecuse şi postul, Pavel
îi îndemna, 10zicându-le: Bărbaţi, văd că
plutirea va să fie cu necaz şi cu multă pagu-
bă, nu numai pentru încărcătură şi pentru
corabie, ci şi pentru sufletele noastre. 11Iar
sutaşul se încredea mai degrabă în cârmaci
şi în stăpânul corabiei decât în cele spu-
se de Pavel. 12Şi limanul fiind neprielnic
pentru iernat, cei mai mulţi au făcut sfat

λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν οἱ πλείους ἔθεντο βουλὴν ἀναχθῆναι κἀκεῖθεν, εἴ πως δύναιντο καταντήσαντες εἰς Φοίνικα παραχειμάσαι, λιμένα τῆς Κρήτης βλέποντα κατὰ λίβα καὶ κατὰ χῶρον.

13Ὑποπνεύσαντος δὲ νότου δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσσον παρελέγοντο τὴν Κρήτην. 14μετ᾽ οὐ πολὺ δὲ ἔβαλε κατ᾽ αὐτῆς ἄνεμος τυφωνικὸς ὁ καλούμενος Εὐροκλύδων. 15συναρπασθέντος δὲ τοῦ πλοίου καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ ἐπιδόντες ἐφερόμεθα. 16νησίον δέ τι ὑποδραμόντες καλούμενον Κλαύδην μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης, 17ἣν ἄραντες βοηθείαις ἐχρῶντο ὑποζωννύντες τὸ πλοῖον· φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν ἐκπέσωσι, χαλάσαντες τὸ σκεῦος οὕτως ἐφέροντο. 18σφοδρῶς δὲ χειμαζομένων ἡμῶν τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο, 19καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν. 20μήτε δὲ ἡλίου μήτε ἄστρων ἐπιφαινόντων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σῴζεσθαι ἡμᾶς. 21Πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν· ἔδει μέν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. 22καὶ τὰ νῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν πλὴν τοῦ πλοίου. 23παρέστη γάρ μοι τῇ νυκτὶ ταύτῃ ἄγγελος τοῦ Θεοῦ οὗ εἰμι, ᾧ καὶ λατρεύω, 24λέγων· μὴ φοβοῦ, Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι· καὶ ἰδοὺ κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ. 25διὸ εὐθυμεῖτε, ἄνδρες· πιστεύω γὰρ τῷ Θεῷ ὅτι οὕτως ἔσται καθ᾽ ὃν τρόπον λελάληταί μοι. 26εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. 27Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ, κατὰ μέσον τῆς νυκτὸς

să plecăm de acolo şi, dacă s-ar putea, să ajungem să iernăm la Fenix, un liman al Cretei, deschis spre austru şi crivăţ.

13Şi suflând uşor vânt de Miazăzi şi socotind ei că se ţin de ce îşi puseseră în gând, ridicând ancora, treceau pe lângă Creta. 14Şi nu după multă vreme, s-a pornit asupra ei vânt furtunos, cel numit Euroclidon. 15Şi fiind smulsă corabia şi neputând ea să înfrunte vântul, ne-am lăsat duşi în voia lui. 16Şi trecând pe lângă o insuliţă, numită Clauda, de abia am putut să ţinem luntrea, 17pe care ridicând-o, au folosit unelte ajutătoare, încingând corabia pe dedesubt. Şi temându-se să nu naufragieze în Sirta, lăsând pânzele jos, erau purtaţi aşa. 18Şi fiind noi tare loviţi de furtună, în ziua următoare au aruncat încărcătura. 19Şi a treia zi, cu mâinile noastre, am aruncat lucrurile corăbiei. 20Şi nearătându-se nici soarele, nici stelele mai multe zile şi tot fiind asupra noastră furtună mare, aproape că ni se luase toată nădejdea de a ne mântui. 21Şi fiind de multă vreme lipsiţi de hrană, a stat atunci Pavel în mijlocul lor şi a zis: Trebuia, o, bărbaţilor, ca, ascultându-mă pe mine, să nu plecăm din Creta şi să agonisim necazul acesta şi paguba. 22Şi acum vă îndemn să prindeţi curaj, căci nu va fi nici o pierdere de suflet dintre voi, afară de corabie. 23Căci mi-a stat înainte în această noapte un înger al Dumnezeului, al Căruia sunt şi Căruia mă închin, 24zicând: Nu te teme, Pavele. Trebuie să stai înaintea Cezarului; şi iată, ţi i-a dăruit Dumnezeu pe toţi cei ce merg pe mare cu tine. 25De aceea, bărbaţilor, prindeţi curaj, căci cred lui Dumnezeu, că aşa va fi, după cum mi s-a grăit. 26Dar trebuie să naufragiem pe o insulă. 27Şi când

ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν. 28καὶ βολίσαντες εὗρον ὀργυιὰς εἴκοσι, βραχὺ δὲ διαστήσαντες καὶ πάλιν βολίσαντες εὗρον ὀργυιὰς δεκαπέντε· 29φοβούμενοί τε μήπως εἰς τραχεῖς τόπους ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας ηὔχοντο ἡμέραν γενέσθαι. 30Τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρῴρας μελλόντων ἀγκύρας ἐκτείνειν, 31εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις· ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. 32τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν. 33Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς λέγων· τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε, μηδὲν προσλαβόμενοι. 34διὸ παρακαλῶ ὑμᾶς μεταλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς πεσεῖται. 35εἰπὼν δὲ ταῦτα καὶ λαβὼν ἄρτον εὐχαρίστησε τῷ Θεῷ ἐνώπιον πάντων, καὶ κλάσας ἤρξατο ἐσθίειν. 36εὔθυμοι δὲ γενόμενοι πάντες καὶ αὐτοὶ προσελάβοντο τροφῆς· 37ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ διακόσιαι ἑβδομήκοντα ἕξ. 38κορεσθέντες δὲ τροφῆς ἐκούφιζον τὸ πλοῖον ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν.

Ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον, κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλόν, εἰς ὃν ἐβουλεύσαντο, εἰ δύναιντο, ἐξῶσαι τὸ πλοῖον. 40καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων, καὶ ἐπάραντες τὸν ἀρτέμωνα τῇ πνεούσῃ κατεῖχον εἰς τὸν αἰγιαλόν. 41περιπεσόντες δὲ εἰς τόπον διθάλασσον ἐπώκειλαν τὴν ναῦν, καὶ ἡ μὲν πρῷρα ἐρείσασα ἔμεινεν ἀσάλευτος, ἡ δὲ πρύμνα ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων.

s-a făcut a paisprezecea noapte de când eram purtați pe Adriatica, pe la miezul nopții, au bănuit corăbierii că se apropie de un țărm. 28Şi aruncând măsura, au aflat douăzeci de stânjeni; trecând puțin mai departe şi iarăşi aruncând măsura, au aflat cincisprezece stânjeni. 29Şi temându-se ca nu cumva să naufragiem în locuri stâncoase, aruncând de la pupa patru ancore, se rugau să se facă ziuă. 30Şi căutând corăbierii să fugă din corabie şi lăsând luntrea în mare, sub cuvânt că vor să întindă ancorele de la proră, 31a spus Pavel sutaşului şi ostaşilor: Dacă aceştia nu rămân în corabie, voi nu puteți să vă mântuiți. 32Atunci ostaşii au tăiat funiile luntrei şi au lăsat-o să cadă. 33Iar, până să se facă ziuă, Pavel îi ruga pe toți să ia din hrană, zicând: A paisprezecea zi este astăzi de când, aşteptând, ați rămas nemâncați, neluând nimic. 34De aceea, vă rog să luați din hrană, căci aceasta este spre mântuirea voastră. Că nici unuia din voi nu-i va cădea din cap un fir de păr. 35Zicând acestea şi luând pâine, a mulțumit lui Dumnezeu înaintea tuturor şi, frângând, a început să mănânce. 36Şi prinzând toți curaj, au luat şi ei din hrană. 37Şi eram în corabie, toate sufletele, două sute şaptezeci şi şase. 38Şi săturându-se de hrană, au uşurat corabia, aruncând grâul în mare.

Iar când s-a făcut ziuă, n-au cunoscut pământul, dar au zărit un golf cu țărm nisipos, la care s-au sfătuit să scoată corabia, dacă ar fi fost cu putință. 40Şi desfăcând ancorele, le-au lăsat în mare, slăbind totodată funiile cârmelor şi, ridicând pânza din față în bătaia vântului, se îndreptau spre țărm. 41Şi nimerind într-un dâmb de nisip au înțepenit corabia; şi prora, înfigându-se,

42τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο ἵνα τοὺς
δεσμώτας ἀποκτείνωσι, μή τις ἐκκολυμβήσας
διαφύγοι. 43ὁ δὲ ἑκατοντάρχης βουλόμενος
διασῶσαι τὸν Παῦλον ἐκώλυσεν αὐτοὺς τοῦ
βουλήματος, ἐκέλευσέ τε τοὺς δυναμένους
κολυμβᾶν ἀπορρίψαντας πρώτους ἐπὶ τὴν
γῆν ἐξιέναι, 44καὶ τοὺς λοιποὺς οὓς μὲν ἐπὶ
σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου.
καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ
τὴν γῆν.

a rămas neclintită, iar pupa se sfărâma de
puterea valurilor. 42Iar ostaşii au făcut sfat
să-i omoare pe întemniţaţi, ca să nu scape
vreunul înotând. 43Dar sutaşul, voind să-l
scape pe Pavel, a împiedicat vrerea lor şi
a poruncit ca cei care pot să înoate, arun-
cându-se primii, să iasă la uscat; 44iar cei-
lalţi, care pe scânduri, care pe câte ceva de
la corabie. Şi aşa au scăpat cu toţii la uscat.

Κεφάλαιον ΚΗ΄

Καὶ διασωθέντες τότε ἐπέγνωσαν
ὅτι Μελίτη ἡ νῆσος καλεῖται. 2οἱ δὲ
βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν
φιλανθρωπίαν ἡμῖν· ἀνάψαντες γὰρ
πυρὰν προσελάβοντο πάντας
ἡμᾶς διὰ τὸν ὑετὸν τὸν ἐφεστῶ-
τα καὶ διὰ τὸ ψῦχος. 3συστρέψαντος δὲ τοῦ
Παύλου φρυγάνων πλῆθος καὶ ἐπιθέντος
ἐπὶ τὴν πυράν, ἔχιδνα ἀπὸ τῆς θέρμης διεξ-
ελθοῦσα καθῆψε τῆς χειρὸς αὐτοῦ. 4ὡς δὲ
εἶδον οἱ βάρβαροι κρεμάμενον τὸ θηρίον
ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους·
πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν
διασωθέντα ἐκ τῆς θαλάσσης ἡ Δίκη ζῆν οὐκ
εἴασεν. 5ὁ μὲν οὖν ἀποτινάξας τὸ θηρίον εἰς τὸ
πῦρ ἔπαθεν οὐδὲν κακόν· 6οἱ δὲ προσεδόκων
αὐτὸν μέλλειν πίμπρασθαι ἢ καταπίπτειν
ἄφνω νεκρόν. ἐπὶ πολὺ δὲ αὐτῶν προσδο-
κώντων καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς
αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον
θεὸν αὐτὸν εἶναι. 7Ἐν δὲ τοῖς περὶ τὸν τόπον
ἐκεῖνον ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου
ὀνόματι Ποπλίῳ, ὃς ἀναδεξάμενος ἡμᾶς τρεῖς
ἡμέρας φιλοφρόνως ἐξένισεν. 8ἐγένετο δὲ τὸν

Capitolul 28

Şi după ce au scăpat, au aflat că insu-
la se numeşte Malta. 2Iar barbarii
ne arătau o nemaiîntâlnită ome-
nie, căci, aprinzând foc, ne-au luat
pe toţi la ei din pricina ploii care
se iscase şi din pricina frigului. 3Şi
strângând Pavel o grămadă de vreas-
curi şi punându-le în foc, o viperă, ieşind
de căldură, s-a prins de mâna lui. 4Şi când
au văzut barbarii sălbăticiunea atârnând
de mâna lui, ziceau unii către alţii: Fără
îndoială, ucigaş este omul acesta, pe care,
deşi a scăpat din mare, Dreptatea nu l-a
lăsat să trăiască. 5Deci el, scuturând fia-
ra în foc, n-a păţit nici un rău. 6Iar ei aş-
teptau ca el să se umfle, sau să cadă de-
odată mort. Dar aşteptând ei mult şi
văzând că nu i se întâmplă nimic neo-
bişnuit, schimbându-şi gândul, ziceau că
este un zeu. 7Şi în împrejurimile acelui loc
erau ţarinile căpeteniei insulei, pe nume
Publius, care, primindu-ne, ne-a găzduit
trei zile cu bunăvoinţă. 8Şi s-a făcut că ta-
tăl lui Publius zăcea cuprins de friguri şi

πατέρα τοῦ Ποπλίου πυρετοῖς καὶ δυσεντερίῳ
συνεχόμενον κατακεῖσθαι· πρὸς ὃν ὁ Παῦλος
εἰσελθὼν καὶ προσευξάμενος καὶ ἐπιθεὶς τὰς
χεῖρας αὐτῷ ἰάσατο αὐτόν. 9τούτου οὖν γε-
νομένου καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν
τῇ νήσῳ προσήρχοντο καὶ ἐθεραπεύοντο· 10οἳ
καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς καὶ ἀναγο-
μένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν.

Μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ
παρακεχειμακότι ἐν τῇ νήσῳ, Ἀλεξαν-
δρίνῳ, παρασήμῳ Διοσκούροις, 12καὶ κατα-
χθέντες εἰς Συρακούσας ἐπεμείναμεν ἡμέρας
τρεῖς· 13ὅθεν περιελθόντες κατηντήσαμεν εἰς
Ῥήγιον, καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου
νότου δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους· 14οὗ
εὑρόντες ἀδελφοὺς παρεκλήθημεν ἐπ' αὐτοῖς
ἐπιμεῖναι ἡμέρας ἑπτά, καὶ οὕτως εἰς τὴν
Ῥώμην ἤλθομεν. 15κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκού-
σαντες τὰ περὶ ἡμῶν ἐξῆλθον εἰς ἀπάντησιν
ἡμῖν ἄχρις Ἀππίου φόρου καὶ Τριῶν ταβερ-
νῶν, οὓς ἰδὼν ὁ Παῦλος εὐχαριστήσας τῷ
Θεῷ ἔλαβε θάρσος.

Ὅτε δὲ ἤλθομεν εἰς Ῥώμην, ὁ ἑκατοντάρχης
παρέδωκε τοὺς δεσμίους τῷ στρατοπε-
δάρχῃ· τῷ δὲ Παύλῳ ἐπετράπη μένειν καθ'
ἑαυτὸν σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ.
17Ἐγένετο δὲ μετὰ ἡμέρας τρεῖς συγκαλέσα-
σθαι τὸν Παῦλον τοὺς ὄντας τῶν Ἰουδαίων
πρώτους· συνελθόντων δὲ αὐτῶν ἔλεγε πρὸς
αὐτούς· ἄνδρες ἀδελφοί, ἐγὼ οὐδὲν ἐναντίον
ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις
δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς
χεῖρας τῶν Ῥωμαίων· 18οἵτινες ἀνακρίναντές
με ἐβούλοντο ἀπολῦσαι διὰ τὸ μηδεμίαν αἰτί-
αν θανάτου ὑπάρχειν ἐν ἐμοί. 19ἀντιλεγόντων
δὲ τῶν Ἰουδαίων ἠναγκάσθην ἐπικαλέσασθαι
Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κα-
τηγορῆσαι. 20διὰ ταύτην οὖν τὴν αἰτίαν παρε-
κάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι· ἕνεκεν
γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ τὴν ἅλυσιν ταύ-

de dizenterie; la care intrând Pavel şi ru-
gându-se, şi punând mâinile peste el, l-a
vindecat. 9Şi făcându-se aceasta, veneau
la el şi ceilalţi din insulă care aveau boli
şi se tămăduiau. 10Aceştia ne-au cinstit cu
multe cinstiri şi, când am plecat, ne-au pus
la îndemână cele spre trebuinţă.

Şi după trei luni am pornit pe mare cu
o corabie din Alexandria, care iernase
pe insulă şi care avea pe ea însemnul
Dioscurilor. 12Şi ajungând la Siracuza, am
rămas trei zile. 13De unde, înconjurând,
am sosit la Regium. Şi, iscându-se după
o zi vânt de Miazăzi, am ajuns la Puteoli
în cealaltă zi, 14unde, găsind fraţi, am fost
rugaţi să rămânem la ei şapte zile; şi astfel
am venit la Roma. 15Şi de acolo, fraţii, au-
zind cele despre noi, au ieşit întru întâmpi-
narea noastră până la Forul lui Apius şi la
Trei Taverne; iar Pavel, văzându-i, a mulţu-
mit lui Dumnezeu şi a căpătat îndrăzneală.

Când am ajuns la Roma, sutaşul i-a pre-
dat pe cei legaţi căpeteniei taberei, iar
lui Pavel i s-a îngăduit să locuiască aparte
cu ostaşul care îl păzea. 17Şi s-a făcut că
după trei zile Pavel i-a chemat la el pe cei
care erau în fruntea iudeilor. Şi adunân-
du-se aceştia, a zis către ei: Bărbaţi fraţi,
nefăcând nimic împotriva poporului sau
a obiceiurilor părinteşti, fiind întemniţat
din Ierusalim, am fost dat în mâinile roma-
nilor, 18care, cercetându-mă, voiau să mă
slobozească, fiindcă nu era în mine nici o
vină de moarte. 19Şi împotrivindu-se iu-
deii, am fost silit să cer să fiu judecat de
Cezarul, dar nu ca şi cum aş avea să în-
vinuiesc cu ceva neamul meu. 20Deci, pen-
tru această pricină v-am chemat să vă văd
şi să vorbesc cu voi. Căci pentru nădejdea
lui Israel sunt eu legat cu acest lanţ. 21Iar ei

την περίκειμαι. 21οἱ δὲ πρὸς αὐτὸν εἶπον· ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν ἢ ἐλάλησέ τι περὶ σοῦ πονηρόν. 22ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς· περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστὸν ἐστιν ἡμῖν ὅτι πανταχοῦ ἀντιλέγεται. 23Ταξάμενοι δὲ αὐτῷ ἡμέραν ἦκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες, οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ Θεοῦ πείθων τε αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ ἀπό τε τοῦ νόμου Μωϋσέως καὶ τῶν προφητῶν ἀπὸ πρωῒ ἕως ἑσπέρας. 24καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν. 25ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν, ὅτι καλῶς τὸ Πνεῦμα τὸ Ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν 26λέγον· *πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ εἶπον· ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε· 27ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσι καὶ τῇ καρδίᾳ συνῶσι καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς.* 28γνωστὸν οὖν ἔστω ὑμῖν ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τοῦτο τὸ σωτήριον τοῦ Θεοῦ, αὐτοὶ καὶ ἀκούσονται. 29καὶ ταῦτα αὐτοῦ εἰπόντος ἀπῆλθον οἱ Ἰουδαῖοι πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. 30Ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώματι καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν, 31κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ καὶ διδάσκων τὰ περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μετὰ πάσης παρρησίας ἀκωλύτως.

au zis către el: Noi nici scrisori despre tine n-am primit din Iudeea, nici nu a venit cineva dintre fraţi, ca să ne vestească sau să ne vorbească despre tine ceva rău. 22Dar cerem să auzim de la tine cele ce cugeţi; căci despre eresul acesta ne este cunoscut că pretutindeni se vorbeşte împotriva lui. 23Deci, rânduindu-i o zi, au venit la el, în găzduire, mai mulţi, cărora le vorbea, dând mărturie despre Împărăţia lui Dumnezeu şi încredinţându-i de cele despre Iisus şi din Legea lui Moise şi din prooroci, de dimineaţa până seara. 24Şi unii erau înduplecaţi de cele spuse, iar alţii nu credeau. 25Şi neînţelegându-se unii cu alţii, au plecat, zicând Pavel o vorbă: Bine a grăit Duhul Sfânt prin Isaia proorocul, către părinţii noştri, 26spunând: *Mergi la poporul acesta şi zi: Cu auzul veţi auzi şi nu veţi înţelege şi privind veţi privi şi nu veţi vedea. 27Căci s-a învârtoşat inima acestui popor şi cu urechile greu au auzit şi şi-au închis ochii lor, ca nu cumva să vadă cu ochii şi cu urechile să audă şi cu inima să înţeleagă şi să se întoarcă şi Eu să-i vindec.* 28Deci cunoscut să vă fie vouă că neamurilor li s-a trimis această mântuire a lui Dumnezeu, ei vor şi auzi. 29Şi zicând el acestea, au plecat iudeii, având între ei multă neînţelegere. 30Şi a rămas Pavel doi ani întregi în casa luată de el cu chirie, şi primea pe toţi care veneau la el, 31propovăduind Împărăţia lui Dumnezeu şi învăţând cele despre Domnul Iisus Hristos, cu toată îndrăzneala, fără oprelişte.

EPISTOLA CĂTRE ROMANI

Κεφάλαιον Α΄

Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς εὐαγγέλιον Θεοῦ 2ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις 3περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαυὶδ κατὰ σάρκα, 4τοῦ ὁρισθέντος υἱοῦ Θεοῦ ἐν δυνάμει κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν, 5δι' οὗ ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς ἔθνεσιν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, 6ἐν οἷς ἐστε καὶ ὑμεῖς κλητοὶ Ἰησοῦ Χριστοῦ, 7πᾶσι τοῖς οὖσιν ἐν Ῥώμῃ ἀγαπητοῖς Θεοῦ, κλητοῖς ἁγίοις· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Πρῶτον μὲν εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ ὑπὲρ πάντων ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται ἐν ὅλῳ τῷ κόσμῳ. 9μάρτυς γάρ μού ἐστιν ὁ Θεός, ᾧ λατρεύω ἐν τῷ πνεύματί μου ἐν τῷ εὐαγγελίῳ τοῦ υἱοῦ αὐτοῦ, ὡς ἀδιαλείπτως μνείαν ὑμῶν ποιοῦμαι,

Capitolul 1

Pavel, rob al lui Iisus Hristos, chemat apostol, osebit spre Evanghelia lui Dumnezeu, 2pe care a făgăduit-o mai înainte prin proorocii Săi în Scripturi Sfinte, 3despre Fiul Său, Cel născut din sămânța lui David după trup, 4Cel rânduit Fiu al lui Dumnezeu întru putere după Duhul sfințeniei, din învierea din morți, Iisus Hristos, Domnul nostru, 5prin Care noi am primit har şi apostolie spre ascultarea credinței la toate neamurile, pentru numele Lui, 6între care sunteți şi voi chemați ai lui Iisus Hristos, 7tuturor celor ce sunteți în Roma, iubiți ai lui Dumnezeu, chemați sfinți. Har vouă şi pace de la Dumnezeu, Tatăl nostru, şi de la Domnul Iisus Hristos!

Mai întâi mulțumesc Dumnezeului meu prin Iisus Hristos pentru voi toți, fiindcă credința voastră se vesteşte în toată lumea. 9Căci martor îmi este Dumnezeu, Căruia mă închin în duhul meu, întru Evanghelia Fiului Său, că neîncetat fac pomenirea

10πάντοτε ἐπὶ τῶν προσευχῶν μου δεόμενος
εἴ πως ἤδη ποτὲ εὐοδωθήσομαι ἐν τῷ θελή-
ματι τοῦ Θεοῦ ἐλθεῖν πρὸς ὑμᾶς. 11ἐπιποθῶ
γὰρ ἰδεῖν ὑμᾶς, ἵνα τι μεταδῶ χάρισμα ὑμῖν
πνευματικὸν εἰς τὸ στηριχθῆναι ὑμᾶς, 12τοῦτο
δέ ἐστι συμπαρακληθῆναι ἐν ὑμῖν διὰ τῆς ἐν
ἀλλήλοις πίστεως ὑμῶν τε καὶ ἐμοῦ. 13οὐ θέλω
δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι πολλάκις προ-
εθέμην ἐλθεῖν πρὸς ὑμᾶς, καὶ ἐκωλύθην ἄχρι
τοῦ δεῦρο, ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν
καθὼς καὶ ἐν τοῖς λοιποῖς ἔθνεσιν. 14Ἕλλησί
τε καὶ βαρβάροις, σοφοῖς τε καὶ ἀνοήτοις
ὀφειλέτης εἰμί· 15οὕτω τὸ κατ' ἐμὲ πρόθυμον
καὶ ὑμῖν τοῖς ἐν Ῥώμῃ εὐαγγελίσασθαι.

16Οὐ γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον τοῦ
Χριστοῦ· δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σω-
τηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶ-
τον καὶ Ἕλληνι. 17δικαιοσύνη γὰρ Θεοῦ ἐν
αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν,
καθὼς γέγραπται· *ὁ δὲ δίκαιος ἐκ πίστεως
ζήσεται.*

18Ἀποκαλύπτεται γὰρ ὀργὴ Θεοῦ ἀπ' οὐ-
ρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν
ἀνθρώπων τῶν τὴν ἀλήθειαν ἐν ἀδικίᾳ κα-
τεχόντων, 19διότι τὸ γνωστὸν τοῦ Θεοῦ φανε-
ρόν ἐστιν ἐν αὐτοῖς· ὁ γὰρ Θεὸς αὐτοῖς ἐφα-
νέρωσε. 20τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως
κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται,
ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης, εἰς
τὸ εἶναι αὐτοὺς ἀναπολογήτους, 21διότι
γνόντες τὸν Θεὸν οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ
εὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς
διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύ-
νετος αὐτῶν καρδία· 22φάσκοντες εἶναι σο-
φοὶ ἐμωράνθησαν, 23καὶ ἤλλαξαν τὴν δόξαν
τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος
φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τε-
τραπόδων καὶ ἑρπετῶν. 24Διὸ καὶ παρέ-
δωκεν αὐτοὺς ὁ Θεὸς ἐν ταῖς ἐπιθυμίαις

voastră, 10totdeauna cerând în rugăciunile
mele ca poate, vreodată, să izbutesc cu voia
lui Dumnezeu să vin la voi. 11Căci doresc
mult să vă văd ca să vă împărtăşesc vreun
dar duhovnicesc, spre întărirea voastră, 12şi
aceasta înseamnă să am mângâiere întru voi,
prin credinţa noastră întreolaltă, şi a voas-
tră, şi a mea. 13Şi nu vreau ca voi să nu ştiţi,
fraţilor, că de multe ori mi-am pus în gând
să vin la voi – şi am fost împiedicat până
acum – ca să am vreun rod şi în voi, ca şi în
celelalte neamuri. 14Elinilor şi barbarilor,
înţelepţilor şi celor fără de minte le sunt
dator; 15astfel, osârdia mea este să vă bine-
vestesc şi vouă, celor din Roma.

16Căci nu mă ruşinez de Evanghelia lui Hri-
stos: pentru că este putere a lui Dumne-
zeu, spre mântuire tot celui ce crede, iude-
ului mai întâi, şi elinului. 17Că dreptatea lui
Dumnezeu în ea se descoperă din credinţă
spre credinţă, precum este scris: *Dreptul
din credinţă va fi viu.*

18Căci se descoperă mânia lui Dumnezeu
din cer peste toată necredinţa şi ne-
dreptatea oamenilor care ţin adevărul în-
tru nedreptate, 19pentru că ceea ce se poate
cunoaşte despre Dumnezeu este vădit în ei;
că Dumnezeu le-a vădit lor. 20Căci cele ne-
văzute ale Lui se văd de la zidirea lumii, în-
ţelegându-se din făpturi: veşnica Lui putere
şi dumnezeirea, spre a fi ei fără cuvânt de
apărare, 21pentru că ei, cunoscând pe Dum-
nezeu, nu L-au slăvit ca pe Dumnezeu,
nici nu I-au mulţumit, ci s-au zădărnicit
în gândurile lor şi s-a întunecat inima lor
neînţelegătoare; 22zicând că sunt înţelepţi,
s-au făcut nebuni, 23şi au schimbat slava lui
Dumnezeu Celui nestricăcios întru asemă-
narea chipului omului celui stricăcios şi al
zburătoarelor şi al celor cu patru picioare şi

τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν αὐτοῖς, 25οἵτινες μετήλλαξαν τὴν ἀλήθειαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει, καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν. 26Διὰ τοῦτο παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας. αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν, 27ὁμοίως δὲ καὶ οἱ ἄρσενες ἀφέντες τὴν φυσικὴν χρῆσιν τῆς θηλείας ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρσενες ἐν ἄρσεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι καὶ τὴν ἀντιμισθίαν ἣν ἔδει τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες. 28Καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, 29πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πονηρίᾳ, πλεονεξίᾳ, κακίᾳ· μεστοὺς φθόνου, φόνου, ἔριδος, δόλου, κακοηθείας· 30ψιθυριστάς, καταλάλους, θεοστυγεῖς, ὑβριστάς, ὑπερηφάνους, ἀλαζόνας, ἐφευρετὰς κακῶν, γονεῦσιν ἀπειθεῖς, 31ἀσυνέτους, ἀσυνθέτους, ἀστόργους, ἀσπόνδους, ἀνελεήμονας· 32οἵτινες τὸ δικαίωμα τοῦ Θεοῦ ἐπιγόντες, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες ἄξιοι θανάτου εἰσίν, οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι.

al târâtoarelor. 24De aceea i-a şi dat Dumnezeu, întru poftele inimilor lor, necurăţiei, să-şi necinstească trupurile lor între ei, 25ca unii care au schimbat adevărul lui Dumnezeu în minciună şi au cinstit şi s-au închinat zidirii în locul Ziditorului, Care este binecuvântat în veci. Amin. 26Pentru aceea Dumnezeu i-a dat unor patimi de necinste; că femeile lor au schimbat rânduiala firească în cea împotriva firii; 27asemenea şi bărbaţii, lăsând firească rânduială cu femeia, s-au aprins în pofta lor unii către alţii, bărbaţi cu bărbaţi, săvârşind urâciunea şi primind în ei înşişi răsplata care se cuvenea rătăcirii lor. 28Şi de vreme ce n-au încercat să aibă pe Dumnezeu întru cunoştinţă, i-a dat Dumnezeu unei minţi neîncercate, să facă cele ce nu se cuvin, 29plini de toată nedreptatea, desfrânarea, viclenia, lăcomia, răutatea; plini de pizmă, de ucidere, de ceartă, de înşelăciune, de rele-obiceiuri; 30bârfitori, vorbitori de rău, urâtori de Dumnezeu, ocărâtori, mândri, lăudăroşi, născocitori de rele, nesupuşi părinţilor, 31neînţelepţi, călcători de legământ, lipsiţi de dragoste, neînduplecaţi, nemilostivi; 32care, cunoscând dreptatea lui Dumnezeu – că cei care făptuiesc unele ca acestea sunt vrednici de moarte – nu numai că fac acestea, ci le şi încuviinţează celor care le făptuiesc.

Κεφάλαιον Β΄

Διὸ ἀναπολόγητος εἶ, ὦ ἄνθρωπε, πᾶς ὁ κρίνων· ἐν ᾧ γὰρ κρίνεις τὸν ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐτὰ πράσσεις ὁ κρίνων. 2οἴδαμεν δὲ ὅτι τὸ κρῖμα τοῦ

Capitolul 2

Drept aceea, fără cuvânt de apărare eşti, o, omule, tot cel ce judeci; căci în ceea ce judeci pe celălalt, pe tine însuţi te osândeşti; căci aceleaşi le făptuieşti tu, care judeci. 2Şi ştim că

Θεοῦ ἐστι κατὰ ἀλήθειαν ἐπὶ τοὺς τὰ τοιαῦτα πράσσοντας. 3λογίζῃ δὲ τοῦτο, ὦ ἄνθρωπε ὁ κρίνων τοὺς τὰ τοιαῦτα πράσσοντας καὶ ποιῶν αὐτά, ὅτι σὺ ἐκφεύξῃ τὸ κρῖμα τοῦ Θεοῦ; 4ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ καὶ τῆς ἀνοχῆς καὶ τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει; 5κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετανόητον καρδίαν θησαυρίζεις σεαυτῷ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως καὶ δικαιοκρισίας τοῦ Θεοῦ, 6ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, 7τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ δόξαν καὶ τιμὴν καὶ ἀφθαρσίαν ζητοῦσι ζωὴν αἰώνιον, 8τοῖς δὲ ἐξ ἐριθείας, καὶ ἀπειθοῦσι μὲν τῇ ἀληθείᾳ, πειθομένοις δὲ τῇ ἀδικίᾳ, θυμὸς καὶ ὀργή· 9θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος· 10δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι· 11οὐ γὰρ ἔστι προσωποληψία παρὰ τῷ Θεῷ. 12ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται· καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται. 13οὐ γὰρ οἱ ἀκροαταὶ τοῦ νόμου δίκαιοι παρὰ τῷ Θεῷ, ἀλλ' οἱ ποιηταὶ τοῦ νόμου δικαιωθήσονται. 14ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσι νόμος, 15οἵτινες ἐνδείκνυνται τὸ ἔργον τοῦ νόμου γραπτὸν ἐν ταῖς καρδίαις αὐτῶν, συμμαρτυρούσης αὐτῶν τῆς συνειδήσεως καὶ μεταξὺ ἀλλήλων τῶν λογισμῶν κατηγορούντων ἢ καὶ ἀπολογουμένων 16ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ.

Ἴδε σὺ Ἰουδαῖος ἐπονομάζῃ, καὶ ἐπαναπαύῃ τῷ νόμῳ, καὶ καυχᾶσαι ἐν Θεῷ, 18καὶ γινώσκεις τὸ θέλημα, καὶ δοκιμάζεις τὰ διαφέροντα, κατηχούμενος ἐκ τοῦ νόμου, 19πέποιθάς

judecata lui Dumnezeu este după adevăr asupra celor ce făptuiesc unele ca acestea. 3Şi socoteşti aceasta, o, omule, cel ce judeci pe cei ce făptuiesc unele ca acestea şi faci aceleaşi, că tu vei scăpa de judecata lui Dumnezeu? 4Sau disprețuieşti bogăția bunătății Lui şi a îngăduinței şi a îndelungii Lui răbdări, necunoscând că bunătatea lui Dumnezeu te duce la pocăință? 5Şi, după învârtoşarea ta şi după inima ta nepocăită, îți agoniseşti mânie în ziua mâniei şi a descoperirii şi a dreptei judecăți a lui Dumnezeu, 6Care va răsplăti fiecăruia după faptele lui: 7viață veşnică celor care prin stăruința în fapta bună caută slavă şi cinste şi nestricăciune, 8iar celor cu zavistie şi care nu se supun adevărului, ci se supun nedreptății, mânie şi urgie; 9necaz şi strâmtorare peste tot sufletul omului care lucrează răul, al iudeului mai întâi, şi al elinului; 10dar slavă şi cinste şi pace tot celui ce lucrează binele, iudeului mai întâi, şi elinului. 11Că nu este părtinire la Dumnezeu! 12Căci câți fără lege au păcătuit, fără lege vor şi pieri; iar câți în lege au păcătuit, prin lege vor fi judecați. 13Că nu cei ce aud legea sunt drepți la Dumnezeu, ci cei ce împlinesc legea vor fi îndreptați. 14Căci când neamurile care nu au lege din fire fac cele ale legii, aceştia, neavând lege, îşi sunt loruşi lege. 15Ei arată fapta legii scrisă în inimile lor, conştiința lor împreună-mărturisind şi gândurile lor învinovățindu-se sau apărându-se între ele, 16în ziua în care va judeca Dumnezeu cele ascunse ale oamenilor, după Evanghelia mea, prin Iisus Hristos.

Iată, tu te numeşti iudeu şi te odihneşti în Lege şi te lauzi în Dumnezeu 18şi cunoşti voia Lui şi desluşeşti lucrurile însemnate, fiind învățat din Lege 19şi te crezi a fi călăuză

τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν
ἐν σκότει, 20παιδευτὴν ἀφρόνων, διδάσκα-
λον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώ-
σεως καὶ τῆς ἀληθείας ἐν τῷ νόμῳ. 21ὁ οὖν
διδάσκων ἕτερον σεαυτὸν οὐ διδάσκεις; ὁ
κηρύσσων μὴ κλέπτειν κλέπτεις; 22ὁ λέγων
μὴ μοιχεύειν μοιχεύεις; ὁ βδελυσσόμενος τὰ
εἴδωλα ἱεροσυλεῖς; 23ὃς ἐν νόμῳ καυχᾶσαι,
διὰ τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν
ἀτιμάζεις; 24*τὸ γὰρ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς*
βλασφημεῖται ἐν τοῖς ἔθνεσι, καθὼς γέγρα-
πται. 25περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον
πράσσῃς· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ πε-
ριτομή σου ἀκροβυστία γέγονεν. 26ἐὰν οὖν
ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου
φυλάσσῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς πε-
ριτομὴν λογισθήσεται; 27καὶ κρινεῖ ἡ ἐκ φύ-
σεως ἀκροβυστία, τὸν νόμον τελοῦσα, σὲ τὸν
διὰ γράμματος καὶ περιτομῆς παραβάτην
νόμου. 28οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός
ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περι-
τομή, 29ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ
περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι,
οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ
Θεοῦ.

orbilor, lumină celor ce sunt în întuneric,
20povățuitor celor fără de minte, învățător
pruncilor, având în Lege înfățișarea cu-
noașterii şi a adevărului; 21aşadar, tu, care
înveți pe altul, pe tine însuți nu te înveți?
Tu, care propovăduieşti: Să nu furi!, furi?
22Tu, care zici: Să nu săvârşeşti adulter!,
săvârşeşti adulter? Tu, care te scârbeşti de
idoli, furi din temple? 23Tu, care te lauzi în
Lege, Îl necinsteşti pe Dumnezeu prin căl-
carea Legii? 24*Căci numele lui Dumnezeu*
din pricina voastră este hulit între neamuri,
precum este scris. 25Tăierea-împrejur folo-
seşte dacă înfăptuieşti Legea; iar dacă eşti
călcător de Lege, tăierea ta împrejur s-a
făcut netăiere-împrejur. 26Deci, dacă netă-
ierea-împrejur păzeşte îndreptările Legii,
netăierea lui împrejur nu se va socoti ca
tăiere-împrejur? 27Şi netăierea-împrejur din
fire, care săvârşeşte Legea, te va judeca pe
tine, călcătorul Legii prin literă şi prin tăie-
re-împrejur. 28Căci iudeu nu este cel la ve-
dere şi tăierea-împrejur nu este cea la ve-
dere în trup, 29ci iudeu este cel întru ascuns
şi tăierea-împrejur este a inimii, în duh, nu
în literă; a cărui laudă nu este de la oameni,
ci de la Dumnezeu.

Κεφάλαιον Γ΄

Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου, ἢ τίς ἡ ὠφέλεια τῆς περιτομῆς; 2πολὺ κατὰ πάντα τρόπον. πρῶτον μὲν γὰρ ὅτι ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ. 3τί γὰρ εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει; 4μὴ γένοιτο· γινέσθω δὲ ὁ Θεὸς ἀληθής, πᾶς δὲ ἄν-

Capitolul 3

Ce are deci mai mult iudeul? Sau care este folosul tăierii-împrejur? 2Mult în toate privințele. Mai întâi, că li s-au încredințat cuvintele lui Dumnezeu. 3Căci ce dacă unii n-au crezut? Oare necredința lor va desființa credința lui Dumnezeu? 4Să nu fie! Ci fie Dumnezeu adevărat şi tot

θρωπος ψεύστης, καθὼς γέγραπται· *ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.* 5εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν; κατὰ ἄνθρωπον λέγω. 6μὴ γένοιτο· ἐπεὶ πῶς κρινεῖ ὁ Θεὸς τὸν κόσμον; 7εἰ γὰρ ἡ ἀλήθεια τοῦ Θεοῦ ἐν τῷ ἐμῷ ψεύσματι ἐπερίσσευσεν εἰς τὴν δόξαν αὐτοῦ, τί ἔτι κἀγὼ ὡς ἁμαρτωλὸς κρίνομαι, 8καὶ μὴ καθὼς βλασφημούμεθα καὶ καθὼς φασί τινες ἡμᾶς λέγειν ὅτι ποιήσωμεν τὰ κακὰ ἵνα ἔλθῃ τὰ ἀγαθά; ὧν τὸ κρῖμα ἔνδικόν ἐστι.

Τί οὖν; προεχόμεθα; οὐ πάντως· προητιασάμεθα γὰρ Ἰουδαίους τε καὶ Ἕλληνας πάντας ὑφ᾽ ἁμαρτίαν εἶναι, 10καθὼς γέγραπται ὅτι *οὐκ ἔστι δίκαιος οὐδὲ εἷς,* 11*οὐκ ἔστιν ὁ συνιῶν, οὐκ ἔστιν ὁ ἐκζητῶν τὸν Θεόν·* 12*πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.* 13*τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν, ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν, ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν·* 14*ὧν τὸ στόμα ἀρᾶς καὶ πικρίας γέμει·* 15*ὀξεῖς οἱ πόδες αὐτῶν ἐκχέαι αἷμα,* 16*σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν,* 17*καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν.* 18*οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν.* 19Οἴδαμεν δὲ ὅτι ὅσα ὁ νόμος λέγει τοῖς ἐν τῷ νόμῳ λαλεῖ, ἵνα πᾶν στόμα φραγῇ καὶ ὑπόδικος γένηται πᾶς ὁ κόσμος τῷ Θεῷ, 20διότι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ· διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας.

Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται, μαρτυρουμένη ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, 22δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας· οὐ γάρ

omul mincinos, precum este scris: *Ca drept să fii aflat întru cuvintele Tale şi să biruieşti când Te vei judeca Tu.* 5Iar dacă nedreptatea noastră învederează dreptatea lui Dumnezeu, ce vom zice? Oare este nedrept Dumnezeu, Cel ce aduce mânia? – Ca om vorbesc. 6Să nu fie! Căci altfel cum va judeca Dumnezeu lumea? 7Şi dacă adevărul lui Dumnezeu întru minciuna mea a prisosit spre slava Lui, de ce mai sunt judecat şi eu ca păcătos? 8Şi de ce n-am face cele rele ca să vină cele bune, precum suntem huliţi şi precum spun unii că zicem noi? Osânda acestora este dreaptă.

Ce, dar? Suntem noi mai presus? Nicidecum. Căci am învinuit mai înainte şi pe iudei, şi pe elini, că toţi sunt sub păcat, 10precum este scris: *Nu este drept, nici măcar unul;* 11*nu este cel ce înţelege, nu este cel ce caută pe Dumnezeu;* 12*toţi s-au abătut, împreună netrebnici s-au făcut; nu este cel ce face bunătatea, nu este până la unul.* 13*Mormânt deschis gâtlejul lor; cu limbile lor au viclenit; venin de aspidă sub buzele lor;* 14*a căror gură e plină de blestem şi amărăciune;* 15*iuţi picioarele lor a vărsa sânge;* 16*zdrobire şi nenorocire în căile lor;* 17*şi calea păcii n-au cunoscut-o;* 18*nu este frică de Dumnezeu înaintea ochilor lor.* 19Şi ştim că toate câte zice Legea le grăieşte celor de sub Lege, ca toată gura să fie închisă şi toată lumea să fie vinovată lui Dumnezeu, 20pentru că din faptele Legii nici un trup nu se va îndrepta înaintea Lui; căci prin Lege este cunoştinţa păcatului.

Iar acum, fără Lege, dreptatea lui Dumnezeu s-a arătat, mărturisită de Lege şi Proroci. 22Iar dreptatea lui Dumnezeu este prin credinţa în Iisus Hristos, pentru toţi şi peste toţi cei ce cred, căci nu este deo-

ἔστι διαστολή· 23πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ, 24δικαιούμενοι δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ, 25ὃν προέθετο ὁ Θεὸς ἱλαστήριον διὰ τῆς πίστεως ἐν τῷ αὐτοῦ αἵματι, εἰς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ διὰ τὴν πάρεσιν τῶν προγεγονότων ἁμαρτημάτων 26ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ, πρὸς ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ ἐν τῷ νῦν καιρῷ, εἰς τὸ εἶναι αὐτὸν δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ. 27Ποῦ οὖν ἡ καύχησις; ἐξεκλείσθη. διὰ ποίου νόμου; τῶν ἔργων; οὐχί, ἀλλὰ διὰ νόμου πίστεως. 28λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου. 29ἢ Ἰουδαίων ὁ Θεὸς μόνον; οὐχὶ δὲ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν, 30ἐπείπερ εἷς ὁ Θεὸς ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. 31νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο, ἀλλὰ νόμον ἱστῶμεν.

sebire; 23căci toți au păcătuit și sunt lipsiți de slava lui Dumnezeu, 24fiind îndreptați în dar cu harul Lui, prin răscumpărarea cea în Hristos Iisus, 25pe Care Dumnezeu L-a pus mai dinainte ispășire, întru sângele Lui, prin credință, spre arătarea dreptății Lui, pentru trecerea cu vederea a păcatelor mai înainte făcute, 26întru îngăduința lui Dumnezeu, spre arătarea dreptății Lui, în vremea de acum, ca să fie El Cel drept și Care îndreptează pe cel din credința în Iisus. 27Unde este, așadar, lauda? S-a înlăturat. Prin care lege? A faptelor? Nu, ci prin legea credinței. 28Deci socotim că prin credință se îndreptează omul, fără faptele Legii. 29Sau Dumnezeu este numai al iudeilor? Nu și al neamurilor? Da, și al neamurilor, 30de vreme ce unul este Dumnezeu, Care va îndrepta tăierea-împrejur din credință și netăierea-împrejur prin credință. 31Deci, desființăm Legea prin credință? Să nu fie! Dimpotrivă, întărim Legea.

Κεφάλαιον Δ΄

Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα; 2εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν. 3τί γὰρ ἡ γραφὴ λέγει; *ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.* 4τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα· 5τῷ δὲ μὴ ἐργαζομένῳ, πιστεύοντι δὲ ἐπὶ τὸν δικαιοῦντα τὸν ἀσεβῆ, λογίζεται ἡ πίστις αὐτοῦ εἰς δικαιοσύνην· 6καθάπερ καὶ Δαυὶδ λέγει

Capitolul 4

Deci, ce vom zice că a aflat Avraam părintele nostru după trup? 2Căci dacă Avraam din fapte s-a îndreptat, are laudă, dar nu la Dumnezeu. 3Căci ce spune Scriptura? *Și a crezut Avraam lui Dumnezeu și i s-a socotit lui ca dreptate.* 4Iar celui care lucrează, plata nu i se socotește după dar, ci după datorie; 5iar celui care nu lucrează, dar crede în Cel care îndreaptă pe necinstitor, credința lui se socotește ca dreptate; 6precum și David numește

τὸν μακαρισμὸν τοῦ ἀνθρώπου ᾧ ὁ Θεὸς
λογίζεται δικαιοσύνην χωρὶς ἔργων· 7*μακά-
ριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι καὶ ὧν ἐπεκα-
λύφθησαν αἱ ἁμαρτίαι· 8μακάριος ἀνὴρ ᾧ
οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν.* 9ὁ μα-
καρισμὸς οὖν οὗτος ἐπὶ τὴν περιτομὴν ἢ
καὶ ἐπὶ τὴν ἀκροβυστίαν; λέγομεν γὰρ ὅτι
ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύ-
νην. 10πῶς οὖν ἐλογίσθη; ἐν περιτομῇ ὄντι
ἢ ἐν ἀκροβυστίᾳ; οὐκ ἐν περιτομῇ, ἀλλ᾽ ἐν
ἀκροβυστίᾳ· 11καὶ σημεῖον ἔλαβε περιτομῆς,
σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς
ἐν τῇ ἀκροβυστίᾳ, εἰς τὸ εἶναι αὐτὸν πατέρα
πάντων τῶν πιστευόντων δι᾽ ἀκροβυστίας, εἰς
τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην,
12καὶ πατέρα περιτομῆς τοῖς οὐκ ἐκ περιτομῆς
μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι τοῖς ἴχνεσι
τῆς ἐν τῇ ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς
ἡμῶν Ἀβραάμ.

Οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ
ἢ τῷ σπέρματι αὐτοῦ, τὸ κληρονόμον αὐ-
τὸν εἶναι τοῦ κόσμου, ἀλλὰ διὰ δικαιοσύνης
πίστεως. 14εἰ γὰρ οἱ ἐκ νόμου κληρονόμοι, κε-
κένωται ἡ πίστις καὶ κατήργηται ἡ ἐπαγγελία·
15ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται· οὗ γὰρ
οὐκ ἔστι νόμος, οὐδὲ παράβασις. 16Διὰ τοῦτο
ἐκ πίστεως, ἵνα κατὰ χάριν, εἰς τὸ εἶναι βε-
βαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι, οὐ
τῷ ἐκ τοῦ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πί-
στεως Ἀβραάμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν,
17καθὼς γέγραπται ὅτι *πατέρα πολλῶν ἐθνῶν
τέθεικά σε,* κατέναντι οὗ ἐπίστευσε Θεοῦ τοῦ
ζωοποιοῦντος τοὺς νεκροὺς καὶ καλοῦντος
τὰ μὴ ὄντα ὡς ὄντα· 18ὃς παρ᾽ ἐλπίδα ἐπ᾽ ἐλ-
πίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέ-
ρα πολλῶν ἐθνῶν κατὰ τὸ εἰρημένον· *οὕτως
ἔσται τὸ σπέρμα σου·* 19καὶ μὴ ἀσθενήσας τῇ
πίστει οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη
νενεκρωμένον, ἑκατονταέτης που ὑπάρχων,

fericit pe omul căruia Dumnezeu îi socoteşte dreptatea fără fapte: 7*Fericiţi cărora li s-au lăsat fărădelegile şi cărora li s-au acoperit păcatele! 8Fericit bărbatul căruia nu-i va socoti Domnul păcatul.* 9Deci fericirea aceasta este asupra tăierii-împrejur sau şi asupra netăierii-împrejur? Căci zicem: I s-a socotit lui Avraam credinţa ca dreptate. 10Cum deci i s-a socotit? Fiind el în tăiere-împrejur sau în netăiere-împrejur? Nu în tăiere-împrejur, ci în netăiere-împrejur. 11Şi semnul tăierii-împrejur l-a primit ca pecete a dreptăţii credinţei celei din netăierea-împrejur, ca să fie el părinte al tuturor celor care cred prin netăierea-împrejur, spre a li se socoti şi lor dreptatea, 12şi părinte al tăierii-împrejur, nu doar celor din tăierea-împrejur, ci şi celor care păşesc pe urmele credinţei părintelui nostru Avraam, a celei din netăierea-împrejur.

Căci nu prin Lege s-a dat lui Avraam sau sămânţei lui făgăduinţa de a fi el moştenitor al lumii, ci prin dreptatea credinţei. 14Căci dacă cei din Lege sunt moştenitori, s-a deşertat credinţa şi s-a desfiinţat făgăduinţa; 15Legea lucrează mânie; căci unde nu este lege, nu este nici călcare de lege. 16De aceea este din credinţă, ca să fie după har, ca făgăduinţa să fie statornică pentru toată sămânţa, nu numai celui din Lege, ci şi celui din credinţa lui Avraam, care este părinte al nostru, al tuturor 17 – precum este scris: *Părinte al multor neamuri te-am pus* –, înaintea Celui în care a crezut, a lui Dumnezeu, Care face vii pe cei morţi şi Care cheamă pe cele ce nu sunt ca fiind; 18care, împotriva oricărei nădejdi, cu nădejde a crezut, ca să se facă el părinte al multor neamuri, după cuvântul spus: *Astfel va fi sămânţa ta;* 19şi, neslăbind în credinţă,

καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάρρας· 20εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ Θεῷ 21καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται δυνατός ἐστι καὶ ποιῆσαι. 22διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. 23Οὐκ ἐγράφη δὲ δι' αὐτὸν μόνον ὅτι ἐλογίσθη αὐτῷ, 24ἀλλὰ καὶ δι' ἡμᾶς οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν Κύριον ἡμῶν ἐκ νεκρῶν, 25ὃς παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν καὶ ἠγέρθη διὰ τὴν δικαίωσιν ἡμῶν.

nu a luat seama la trupul lui de acum mort – fiind aproape de o sută de ani – şi nici la pântecele mort al Sarrei; 20şi de făgăduinţa lui Dumnezeu nu s-a îndoit cu necredinţă, ci s-a întărit în credinţă, dând slavă lui Dumnezeu 21şi încredinţat fiind că ceea ce a făgăduit puternic este să şi facă. 22De aceea *şi i s-a socotit lui ca dreptate*. 23Şi nu s-a scris numai pentru el că *s-a socotit lui*, 24ci şi pentru noi, cărora are să ni se socotească, celor ce credem în Cel ce L-a înviat din morţi pe Iisus, Domnul nostru, 25Care S-a dat pentru greşelile noastre şi a înviat pentru îndreptarea noastră.

Κεφάλαιον Ε΄

Δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 2δι' οὗ καὶ τὴν προσαγωγὴν ἐσχήκαμεν τῇ πίστει εἰς τὴν χάριν ταύτην ἐν ᾗ ἑστήκαμεν, καὶ καυχώμεθα ἐπ' ἐλπίδι τῆς δόξης τοῦ Θεοῦ. 3οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα ἐν ταῖς θλίψεσιν, εἰδότες ὅτι ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, 4ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, 5ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος Ἁγίου τοῦ δοθέντος ἡμῖν. 6ἔτι γὰρ Χριστὸς ὄντων ἡμῶν ἀσθενῶν κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. 7μόλις γὰρ ὑπὲρ δικαίου τις ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τις καὶ τολμᾷ ἀποθανεῖν. 8συνίστησι δὲ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός, ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε. 9πολλῷ οὖν μᾶλλον δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ

Capitolul 5

Îndreptaţi fiind, aşadar, din credinţă, avem pace cu Dumnezeu, prin Domnul nostru Iisus Hristos, 2prin Care şi aducere avem, întru credinţă, la harul acesta în care stăm şi ne lăudăm întru nădejdea slavei lui Dumnezeu. 3Şi nu numai, ci şi în strâmtorări ne lăudăm, ştiind că strâmtorarea lucrează răbdare, 4şi răbdarea încercare, şi încercarea nădejde, 5iar nădejdea nu ruşinează, că iubirea lui Dumnezeu s-a vărsat în inimile noastre prin Duhul Sfânt Cel dat nouă. 6Căci Hristos, încă fiind noi neputincioşi, la vremea hotărâtă a murit pentru cei necinstitori. 7Căci abia de va muri cineva pentru un drept; căci pentru cel bun poate că şi îndrăzneşte cineva să moară. 8Dar Dumnezeu Îşi vădeşte iubirea Lui spre noi, că, încă fiind noi păcătoşi, Hristos a murit pentru noi. 9Deci, cu atât mai mult, fiind acum în-

σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. 10εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ· 11οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμενοι ἐν τῷ Θεῷ διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ νῦν τὴν καταλλαγὴν ἐλάβομεν.

Διὰ τοῦτο ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον· 13 –ἄχρι γὰρ νόμου ἁμαρτία ἦν ἐν κόσμῳ, ἁμαρτία δὲ οὐκ ἐλλογεῖται μὴ ὄντος νόμου· 14ἀλλ' ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας ἐπὶ τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ, ὅς ἐστι τύπος τοῦ μέλλοντος. 15Ἀλλ' οὐχ ὡς τὸ παράπτωμα, οὕτω καὶ τὸ χάρισμα. εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ Θεοῦ καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ εἰς τοὺς πολλοὺς ἐπερίσσευσε. 16καὶ οὐχ ὡς δι' ἑνὸς ἁμαρτήσαντος τὸ δώρημα· τὸ μὲν γὰρ κρῖμα ἐξ ἑνὸς εἰς κατάκριμα, τὸ δὲ χάρισμα ἐκ πολλῶν παραπτωμάτων εἰς δικαίωμα. 17εἰ γὰρ τῷ τοῦ ἑνὸς παραπτώματι ὁ θάνατος ἐβασίλευσε διὰ τοῦ ἑνός, πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος καὶ τῆς δωρεᾶς τῆς δικαιοσύνης λαμβάνοντες ἐν ζωῇ βασιλεύσουσι διὰ τοῦ ἑνὸς Ἰησοῦ Χριστοῦ. 18Ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους εἰς κατάκριμα, οὕτω καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας ἀνθρώπους εἰς δικαίωσιν ζωῆς. 19ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοί, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι κατασταθήσονται οἱ πολλοί. 20νόμος δὲ παρεισῆλθεν ἵνα πλεονάσῃ τὸ παράπτωμα· οὗ δὲ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, 21ἵνα ὥσπερ ἐβα-

dreptați în sângele Lui, ne vom mântui prin El de urgie. 10Căci dacă, vrăjmaşi fiind, am fost împăcați cu Dumnezeu prin moartea Fiului Lui, cu atât mai mult, împăcați fiind, ne vom mântui întru viața Lui; 11şi nu numai, ci ne şi lăudăm în Dumnezeu prin Domnul nostru Iisus Hristos, prin Care acum am primit împăcarea.

De aceea, precum printr-un om a intrat păcatul în lume şi prin păcat moartea, şi aşa moartea a trecut la toți oamenii, întru care toți au păcătuit 13 – căci, până la Lege, era păcat în lume; dar păcat nu se socoteşte, nefiind Lege; 14ci a împărățit moartea de la Adam până la Moise şi peste cei ce nu păcătuiseră după asemănarea călcării de poruncă a lui Adam, care este chip al Celui ce va să fie. 15Dar cu darul nu este ca şi cu greşeala; căci, dacă prin greşeala unuia cei mulți au murit, cu mult mai mult a prisosit harul lui Dumnezeu şi darul în harul unui singur om, Iisus Hristos, către cei mulți. 16Şi darul nu este ca ceea ce s-a făcut prin păcatul unuia; căci judecata este dintr-unul singur, spre osândă, iar darul este din multe greşeli, spre îndreptare. 17Căci, dacă prin greşeala unuia moartea a împărățit prin unul, cu atât mai mult cei ce primesc prisosul harului şi al darului dreptății vor împărăți întru viață prin Unul, Iisus Hristos. 18Aşadar, după cum prin greşeala unuia a venit la toți oamenii osânda, tot aşa şi prin dreptatea Unuia a venit la toți oamenii îndreptarea vieții; 19căci precum prin neascultarea unui om s-au făcut păcătoşi cei mulți, tot aşa şi prin ascultarea Unuia se vor face drepți cei mulți. 20Iar Legea s-a strecurat ca să se înmulțească greşeala; şi unde s-a înmulțit păcatul, a prisosit cu asupră de măsură harul, 21 ca, aşa cum pă-

σίλευσεν ἡ ἁμαρτία ἐν τῷ θανάτῳ, οὕτω καὶ ἡ χάρις βασιλεύσῃ διὰ δικαιοσύνης εἰς ζωὴν αἰώνιον διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

catul a împărăţit prin moarte, aşa şi harul să împărăţească prin dreptate, spre viaţă veşnică, prin Iisus Hristos, Domnul nostru.

Κεφάλαιον ς΄

Capitolul 6

Τί οὖν ἐροῦμεν; ἐπιμενοῦμεν τῇ ἁμαρτίᾳ ἵνα ἡ χάρις πλεονάσῃ; 2μὴ γένοιτο. οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; 3ἢ ἀγνοεῖτε ὅτι ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; 4συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον, ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. 5εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα, 6τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ· 7ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. 8εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ, 9εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνῄσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει. 10ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ, ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. 11οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. 12Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι εἰς τὸ ὑπακούειν αὐτῇ ἐν ταῖς ἐπιθυμίαις αὐτοῦ, 13μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παρα-

Ce vom zice, deci? Vom stărui în păcat ca să se înmulţească harul? 2Să nu fie! Noi, care am murit păcatului, cum vom trăi încă în el? 3Sau nu ştiţi că cei câţi ne-am botezat în Hristos Iisus, întru moartea Lui ne-am botezat? 4Deci ne-am îngropat cu El, prin botez, în moarte, ca, precum a înviat Hristos din morţi, prin slava Tatălui, aşa şi noi să umblăm întru înnoirea vieţii; 5căci dacă ne-am făcut împreună-odrăsliţi cu asemănarea morţii Lui, vom fi negreşit şi [împreună-odrăsliţi] ai învierii, 6aceasta cunoscând, că omul nostru cel vechi a fost împreună-răstignit, ca să se desfiinţeze trupul păcatului, pentru a nu mai fi noi robi ai păcatului; 7căci cel care a murit s-a îndreptat de la păcat, 8iar dacă am murit împreună cu Hristos, credem că vom şi vieţui împreună cu El, 9ştiind că Hristos, înviat din morţi, nu mai moare; moartea nu-L mai stăpâneşte. 10Căci ce a murit, a murit păcatului o dată pentru totdeauna, iar ce trăieşte, trăieşte lui Dumnezeu. 11Aşa şi voi, socotiţi-vă a fi morţi păcatului, dar vii lui Dumnezeu, în Hristos Iisus, Domnul nostru. 12Deci, să nu împărăţească păcatul în trupul vostru cel muritor, ca, în poftele lui, să ascultaţi de păcat, 13nici nu înfăţişaţi păcatului mădularele voastre ca arme ale nedreptăţii, ci, înfăţişaţi-vă pe voi înşivă lui

στήσατε ἑαυτοὺς τῷ Θεῷ ὡς ἐκ νεκρῶν ζῶντας καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ Θεῷ. 14ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν.

Τί οὖν; ἁμαρτήσομεν ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν; μὴ γένοιτο. 16οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον ἢ ὑπακοῆς εἰς δικαιοσύνην; 17χάρις δὲ τῷ Θεῷ ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς, 18ἐλευθερωθέντες δὲ ἀπὸ τῆς ἁμαρτίας ἐδουλώθητε τῇ δικαιοσύνῃ. 19ἀνθρώπινον λέγω διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς ὑμῶν. ὥσπερ γὰρ παρεστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτω νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν. 20ὅτε γὰρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. 21τίνα οὖν καρπὸν εἴχετε τότε ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων θάνατος. 22νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας δουλωθέντες δὲ τῷ Θεῷ ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν, τὸ δὲ τέλος ζωὴν αἰώνιον. 23τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος, τὸ δὲ χάρισμα τοῦ Θεοῦ ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Dumnezeu ca dintre morți trăind, şi mădularele voastre ca arme ale dreptății lui Dumnezeu. 14Căci păcatul nu va domni peste voi; căci nu sunteți sub Lege, ci sub Har.

Ce, dar? Vom păcătui fiindcă nu suntem sub Lege, ci sub Har? Să nu fie! 16Nu ştiți că celui căruia vă înfățişați robi spre ascultare, sunteți robi aceluia de care ascultați, fie ai păcatului spre moarte, fie ai ascultării spre dreptate? 17Dar mulțumire lui Dumnezeu, că erați robi ai păcatului, însă ați ascultat din inimă de chipul învățăturii, căruia v-ați încredințat 18şi, eliberându-vă de păcat, v-ați robit dreptății 19– omeneşte vorbesc, din pricina neputinței trupului vostru –; căci precum v-ați înfățişat mădularele voastre roabe necurăției şi fărădelegii, spre fărădelege, tot aşa înfățişați acum mădularele voastre roabe dreptății, spre sfințire. 20Căci când erați robi ai păcatului, erați liberi dreptății. 21Deci ce rod aveați atunci întru cele de care acum vă ruşinați? Că sfârşitul acelora este moartea. 22Acum însă, eliberați de păcat, dar robiți lui Dumnezeu, aveți rodul vostru spre sfințire, iar sfârşitul, viață veşnică. 23Căci plata păcatului este moartea, iar darul lui Dumnezeu, viața veşnică, în Hristos Iisus, Domnul nostru.

Κεφάλαιον Ζ΄

Ἢ ἀγνοεῖτε, ἀδελφοί –γινώσκουσι γὰρ νόμον λαλῶ– ὅτι ὁ νόμος κυριεύει τοῦ ἀνθρώπου ἐφ' ὅσον χρόνον ζῇ; 2ἡ γὰρ ὕπανδρος γυνὴ τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, κατήργηται ἀπὸ

Capitolul 7

Oare nu ştiți, fraților – căci celor ce cunosc Legea le vorbesc – că Legea îl stăpâneşte pe om cât timp trăieşte? 2Căci femeia măritată este legată prin Lege de bărbat, cât trăieşte; iar dacă moare

τοῦ νόμου τοῦ ἀνδρός. 3ἄρα οὖν ζῶντος τοῦ ἀνδρὸς μοιχαλὶς χρηματίσει ἐὰν γένηται ἀνδρὶ ἑτέρῳ· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνήρ, ἐλευθέρα ἐστὶν ἀπὸ τοῦ νόμου, τοῦ μὴ εἶναι αὐτὴν μοιχαλίδα γενομένην ἀνδρὶ ἑτέρῳ. 4ὥστε, ἀδελφοί μου, καὶ ὑμεῖς ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι, ἵνα καρποφορήσωμεν τῷ Θεῷ. 5ὅτε γὰρ ἦμεν ἐν τῇ σαρκί, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν εἰς τὸ καρποφορῆσαι τῷ θανάτῳ· 6νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν ᾧ κατειχόμεθα, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι πνεύματος καὶ οὐ παλαιότητι γράμματος. 7Τί οὖν ἐροῦμεν; ὁ νόμος ἁμαρτία; μὴ γένοιτο· ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου· τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν εἰ μὴ ὁ νόμος ἔλεγεν, *οὐκ ἐπιθυμήσεις*· 8ἀφορμὴν δὲ λαβοῦσα ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς κατειργάσατο ἐν ἐμοὶ πᾶσαν ἐπιθυμίαν· χωρὶς γὰρ νόμου ἁμαρτία νεκρά. 9ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτέ· ἐλθούσης δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν, 10ἐγὼ δὲ ἀπέθανον, καὶ εὑρέθη μοι ἡ ἐντολὴ ἡ εἰς ζωήν, αὕτη εἰς θάνατον· 11ἡ γὰρ ἁμαρτία ἀφορμὴν λαβοῦσα διὰ τῆς ἐντολῆς ἐξηπάτησέ με καὶ δι' αὐτῆς ἀπέκτεινεν. 12ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή. 13τὸ οὖν ἀγαθὸν ἐμοὶ γέγονε θάνατος; μὴ γένοιτο· ἀλλὰ ἡ ἁμαρτία, ἵνα φανῇ ἁμαρτία, διὰ τοῦ ἀγαθοῦ μοι κατεργαζομένη θάνατον, ἵνα γένηται καθ' ὑπερβολὴν ἁμαρτωλὸς ἡ ἁμαρτία διὰ τῆς ἐντολῆς. 14οἴδαμεν γὰρ ὅτι ὁ νόμος πνευματικός ἐστιν· ἐγὼ δὲ σαρκικός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν. 15ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω· οὐ γὰρ ὃ θέλω τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ τοῦτο ποιῶ. 16εἰ δὲ ὃ οὐ θέλω τοῦτο ποιῶ, σύμφημι τῷ νόμῳ ὅτι καλός. 17νυνὶ δὲ οὐκέτι

bărbatul, se dezleagă de legea bărbatului. 3Deci, trăind bărbatul, se va numi adulteră dacă va fi a altui bărbat; iar dacă moare bărbatul, este liberă de Lege, încât să nu fie adulteră, fiind a altui bărbat. 4Aşa că, fraţii mei, şi voi aţi murit Legii prin trupul lui Hristos, spre a fi ai altuia, ai Celui înviat din morţi, ca să aducem roade lui Dumnezeu. 5Căci, pe când eram în trup, patimile păcatelor, cele prin Lege, lucrau în mădularele noastre spre a aduce roade morţii; 6dar acum ne-am dezlegat de Lege, murind celei în care eram ţinuţi, ca să slujim întru înnoirea Duhului şi nu în vechimea literei. 7Deci ce vom zice? Este Legea păcat? Să nu fie! Dar păcatul nu l-am cunoscut decât prin Lege. Căci nici pofta n-aş fi ştiut-o dacă Legea nu zicea: *Să nu pofteşti!* 8Şi luând pricină păcatul prin poruncă, a lucrat în mine toată pofta. Căci fără Lege, păcatul este mort. 9Iar eu trăiam cândva fără Lege, dar, venind porunca, păcatul a prins viaţă, 10iar eu am murit; şi porunca, cea spre viaţă, aceasta mi s-a aflat spre moarte. 11Căci păcatul, luând pricină prin poruncă, m-a înşelat şi, prin ea, m-a ucis. 12Astfel că Legea este sfântă şi porunca este sfântă şi dreaptă şi bună. 13Atunci, ce era bun mi s-a făcut mie moarte? Să nu fie! Ci păcatul, ca să se arate păcat, lucrându-mi mie moarte prin ceea ce este bun, ca păcatul, prin poruncă, să se facă peste măsură de păcătos. 14Căci ştim că Legea este duhovnicească; dar eu sunt trupesc, vândut sub păcat. 15Căci ceea ce lucrez nu ştiu; căci nu făptuiesc ceea ce vreau, ci ceea ce urăsc aceea fac. 16Iar dacă fac ceea ce nu voiesc, mă învoiesc cu Legea că este bună. 17Dar acum nu mai lucrez eu aceasta, ci păcatul care locuieşte în mine. 18Căci ştiu că nu locuieşte în mine,

ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. 18οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τοῦτ' ἔστιν ἐν τῇ σαρκί μου, ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν οὐχ εὑρίσκω· 19οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν, ἀλλ' ὃ οὐ θέλω κακὸν τοῦτο πράσσω. 20εἰ δὲ ὃ οὐ θέλω ἐγὼ τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία. 21εὑρίσκω ἄρα τὸν νόμον τῷ θέλοντι ἐμοὶ ποιεῖν τὸ καλόν, ὅτι ἐμοὶ τὸ κακὸν παράκειται· 22συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον, 23βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου καὶ αἰχμαλωτίζοντά με ἐν τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου. 24Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; 25εὐχαριστῶ τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν. ἄρα οὖν αὐτὸς ἐγὼ τῷ μὲν νοῒ δουλεύω νόμῳ Θεοῦ, τῇ δὲ σαρκὶ νόμῳ ἁμαρτίας.

adică în trupul meu, nici un bine. Căci a voi se află în mine, dar a lucra binele nu aflu; 19Căci nu fac binele pe care îl voiesc, ci răul pe care nu-l voiesc, pe acela îl săptuiesc. 20Iar dacă ceea ce nu voiesc aceasta fac, nu mai lucrez eu aceasta, ci păcatul care locuieşte în mine. 21Găsesc deci în mine, cel ce voiesc a face binele, legea că răul se află în mine. 22Căci mă desfătez de legea lui Dumnezeu, după omul cel dinlăuntru; 23dar văd o altă lege în mădularele mele, războindu-se împotriva legii minţii mele şi luându-mă rob în legea păcatului, cea care este în mădularele mele. 24Om nenorocit ce sunt! Cine mă va izbăvi de trupul morţii acesteia? 25Mulţumesc lui Dumnezeu prin Iisus Hristos, Domnul nostru. Aşadar, eu însumi, cu mintea mea, slujesc legii lui Dumnezeu, iar cu trupul legii păcatului.

Κεφάλαιον Η΄

Οὐδὲν ἄρα νῦν κατάκριμα τοῖς ἐν Χριστῷ Ἰησοῦ μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. 2ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. 3τὸ γὰρ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, 4ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα· 5οἱ γὰρ

Capitolul 8

Aşadar acum nici o osândă nu este pentru cei ce sunt în Hristos Iisus, care nu umblă după trup, ci după Duhul. 2Căci legea Duhului vieţii în Hristos Iisus m-a eliberat de legea păcatului şi a morţii, 3căci ceea ce era cu neputinţă Legii – fiind slabă prin trup – a săvârşit Dumnezeu: trimiţând pe Însuşi Fiul Său în asemănarea trupului păcatului şi pentru păcat, a osândit păcatul în trup, 4pentru ca dreptatea Legii să se împlinească în noi, care umblăm nu după trup, ci după Duhul.

κατὰ σάρκα ὄντες τὰ τῆς σαρκὸς φρονοῦσιν,
οἱ δὲ κατὰ πνεῦμα τὰ τοῦ πνεύματος. 6τὸ γὰρ
φρόνημα τῆς σαρκὸς θάνατος, τὸ δὲ φρόνη-
μα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη· διότι τὸ
φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν· 7τῷ γὰρ
νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ
δύναται· 8οἱ δὲ ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι οὐ
δύνανται. 9ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν
πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν.
εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ
ἔστιν αὐτοῦ. 10εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν
σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ
διὰ δικαιοσύνην. 11εἰ δὲ τὸ Πνεῦμα τοῦ ἐγεί-
ραντος Ἰησοῦν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ
ἐγείρας τὸν Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει
καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τὸ ἐνοικοῦν
αὐτοῦ Πνεῦμα ἐν ὑμῖν. 12Ἄρα οὖν, ἀδελφοί,
ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκὶ τοῦ κατὰ σάρκα
ζῆν· 13εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀπο-
θνῄσκειν· εἰ δὲ Πνεύματι τὰς πράξεις τοῦ σώ-
ματος θανατοῦτε, ζήσεσθε. 14ὅσοι γὰρ Πνεύ-
ματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ.
15οὐ γὰρ ἐλάβετε Πνεῦμα δουλείας πάλιν
εἰς φόβον, ἀλλ' ἐλάβετε Πνεῦμα υἱοθεσίας,
ἐν ᾧ κράζομεν· ἀββᾶ ὁ πατήρ. 16αὐτὸ τὸ
Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν ὅτι
ἐσμὲν τέκνα Θεοῦ. 17εἰ δὲ τέκνα, καὶ κληρο-
νόμοι, κληρονόμοι μὲν Θεοῦ, συγκληρονό-
μοι δὲ Χριστοῦ, εἴπερ συμπάσχομεν ἵνα καὶ
συνδοξασθῶμεν.

Λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα
τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν
ἀποκαλυφθῆναι εἰς ἡμᾶς. 19ἡ γὰρ ἀποκαρα-
δοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν
τοῦ Θεοῦ ἀπεκδέχεται. 20τῇ γὰρ ματαιότητι
ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν

5Căci cei ce sunt după trup cugetă cele ale
trupului, iar cei ce sunt după Duhul, cele
ale Duhului. 6Căci cugetul trupului este
moarte, iar cugetul Duhului este viaţă şi
pace; întrucât cugetul trupului este vrăjmă-
şie faţă de Dumnezeu; 7căci nu se supune
legii lui Dumnezeu, pentru că nici nu poate.
8Iar cei ce sunt în trup nu pot să placă lui
Dumnezeu. 9Voi însă nu sunteţi în trup, ci
în Duhul, dacă Duhul lui Dumnezeu locu-
ieşte în voi. Iar dacă cineva nu are Duhul
lui Hristos, acela nu este al Lui. 10Iar dacă
Hristos este în voi, trupul este mort pentru
păcat, iar Duhul este viaţă pentru dreptate.
11Şi dacă Duhul Celui ce L-a înviat pe
Iisus din morţi locuieşte în voi, Cel ce L-a
înviat pe Hristos din morţi va face vii şi
trupurile voastre cele muritoare, prin Du-
hul Său Care locuieşte în voi. 12Drept ace-
ea, fraţilor, datori suntem nu trupului, ca
să vieţuim după trup; 13căci dacă vieţuiţi
după trup, veţi muri; iar dacă, prin Duhul,
omorâţi faptele trupului, veţi fi vii. 14Căci
câţi sunt mânaţi de Duhul lui Dumnezeu
aceştia sunt fii ai lui Dumnezeu. 15Că nu
aţi primit un duh al robiei, iarăşi spre frică,
ci aţi primit Duhul înfierii, întru Care stri-
găm: Avvá! Părinte! 16Însuşi Duhul mărtu-
riseşte împreună cu duhul nostru că sun-
tem fii ai lui Dumnezeu. 17Şi dacă suntem
fii, suntem şi moştenitori; moştenitori ai
lui Dumnezeu şi împreună-moştenitori cu
Hristos, dacă pătimim împreună cu El, ca
să ne şi slăvim împreună cu El.

Căci socotesc că pătimirile vremii de
acum nu sunt vrednice de slava care
ni se va descoperi. 19Căci dorul neostoit al
zidirii aşteaptă descoperirea fiilor lui Dum-
nezeu. 20Căci zidirea s-a supus deşertăciu-
nii – nu de voie, ci din pricina celui care a

ὑποτάξαντα, ἐπ᾽ ἐλπίδι 21ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. 22οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει καὶ συνωδίνει ἄχρι τοῦ νῦν· 23οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες καὶ ἡμεῖς αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. 24τῇ γὰρ ἐλπίδι ἐσώθημεν· ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς· ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; 25εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι᾽ ὑπομονῆς ἀπεκδεχόμεθα. 26Ὡσαύτως δὲ καὶ τὸ Πνεῦμα συναντιλαμβάνεται ταῖς ἀσθενείαις ἡμῶν· τὸ γὰρ τί προσευξόμεθα καθὸ δεῖ οὐκ οἴδαμεν, ἀλλ᾽ αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις· 27ὁ δὲ ἐρευνῶν τὰς καρδίας οἶδε τί τὸ φρόνημα τοῦ Πνεύματος, ὅτι κατὰ Θεὸν ἐντυγχάνει ὑπὲρ ἁγίων. 28Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν· 29ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· 30οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε, καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν, οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε.

supus-o – cu nădejdea 21că şi zidirea însăşi se va elibera de robia stricăciunii, spre libertatea slavei fiilor lui Dumnezeu. 22Căci ştim că toată zidirea împreună-suspină şi suferă împreună până acum; 23şi nu numai, ci şi noi înşine, având pârga Duhului, suspinăm în noi înşine, aşteptând înfierea, răscumpărarea trupului nostru. 24Căci prin nădejde ne-am mântuit; nădejdea văzută nu este însă nădejde; căci cine mai nădăjduieşte ceea ce vede? 25Iar dacă nădăjduim ceea ce nu vedem, aşteptăm cu răbdare. 26Asemenea şi Duhul împreună-ajută neputinţelor noastre; căci nu ştim ce să cerem cum se cuvine în rugăciune, ci Însuşi Duhul mijloceşte pentru noi cu suspine negrăite; 27iar Cel care cercetează inimile ştie care este cugetul Duhului, că potrivit lui Dumnezeu mijloceşte pentru sfinţi. 28Şi ştim că toate împreună-lucrează spre bine cu cei care-L iubesc pe Dumnezeu, cei care după hotărârea Lui sunt chemaţi; 29că pe cei pe care i-a cunoscut mai înainte, mai înainte i-a şi rânduit să fie întocmiţi asemenea chipului Fiului Său, spre a fi El întâi născut între mulţi fraţi. 30Iar pe cei pe care i-a rânduit mai înainte, pe aceştia i-a şi chemat; şi pe cei pe care i-a chemat, pe aceştia i-a şi îndreptat; şi pe cei pe care i-a îndreptat, pe aceştia i-a şi slăvit.

Τί οὖν ἐροῦμεν πρὸς ταῦτα; εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ᾽ ἡμῶν; 32ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ᾽ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται; 33τίς ἐγκαλέσει κατὰ ἐκλεκτῶν Θεοῦ; Θεὸς ὁ δικαιῶν· 34τίς ὁ κατακρίνων; Χριστὸς ὁ ἀποθανών, μᾶλλον δὲ καὶ ἐγερθείς, ὅς καὶ ἔστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν. 35τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις

Ce vom zice deci la acestea? Dacă Dumnezeu este cu noi, cine este împotriva noastră? 32El, Care pe Însuşi Fiul Său nu L-a cruţat, ci pentru noi toţi L-a dat, cum nu ne va dărui, oare, toate împreună cu El? 33Cine va aduce învinuire împotriva aleşilor lui Dumnezeu? Dumnezeu este Cel ce îndreptează! 34Cine este cel ce osândeşte? Hristos este Cel ce a murit, şi mai ales Cel ce a înviat, Care şi este de-a dreapta lui

ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; 36καθὼς γέγραπται ὅτι *ἕνεκά σου θανατούμεθα ὅλην τὴν ἡμέραν· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.* 37ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. 38πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις οὔτε ἐνεστῶτα οὔτε μέλλοντα 39οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Dumnezeu, Care mijloceşte pentru noi! 35Cine ne va despărți pe noi de iubirea lui Hristos? Necazul, sau strâmtorarea, sau prigoana, sau foametea, sau goliciunea, sau primejdia, sau sabia? 36Precum este scris: *Pentru Tine suntem omorâți în toată ziua, socotitu-ne-am ca nişte oi de junghiere.* 37Dar în toate acestea suntem mai mult decât biruitori, prin Acela care ne-a iubit pe noi. 38Căci sunt încredințat că nici moartea, nici viața, nici îngerii, nici începătoriile, nici puterile, nici cele de acum, nici cele ce vor fi, 39nici înălțimea, nici adâncul şi nici vreo altă zidire nu va putea să ne despartă pe noi de iubirea lui Dumnezeu, cea în Hristos Iisus, Domnul nostru.

Κεφάλαιον Θ΄

Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν Πνεύματι Ἁγίῳ, 2ὅτι λύπη μοί ἐστι μεγάλη καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου. 3ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, 4οἵτινές εἰσιν Ἰσραηλῖται, ὧν ἡ υἱοθεσία καὶ ἡ δόξα καὶ αἱ διαθῆκαι καὶ ἡ νομοθεσία καὶ ἡ λατρεία καὶ αἱ ἐπαγγελίαι, 5ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν. 6Οὐχ οἷον δὲ ὅτι ἐκπέπτωκεν ὁ λόγος τοῦ Θεοῦ. οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραήλ, οὗτοι Ἰσραήλ, 7οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραάμ, πάντες τέκνα, ἀλλ' *ἐν Ἰσαὰκ κληθήσεταί σοι*

Capitolul 9

Adevăr spun în Hristos, nu mint, împreună-mărturisind cu mine conştiința mea în Duhul Sfânt, 2că întristarea mea este mare şi durerea neîncetată în inima mea. 3Căci aş fi dorit să fiu eu însumi anatema de la Hristos pentru frații mei, cei de un neam cu mine după trup, 4care sunt israeliți, ale cărora sunt înfierea şi slava şi testamentele şi darea Legii şi închinarea şi făgăduințele, 5ai cărora sunt părinții şi din care după trup este Hristosul, Cel ce este peste toate Dumnezeu, binecuvântat în veci. Amin. 6Dar nu ca şi cum ar fi căzut Cuvântul lui Dumnezeu. Căci nu toți cei din Israel sunt Israel, 7nici pentru că sunt sămânța lui Avraam sunt toți fii, ci *în*

σπέρμα· 8τοῦτ' ἔστιν οὐ τὰ τέκνα τῆς σαρκὸς ταῦτα τέκνα τοῦ Θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. 9ἐπαγγελίας γὰρ ὁ λόγος οὗτος· *κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι καὶ ἔσται τῇ Σάρρᾳ υἱός.* 10οὐ μόνον δέ, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα, Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν· 11μήπω γὰρ γεννηθέντων μηδὲ πραξάντων τι ἀγαθὸν ἢ κακόν, ἵνα ἡ κατ' ἐκλογὴν τοῦ Θεοῦ πρόθεσις μένῃ, οὐκ ἐξ ἔργων, ἀλλ' ἐκ τοῦ καλοῦντος, 12ἐρρέθη αὐτῇ ὅτι *ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι,* 13καθὼς γέγραπται· *τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα.* 14Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο. 15τῷ γὰρ Μωϋσῇ λέγει· *ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω.* 16ἄρα οὖν οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. 17λέγει γὰρ ἡ γραφὴ τῷ Φαραὼ ὅτι *εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ.* 18ἄρα οὖν ὃν θέλει ἐλεεῖ, ὃν δὲ θέλει σκληρύνει.

Ἐρεῖς οὖν μοι· τί ἔτι μέμφεται; τῷ γὰρ βουλήματι αὐτοῦ τίς ἀνθέστηκε; 20μενοῦνγε, ὦ ἄνθρωπε, σὺ τίς εἶ ὁ ἀνταποκρινόμενος τῷ Θεῷ; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι, τί με ἐποίησας οὕτως; 21ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ, ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι ὃ μὲν εἰς τιμὴν σκεῦος, ὃ δὲ εἰς ἀτιμίαν; 22εἰ δὲ θέλων ὁ Θεὸς ἐνδείξασθαι τὴν ὀργὴν καὶ γνωρίσαι τὸ δυνατὸν αὐτοῦ ἤνεγκεν ἐν πολλῇ μακροθυμίᾳ σκεύη ὀργῆς κατηρτισμένα εἰς ἀπώλειαν; 23καὶ ἵνα γνωρίσῃ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ ἐπὶ σκεύη ἐλέους, ἃ προητοίμασεν εἰς δόξαν; 24οὓς καὶ ἐκάλεσεν ἡμᾶς οὐ μόνον ἐξ Ἰουδαίων, ἀλλὰ καὶ ἐξ ἐθνῶν, 25ὡς καὶ ἐν τῷ Ὡσηὲ λέγει·

Isaac se va chema ţie sămânţă; 8adică: Nu fiii trupului sunt fii ai lui Dumnezeu, ci fiii făgăduinţei se socotesc ca sămânţă. 9Căci al făgăduinţei este cuvântul acesta: *Pe vremea aceasta voi veni şi Sarra va avea un fiu.* 10Şi nu numai, ci şi Rebeca, care din unul singur a zămislit, din Isaac, părintele nostru; 11căci nefiind încă născuţi, nici făcând ei ceva bun sau rău, ca să rămână vrerea cea după alegere a lui Dumnezeu, nu din fapte, ci de la Cel ce cheamă, 12i s-a zis ei: *Cel mai mare va fi rob celui mai mic,* 13precum este scris: *Pe Iacov l-am iubit, iar pe Isav l-am urât.* 14Ce vom zice, dar? Oare este nedreptate la Dumnezeu? Să nu fie! 15Căci lui Moise îi zice: *Voi milui pe cine miluiesc şi Mă voi îndura de cine Mă îndur.* 16Aşadar, nu este al celui care voieşte, nici al celui care aleargă, ci al lui Dumnezeu Care miluieşte. 17Căci Scriptura îi zice lui Faraon: *Chiar pentru aceasta te-am ridicat, ca să arăt în tine puterea Mea şi ca să se vestească numele Meu în tot pământul.* 18Aşadar, pe cine voieşte miluieşte, iar pe cine voieşte învârtoşează.

Îmi vei zice deci: De ce mai învinuieşte? Căci vrerii Lui cine îi stă împotrivă? 20Dar, o, omule, cine eşti tu de răspunzi împotriva lui Dumnezeu? Oare făptura va zice Celui ce a făcut-o: De ce m-ai făcut aşa? 21Sau nu are olarul stăpânire peste lut, să facă din aceeaşi frământătură un vas de cinste şi altul de necinste? 22Şi dacă Dumnezeu, voind să-Şi arate mânia şi să facă puterea Lui cunoscută, a suferit cu multă răbdare vasele mâniei Sale, pregătite spre pierire, 23şi pentru a face cunoscută bogăţia slavei Sale peste vasele milei, pe care mai dinainte le-a gătit spre slavă? 24Adică pe noi, pe care ne-a şi chemat, nu numai

καλέσω τὸν οὐ λαόν μου λαόν μου, καὶ τὴν οὐκ ἠγαπημένην ἠγαπημένην· 26*καὶ ἔσται ἐν τῷ τόπῳ οὗ ἐρρέθη αὐτοῖς, οὐ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος.* 27Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραήλ· *ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται·* 28*λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει Κύριος ἐπὶ τῆς γῆς.* 29καὶ καθὼς προείρηκεν Ἡσαΐας, *εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν.*

Τί οὖν ἐροῦμεν; ὅτι ἔθνη τὰ μὴ διώκοντα δικαιοσύνην κατέλαβε δικαιοσύνην, δικαιοσύνην δὲ τὴν ἐκ πίστεως, 31Ἰσραὴλ δὲ διώκων νόμον δικαιοσύνης εἰς νόμον δικαιοσύνης οὐκ ἔφθασε. 32διατί; ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου· προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος, 33καθὼς γέγραπται· *ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου, καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται.*

dintre iudei, ci şi dintre neamuri, 25precum zice şi în Osea: *Chema-voi popor al Meu pe cel ce nu este poporul Meu, şi iubită pe cea care nu este iubită;* 26*şi va fi în locul unde li s-a zis lor: Voi nu sunteţi popor al Meu – acolo se vor chema fii ai Dumnezeului Celui viu;* 27iar Isaia strigă pentru Israel: *Dacă ar fi numărul fiilor lui Israel ca nisipul mării, rămăşiţa se va mântui;* 28*căci împlineşte şi scurtează cuvântul întru dreptate, pentru că va face Domnul cuvânt scurtat pe pământ;* 29şi precum a zis mai dinainte Isaia: *Dacă Domnul Savaot nu ne-ar fi lăsat nouă sămânţă, ca Sodoma ne-am fi făcut şi cu Gomora ne-am fi asemănat.*

Ce vom zice, deci? Că neamurile care nu urmăreau dreptatea au dobândit dreptatea, dar dreptatea cea din credinţă, 31iar Israel, urmărind legea dreptăţii, n-a ajuns la legea dreptăţii. 32Pentru ce? Pentru că nu era din credinţă, ci ca din faptele Legii. S-au poticnit de piatra poticnirii, 33precum este scris: *Iată pun în Sion piatră de poticnire şi stâncă de sminteală; şi tot cel ce crede în El nu va fi ruşinat.*

Κεφάλαιον Ι΄

Ἀδελφοί, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν ὑπὲρ τοῦ Ἰσραήλ ἐστιν εἰς σωτηρίαν· 2μαρτυρῶ γὰρ αὐτοῖς ὅτι ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν. 3ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν. 4τέλος

Capitolul 10

Fraţilor, bunăvoinţa inimii mele şi rugăciunea cea către Dumnezeu, pentru Israel, este spre mântuire; 2căci mărturisesc despre ei că au râvna lui Dumnezeu, dar nu după cunoştinţă. 3Căci necunoscând dreptatea lui Dumnezeu şi căutând să statornicească propria lor dreptate, nu s-au supus dreptăţii lui Dumnezeu. 4Că sfârşitul

γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι.

Μωϋσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ὅτι *ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς*· 6ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτω λέγει· *μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανόν;* τοῦτ' ἔστι Χριστὸν καταγαγεῖν· 7ἢ *τίς καταβήσεται εἰς τὴν ἄβυσσον;* τοῦτ' ἔστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν. 8ἀλλὰ τί λέγει; *ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου*· τοῦτ' ἔστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν. 9ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· 10καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. 11λέγει γὰρ ἡ γραφή· *πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται.* 12οὐ γὰρ ἔστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν· 13*πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου σωθήσεται.* 14πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; 15πῶς δὲ κηρύξουσιν ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται· *ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά.* 16Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ· Ἡσαΐας γὰρ λέγει· *Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;* 17ἄρα ἡ πίστις ἐξ ἀκοῆς, ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. 18ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; μενοῦνγε *εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.* 19ἀλλὰ λέγω, μὴ οὐκ ἔγνω Ἰσραήλ; πρῶτος Μωϋσῆς λέγει· *ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργ-*

Legii este Hristos, spre dreptate tot celui ce crede.

Căci Moise scrie despre dreptatea cea din Lege: *Omul care face acestea va fi viu întru ele.* 6Iar dreptatea din credință așa zice: *Să nu zici în inima ta: Cine se va sui la cer?,* adică să-L coboare pe Hristos; 7sau: *Cine se va coborî întru adânc?,* adică să-L ridice pe Hristos din morți! 8Dar ce zice? *Aproape este de tine cuvântul, în gura ta și în inima ta* – acesta este cuvântul credinței pe care-l propovăduim. 9Căci, dacă vei mărturisi cu gura ta Domn pe Iisus și vei crede în inima ta că Dumnezeu L-a înviat pe El din morți, te vei mântui; 10căci cu inima se crede spre dreptate, iar cu gura se mărturisește spre mântuire. 11Căci zice Scriptura: *Tot cel ce crede în El nu va fi ruşinat.* 12Căci nu este deosebire între iudeu și elin, pentru că Același este Domnul tuturor, bogat fiind spre toți cei ce-L cheamă pe El. 13Căci: *Tot cel ce va chema numele Domnului se va mântui.* 14Cum deci vor chema pe Cel în care nu au crezut? Și cum vor crede în Cel de Care n-au auzit? Și cum vor auzi, fără cel ce propovăduiește? 15Și cum vor propovădui, de nu vor fi trimiși? Precum este scris: *Cât de frumoase picioarele celor ce binevestesc pacea, ale celor ce binevestesc cele bune!* 16Dar nu toți au ascultat de Evanghelie, căci Isaia zice: *Doamne, cine a crezut celor auzite de la noi?* 17Prin urmare, credința este din auzire, iar auzirea prin cuvântul lui Dumnezeu. 18Dar zic: Oare n-au auzit? Dimpotrivă: *În tot pământul a ieșit vestirea lor și la marginile lumii cuvintele lor.* 19Dar zic: Nu cumva Israel n-a cunoscut? Moise spune cel dintâi: *Stârni-voi gelozia voastră asupra celui ce nu este neam, asupra unui neam neprice-*

γιῶ ὑμᾶς. 20Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει·
εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγε-
νόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. 21πρὸς δὲ τὸν
Ἰσραὴλ λέγει· *ὅλην τὴν ἡμέραν ἐξεπέτασα*
τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ
ἀντιλέγοντα.

put voi întărâta mânia voastră. 20Iar Isaia
îndrăzneşte şi zice: *Aflat am fost de cei ce*
nu Mă căutau şi arătatu-M-am celor care
nu întrebau de Mine. 21Şi către Israel zice:
Toată ziua întins-am mâinile Mele spre un
popor neascultător şi împotrivă-grăitor.

Κεφάλαιον ΙΑ΄

Capitolul 11

1Λέγω οὖν, μὴ ἀπώσατο ὁ Θεὸς τὸν
λαὸν αὐτοῦ; μὴ γένοιτο· καὶ γὰρ
ἐγὼ Ἰσραηλίτης εἰμί, ἐκ σπέρματος
Ἀβραάμ, φυλῆς Βενιαμίν. 2οὐκ
ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ
ὃν προέγνω. ἢ οὐκ οἴδατε ἐν
Ἠλίᾳ τί λέγει ἡ γραφή, ὡς ἐν-
τυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραὴλ λέγων;
3*Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν καὶ*
τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγὼ ὑπε-
λείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου.
4ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; *κατέλι-*
πον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες
οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. 5οὕτως οὖν καὶ
ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος
γέγονεν. 6εἰ δὲ χάριτι, οὐκέτι ἐξ ἔργων· ἐπεὶ
ἡ χάρις οὐκέτι γίνεται χάρις. εἰ δὲ ἐξ ἔργων,
οὐκέτι ἐστὶ χάρις· ἐπεὶ τὸ ἔργον οὐκέτι ἐστὶν
ἔργον. 7Τί οὖν; ὃ ἐπιζητεῖ Ἰσραήλ, τοῦτο
οὐκ ἐπέτυχεν, ἡ δὲ ἐκλογὴ ἐπέτυχεν· οἱ δὲ
λοιποὶ ἐπωρώθησαν, 8καθὼς γέγραπται·
ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξε-
ως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν καὶ ὦτα τοῦ
μὴ ἀκούειν, ἕως τῆς σήμερον ἡμέρας. 9καὶ
Δαυὶδ λέγει· *γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς*
παγίδα καὶ εἰς θήραν καὶ εἰς σκάνδαλον καὶ
εἰς ἀνταπόδομα αὐτοῖς· 10*σκοτισθήτωσαν*

1Zic deci: Oare a lepădat Dumne-
zeu pe poporul Său? Să nu fie!
Căci şi eu sunt israelit, din sămân-
ţa lui Avraam, din seminţia
lui Veniamin. 2Nu a lepădat
Dumnezeu pe poporul Său, pe
care mai înainte l-a cunoscut. Sau nu ştiţi ce
zice Scriptura despre Ilie? Cum mijloceşte
la Dumnezeu împotriva lui Israel, zicând:
3*Doamne, pe proorocii Tăi i-au omorât şi*
jertfelnicele Tale le-au surpat, şi eu am ră-
mas singur şi ei caută sufletul meu! 4Dar ce-i
spune dumnezeiescul răspuns? *Mi-am pus*
deoparte şapte mii de bărbaţi, care nu şi-au
plecat genunchiul lui Baal. 5Deci tot aşa
şi în vremea de acum o rămăşiţă s-a făcut
potrivit alegerii harului. 6Iar dacă este prin
har, nu mai este din fapte; altfel, harul nu
mai este har. Iar dacă este din fapte, nu mai
este har; altfel, fapta nu mai este faptă. 7Ce,
dar? Ceea ce caută Israel, la aceasta nu a
ajuns; alegerea însă a ajuns; iar ceilalţi s-au
împietrit, 8aşa cum este scris: *Dumnezeu*
le-a dat duh de încremenire, ochi să nu vadă
şi urechi să nu audă până în ziua de azi. 9Şi
David zice: *Facă-se masa lor spre cursă şi*
spre laţ şi spre sminteală şi spre răsplătire

οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον.

Λέγω οὖν, μὴ ἔπταισαν ἵνα πέσωσι; μὴ γένοιτο· ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς. 12εἰ δὲ τὸ παράπτωμα αὐτῶν πλοῦτος κόσμου καὶ τὸ ἥττημα αὐτῶν πλοῦτος ἐθνῶν, πόσῳ μᾶλλον τὸ πλήρωμα αὐτῶν; 13Ὑμῖν γὰρ λέγω τοῖς ἔθνεσιν. ἐφ' ὅσον μέν εἰμι ἐγὼ ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω, 14εἴ πως παραζηλώσω μου τὴν σάρκα καὶ σώσω τινὰς ἐξ αὐτῶν. 15εἰ γὰρ ἡ ἀποβολὴ αὐτῶν καταλλαγὴ κόσμου, τίς ἡ πρόσληψις εἰ μὴ ζωὴ ἐκ νεκρῶν; 16εἰ δὲ ἡ ἀπαρχὴ ἁγία, καὶ τὸ φύραμα· καὶ εἰ ἡ ῥίζα ἁγία, καὶ οἱ κλάδοι. 17Εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, σὺ δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς καὶ συγκοινωνὸς τῆς ῥίζης καὶ τῆς πιότητος τῆς ἐλαίας ἐγένου, 18μὴ κατακαυχῶ τῶν κλάδων· εἰ δὲ κατακαυχᾶσαι, οὐ σὺ τὴν ῥίζαν βαστάζεις, ἀλλ' ἡ ῥίζα σέ. 19ἐρεῖς οὖν· ἐξεκλάσθησαν οἱ κλάδοι, ἵνα ἐγὼ ἐγκεντρισθῶ. 20καλῶς· τῇ ἀπιστίᾳ ἐξεκλάσθησαν, σὺ δὲ τῇ πίστει ἕστηκας. μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ· 21εἰ γὰρ ὁ Θεὸς τῶν κατὰ φύσιν κλάδων οὐκ ἐφείσατο, μήπως οὐδὲ σοῦ φείσεται. 22ἴδε οὖν χρηστότητα καὶ ἀποτομίαν Θεοῦ, ἐπὶ μὲν τοὺς πεσόντας ἀποτομίαν, ἐπὶ δὲ σὲ χρηστότητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι· ἐπεὶ καὶ σὺ ἐκκοπήσῃ. 23καὶ ἐκεῖνοι δέ, ἐὰν μὴ ἐπιμείνωσι τῇ ἀπιστίᾳ, ἐγκεντρισθήσονται· δυνατὸς γὰρ ὁ Θεός ἐστι πάλιν ἐγκεντρίσαι αὐτούς. 24εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον, πόσῳ μᾶλλον οὗτοι οἱ κατὰ φύσιν ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;

lor! 10Întunecă-se ochii lor ca să nu vadă şi spinarea lor pentru totdeauna gârboveşte-o!

Deci zic: Oare s-au poticnit ca să cadă? Să nu fie! Ci mântuirea neamurilor este prin greşeala lor, ca pe ei să-i stârnească spre gelozie. 12Şi dacă greşeala lor este bogăţie a lumii şi înfrângerea lor bogăţie a neamurilor, cu cât mai mult plinirea lor? 13Căci zic vouă, neamurilor: Întrucât eu sunt apostol al neamurilor, slăvesc slujirea mea, 14poate voi stârni spre gelozie trupul meu şi voi mântui pe unii dintre ei. 15Căci dacă înlăturarea lor este împăcare lumii, ce va fi primirea lor, dacă nu viaţă din morţi? 16Iar dacă pârga este sfântă, şi frământătura este; şi dacă rădăcina este sfântă, şi ramurile sunt. 17Iar dacă unele din ramuri au fost frânte, şi tu, măslin sălbatic fiind, ai fost altoit în ele şi te-ai făcut împreunăpărtaş al rădăcinii şi al grăsimii măslinului, 18nu te trufi faţă de ramuri; iar dacă te trufeşti, nu tu porţi rădăcina, ci rădăcina pe tine. 19Vei zice deci: Au fost tăiate ramurile, ca să fiu eu altoit. 20Bine! Prin necredinţă s-au tăiat, iar tu stai prin credinţă. Nu te înălţa cu cugetul, ci teme-te! 21Căci, dacă Dumnezeu n-a cruţat ramurile cele după fire, nu cumva nici pe tine să nu te cruţe! 22Iată deci bunătatea şi asprimea lui Dumnezeu, către cei ce au căzut – asprime, iar către tine – bunătate, dacă stăruieşti în bunătate; altfel, şi tu vei fi tăiat. 23Dar şi aceia, dacă nu vor stărui în necredinţă, vor fi altoiţi; căci puternic este Dumnezeu să-i altoiască iarăşi. 24Căci dacă tu ai fost tăiat din măslinul cel după fire sălbatic şi împotriva firii ai fost altoit în măslinul cel bun, cu cât mai mult aceştia, cei după fire, vor fi altoiţi în măslinul lor?

Οὐ γὰρ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, τὸ μυστήριον τοῦτο, ἵνα μὴ ἦτε παρ' ἑαυτοῖς φρόνιμοι, ὅτι πώρωσις ἀπὸ μέρους τῷ Ἰσραὴλ γέγονεν ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, 26καὶ οὕτω πᾶς Ἰσραὴλ σωθήσεται, καθὼς γέγραπται· *ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ·* 27*καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν.* 28κατὰ μὲν τὸ εὐαγγέλιον ἐχθροὶ δι' ὑμᾶς, κατὰ δὲ τὴν ἐκλογὴν ἀγαπητοὶ διὰ τοὺς πατέρας· 29ἀμεταμέλητα γὰρ τὰ χαρίσματα καὶ ἡ κλῆσις τοῦ Θεοῦ. 30ὥσπερ γὰρ καὶ ὑμεῖς ποτε ἠπειθήσατε τῷ Θεῷ, νῦν δὲ ἠλεήθητε τῇ τούτων ἀπειθείᾳ, 31οὕτω καὶ οὗτοι νῦν ἠπείθησαν, τῷ ὑμετέρῳ ἐλέει ἵνα καὶ αὐτοὶ ἐλεηθῶσι· 32συνέκλεισε γὰρ ὁ Θεὸς τοὺς πάντας εἰς ἀπείθειαν, ἵνα τοὺς πάντας ἐλεήσῃ. 33 Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. 34*τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;* 35*ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ;* 36ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

Că nu vreau ca voi să nu ştiţi, fraţilor, taina aceasta, ca să nu vă socotiţi pe voi înşivă înţelepţi; că împietrire s-a făcut lui Israel în parte, până ce va intra plinirea neamurilor. 26Şi astfel tot Israelul se va mântui, precum este scris: *Veni-va din Sion Cel ce izbăveşte şi va abate relele-cinstiri de la Iacov;* 27*Şi acesta le este testamentul de la Mine, când voi ridica păcatele lor.* 28După Evanghelie, ei sunt vrăjmaşi pentru voi, dar, după alegere, ei sunt iubiţi pentru părinţi. 29Căci darurile şi chemarea lui Dumnezeu nu se iau înapoi. 30Căci, după cum şi voi odinioară n-aţi ascultat de Dumnezeu, dar acum aţi fost miluiţi prin neascultarea acestora, 31tot aşa şi aceştia acum n-au ascultat, pentru ca, prin miluirea voastră, să fie şi ei miluiţi. 32Căci Dumnezeu i-a închis laolaltă pe toţi în neascultare, ca pe toţi să-i miluiască. 33O, adâncul bogăţiei şi al înţelepciunii şi al cunoştinţei lui Dumnezeu! Cât sunt de necercetate judecăţile Lui şi cât sunt de nepătrunse căile Lui! 34*Căci cine a cunoscut mintea Domnului sau cine s-a făcut sfătuitorul Lui?* 35*Sau cine I-a dat Lui mai înainte şi i se va da lui înapoi?* 36Că din El şi prin El şi înspre El sunt toate. A Lui să fie slava în veci. Amin!

Κεφάλαιον ΙΒ΄

Παρακαλῶ οὖν ὑμᾶς, ἀδελφοί, διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ, παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν, 2καὶ μὴ συσχηματίζεσθαι

Capitolul 12

Vă îndemn deci, fraţilor, prin îndurările lui Dumnezeu, să înfăţişaţi trupurile voastre jertfă vie, sfântă, bineplăcută lui Dumnezeu – închinarea voastră cea cuvântătoare –. 2Şi nu luaţi chipul veacului aces-

τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθαι τῇ
ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμά-
ζειν ὑμᾶς τί τὸ θέλημα τοῦ Θεοῦ, τὸ ἀγαθὸν
καὶ εὐάρεστον καὶ τέλειον. 3Λέγω γὰρ διὰ
τῆς χάριτος τῆς δοθείσης μοι παντὶ τῷ ὄντι
ἐν ὑμῖν, μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν,
ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν, ἑκάστῳ ὡς ὁ
Θεὸς ἐμέρισε μέτρον πίστεως. 4καθάπερ γὰρ
ἐν ἑνὶ σώματι μέλη πολλὰ ἔχομεν, τὰ δὲ μέλη
πάντα οὐ τὴν αὐτὴν ἔχει πρᾶξιν, 5οὕτως οἱ
πολλοὶ ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ'
εἷς ἀλλήλων μέλη. 6ἔχοντες δὲ χαρίσματα
κατὰ τὴν χάριν τὴν δοθεῖσαν ἡμῖν διάφορα,
εἴτε προφητείαν, κατὰ τὴν ἀναλογίαν τῆς πί-
στεως, 7εἴτε διακονίαν, ἐν τῇ διακονίᾳ, εἴτε
ὁ διδάσκων, ἐν τῇ διδασκαλίᾳ, 8εἴτε ὁ πα-
ρακαλῶν, ἐν τῇ παρακλήσει, ὁ μεταδιδούς,
ἐν ἁπλότητι, ὁ προϊστάμενος, ἐν σπουδῇ, ὁ
ἐλεῶν, ἐν ἱλαρότητι. 9Ἡ ἀγάπη ἀνυπόκριτος.
ἀποστυγοῦντες τὸ πονηρόν, κολλώμενοι τῷ
ἀγαθῷ, 10τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλό-
στοργοι, τῇ τιμῇ ἀλλήλους προηγούμενοι, 11τῇ
σπουδῇ μὴ ὀκνηροί, τῷ πνεύματι ζέοντες,
τῷ Κυρίῳ δουλεύοντες, 12τῇ ἐλπίδι χαίρον-
τες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευχῇ
προσκαρτεροῦντες, 13ταῖς χρείαις τῶν ἁγίων
κοινωνοῦντες, τὴν φιλοξενίαν διώκοντες.
14εὐλογεῖτε τοὺς διώκοντας ὑμᾶς, εὐλογεῖτε
καὶ μὴ καταρᾶσθε. 15χαίρειν μετὰ χαιρόντων
καὶ κλαίειν μετὰ κλαιόντων. 16τὸ αὐτὸ εἰς
ἀλλήλους φρονοῦντες. μὴ τὰ ὑψηλὰ φρο-
νοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι.
μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς. 17μηδενὶ
κακὸν ἀντὶ κακοῦ ἀποδιδόντες. προνοούμε-
νοι καλὰ ἐνώπιον πάντων ἀνθρώπων· 18εἰ
δυνατόν, τὸ ἐξ ὑμῶν μετὰ πάντων ἀνθρώπων
εἰρηνεύοντες. 19μὴ ἑαυτοὺς ἐκδικοῦντες, ἀγα-
πητοί, ἀλλὰ δότε τόπον τῇ ὀργῇ· γέγραπται
γάρ· *ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει*
Κύριος. 20ἐὰν οὖν πεινᾷ ὁ ἐχθρός σου, ψώμι-

tuia, ci schimbaţi-vă la faţă prin înnoirea
minţii voastre, ca să deslușiți care este voia
lui Dumnezeu, cea bună şi bineplăcută şi
desăvârşită. 3Căci, prin harul ce mi s-a dat,
spun fiecăruia dintre voi să nu cugete mai
presus decât ce trebuie să cugete, ci să cu-
gete spre a se înţelepţi, precum a împăr-
ţit Dumnezeu fiecăruia măsura credinţei.
4Căci, precum într-un singur trup avem
multe mădulare, iar mădularele nu au toa-
te aceeaşi lucrare, 5aşa şi noi, cei mulţi, sun-
tem un trup în Hristos şi fiecare în parte
mădulare unii altora. 6Şi avem daruri felu-
rite după harul ce ni s-a dat: fie proorocie,
după măsura credinţei; 7fie slujire, în slu-
jire; fie cel ce învaţă pe alţii, în învăţătură;
8fie cel ce mângâie, în mângâiere; cel ce
împarte, întru dărnicie; cel întâi stătător,
în sârguinţă; cel ce miluieşte, în voie bună!
9Iubirea să fie nefăţarnică. Urâţi ce este vi-
clean, alipindu-vă de ceea ce este bun, 10cu
dragoste frăţească unii pe alţii iubindu-vă;
în cinstire întrecându-vă unii pe alţii, 11în
sârguinţă nefiind trândavi; cu duhul fiind
fierbinţi; Domnului robindu-vă, 12în nădej-
de bucurându-vă, în strâmtorare răbdând,
în rugăciune stăruind, 13trebuinţelor sfin-
ţilor făcându-vă părtaşi, spre primirea de
străini sârguindu-vă. 14Binecuvântaţi pe cei
ce vă prigonesc, binecuvântaţi-i şi nu-i bles-
temaţi. 15Bucuraţi-vă cu cei ce se bucură şi
plângeţi cu cei ce plâng. 16Cugetaţi acelaşi
lucru unii pentru alţii, nu cugetaţi cele în-
alte, ci plecaţi-vă spre cei de jos. Nu vă so-
cotiţi înţelepţi pe voi înşivă. 17Nu răsplă-
tiţi nimănui răul cu rău, îngrijiţi-vă de cele
bune înaintea tuturor oamenilor; 18de este
cu putinţă, pe cât ţine de voi, fiţi în pace
cu toţi oamenii, 19fără să vă răzbunaţi sin-
guri, iubiţilor, ci daţi loc mâniei Lui, căci

ζε αὐτόν, ἐὰν διψᾷ, πότιζε αὐτόν· τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. 21μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν.

scris este: *A Mea este răzbunarea; Eu voi răsplăti, zice Domnul.* 20Deci, dacă flămânzeşte vrăjmaşul tău, dă-i să mănânce, dacă însetează, dă-i să bea; căci, făcând acestea, cărbuni de foc vei grămădi pe capul lui. 21Nu te lăsa biruit de rău, ci biruieşte cu binele răul.

Κεφάλαιον ΙΓ΄

Πᾶσα ψυχὴ ἐξουσίαις ὑπερεχούσαις ὑποτασσέσθω. οὐ γάρ ἐστιν ἐξουσία εἰ μὴ ὑπὸ Θεοῦ· αἱ δὲ οὖσαι ἐξουσίαι ὑπὸ τοῦ Θεοῦ τεταγμέναι εἰσίν. 2ὥστε ὁ ἀντιτασσόμενος τῇ ἐξουσίᾳ τῇ τοῦ Θεοῦ διαταγῇ ἀνθέστηκεν· οἱ δὲ ἀνθεστηκότες ἑαυτοῖς κρῖμα λήψονται. 3οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν. θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς· 4Θεοῦ γὰρ διάκονός ἐστί σοι εἰς τὸ ἀγαθόν. ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ εἰκῇ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι. 5διὸ ἀνάγκη ὑποτάσσεσθαι οὐ μόνον διὰ τὴν ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. 6διὰ τοῦτο γὰρ καὶ φόρους τελεῖτε· λειτουργοὶ γὰρ Θεοῦ εἰσιν εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες. 7ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς, τῷ τὸν φόρον τὸν φόρον, τῷ τὸ τέλος τὸ τέλος, τῷ τὸν φόβον τὸν φόβον, τῷ τὴν τιμὴν τὴν τιμήν.

Μηδενὶ μηδὲν ὀφείλετε εἰ μὴ τὸ ἀγαπᾶν ἀλλήλους. ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον νόμον πεπλήρωκε· 9τὸ γὰρ *οὐ μοιχεύσεις, οὐ*

Capitolul 13

Tot sufletul să se supună înaltelor stăpâniri. Căci nu este stăpânire decât de la Dumnezeu; iar stăpânirile care sunt, de Dumnezeu sunt rânduite. 2Astfel că, cel ce se împotriveşte stăpânirii se împotriveşte rânduielii lui Dumnezeu. Iar cei ce se împotrivesc îşi vor lua osândă. 3Căci stăpânitorii nu sunt frică pentru faptele bune, ci pentru cele rele. Voieşti să nu te temi de stăpânire? Fă binele şi vei avea laudă de la ea. 4Căci este slujitoare a lui Dumnezeu spre binele tău. Iar dacă faci răul, teme-te; căci nu în zadar poartă sabia; pentru că este slujitoare a lui Dumnezeu, răzbunătoare spre mânie asupra celui care făptuieşte răul. 5De aceea este nevoie să vă supuneţi, nu numai pentru mânie, ci şi pentru conştiinţă. 6Căci pentru aceasta plătiţi şi dăjdii. Căci ei sunt slujitori ai lui Dumnezeu, stăruind în aceasta. 7Daţi deci tuturor cele datorate: celui cu dajdia, dajdia; celui cu vama, vama; celui cu teama, teama; celui cu cinstea, cinstea.

Nimănui cu nimic nu fiţi datori, decât în a vă iubi unii pe alţii. Căci cel care iubeşte pe celălalt a împlinit Legea; 9căci

φονεύσεις, οὐ κλέψεις, οὐκ ἐπιθυμήσεις, καὶ εἴ τις ἑτέρα ἐντολή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται, ἐν τῷ, *ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.* [10]ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται· πλήρωμα οὖν νόμου ἡ ἀγάπη.

Καὶ τοῦτο, εἰδότες τὸν καιρόν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι· νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν. [12]ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. [13]ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ, [14]ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας.

aceasta: *Să nu săvârşeşti adulter, să nu ucizi, să nu furi, să nu pofteşti* şi orice altă poruncă se recapitulează în acest cuvânt: *Să iubeşti pe aproapele tău ca pe tine însuţi.* [10]Iubirea nu lucrează vreun rău aproapelui; deci plinirea Legii este iubirea.

Şi aceasta, ştiind vremea, că este deja ceasul să ne sculăm din somn; căci acum mântuirea este mai aproape de noi decât atunci când am crezut. [12]Noaptea e pe sfârşite; ziua s-a apropiat. Să lepădăm, dar, lucrurile întunericului şi să îmbrăcăm armele luminii. [13]Ca ziua să umblăm, cu bună cuviinţă; nu în îmbuibări şi beţii, nu în desfrânări şi fapte de ruşine, nu în ceartă şi în pizmă; [14]ci îmbrăcaţi-vă în Domnul Iisus Hristos şi grija de trup nu o faceţi spre pofte.

Κεφάλαιον ΙΔ΄

Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. [2]ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. [3]ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω, καὶ ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο. [4]σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ Κυρίῳ στήκει ἢ πίπτει· σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν. [5]ὃς μὲν κρίνει ἡμέραν παρ' ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν. ἕκαστος ἐν τῷ ἰδίῳ νοῒ πληροφορείσθω. [6]ὁ φρονῶν τὴν ἡμέραν Κυρίῳ φρονεῖ, καὶ ὁ μὴ φρονῶν τὴν ἡμέραν Κυρίῳ οὐ φρο-

Capitolul 14

Pe cel slab în credinţă primiţi-l, nu ca să-i judecaţi gândurile. [2]Unul crede să mănânce de toate; cel slab însă mănâncă legume. [3]Cel ce mănâncă să nu dispreţuiască pe cel ce nu mănâncă; iar cel ce nu mănâncă să nu judece pe cel ce mănâncă; fiindcă Dumnezeu l-a primit. [4]Cine eşti tu, ca să judeci o slugă străină? Pentru stăpânul său stă sau cade. Dar va sta, căci puternic este Dumnezeu să-l facă să stea. [5]Unul judecă o zi deosebit de alta, iar altul judecă toate zilele la fel. Fiecare să aibă încredinţare deplină în mintea lui. [6]Cel ce ţine ziua pentru Domnul o ţine; şi cel ce nu ţine ziua

νεῖ. καὶ ὁ ἐσθίων Κυρίῳ ἐσθίει· εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ ὁ μὴ ἐσθίων Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ. 7οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ καὶ οὐδεὶς ἑαυτῷ ἀποθνήσκει· 8ἐάν τε γὰρ ζῶμεν, τῷ Κυρίῳ ζῶμεν, ἐάν τε ἀποθνήσκωμεν, τῷ Κυρίῳ ἀποθνήσκομεν. ἐάν τε οὖν ζῶμεν ἐάν τε ἀποθνήσκωμεν, τοῦ Κυρίου ἐσμέν. 9εἰς τοῦτο γὰρ Χριστὸς καὶ ἀπέθανε καὶ ἀνέστη καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. 10Σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. 11γέγραπται γάρ· *ζῶ ἐγώ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ.* 12ἄρα οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ Θεῷ.

pentru Domnul nu o ține. Şi cel ce mănâncă pentru Domnul mănâncă; căci mulţumeşte lui Dumnezeu; şi cel ce nu mănâncă pentru Domnul nu mănâncă şi mulţumeşte lui Dumnezeu. 7Căci nimeni dintre noi nu trăieşte pentru sine şi nimeni nu moare pentru sine. 8Căci şi dacă trăim, pentru Domnul trăim, şi dacă murim, pentru Domnul murim. Deci, şi dacă trăim, şi dacă murim, ai Domnului suntem. 9Căci pentru aceasta Hristos a şi murit, a şi înviat şi a şi trăit, ca şi peste morţi şi peste vii să stăpânească. 10Iar tu, de ce judeci pe fratele tău? Sau şi tu, de ce socoteşti de nimic pe fratele tău? Căci toţi vom sta înaintea scaunului de judecată al lui Hristos. 11Căci scris este: *Viu sunt Eu! – zice Domnul – că Mie se va pleca tot genunchiul şi toată limba va da slavă lui Dumnezeu.* 12Aşadar, fiecare dintre noi despre sine va da socoteală lui Dumnezeu.

Μηκέτι οὖν ἀλλήλους κρίνωμεν, ἀλλὰ τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα τῷ ἀδελφῷ ἢ σκάνδαλον. 14οἶδα καὶ πέπεισμαι ἐν Κυρίῳ Ἰησοῦ ὅτι οὐδὲν κοινὸν δι' αὐτοῦ· εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι, ἐκείνῳ κοινόν. 15εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. μὴ τῷ βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς ἀπέθανε. 16μὴ βλασφημείσθω οὖν ὑμῶν τὸ ἀγαθόν. 17οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν Πνεύματι Ἁγίῳ· 18ὁ γὰρ ἐν τούτοις δουλεύων τῷ Χριστῷ εὐάρεστος τῷ Θεῷ καὶ δόκιμος τοῖς ἀνθρώποις. 19ἄρα οὖν τὰ τῆς εἰρήνης διώκωμεν καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους. 20μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ. πάντα μὲν καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ τῷ διὰ προσκόμματος ἐσθίοντι. 21καλὸν τὸ

Deci să nu ne mai judecăm unii pe alţii, ci aceasta judecaţi mai degrabă: Să nu puneţi poticnire fratelui sau sminteală. 14Ştiu şi sunt încredinţat în Domnul Iisus că nimic nu este întinat prin sine, decât pentru cel care socoteşte că este ceva întinat; pentru acela este întinat. 15Iar dacă, pentru mâncare, fratele tău se mâhneşte, nu mai umbli potrivit iubirii. Nu-l pierde, cu mâncarea ta, pe acela pentru care a murit Hristos. 16Să nu fie hulit, deci, binele vostru. 17Căci nu este Împărăţia lui Dumnezeu mâncare şi băutură, ci dreptate şi pace şi bucurie în Duhul Sfânt; 18căci cel ce întru acestea se face rob lui Hristos este bineplăcut lui Dumnezeu şi încercat în faţa oamenilor. 19Drept aceea, să urmărim cele ale păcii şi cele ale zidirii unuia de către altul. 20Nu strica, pentru mâncare, lucrul

μὴ φαγεῖν κρέα μηδὲ πιεῖν οἶνον μηδὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει ἢ σκανδαλίζεται ἢ ἀσθενεῖ. 22σὺ πίστιν ἔχεις; κατὰ σεαυτὸν ἔχε ἐνώπιον τοῦ Θεοῦ· μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει. 23ὁ δὲ διακρινόμενος ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστίν. 24Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου χρόνοις αἰωνίοις σεσιγημένου, 25φανερωθέντος δὲ νῦν, διά τε γραφῶν προφητικῶν κατ' ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ εἰς ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος, 26μόνῳ σοφῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.

lui Dumnezeu. Toate sunt curate, dar rău omului care mănâncă spre poticnire. 21Bine este să nu mănânci carne, nici să bei vin, nici altceva în care fratele tău se poticneşte sau se sminteşte sau slăbeşte. 22Tu ai credinţă? S-o ai pentru tine, înaintea lui Dumnezeu. Fericit cel ce nu se judecă pe sine în ceea ce încuviinţează! 23Iar cel ce se îndoieşte, dacă mănâncă, se osândeşte, pentru că nu este din credinţă. Şi tot ce nu este din credinţă este păcat. 24Iar Celui ce poate să vă întărească după Evanghelia mea şi după propovăduirea lui Iisus Hristos, după descoperirea tainei celei ţinute sub tăcere din timpuri veşnice 25şi arătate acum şi, prin scripturile prooroceşti, după porunca veşnicului Dumnezeu, făcute cunoscută la toate neamurile spre ascultarea credinţei, 26Unuia Înţeleptului Dumnezeu, prin Iisus Hristos, Lui fie slava în veci. Amin!

Κεφάλαιον ΙΕ΄

ὀφείλομεν δὲ ἡμεῖς οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων βαστάζειν, καὶ μὴ ἑαυτοῖς ἀρέσκειν. 2ἕκαστος ἡμῶν τῷ πλησίον ἀρεσκέτω εἰς τὸ ἀγαθὸν πρὸς οἰκοδομήν· 3καὶ γὰρ ὁ Χριστὸς οὐχ ἑαυτῷ ἤρεσεν, ἀλλὰ καθὼς γέγραπται, *οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ.* 4ὅσα γὰρ προεγράφη, εἰς τὴν ἡμετέραν διδασκαλίαν προεγράφη, ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν.

Capitolul 15

Datori suntem noi cei puternici să purtăm slăbiciunile celor neputincioşi şi nu nouă înşine să plăcem. 2Ci fiecare dintre noi să placă aproapelui în bine, spre zidire. 3Căci şi Hristos nu Sieşi a plăcut, ci, precum este scris: *Ocările celor ce Te ocărăsc pe Tine au căzut asupra Mea.* 4Căci câte s-au scris mai înainte, s-au scris spre învăţătura noastră, ca, prin răbdarea şi mângâierea Scripturilor, să avem nădejdea. 5Iar Dumnezeul răbdării şi al mângâierii să vă

5ὁ δὲ Θεὸς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως δῴη ὑμῖν τὸ αὐτὸ φρονεῖν ἐν ἀλλήλοις κατὰ Χριστὸν Ἰησοῦν, 6ἵνα ὁμοθυμαδὸν ἐν ἑνὶ στόματι δοξάζητε τὸν Θεὸν καὶ πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

7Διὸ προσλαμβάνεσθε ἀλλήλους, καθὼς καὶ ὁ Χριστὸς προσελάβετο ὑμᾶς εἰς δόξαν Θεοῦ. 8Λέγω δὲ Χριστὸν Ἰησοῦν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, 9τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν, καθὼς γέγραπται· *διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε, καὶ τῷ ὀνόματί σου ψαλῶ.* 10καὶ πάλιν λέγει· *εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ.* 11καὶ πάλιν· *αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, καὶ ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.* 12καὶ πάλιν Ἡσαΐας λέγει· *ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν· ἐπ᾽ αὐτῷ ἔθνη ἐλπιοῦσιν.* 13Ὁ δὲ Θεὸς τῆς ἐλπίδος πληρώσαι ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι ἐν δυνάμει Πνεύματος Ἁγίου.

14Πέπεισμαι δέ, ἀδελφοί μου, καὶ αὐτὸς ἐγὼ περὶ ὑμῶν, ὅτι καὶ αὐτοὶ μεστοί ἐστε ἀγαθωσύνης, πεπληρωμένοι πάσης γνώσεως, δυνάμενοι καὶ ἀλλήλους νουθετεῖν. 15τολμηρότερον δὲ ἔγραψα ὑμῖν, ἀδελφοί, ἀπὸ μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς, διὰ τὴν χάριν τὴν δοθεῖσάν μοι ὑπὸ τοῦ Θεοῦ 16εἰς τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς τὰ ἔθνη, ἱερουργοῦντα τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν Πνεύματι Ἁγίῳ. 17Ἔχω οὖν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ πρὸς τὸν Θεόν· 18οὐ γὰρ τολμήσω λαλεῖν τι ὧν οὐ κατειργάσατο Χριστὸς δι᾽ ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν λόγῳ καὶ ἔργῳ, 19ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος Θεοῦ,

dea vouă să cugetați la fel unii pentru alții, după Hristos Iisus, 6pentru ca într-un cuget, cu o gură să-L slăviți pe Dumnezeu şi Tatăl Domnului nostru Iisus Hristos.

7De aceea, primiți-vă unii pe alții, precum şi Hristos v-a primit pe voi, spre slava lui Dumnezeu. 8Şi zic: Hristos Iisus S-a făcut slujitor al tăierii-împrejur pentru adevărul lui Dumnezeu, ca să adevereasc㠄 făgăduințele date părinților, 9iar neamurile să slăvească pe Dumnezeu pentru milă, precum este scris: *Pentru aceasta Îți voi da slavă între neamuri, Doamne, şi numelui Tău voi cânta.* 10Şi iarăşi zice: *Veseliți-vă, neamuri, cu poporul Lui.* 11Şi iarăşi: *Lăudați pe Domnul toate neamurile;* şi: *Lăudați-L pe El toate popoarele.* 12Şi iarăşi Isaia zice: *Va fi rădăcina lui Iesei şi Cel ce Se ridică să domnească peste neamuri; în Acela neamuri vor nădăjdui.* 13Iar Dumnezeul nădejdii să vă umple pe voi de toată bucuria şi pacea în credință, ca să prisosiți în nădejde, în puterea Duhului Sfânt.

14Şi sunt încredințat, frații mei, şi eu însumi despre voi, că şi voi sunteți plini de bunătate, plini de toată cunoştința, putând şi voi să vă povățuiți unii pe alții. 15Dar mai cu îndrăzneală v-am scris, fraților, în parte, ca să vă aduc aminte din nou, pentru harul cel dat mie de Dumnezeu 16spre a fi slujitor al lui Iisus Hristos la neamuri, slujind cu sfințenie Evanghelia lui Dumnezeu, ca să se facă ofranda neamurilor bineprimită, sfințită în Duhul Sfânt. 17Aşadar, am laudă în Hristos Iisus cele către Dumnezeu. 18Căci nu voi îndrăzni să grăiesc ceva din cele ce n-a lucrat Hristos prin mine, spre ascultarea neamurilor, prin cuvânt şi prin faptă, 19în puterea semnelor şi a minunilor,

ὥστε με ἀπὸ Ἰερουσαλὴμ καὶ κύκλῳ μέχρι
τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον
τοῦ Χριστοῦ, 20οὕτω δὲ φιλοτιμούμενον εὐ-
αγγελίζεσθαι οὐχ ὅπου ὠνομάσθη Χριστός,
ἵνα μὴ ἐπ᾽ ἀλλότριον θεμέλιον οἰκοδομῶ,
21ἀλλὰ καθὼς γέγραπται, *οἷς οὐκ ἀνηγγέλη*
περὶ αὐτοῦ ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι
συνήσουσι.

Διὸ καὶ ἐνεκοπτόμην τὰ πολλὰ τοῦ ἐλθεῖν
πρὸς ὑμᾶς· 23νυνὶ δὲ μηκέτι τόπον ἔχων ἐν
τοῖς κλίμασι τούτοις, ἐπιποθίαν δὲ ἔχων τοῦ
ἐλθεῖν πρὸς ὑμᾶς ἀπὸ πολλῶν ἐτῶν, 24ὡς ἐὰν
πορεύωμαι εἰς τὴν Σπανίαν, ἐλεύσομαι πρὸς
ὑμᾶς· ἐλπίζω γὰρ διαπορευόμενος θεάσασθαι
ὑμᾶς καὶ ὑφ᾽ ὑμῶν προπεμφθῆναι ἐκεῖ, ἐὰν
ὑμῶν πρῶτον ἀπὸ μέρους ἐμπλησθῶ. 25νυνὶ
δὲ πορεύομαι εἰς Ἰερουσαλὴμ διακονῶν
τοῖς ἁγίοις. 26εὐδόκησαν γὰρ Μακεδονία
καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς
τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἰερουσαλήμ.
27εὐδόκησαν γὰρ καὶ ὀφειλέται αὐτῶν εἰσιν·
εἰ γὰρ τοῖς πνευματικοῖς αὐτῶν ἐκοινώνη-
σαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς
λειτουργῆσαι αὐτοῖς. 28τοῦτο οὖν ἐπιτελέ-
σας, καὶ σφραγισάμενος αὐτοῖς τὸν καρπὸν
τοῦτον, ἀπελεύσομαι δι᾽ ὑμῶν εἰς τὴν Σπα-
νίαν. 29οἶδα δὲ ὅτι ἐρχόμενος πρὸς ὑμᾶς ἐν
πληρώματι εὐλογίας τοῦ εὐαγγελίου τοῦ
Χριστοῦ ἐλεύσομαι. 30Παρακαλῶ δὲ ὑμᾶς,
ἀδελφοί, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος, συν-
αγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ
ἐμοῦ πρὸς τὸν Θεόν, 31ἵνα ῥυσθῶ ἀπὸ τῶν
ἀπειθούντων ἐν τῇ Ἰουδαίᾳ καὶ ἵνα ἡ διακο-
νία μου ἡ εἰς Ἰερουσαλὴμ εὐπρόσδεκτος γένη-
ται τοῖς ἁγίοις, 32 ἵνα ἐν χαρᾷ ἔλθω πρὸς ὑμᾶς
διὰ θελήματος Θεοῦ καὶ συναναπαύσωμαι
ὑμῖν. 33ὁ δὲ Θεὸς τῆς εἰρήνης μετὰ πάντων
ὑμῶν· ἀμήν.

în puterea Duhului lui Dumnezeu, astfel
încât am împlinit Evanghelia lui Hristos de
la Ierusalim şi împrejurimi până în Iliric,
20şi râvnind astfel să binevestesc nu unde
a fost numit Hristos, ca să nu zidesc pe te-
melie străină, 21ci precum este scris: *Cei că-*
rora nu li s-a vestit despre El vor vedea; şi
cei care nu au auzit vor înţelege.

De aceea am şi fost împiedicat de multe
ori să vin la voi. 23Dar acum, nemaia-
vând loc în ţinuturile acestea şi având mare
dorinţă de mulţi ani să vin la voi, 24când va
fi să merg în Spania, voi veni la voi; căci
nădăjduiesc ca, trecând, să vă văd şi să fiu
petrecut de voi până acolo, după ce mai
întâi mă voi umple de voi, măcar în parte.
25Acum însă merg la Ierusalim, ca să slu-
jesc sfinţilor. 26Căci au binevoit Macedonia
şi Ahaia să facă o împărtăşire oarecare
pentru săracii sfinţilor celor din Ierusalim.
27Căci au binevoit şi le sunt datori. Căci da-
că neamurile s-au împărtăşit de cele duhov-
niceşti ale lor, datoare sunt să le slujească
lor şi în cele trupeşti. 28Aceasta deci să-
vârşind şi pecetluindu-le lor rodul acesta,
voi pleca, pe la voi, spre Spania. 29Şi ştiu
că, venind la voi, voi veni spre plinirea bi-
necuvântării evangheliei lui Hristos. 30Şi
vă rog, fraţilor, prin Domnul nostru Iisus
Hristos şi prin iubirea Duhului, să luptaţi
împreună cu mine în rugăciunile pentru
mine către Dumnezeu, 31ca să fiu izbăvit de
cei nesupuşi din Iudeea şi ca slujirea mea
cea pentru Ierusalim să fie bineprimită
sfinţilor, 32ca să vin la voi cu bucurie, prin
voia lui Dumnezeu, şi să mă odihnesc
împreună cu voi. 33Iar Dumnezeul păcii
să fie cu voi cu toţi. Amin!

Κεφάλαιον Ις΄

Συνίστημι δὲ ὑμῖν Φοίβην τὴν ἀδελφὴν ἡμῶν, οὖσαν διάκονον τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς, 2ἵνα αὐτὴν προσδέξησθε ἐν Κυρίῳ ἀξίως τῶν ἁγίων καὶ παραστῆτε αὐτῇ ἐν ᾧ ἂν ὑμῶν χρῄζῃ πράγματι· καὶ γὰρ αὐτη προστάτις πολλῶν ἐγενήθη καὶ αὐτοῦ ἐμοῦ. 3Ἀσπάσασθε Πρίσκιλλαν καὶ Ἀκύλαν τοὺς συνεργούς μου ἐν Χριστῷ Ἰησοῦ, 4οἵτινες ὑπὲρ τῆς ψυχῆς μου τὸν ἑαυτῶν τράχηλον ὑπέθηκαν, οἷς οὐκ ἐγὼ μόνος εὐχαριστῶ, ἀλλὰ καὶ πᾶσαι αἱ ἐκκλησίαι τῶν ἐθνῶν, καὶ τὴν κατ᾽ οἶκον αὐτῶν ἐκκλησίαν. 5ἀσπάσασθε Ἐπαίνετον τὸν ἀγαπητόν μου, ὅς ἐστιν ἀπαρχὴ τῆς Ἀχαΐας εἰς Χριστόν. 6ἀσπάσασθε Μαριάμ, ἥτις πολλὰ ἐκοπίασεν εἰς ἡμᾶς. 7ἀσπάσασθε Ἀνδρόνικον καὶ Ἰουνίαν τοὺς συγγενεῖς μου καὶ συναιχμαλώτους μου, οἵτινές εἰσιν ἐπίσημοι ἐν τοῖς ἀποστόλοις, οἳ καὶ πρὸ ἐμοῦ γεγόνασιν ἐν Χριστῷ. 8ἀσπάσασθε Ἀμπλίαν τὸν ἀγαπητόν μου ἐν Κυρίῳ. 9ἀσπάσασθε Οὐρβανὸν τὸν συνεργὸν ἡμῶν ἐν Χριστῷ καὶ Στάχυν τὸν ἀγαπητόν μου. 10ἀσπάσασθε Ἀπελλῆν τὸν δόκιμον ἐν Χριστῷ. ἀσπάσασθε τοὺς ἐκ τῶν Ἀριστοβούλου. 11ἀσπάσασθε Ἡρῳδίωνα τὸν συγγενῆ μου. ἀσπάσασθε τοὺς ἐκ τῶν Ναρκίσσου τοὺς ὄντας ἐν Κυρίῳ. 12ἀσπάσασθε Τρύφαιναν καὶ Τρυφῶσαν τὰς κοπιώσας ἐν Κυρίῳ. ἀσπάσασθε Περσίδα τὴν ἀγαπητήν, ἥτις πολλὰ ἐκοπίασεν ἐν Κυρίῳ. 13ἀσπάσασθε Ῥοῦφον τὸν ἐκλεκτὸν ἐν Κυρίῳ καὶ τὴν μητέρα αὐτοῦ καὶ ἐμοῦ. 14ἀσπάσασθε Ἀσύγκριτον, Φλέγοντα, Ἑρμᾶν, Πατρό-

Capitolul 16

Si vă încredinţez pe Febe, sora noastră, care este diaconiţă a Bisericii din Chenhrea, 2ca s-o primiţi în Domnul cum se cuvine sfinţilor şi să-i staţi alături în orice lucru ar avea trebuinţă de la voi; căci şi ea s-a făcut ocrotitoare a multora şi chiar şi a mea. 3Îmbrăţişaţi pe Priscila şi Acvila, împreună-lucrători cu mine în Hristos Iisus, 4 – care şi-au pus grumazul lor pentru sufletul meu, cărora nu numai eu le mulţumesc, ci şi toate Bisericile neamurilor – şi Biserica din casa lor. 5Îmbrăţişaţi pe Epenet, iubitul meu, care este pârga Ahaiei în Hristos. 6Îmbrăţişaţi pe Maria, care mult s-a ostenit pentru noi. 7Îmbrăţişaţi pe Andronic şi Iunia, cei de un neam cu mine şi împreună robiţi cu mine, care sunt mai de seamă între apostoli, care au şi fost înainte de mine în Hristos. 8Îmbrăţişaţi pe Amplia, iubitul meu în Domnul. 9Îmbrăţişaţi pe Urban, împreună-lucrătorul nostru în Hristos, şi pe Stahis, iubitul meu. 10Îmbrăţişaţi pe Apelles, cel încercat în Hristos. Îmbrăţişaţi pe cei dintre ai lui Aristobul. 11Îmbrăţişaţi pe Irodion, cel de un neam cu mine. Îmbrăţişaţi pe cei dintre ai lui Narcis, care sunt în Domnul. 12Îmbrăţişaţi pe Trifena şi pe Trifosa, care s-au ostenit în Domnul. Îmbrăţişaţi pe iubita Persida, care mult s-a ostenit în Domnul. 13Îmbrăţişaţi pe Ruf, cel ales în Domnul, şi pe mama lui, care este şi a mea. 14Îmbrăţişaţi pe Asincrit, pe Flegon, pe Hermas, pe Patrova, pe Hermes şi pe

βαν, Ἑρμῆν καὶ τοὺς σὺν αὐτοῖς ἀδελφούς.
15ἀσπάσασθε Φιλόλογον καὶ Ἰουλίαν, Νηρέα
καὶ τὴν ἀδελφὴν αὐτοῦ, καὶ Ὀλυμπᾶν καὶ
τοὺς σὺν αὐτοῖς πάντας ἁγίους. 16ἀσπάσασθε
ἀλλήλους ἐν φιλήματι ἁγίῳ. ἀσπάζονται ὑμᾶς
αἱ ἐκκλησίαι τοῦ Χριστοῦ. 17Παρακαλῶ δὲ
ὑμᾶς, ἀδελφοί, σκοπεῖν τοὺς τὰς διχοστασίας
καὶ τὰ σκάνδαλα παρὰ τὴν διδαχὴν ἣν ὑμεῖς
ἐμάθετε ποιοῦντας, καὶ ἐκκλίνατε ἀπ' αὐτῶν·
18οἱ γὰρ τοιοῦτοι τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ
Χριστῷ οὐ δουλεύουσιν, ἀλλὰ τῇ ἑαυτῶν κοι-
λίᾳ, καὶ διὰ τῆς χρηστολογίας καὶ εὐλογίας
ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων· 19ἡ
γὰρ ὑμῶν ὑπακοὴ εἰς πάντας ἀφίκετο. χαί-
ρω οὖν τὸ ἐφ' ὑμῖν· θέλω δὲ ὑμᾶς σοφοὺς
μὲν εἶναι εἰς τὸ ἀγαθόν, ἀκεραίους δὲ εἰς τὸ
κακόν. 20ὁ δὲ Θεὸς τῆς εἰρήνης συντρίψει τὸν
σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει. Ἡ
χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ'
ὑμῶν. 21Ἀσπάζονται ὑμᾶς Τιμόθεος ὁ συνερ-
γός μου, καὶ Λούκιος καὶ Ἰάσων καὶ Σωσίπα-
τρος οἱ συγγενεῖς μου. 22ἀσπάζομαι ὑμᾶς ἐγὼ
Τέρτιος ὁ γράψας τὴν ἐπιστολὴν ἐν Κυρίῳ.
23ἀσπάζεται ὑμᾶς Γάϊος ὁ ξένος μου καὶ τῆς
ἐκκλησίας ὅλης. ἀσπάζεται ὑμᾶς Ἔραστος
ὁ οἰκονόμος τῆς πόλεως καὶ Κούαρτος ὁ
ἀδελφός. 24Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ μετὰ πάντων ὑμῶν· ἀμήν.

fraţii cei dimpreună cu ei. 15Îmbrăţişaţi pe
Filolog şi pe Iulia, pe Nereu şi pe sora lui,
şi pe Olimpas şi pe toţi sfinţii dimpreună cu
ei. 16Îmbrăţişaţi-vă unii pe alţii cu sărutare
sfântă. Vă îmbrăţişează pe voi Bisericile lui
Hristos. 17Şi vă rog, fraţilor, să fiţi cu luare
aminte la cei ce fac dezbinările şi smintelile
împotriva învăţăturii pe care aţi deprins-o.
Feriţi-vă de ei. 18Căci unii ca aceştia nu
sunt robi Domnului nostru Iisus Hristos, ci
pântecelui lor; şi prin cuvinte bune şi fru-
moase înşeală inimile celor fără de răutate.
19Căci ascultarea voastră a ajuns la toţi. Mă
bucur, dar, de ceea ce este la voi şi vreau să
fiţi înţelepţi spre bine şi nepricepuţi spre
rău. 20Şi Dumnezeul păcii va zdrobi pe sa-
tana sub picioarele voastre degrabă. Harul
Domnului nostru Iisus Hristos să fie cu
voi! 21Vă îmbrăţişează Timotei, cel împre-
ună-lucrător cu mine, şi Luciu şi Iason şi
Sosipatru, cei de un neam cu mine. 22Vă
îmbrăţişez în Domnul şi eu, Terţiu, cel care
am scris epistola. 23Vă îmbrăţişează Gaius,
gazda mea şi a întregii Biserici. Vă îmbră-
ţişează Erast, iconomul cetăţii, şi fratele
Cvartus. 24Harul Domnului nostru Iisus
Hristos să fie cu voi cu toţi. Amin!

Κεφάλαιον Α΄

Παῦλος, κλητὸς ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Σωσθένης ὁ ἀδελφός, [2]τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ, ἡγιασμένοις ἐν Χριστῷ Ἰησοῦ, κλητοῖς ἁγίοις, σὺν πᾶσι τοῖς ἐπικαλουμένοις τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν παντὶ τόπῳ αὐτῶν τε καὶ ἡμῶν· [3]χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. [4]Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε περὶ ὑμῶν ἐπὶ τῇ χάριτι τοῦ Θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν Χριστῷ Ἰησοῦ, [5]ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ καὶ πάσῃ γνώσει, [6]καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν, [7]ὥστε ὑμᾶς μὴ ὑστερεῖσθαι ἐν μηδενὶ χαρίσματι, ἀπεκδεχομένους τὴν ἀποκάλυψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· [8]ὃς καὶ βεβαιώσει ὑμᾶς ἕως τέλους ἀνεγκλήτους ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. [9]πιστὸς ὁ Θεὸς δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.

Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,

Capitolul 1

Pavel, chemat apostol al lui Iisus Hristos prin voia lui Dumnezeu, şi fratele Sostene, [2]Bisericii lui Dumnezeu care este în Corint, celor sfinţiţi în Hristos Iisus, chemaţi sfinţi, împreună cu toţi cei care cheamă în tot locul numele Domnului nostru Iisus Hristos, şi al lor, şi al nostru. [3]Har vouă şi pace de la Dumnezeu, Tatăl nostru, şi de la Domnul Iisus Hristos. [4]Mulţumesc Dumnezeului meu totdeauna pentru voi, pentru harul lui Dumnezeu, cel dat vouă în Hristos Iisus, [5]că în toate v-aţi îmbogăţit în El, în tot cuvântul şi în toată cunoştinţa, [6]precum mărturia lui Hristos s-a întărit în voi, [7]ca voi să nu fiţi lipsiţi de nici un dar, aşteptând descoperirea Domnului nostru Iisus Hristos, [8]Care vă va şi întări până în sfârşit, ca să fiţi fără vină în ziua Domnului nostru Iisus Hristos. [9]Credincios este Dumnezeu, prin Care aţi fost chemaţi la împărtăşirea Fiului Său Iisus Hristos, Domnul nostru.

Şi vă rog, fraţilor, prin numele Domnului nostru Iisus Hristos, ca toţi să vorbiţi

ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοῒ καὶ ἐν τῇ αὐτῇ γνώμῃ. 11ἐδηλώθη γάρ μοι περὶ ὑμῶν, ἀδελφοί μου, ὑπὸ τῶν Χλόης ὅτι ἔριδες ἐν ὑμῖν εἰσι. 12λέγω δὲ τοῦτο, ὅτι ἕκαστος ὑμῶν λέγει· ἐγὼ μέν εἰμι Παύλου, ἐγὼ δὲ Ἀπολλώ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ. 13μεμέρισται ὁ Χριστός; μὴ Παῦλος ἐσταυρώθη ὑπὲρ ὑμῶν; ἢ εἰς τὸ ὄνομα Παύλου ἐβαπτίσθητε; 14εὐχαριστῶ τῷ Θεῷ ὅτι οὐδένα ὑμῶν ἐβάπτισα εἰ μὴ Κρίσπον καὶ Γάϊον, 15ἵνα μή τις εἴπῃ ὅτι εἰς τὸ ἐμὸν ὄνομα ἐβάπτισα. 16ἐβάπτισα δὲ καὶ τὸν Στεφανᾶ οἶκον· λοιπὸν οὐκ οἶδα εἴ τινα ἄλλον ἐβάπτισα. 17οὐ γὰρ ἀπέστειλέ με Χριστὸς βαπτίζειν, ἀλλ' εὐαγγελίζεσθαι, οὐκ ἐν σοφίᾳ λόγου, ἵνα μὴ κενωθῇ ὁ σταυρὸς τοῦ Χριστοῦ.

Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σῳζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι. 19γέγραπται γάρ· *ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω.* 20ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου; 21ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας. 22ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι καὶ Ἕλληνες σοφίαν ζητοῦσιν, 23ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν, 24αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησι, Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν· 25ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί, καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί. 26Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοί, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνα-

la fel şi să nu fie între voi dezbinări, ci să fiţi uniţi în aceeaşi minte şi în acelaşi gând. 11Căci mi s-a arătat despre voi, fraţii mei, de către cei ai lui Hloe, că sunt certuri între voi. 12Şi spun aceasta, că fiecare dintre voi zice: Eu sunt al lui Pavel, eu al lui Apolo, eu al lui Chefá, eu al lui Hristos! 13S-a împărţit Hristos? Oare Pavel s-a răstignit pentru voi? Sau în numele lui Pavel v-aţi botezat? 14Mulţumesc lui Dumnezeu că pe nici unul dintre voi n-am botezat, afară de Crispus şi de Gaius, 15ca să nu zică cineva că în numele meu am botezat. 16Şi am botezat şi casa lui Stefanás; în rest, nu ştiu dacă am botezat pe vreun altul. 17Căci nu m-a trimis Hristos să botez, ci să binevestesc, nu în înţelepciunea cuvântului, ca să nu se facă deşartă crucea lui Hristos.

Căci cuvântul Crucii celor ce pier este nebunie, iar nouă, celor ce ne mântuim, este putere a lui Dumnezeu. 19Căci scris este: *Pierde-voi înţelepciunea înţelepţilor şi priceperea celor pricepuţi o voi lepăda.* 20Unde este înţeleptul? Unde este cărturarul? Unde este iscoditorul veacului acestuia? Oare n-a arătat Dumnezeu nebună înţelepciunea lumii acesteia? 21Căci de vreme ce întru înţelepciunea lui Dumnezeu lumea n-a cunoscut prin înţelepciune pe Dumnezeu, a binevoit Dumnezeu, prin nebunia propovăduirii, să mântuiască pe cei ce cred. 22Fiindcă şi iudeii cer semn, şi elinii caută înţelepciune, 23dar noi propovăduim pe Hristos răstignit: iudeilor sminteală, iar elinilor nebunie, 24iar celor chemaţi, iudei şi elini, pe Hristos, puterea lui Dumnezeu şi înţelepciunea lui Dumnezeu. 25Că ceea ce este nebun la Dumnezeu este mai înţelept decât oamenii şi ceea ce este slab la Dumnezeu este mai tare decât oamenii. 26Căci

τοί, οὐ πολλοὶ εὐγενεῖς, 27ἀλλὰ τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς ἵνα τοὺς σοφοὺς καταισχύνῃ, καὶ τὰ ἀσθενῆ τοῦ κόσμου ἐξελέξατο ὁ Θεὸς ἵνα καταισχύνῃ τὰ ἰσχυρά, 28καὶ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ, 29ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ. 30ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, 31ἵνα, καθὼς γέγραπται, *ὁ καυχώμενος ἐν Κυρίῳ καυχάσθω.*

vedeți chemarea voastră, fraților, că nu mulți sunt înțelepți după trup, nu mulți puternici, nu mulți de neam bun; 27ci pe cele nebune ale lumii le-a ales Dumnezeu, ca pe cei înțelepți să-i ruşineze; şi pe cele slabe ale lumii le-a ales Dumnezeu, ca să ruşineze pe cele tari; 28şi pe cele de neam de jos ale lumii şi pe cele disprețuite le-a ales Dumnezeu, şi pe cele ce nu sunt, ca pe cele ce sunt să le surpe, 29ca să nu se laude nici un trup înaintea lui Dumnezeu. 30Şi din El sunteți voi în Hristos Iisus, Care ni S-a făcut nouă înțelepciune de la Dumnezeu, dreptate şi sfințire şi răscumpărare, 31pentru ca, precum este scris, *Cel ce se laudă în Domnul să se laude.*

Κεφάλαιον Β΄

Κἀγὼ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. 2οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον. 3καὶ ἐγὼ ἐν ἀσθενείᾳ καὶ ἐν φόβῳ καὶ ἐν τρόμῳ πολλῷ ἐγενόμην πρὸς ὑμᾶς, 4καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως, 5ἵνα ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ.

Σοφίαν δὲ λαλοῦμεν ἐν τοῖς τελείοις, σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων· 7ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην, ἣν προώρισεν

Capitolul 2

Şi eu, venind la voi, fraților, am venit nu întru înălțimea cuvântului sau a înțelepciunii vestindu-vă vouă mărturia lui Dumnezeu. 2Căci n-am socotit de cuviință să ştiu altceva între voi, decât pe Iisus Hristos, şi pe Acesta răstignit. 3Şi eu întru slăbiciune şi întru frică şi întru cutremur mare am fost la voi, 4şi cuvântul meu şi propovăduirea mea nu au fost prin cuvinte de înduplecare ale înțelepciunii omeneşti, ci prin dovedirea Duhului şi a puterii, 5pentru ca nu prin înțelepciunea oamenilor să fie credința voastră, ci prin puterea lui Dumnezeu.

Iar înțelepciune grăim celor desăvârşiți, dar nu înțelepciunea acestui veac, nici a stăpânitorilor acestui veac, care sunt pieritori, 7ci grăim înțelepciunea lui Dumnezeu întru taină, cea ascunsă, pe care a rânduit-o

ὁ Θεὸς πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, 8ἣν οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν· 9ἀλλὰ καθὼς γέγραπται, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. 10ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ· τὸ γὰρ Πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ. 11τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. 12ἡμεῖς δὲ οὐ τὸ Πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν. 13ἃ καὶ λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς Πνεύματος Ἁγίου, πνευματικοῖς πνευματικὰ συγκρίνοντες. 14ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστι, καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικῶς ἀνακρίνεται. 15ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. 16*τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτόν;* ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν.

Dumnezeu înaintea veacurilor spre slava noastră, 8pe care nici unul dintre stăpânitorii acestui veac n-a cunoscut-o; căci, dacă ar fi cunoscut-o, nu L-ar fi răstignit pe Domnul slavei; 9ci, precum este scris, Cele ce ochiul n-a văzut şi urechea n-a auzit şi la inima omului nu s-au suit, pe care Dumnezeu le-a gătit celor ce-L iubesc pe El. 10Iar nouă Dumnezeu ni le-a descoperit prin Duhul Lui; căci Duhul toate le cercetează, chiar şi adâncurile lui Dumnezeu. 11Căci cine dintre oameni ştie cele ale omului, afară de duhul omului, care este în el? Aşa şi pe cele ale lui Dumnezeu nimeni nu le ştie, afară de Duhul lui Dumnezeu. 12Iar noi nu duhul lumii l-am primit, ci Duhul cel de la Dumnezeu, ca să cunoaştem cele dăruite nouă de Dumnezeu; 13pe care le şi grăim, nu în cuvinte învăţate din înţelepciunea omenească, ci în cele învăţate de la Duhul Sfânt, prin cele duhovniceşti pe cele duhovniceşti lămurindu-le. 14Dar omul sufletesc nu primeşte cele ale Duhului lui Dumnezeu; căci nebunie îi sunt lui şi nu le poate cunoaşte, pentru că ele se judecă duhovniceşte. 15Iar cel duhovnicesc pe toate le judecă, dar el însuşi de nimeni nu este judecat; 16*căci Cine a cunoscut mintea Domnului, ca să-L înveţe pe El?* Noi însă mintea lui Hristos avem.

Κεφάλαιον Γ΄

Καὶ ἐγώ, ἀδελφοί, οὐκ ἠδυνήθην ὑμῖν λαλῆσαι ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ. 2γάλα ὑμᾶς ἐπότισα καὶ οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε. ἀλλ' οὔτε ἔτι νῦν δύνασθε· ἔτι

Capitolul 3

Şi eu, fraţilor, n-am putut să vă vorbesc ca unora duhovniceşti, ci ca unora trupeşti, ca unor prunci în Hristos. 2Cu lapte v-am hrănit şi nu cu mâncare, căci încă nu puteaţi, şi nici acum nu puteţi încă. Căci încă

γὰρ σαρκικοί ἐστε. 3ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; 4ὅταν γὰρ λέγῃ τις, ἐγὼ μέν εἰμι Παύλου, ἕτερος δὲ ἐγὼ Ἀπολλώ, οὐχὶ σαρκικοί ἐστε;

Τίς οὖν ἐστι Παῦλος, τίς δὲ Ἀπολλὼς ἀλλ' ἢ διάκονοι δι' ὧν ἐπιστεύσατε, καὶ ἑκάστῳ ὡς ὁ Κύριος ἔδωκεν; 6ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανεν· 7ὥστε οὔτε ὁ φυτεύων ἐστί τι οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων Θεός. 8ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν· ἕκαστος δέ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον. 9Θεοῦ γάρ ἐσμεν συνεργοί· Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε. 10Κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικα, ἄλλος δὲ ἐποικοδομεῖ· ἕκαστος δὲ βλεπέτω πῶς ἐποικοδομεῖ· 11θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός. 12εἰ δέ τις ἐποικοδομεῖ ἐπὶ τὸν θεμέλιον τοῦτον χρυσόν, ἄργυρον, λίθους τιμίους, ξύλα, χόρτον, καλάμην, 13ἑκάστου τὸ ἔργον φανερὸν γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει· ὅτι ἐν πυρὶ ἀποκαλύπτεται· καὶ ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι τὸ πῦρ δοκιμάσει. 14εἴ τινος τὸ ἔργον μενεῖ ὃ ἐπῳκοδόμησε, μισθὸν λήψεται· 15εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται, αὐτὸς δὲ σωθήσεται, οὕτως δὲ ὡς διὰ πυρός. 16Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; 17εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινές ἐστε ὑμεῖς. 18Μηδεὶς ἑαυτὸν ἐξαπατάτω· εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός. 19ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστι. γέγραπται γάρ· *ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν·* 20καὶ πά-

sunteți trupești. 3Căci câtă vreme sunt între voi pizmă și ceartă și dezbinări, nu sunteți, oare, trupești și omenește umblați? 4Căci, când zice unul: Eu sunt al lui Pavel, iar altul: Eu al lui Apolo, nu sunteți oare trupești?

Deci cine este Pavel, și cine Apolo, dacă nu slujitori prin care ați crezut, și după cum i-a dat Domnul fiecăruia? 6Eu am sădit, Apolo a udat, dar Dumnezeu a făcut să crească; 7astfel încât nici cel ce sădește nu este ceva, nici cel ce udă, ci numai Dumnezeu care face să crească. 8Cel ce sădește și cel ce udă una sunt și fiecare își va lua plata după osteneala sa. 9Căci noi suntem cu Dumnezeu împreună-lucrători; voi sunteți ogorul lui Dumnezeu, zidirea lui Dumnezeu. 10După harul lui Dumnezeu, cel dat mie, eu, ca un maimare-meșter înțelept, am pus temelie, iar altul zidește pe ea; și fiecare să vadă cum zidește; 11că altă temelie nimeni nu poate pune, afară de cea pusă, care este Iisus Hristos. 12Iar de zidește cineva pe această temelie: aur, argint, pietre scumpe, lemne, iarbă, trestie, 13lucrul fiecăruia se va face vădit; căci ziua îl va arăta; că în foc se descoperă; și focul va lămuri lucrul fiecăruia ce fel este. 14Dacă lucrul cuiva, pe care l-a zidit, va rămâne, va lua plată; 15dacă lucrul cuiva se va arde, el se va păgubi; dar el însuși se va mântui, așa însă ca prin foc. 16Nu știți că templu al lui Dumnezeu sunteți și că Duhul lui Dumnezeu locuiește în voi? 17Dacă cineva strică templul lui Dumnezeu, îl va strica pe acesta Dumnezeu; căci sfânt este templul lui Dumnezeu, care sunteți voi. 18Nimeni să nu se amăgească pe sine; dacă se crede cineva înțelept între voi în veacul acesta, să se facă nebun, ca să fie înțelept. 19Căci

λιν· *Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι.* 21ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις· πάντα γὰρ ὑμῶν ἐστιν, 22εἴτε Παῦλος εἴτε Ἀπολλῶς εἴτε Κηφᾶς εἴτε κόσμος εἴτε ζωὴ εἴτε θάνατος εἴτε ἐνεστῶτα εἴτε μέλλοντα, πάντα ὑμῶν ἐστιν, 23ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ.

înţelepciunea lumii acesteia este nebunie la Dumnezeu, căci scris este: *Cel ce prinde pe înţelepţi în viclenia lor;* 20şi iarăşi: *Domnul cunoaşte gândurile înţelepţilor, că sunt deşarte,* 21încât nimeni să nu se laude cu oameni; căci toate sunt ale voastre, 22fie Pavel, fie Apolo, fie Chefá, fie lumea, fie viaţa, fie moartea, fie cele de acum, fie cele viitoare, toate ale voastre sunt, 23iar voi ai lui Hristos; şi Hristos al lui Dumnezeu.

Κεφάλαιον Δ΄

Οὕτως ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους μυστηρίων Θεοῦ. 2ὧδε λοιπὸν ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ. 3ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας· ἀλλ' οὐδὲ ἐμαυτὸν ἀνακρίνω· 4οὐδέν γὰρ ἐμαυτῷ σύνοιδα· ἀλλ' οὐκ ἐν τούτῳ δεδικαίωμαι· ὁ δὲ ἀνακρίνων με Κύριός ἐστιν. 5ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος, ὃς καὶ φωτίσει τὰ κρυπτὰ τοῦ σκότους καὶ φανερώσει τὰς βουλὰς τῶν καρδιῶν, καὶ τότε ὁ ἔπαινος γενήσεται ἑκάστῳ ἀπὸ τοῦ Θεοῦ. 6Ταῦτα δέ, ἀδελφοί, μετεσχημάτισα εἰς ἐμαυτὸν καὶ Ἀπολλὼ δι' ὑμᾶς, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν, ἵνα μὴ εἷς ὑπὲρ τοῦ ἑνὸς φυσιοῦσθε κατὰ τοῦ ἑτέρου. 7τίς γάρ σε διακρίνει; τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; 8ἤδη κεκορεσμένοι ἐστέ, ἤδη ἐπλουτήσατε, χωρὶς ἡμῶν ἐβασιλεύσατε· καὶ ὄφελόν γε

Capitolul 4

Aşa să ne socotească pe noi omul, ca pe nişte slujitori ai lui Hristos şi iconomi ai tainelor lui Dumnezeu. 2Deci, ceea ce se cere mai mult de la iconomi este ca fiecare să fie aflat credincios. 3Iar mie prea puţin îmi este să fiu judecat de voi sau de o zi omenească; dar nici pe mine însumi nu mă judec; 4căci nu mă ştiu vinovat cu nimic; însă nu în aceasta m-am îndreptat; iar Cel ce mă judecă pe mine Domnul este. 5Astfel, nu judecaţi ceva înainte de vreme, până ce nu va veni Domnul, Care va şi lumina cele ascunse ale întunericului şi va vădi sfaturile inimilor. Şi atunci fiecare va avea lauda de la Dumnezeu. 6Şi acestea, fraţilor, le-am zis ca despre mine şi despre Apolo, pentru voi, ca prin noi să învăţaţi să nu cugetaţi peste ceea ce este scris, ca nu cumva vreunul dintre voi să se semeţească pentru unul împotriva altuia. 7Căci cine te face deosebit? Şi ce ai pe care

ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν. 9δοκῶ γὰρ ὅτι ὁ Θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν, ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ κόσμῳ, καὶ ἀγγέλοις καὶ ἀνθρώποις. 10ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. 11ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν 12καὶ κοπιῶμεν ἐργαζόμενοι ταῖς ἰδίαις χερσί· λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι ἀνεχόμεθα, 13βλασφημούμενοι παρακαλοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι. 14Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ' ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. 15ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. 16παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε. 17Διὰ τοῦτο ἔπεμψα ὑμῖν Τιμόθεον, ὅς ἐστι τέκνον μου ἀγαπητὸν καὶ πιστὸν ἐν Κυρίῳ, ὃς ὑμᾶς ἀναμνήσει τὰς ὁδούς μου τὰς ἐν Χριστῷ, καθὼς πανταχοῦ ἐν πάσῃ ἐκκλησίᾳ διδάσκω. 18Ὡς μὴ ἐρχομένου δέ μου πρὸς ὑμᾶς ἐφυσιώθησάν τινες· 19ἐλεύσομαι δὲ ταχέως πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ, καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν· 20οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει. 21τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πραότητος;

să nu-l fi primit? Iar dacă ai şi primit, de ce te lauzi ca şi cum n-ai fi primit? 8Deja sunteţi sătui; deja v-aţi îmbogăţit; fără noi aţi împărăţit; şi măcar de aţi fi împărăţit, ca şi noi să împărăţim împreună cu voi. 9Căci socotesc că Dumnezeu, pe noi, apostolii, ne-a arătat ca pe cei din urmă, ca pe nişte osândiţi la moarte, că ne-am făcut privelişte lumii, şi îngerilor şi oamenilor. 10Noi suntem nebuni pentru Hristos, voi însă înţelepţi întru Hristos; noi slabi, voi însă tari; voi întru slavă, noi însă întru necinste. 11Până în ceasul de acum şi flămânzim, şi însetăm, şi suntem goi, şi suntem bătuţi, şi pribegim, 12şi ne ostenim, lucrând cu mâinile noastre. Ocărâţi, binecuvântăm. Prigoniţi, răbdăm. 13Huliţi, mângâiem. Ca gunoaiele lumii ne-am făcut, a tuturor măturătură, până astăzi. 14Nu ca să vă ruşinez vă scriu acestea, ci ca să vă povăţuiesc ca pe nişte copii iubiţi ai mei. 15Căci mii de învăţători de aţi avea în Hristos, totuşi nu aveţi mulţi părinţi; pentru că în Hristos Iisus eu v-am născut prin Evanghelie. 16Vă rog, deci: Fiţi mie următori. 17Pentru aceasta vi l-am trimis pe Timotei, care este fiu al meu iubit şi credincios în Domnul, care vă va aduce aminte căile mele cele în Hristos, precum învăţ eu pretutindeni în toată Biserica. 18Iar unii, ca şi cum n-aş mai veni la voi, s-au semeţit. 19Dar voi veni degrabă la voi, dacă Domnul va voi, şi voi cunoaşte nu cuvântul celor ce s-au semeţit, ci puterea. 20Căci nu în cuvânt este Împărăţia lui Dumnezeu, ci în putere. 21Ce voiţi? Cu toiag să vin la voi, sau cu dragoste şi cu duhul blândeţii?

Κεφάλαιον Ε΄

Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία, ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. 2καὶ ὑμεῖς πεφυσιωμένοι ἐστέ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας. 3ἐγὼ μὲν γὰρ ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα ὡς παρὼν τὸν οὕτω τοῦτο κατεργασάμενον, 4ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ συναχθέντων ὑμῶν καὶ τοῦ ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ 5παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ. 6Οὐ καλὸν τὸ καύχημα ὑμῶν. οὐκ οἴδατε ὅτι μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ; 7ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθώς ἐστε ἄζυμοι. καὶ γὰρ τὸ πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός· 8ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας. 9Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι πόρνοις, 10καὶ οὐ πάντως τοῖς πόρνοις τοῦ κόσμου τούτου ἢ τοῖς πλεονέκταις ἢ ἅρπαξιν ἢ εἰδωλολάτραις· ἐπεὶ ὀφείλετε ἄρα ἐκ τοῦ κόσμου ἐξελθεῖν· 11νῦν δὲ ἔγραψα ὑμῖν μὴ συναναμίγνυσθαι ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ λοίδορος ἢ μέθυσος

Capitolul 5

Se tot aude că la voi este desfrânare, şi o astfel de desfrânare care nici între neamuri nu se pomeneşte, ca cineva să trăiască cu femeia tatălui său. 2Şi voi v-aţi semeţit, în loc să vă fi tânguit mai degrabă, ca să fie scos din mijlocul vostru cel care a făcut această faptă. 3Căci eu, ca unul care sunt departe cu trupul, dar de faţă cu duhul, am şi judecat, ca şi cum aş fi de faţă, pe cel ce a săvârşit una ca aceasta: 4În numele Domnului nostru Iisus Hristos, adunându-vă voi şi duhul meu, cu puterea Domnului nostru Iisus Hristos, 5să daţi pe unul ca acesta satanei, spre pieirea trupului, ca duhul să se mântuiască în ziua Domnului Iisus. 6Nu e bună lauda voastră. Nu ştiţi că puţin aluat dospeşte toată frământătura? 7Curăţiţi-vă deci de aluatul cel vechi, ca să fiţi frământătură nouă, precum sunteţi, fără aluat. Că Paştile nostru, Hristos, S-a jertfit pentru noi, 8încât să prăznuim nu cu aluatul cel vechi, nici cu aluatul răutăţii şi al vicleniei, ci cu azimele curăţiei şi ale adevărului. 9V-am scris în epistolă să nu vă amestecaţi cu desfrânaţii, 10şi, de bună seamă, nu cu desfrânaţii acestei lumi, sau cu lacomii, sau cu hrăpăreţii, sau cu închinătorii la idoli, căci atunci ar trebui să ieşiţi afară din lume; 11aşa că acum v-am scris să nu vă amestecaţi cu vreunul care, numindu-se frate, este des-

ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. 12τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν; οὐχὶ τοὺς ἔσω ὑμεῖς κρίνετε; 13τοὺς δὲ ἔξω ὁ Θεὸς κρίνει. καὶ *ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.*

frânat, sau lacom, sau închinător la idoli, sau defăimător, sau beţiv, sau hrăpăreţ; cu unul ca acesta nici să nu mâncaţi împreună. 12Căci ce am eu să-i judec şi pe cei din afară? Oare pe cei dinăuntru nu-i judecaţi voi? 13Iar pe cei din afară Dumnezeu îi judecă. *Scoateţi, dar, pe cel rău dintre voi.*

Κεφάλαιον ς΄

Τολμᾷ τις ὑμῶν, πρᾶγμα ἔχων πρὸς τὸν ἕτερον, κρίνεσθαι ἐπὶ τῶν ἀδίκων καὶ οὐχὶ ἐπὶ τῶν ἁγίων; 2οὐκ οἴδατε ὅτι οἱ ἅγιοι τὸν κόσμον κρινοῦσι; καὶ εἰ ἐν ὑμῖν κρίνεται ὁ κόσμος, ἀνάξιοί ἐστε κριτηρίων ἐλαχίστων; 3οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν; μήτι γε βιωτικά; 4βιωτικὰ μὲν οὖν κριτήρια ἐὰν ἔχητε, τοὺς ἐξουθενημένους ἐν τῇ ἐκκλησίᾳ τούτους καθίζετε. 5πρὸς ἐντροπὴν ὑμῖν λέγω. οὕτως οὐκ ἔνι ἐν ὑμῖν σοφὸς οὐδὲ εἷς ὃς δυνήσεται διακρῖναι ἀνὰ μέσον τοῦ ἀδελφοῦ αὐτοῦ, 6ἀλλὰ ἀδελφὸς μετὰ ἀδελφοῦ κρίνεται, καὶ τοῦτο ἐπὶ ἀπίστων; 7ἤδη μὲν οὖν ὅλως ἥττημα ὑμῖν ἐστιν ὅτι κρίματα ἔχετε μεθ' ἑαυτῶν. διατί οὐχὶ μᾶλλον ἀδικεῖσθε; διατί οὐχὶ μᾶλλον ἀποστερεῖσθε; 8ἀλλὰ ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς; 9ἢ οὐκ οἴδατε ὅτι ἄδικοι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι; μὴ πλανᾶσθε· οὔτε πόρνοι οὔτε εἰδωλολάτραι οὔτε μοιχοὶ οὔτε μαλακοὶ οὔτε ἀρσενοκοῖται 10οὔτε πλεονέκται οὔτε κλέπται οὔτε μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. 11καὶ ταῦτά τινες ἦτε· ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἡγιάσθητε, ἀλλὰ ἐδικαι-

Capitolul 6

Îndrăzneşte cineva dintre voi, având vreo pricină împotriva altuia, să se judece înaintea celor nedrepţi şi nu înaintea sfinţilor? 2Nu ştiţi că sfinţii vor judeca lumea? Şi dacă lumea este judecată prin voi, sunteţi oare nevrednici de judecăţile cele mai neînsemnate? 3Nu ştiţi că îngeri vom judeca? Cu cât mai mult cele lumeşti? 4Deci, dacă aveţi judecăţi lumeşti, pe cei neluaţi în seamă în biserică, pe aceştia puneţi-i să judece. 5Spre ruşinare vă zic. Oare nu este între voi nici un înţelept, care să poată judeca între frate şi frate, 6ci frate cu frate se judecă, şi aceasta înaintea necredincioşilor? 7Ba numai şi a avea judecăţi unii cu alţii este deja o cădere pentru voi. Pentru ce nu vă lăsaţi mai degrabă nedreptăţiţi? Pentru ce nu vă lăsaţi mai degrabă lipsiţi? 8Ci voi înşivă nedreptăţiţi şi lipsiţi pe alţii, şi încă pe fraţi. 9Sau nu ştiţi că cei nedrepţi nu vor moşteni Împărăţia lui Dumnezeu? Nu vă amăgiţi: nici desfrânaţii, nici închinătorii la idoli, nici adulterinii, nici stricaţii, nici sodomiţii, 10nici lacomii, nici furii, nici beţivii, nici defăimătorii, nici hrăpăreţii nu vor

ώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν.

Πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος. 13τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει. τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι· 14ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ. 15οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν μέλη Χριστοῦ ἐστιν; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη; μὴ γένοιτο. 16ἢ οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν; *ἔσονται γάρ,* φησίν, *οἱ δύο εἰς σάρκα μίαν*· 17ὁ δὲ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστι. 18φεύγετε τὴν πορνείαν. πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. 19ἢ οὐκ οἴδατε ὅτι τὸ σῶμα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; 20ἠγοράσθητε γὰρ τιμῆς· δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ Θεοῦ.

moşteni Împărăţia lui Dumnezeu. 11Şi aşa eraţi unii dintre voi. Dar v-aţi spălat, v-aţi sfinţit, v-aţi îndreptat în numele Domnului Iisus şi în Duhul Dumnezeului nostru.

Toate sunt în puterea mea, dar nu toate îmi sunt de folos. Toate sunt în puterea mea, dar nu mă voi lăsa stăpânit de ceva. 13Bucatele sunt pentru pântece şi pântecele pentru bucate; iar Dumnezeu şi pe unul, şi pe celelalte le va nimici. Trupul însă nu este pentru desfrânare, ci pentru Domnul, şi Domnul este pentru trup. 14Iar Dumnezeu şi pe Domnul L-a înviat, şi pe noi ne va învia prin puterea Sa. 15Nu ştiţi că trupurile voastre sunt mădulare ale lui Hristos? Luând deci mădularele lui Hristos le voi face oare mădularele unei desfrânate? Să nu fie! 16Sau nu ştiţi că cel ce se alipeşte de desfrânată este un trup cu ea? *Căci vor fi* – zice – *cei doi un trup.* 17Iar cel ce se alipeşte de Domnul este un duh cu El. 18Fugiţi de desfrânare! Tot păcatul pe care-l va face omul este în afară de trup, dar cel care se desfrânează păcătuieşte împotriva trupului său. 19Sau nu ştiţi că trupul vostru este templu al Duhului Sfânt Care este în voi, pe Care-L aveţi de la Dumnezeu, şi că voi nu sunteţi ai voştri? 20Căci aţi fost cumpăraţi cu preţ! Slăviţi, dar, pe Dumnezeu în trupul vostru şi în duhul vostru, care sunt ale lui Dumnezeu.

Κεφάλαιον Ζ΄

Περὶ δὲ ὧν ἐγράψατέ μοι, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· 2διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω. 3τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλομένην εὔνοιαν

Capitolul 7

Cât despre cele ce mi-aţi scris, bine este omului să nu se atingă de femeie. 2Dar din pricina desfrânărilor, fiecare să-şi aibă femeia sa şi fiecare femeie să-şi aibă bărbatul său. 3Bărbatul să-i dea femeii bunăvoirea

ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί.
4ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει,
ἀλλ' ὁ ἀνήρ· ὁμοίως δὲ καὶ ὁ ἀνὴρ τοῦ
ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ἡ γυνή.
5μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ
συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε τῇ
νηστείᾳ καὶ τῇ προσευχῇ· καὶ πάλιν ἐπὶ τὸ
αὐτὸ συνέρχησθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ
σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν. 6τοῦτο δὲ
λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν.
7θέλω γὰρ πάντας ἀνθρώπους εἶναι ὡς καὶ
ἐμαυτόν· ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει
ἐκ Θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως. 8Λέγω
δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν
αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ὡς κἀγώ. 9εἰ δὲ
οὐκ ἐγκρατεύονται, γαμησάτωσαν· κρεῖσ-
σον γάρ ἐστι γαμῆσαι ἢ πυροῦσθαι. 10τοῖς
δὲ γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγώ, ἀλλ' ὁ
Κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι·
11ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος ἢ τῷ
ἀνδρὶ καταλλαγήτω· καὶ ἄνδρα γυναῖκα μὴ
ἀφιέναι. 12τοῖς δὲ λοιποῖς ἐγὼ λέγω, οὐχ ὁ
Κύριος· εἴ τις ἀδελφὸς γυναῖκα ἔχει ἄπιστον,
καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ
ἀφιέτω αὐτήν· 13καὶ γυνὴ εἴ τις ἔχει ἄνδρα
ἄπιστον, καὶ αὐτὸς συνευδοκεῖ οἰκεῖν μετ'
αὐτῆς, μὴ ἀφιέτω αὐτόν. 14ἡγίασται γὰρ ὁ
ἀνὴρ ὁ ἄπιστος ἐν τῇ γυναικί, καὶ ἡγίασται ἡ
γυνὴ ἡ ἄπιστος ἐν τῷ ἀνδρί· ἐπεὶ ἄρα τὰ τέ-
κνα ὑμῶν ἀκάθαρτά ἐστι, νῦν δὲ ἅγιά ἐστιν.
15εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω. οὐ
δεδούλωται ὁ ἀδελφὸς ἢ ἡ ἀδελφὴ ἐν τοῖς
τοιούτοις. ἐν δὲ εἰρήνῃ κέκληκεν ὑμᾶς ὁ Θε-
ός. 16τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώ-
σεις; ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις;
17εἰ μὴ ἑκάστῳ ὡς ἐμέρισεν ὁ Θεός, ἕκαστον
ὡς κέκληκεν ὁ Κύριος, οὕτω περιπατείτω.
καὶ οὕτως ἐν ταῖς ἐκκλησίαις πάσαις δια-
τάσσομαι. 18περιτετμημένος τις ἐκλήθη; μὴ
ἐπισπάσθω. ἐν ἀκροβυστίᾳ τις ἐκλήθη; μὴ

datorată, asemenea şi femeia bărbatului.
4Femeia nu este stăpână peste trupul său,
ci bărbatul; asemenea nici bărbatul nu este
stăpân peste trupul său, ci femeia. 5Să nu vă
lipsiţi unul de altul, decât poate cu învoială,
pentru o vreme, ca să vă îndeletniciţi cu pos-
tul şi cu rugăciunea; şi iarăşi să fiţi împreu-
nă, ca să nu vă ispitească satana din pricina
neînfrânării voastre. 6Şi aceasta o spun ca
pogorământ, nu ca poruncă. 7Căci eu vreau
ca toţi oamenii să fie cum sunt eu însumi; dar
fiecare are darul lui de la Dumnezeu: unul
aşa, altul într-alt fel. 8Şi celor necăsătoriţi şi
văduvelor le spun: Bine le este dacă rămân
ca şi mine. 9Dacă însă nu se înfrânează, să se
căsătorească; căci mai bine este să se căsăto-
rească, decât să ardă. 10Iar celor ce sunt că-
sătoriţi, le poruncesc, nu eu, ci Domnul: Fe-
meia să nu se despartă de bărbat! 11Iar dacă
se va şi despărţi, să rămână nemăritată sau
să se împace cu bărbatul; şi nici bărbatul să
nu-şi lase femeia. 12Iar celorlalţi eu le spun,
nu Domnul: Dacă un frate are femeie ne-
credincioasă şi ea binevoieşte să locuiască
cu el, să nu o părăsească. 13Iar femeia, dacă
are bărbat necredincios şi el binevoieşte să
locuiască cu ea, să nu-l părăsească. 14Căci
bărbatul necredincios se sfinţeşte prin feme-
ie, şi femeia necredincioasă se sfinţeşte prin
bărbat. Altminteri, copiii voştri ar fi necu-
raţi, dar aşa sunt sfinţi. 15Dacă însă necredin-
ciosul se desparte, să se despartă. Nu este
înrobit fratele sau sora în unele ca aces-
tea. Căci Dumnezeu ne-a chemat spre pace.
16Căci ce ştii, femeie? Dacă îţi vei mântui
bărbatul? Sau ce ştii, bărbate? Dacă îţi vei
mântui femeia? 17Atât numai: aşa cum a îm-
părţit Dumnezeu fiecăruia, aşa cum l-a che-
mat Dumnezeu pe fiecare, aşa să şi umble.
Şi astfel poruncesc în toate Bisericile. 18A

περιτεμνέσθω. 19ἡ περιτομὴ οὐδέν ἐστι, καὶ
ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐν-
τολῶν Θεοῦ. 20ἕκαστος ἐν τῇ κλήσει ᾗ ἐκλήθη,
ἐν ταύτῃ μενέτω. 21δοῦλος ἐκλήθης; μή σοι με-
λέτω· ἀλλ᾽ εἰ καὶ δύνασαι ἐλεύθερος γενέσθαι,
μᾶλλον χρῆσαι. 22ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς
δοῦλος ἀπελεύθερος Κυρίου ἐστίν· ὁμοίως
καὶ ὁ ἐλεύθερος κληθεὶς δοῦλός ἐστι Χρι-
στοῦ. 23τιμῆς ἠγοράσθητε· μὴ γίνεσθε δοῦλοι
ἀνθρώπων. 24ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοί,
ἐν τούτῳ μενέτω παρὰ τῷ Θεῷ.

Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου
οὐκ ἔχω, γνώμην δὲ δίδωμι ὡς ἠλεημένος
ὑπὸ Κυρίου πιστὸς εἶναι. 26νομίζω οὖν τοῦτο
καλὸν ὑπάρχειν διὰ τὴν ἐνεστῶσαν ἀνάγκην,
ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι. 27δέδεσαι
γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναι-
κός; μὴ ζήτει γυναῖκα· 28ἐὰν δὲ καὶ γήμῃς,
οὐχ ἥμαρτες· καὶ ἐὰν γήμῃ ἡ παρθένος, οὐχ
ἥμαρτε· θλῖψιν δὲ τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦ-
τοι· ἐγὼ δὲ ὑμῶν φείδομαι. 29τοῦτο δέ φημι,
ἀδελφοί, ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν
ἐστιν, ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ
ἔχοντες ὦσι, 30καὶ οἱ κλαίοντες ὡς μὴ κλαί-
οντες, καὶ οἱ χαίροντες ὡς μὴ χαίροντες, καὶ
οἱ ἀγοράζοντες ὡς μὴ κατέχοντες, 31καὶ οἱ
χρώμενοι τῷ κόσμῳ τούτῳ ὡς μὴ καταχρώ-
μενοι· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου
τούτου. 32θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι. ὁ
ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσει
τῷ Κυρίῳ· 33ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ
κόσμου, πῶς ἀρέσει τῇ γυναικί. 34μεμέρισται
καὶ ἡ γυνὴ καὶ ἡ παρθένος. ἡ ἄγαμος μεριμνᾷ
τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ
πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κό-

fost cineva chemat fiind tăiat-împrejur? Să
nu încerce să ascundă. A fost cineva che-
mat întru netăiere-împrejur? Să nu se taie
împrejur. 19Tăierea-împrejur nimic nu este;
şi netăierea-împrejur nimic nu este, ci ţine-
rea poruncilor lui Dumnezeu. 20Fiecare, în
chemarea în care a fost chemat, în aceasta
să rămână. 21Ai fost chemat rob? Fii fără
grijă. Ci, chiar de poţi ajunge liber, mai vâr-
tos rămâi în supunere! 22Căci robul care a
fost chemat în Domnul, este un eliberat al
Domnului; asemenea şi cel liber, care este
chemat este rob al lui Hristos. 23Cu preţ aţi
fost cumpăraţi. Nu vă faceţi robi ai oamenil-
lor. 24Fiecare în ceea ce a fost chemat, fraţil-
lor, în aceasta să rămână la Dumnezeu.

Iar despre fecioare, poruncă a Domnului
nu am, dar vă dau sfatul meu, ca unul care
am fost miluit de Domnul să fiu vrednic de
crezare. 26Socotesc deci că aceasta este bine
pentru nevoia de faţă, căci bine este omului
să fie aşa. 27Te-ai legat cu femeie? Nu cău-
ta dezlegare. Te-ai dezlegat de femeie? Nu
căuta femeie. 28Dacă însă te-ai însurat, n-ai
păcătuit; şi dacă fecioara s-a măritat, n-a pă-
cătuit. Numai că unii ca aceştia vor avea ne-
caz în trup. Iar eu vă cruţ pe voi. 29Şi aceasta
o spun, fraţilor: Vremea s-a scurtat de acum,
ca şi cei care au femei să fie ca şi cum n-ar
avea, 30şi cei ce plâng să fie ca şi cum n-ar
plânge, şi cei ce se bucură ca şi cum nu s-ar
bucura, şi cei ce cumpără ca şi cum n-ar avea
în stăpânire, 31şi cei ce se folosesc de lumea
aceasta ca şi cum nu s-ar folosi deplin de ea.
Căci trece chipul lumii acesteia. 32Şi vreau
ca voi să fiţi fără grijă. Cel necăsătorit se în-
grijeşte de cele ale Domnului, cum să placă
Domnului; 33iar cel ce s-a căsătorit se îngri-
jeşte de cele ale lumii, cum să placă femeii.
34Se deosebeşte şi femeia, şi fecioara. Cea ne-

σμου, πῶς ἀρέσει τῷ ἀνδρί. 35τοῦτο δὲ πρὸς τὸ ὑμῶν αὐτῶν συμφέρον λέγω, οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω, ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπάρεδρον τῷ Κυρίῳ ἀπερισπάστως. 36Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει, ἐὰν ᾖ ὑπέρακμος, καὶ οὕτως ὀφείλει γίνεσθαι, ὃ θέλει ποιείτω· οὐχ ἁμαρτάνει· γαμείτωσαν. 37ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ, μὴ ἔχων ἀνάγκην, ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος, καὶ τοῦτο κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ, τοῦ τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιεῖ. 38ὥστε καὶ ὁ ἐκγαμίζων καλῶς ποιεῖ, ὁ δὲ μὴ ἐκγαμίζων κρεῖσσον ποιεῖ. 39Γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι, μόνον ἐν Κυρίῳ. 40μακαριωτέρα δέ ἐστιν ἐὰν οὕτω μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην· δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν.

măritată se îngrijeşte de cele ale Domnului, ca să fie sfântă şi cu trupul şi cu duhul; iar cea măritată se îngrijeşte de cele ale lumii, cum să placă bărbatului. 35Şi aceasta spre folosul vostru înşivă o spun, nu ca să vă pun frâu, ci spre buna-cuviinţă şi stăruirea lângă Domnul, fără risipire. 36Iar dacă cineva socoteşte că aduce necinste asupra fecioarei lui dacă trece de floarea vârstei, şi astfel trebuie să fie, facă ce voieşte. Nu păcătuieşte; să o mărite. 37Dar cel ce stă neclintit în inimă, fără să aibă vreo trebuinţă – ci e stăpân peste voia sa – şi aceasta a judecat în inima sa, să-şi ţină fecioara, bine face. 38Aşa că şi cel ce o mărită bine face, dar cel ce n-o mărită mai bine face. 39Femeia este legată prin lege atâta vreme cât trăieşte bărbatul ei. Iar dacă moare bărbatul ei, este liberă să se mărite cu cine voieşte, numai întru Domnul. 40Dar mai fericită este dacă rămâne aşa, după sfatul meu. Şi socot că şi eu am Duhul lui Dumnezeu.

Κεφάλαιον Η΄

Περὶ δὲ τῶν εἰδωλοθύτων, οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν. ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. 2εἴ δέ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε καθὼς δεῖ γνῶναι· 3εἰ δέ τις ἀγαπᾷ τὸν Θεόν, οὗτος ἔγνωσται ὑπ' αὐτοῦ. 4Περὶ τῆς βρώσεως οὖν τῶν εἰδωλοθύτων οἴδαμεν ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, καί ὅτι οὐδεὶς Θεὸς ἕτερος εἰ μὴ εἷς. 5καὶ γὰρ εἴπερ εἰσὶ λεγόμενοι θεοὶ εἴτε ἐν οὐρανῷ εἴτε ἐπὶ τῆς γῆς, ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοί, 6ἀλλ' ἡμῖν εἷς Θεὸς ὁ πατήρ, ἐξ οὗ τὰ πάντα καὶ ἡμεῖς εἰς αὐ-

Capitolul 8

Cât despre cele jertfite idolilor, ştim că toţi avem cunoştinţă. 2Cunoştinţa semeţeşte, dar iubirea zideşte. Iar dacă cineva socoteşte că ştie ceva, încă n-a cunoscut nimic aşa cum trebuie să cunoască; 3dar dacă cineva Îl iubeşte pe Dumnezeu, acela este cunoscut de El. 4Deci despre mâncarea celor jertfite idolilor, ştim că idolul nu este nimic în lume şi că nu este nici un alt Dumnezeu decât Unul. 5Căci deşi sunt aşa-zişi dumnezei, fie în cer, fie pe pământ, – precum sunt dumnezei mulţi şi domni mulţi –, 6totuşi,

τόν, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι' οὗ τὰ πάντα καὶ ἡμεῖς δι' αὐτοῦ. 7Ἀλλ' οὐκ ἐν πᾶσιν ἡ γνῶσις· τινὲς δὲ τῇ συνειδήσει τοῦ εἰδώλου ἕως ἄρτι ὡς εἰδωλόθυτον ἐσθίουσι, καὶ ἡ συνείδησις αὐτῶν ἀσθενὴς οὖσα μολύνεται. 8βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ· οὔτε γὰρ ἐὰν φάγωμεν περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν ὑστερούμεθα. 9βλέπετε δὲ μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν. 10ἐὰν γάρ τις ἴδῃ σε, τὸν ἔχοντα γνῶσιν, ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ ἀσθενοῦς ὄντος οἰκοδομηθήσεται εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; 11καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χριστὸς ἀπέθανεν. 12οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν εἰς Χριστὸν ἁμαρτάνετε. 13διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω.

pentru noi, este un singur Dumnezeu, Tatăl, din Care sunt toate şi noi spre El; şi un singur Domn, Iisus Hristos, prin Care sunt toate şi noi prin El. 7Dar nu este în toţi cunoştinţa; şi unii, cu conştiinţa de până acum a idolului, le mănâncă drept jertfe aduse idolilor, şi conştiinţa lor, slabă fiind, se întinează. 8Mâncarea nu ne pune înaintea lui Dumnezeu. Că nici dacă mâncăm nu prisosim, nici dacă nu mâncăm nu ne lipsim. 9Vedeţi însă ca nu cumva puterea aceasta a voastră să se facă poticnire celor slabi. 10Căci, dacă te vede cineva pe tine, cel ce ai cunoaştere, şezând la masă în templul idolesc, oare conştiinţa lui, slab fiind el, nu-şi va zidi temei ca să mănânce cele jertfite idolilor? 11Şi, din pricina cunoaşterii tale, va pieri fratele tău cel slab, pentru care a murit Hristos! 12Şi aşa, păcătuind faţă de fraţi şi lovind conştiinţa lor cea slabă, păcătuiţi faţă de Hristos. 13De aceea, dacă o mâncare îl sminteşte pe fratele meu, nu voi mânca în veac carne, ca să nu-l smintesc pe fratele meu.

Κεφάλαιον Θ΄

Οὐκ εἰμὶ ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ; 2εἰ ἄλλοις οὐκ εἰμὶ ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμι· ἡ γὰρ σφραγὶς τῆς ἐμῆς ἀποστολῆς ὑμεῖς ἐστε ἐν Κυρίῳ. 3ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν αὕτη ἐστί. 4Μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; 5μὴ οὐκ

Capitolul 9

Nu sunt eu apostol? Nu sunt eu liber? N-am văzut eu pe Iisus Hristos, Domnul nostru? Nu sunteţi voi lucrul meu în Domnul? 2Dacă altora nu le sunt apostol, vouă negreşit vă sunt; căci voi sunteţi pecetea apostoliei mele în Domnul. 3Apărarea mea către cei ce mă judecă aceasta este. 4Nu stă în puterea noastră să mâncăm

ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου καὶ Κηφᾶς; 6ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν τοῦ μὴ ἐργάζεσθαι; 7τίς στρατεύεται ἰδίοις ὀψωνίοις ποτέ; τίς φυτεύει ἀμπελῶνα καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει; ἢ τίς ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ γάλακτος τῆς ποίμνης οὐκ ἐσθίει; 8Μὴ κατὰ ἄνθρωπον ταῦτα λαλῶ; ἢ οὐχὶ καὶ ὁ νόμος ταῦτα λέγει; 9ἐν γὰρ τῷ Μωσέως νόμῳ γέγραπται· *οὐ φιμώσεις βοῦν ἀλοῶντα.* μὴ τῶν βοῶν μέλει τῷ Θεῷ; 10ἢ δι' ἡμᾶς πάντως λέγει; δι' ἡμᾶς γὰρ ἐγράφη, ὅτι ἐπ' ἐλπίδι ὀφείλει ὁ ἀροτριῶν ἀροτριᾶν, καὶ ὁ ἀλοῶν τῆς ἐλπίδος αὐτοῦ μετέχειν ἐπ' ἐλπίδι. 11Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν; 12εἰ ἄλλοι τῆς ἐξουσίας ὑμῶν μετέχουσιν, οὐ μᾶλλον ἡμεῖς; ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ, ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐγκοπήν τινα δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ. 13οὐκ οἴδατε ὅτι οἱ τὰ ἱερὰ ἐργαζόμενοι ἐκ τοῦ ἱεροῦ ἐσθίουσιν, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες τῷ θυσιαστηρίῳ συμμερίζονται; 14οὕτω καὶ ὁ Κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ εὐαγγελίου ζῆν. 15ἐγὼ δὲ οὐδενὶ ἐχρησάμην τούτων. Οὐκ ἔγραψα δὲ ταῦτα ἵνα οὕτω γένηται ἐν ἐμοί· καλὸν γάρ μοι μᾶλλον ἀποθανεῖν ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ. 16ἐὰν γὰρ εὐαγγελίζωμαι, οὐκ ἔστι μοι καύχημα· ἀνάγκη γάρ μοι ἐπίκειται· οὐαὶ δέ μοί ἐστιν ἐὰν μὴ εὐαγγελίζωμαι· 17εἰ γὰρ ἑκὼν τοῦτο πράσσω, μισθὸν ἔχω· εἰ δὲ ἄκων, οἰκονομίαν πεπίστευμαι. 18τίς οὖν μοι ἐστὶν ὁ μισθός; ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, εἰς τὸ μὴ καταχρήσασθαι τῇ ἐξουσίᾳ μου ἐν τῷ εὐαγγελίῳ. 19Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας

şi să bem? 5Nu stă în puterea noastră să purtăm cu noi o femeie soră, ca şi ceilalţi apostoli şi ca fraţii Domnului şi Chefá? 6Sau numai eu şi Barnaba nu avem putere să nu lucrăm? 7Cine vreodată merge la oaste cu solda lui? Cine sădeşte vie şi nu mănâncă din rodul ei? Sau cine paşte turmă şi nu mănâncă din laptele turmei? 8Oare omeneşte grăiesc eu acestea? Nu le spune oare şi Legea? 9Căci în Legea lui Moise este scris: *Să nu legi gura boului care treieră.* Oare de boi Se îngrijeşte Dumnezeu? 10Sau cu adevărat pentru noi grăieşte? De bună seamă pentru noi s-a scris, că cel ce ară trebuie să are cu nădejde, şi cel ce treieră, cu nădejdea că va avea parte de nădejdea lui. 11Dacă noi v-am semănat vouă cele duhovniceşti, mare lucru este dacă secerăm cele trupeşti ale voastre? 12Dacă alţii au parte de putere asupra voastră, nu mai mult noi? Dar nu ne-am folosit de puterea aceasta, ci toate le răbdăm, ca să nu punem vreo piedică Evangheliei lui Hristos. 13Nu ştiţi că cei care lucrează cele sfinte mănâncă din templu, că cei ce slujesc la jertfelnic au parte din cele ale jertfelnicului? 14Tot aşa a poruncit şi Domnul celor ce propovăduiesc Evanghelia să trăiască din Evanghelie. 15Dar eu nu m-am folosit de nimic din acestea. Şi nu am scris acestea ca să se facă aşa cu mine; că mai bine îmi este să mor decât să îmi facă cineva deşartă lauda. 16Că, dacă binevestesc, nu-mi este laudă, pentru că asupra mea stă trebuinţa – şi vai mie dacă nu binevestesc! – 17Căci dacă de bunăvoie fac aceasta, am plată; iar dacă fără voie, iconomie mi s-a încredinţat. 18Care îmi este aşadar plata? Ca, binevestind, să dau fără plată Evanghelia lui Hristos, ca să nu mă folosesc peste măsură de puterea mea cea

κερδήσω· 20καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω· 21τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ, ἵνα κερδήσω ἀνόμους· 22ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενής, ἵνα τοὺς ἀσθενεῖς κερδήσω· τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω. 23Τοῦτο δὲ ποιῶ διὰ τὸ εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι. 24οὐκ οἴδατε ὅτι οἱ ἐν σταδίῳ τρέχοντες πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; οὕτω τρέχετε, ἵνα καταλάβητε. 25πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται, ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. 26ἐγὼ τοίνυν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως, οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων, 27ἀλλ' ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι.

din Evanghelie. 19Căci liber fiind față de toți, tuturor pe mine m-am robit, ca să-i câștig pe cei mai mulți; 20şi m-am făcut iudeilor ca un iudeu, ca să-i câştig pe iudei; celor de sub Lege ca unul de sub Lege, ca să-i câştig pe cei de sub Lege; 21celor fără Lege ca unul fără Lege, nefiind fără lege la Dumnezeu, ci în lege la Hristos, ca să-i câştig pe cei fără Lege; 22m-am făcut celor slabi ca unul slab, ca să-i câştig pe cei slabi; tuturor m-am făcut toate, ca în tot chipul pe unii să-i mântuiesc. 23Şi fac aceasta pentru Evanghelie, ca să mă fac împreună-părtaş la ea. 24Nu ştiți că cei care aleargă în stadion, toți aleargă, dar numai unul ia premiul? Aşa să alergați, ca să-l luați. 25Şi tot cel ce se luptă se înfrânează de la toate: aceia, dar, ca să ia cunună stricăcioasă, iar noi, nestricăcioasă. 26Eu, deci, aşa alerg, nu ca la întâmplare; aşa lovesc cu pumnul, nu ca şi când aş bate aerul, 27ci îmi nevoiesc trupul şi îl supun robiei, ca nu cumva, altora propovăduind, eu însumi să fiu neîncercat.

Κεφάλαιον Ι΄

Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι οἱ πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, 2καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, 3καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, 4καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν

Capitolul 10

Căci nu voiesc să nu ştiți, fraților, că părinții noştri toți au fost sub nor şi toți au trecut prin mare; 2şi toți, întru Moise, s-au botezat în nor şi în mare; 3şi toți aceeaşi mâncare duhovnicească au mâncat; 4şi toți aceeaşi băutură duhovnicească au băut; că beau din piatra duhovnicească care urma, iar piatra era Hristos. 5Dar în cei mai mulți dintre ei nu a binevoit Dumnezeu;

ὁ Χριστὸς. 5ἀλλ' οὐκ ἐν τοῖς πλείοσιν αὐτῶν
εὐδόκησεν ὁ Θεός· κατεστρώθησαν γὰρ ἐν
τῇ ἐρήμῳ. 6Ταῦτα δὲ τύποι ἡμῶν ἐγενήθη-
σαν, εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κα-
κῶν, καθὼς κἀκεῖνοι ἐπεθύμησαν. 7μηδὲ
εἰδωλολάτραι γίνεσθε, καθώς τινες αὐτῶν,
ὡς γέγραπται· *ἐκάθισεν ὁ λαὸς φαγεῖν
καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν.* 8μηδὲ
πορνεύωμεν, καθώς τινες αὐτῶν ἐπόρνευ-
σαν καὶ ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς
χιλιάδες. 9μηδὲ ἐκπειράζωμεν τὸν Χριστόν,
καθὼς καί τινες αὐτῶν ἐπείρασαν καὶ ὑπὸ
τῶν ὄφεων ἀπώλοντο. 10μηδὲ γογγύζετε,
καθὼς καί τινες αὐτῶν ἐγόγγυσαν καὶ
ἀπώλοντο ὑπὸ τοῦ ὀλοθρευτοῦ. 11ταῦτα δὲ
πάντα τύποι συνέβαινον ἐκείνοις, ἐγράφη
δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη
τῶν αἰώνων κατήντησεν. 12Ὥστε ὁ δοκῶν
ἑστάναι βλεπέτω μὴ πέσῃ. 13πειρασμὸς ὑμᾶς
οὐκ εἴληφεν εἰ μὴ ἀνθρώπινος· πιστὸς δὲ ὁ
Θεός, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ
δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ
τὴν ἔκβασιν τοῦ δύνασθαι ὑμᾶς ὑπενεγκεῖν.
14Διόπερ, ἀγαπητοί μου, φεύγετε ἀπὸ τῆς
εἰδωλολατρίας. 15ὡς φρονίμοις λέγω· κρίνατε
ὑμεῖς ὃ φημι. 16τὸ ποτήριον τῆς εὐλογίας ὃ
εὐλογοῦμεν, οὐχὶ κοινωνία τοῦ αἵματος
τοῦ Χριστοῦ ἐστι; τὸν ἄρτον ὃν κλῶμεν,
οὐχὶ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ
ἐστιν; 17ὅτι εἷς ἄρτος, ἓν σῶμα οἱ πολλοί
ἐσμεν· οἱ γὰρ πάντες ἐκ τοῦ ἑνὸς ἄρτου
μετέχομεν. 18βλέπετε τὸν Ἰσραὴλ κατὰ σάρ-
κα· οὐχὶ οἱ ἐσθίοντες τὰς θυσίας κοινωνοὶ
τοῦ θυσιαστηρίου εἰσί; 19τί οὖν φημί; ὅτι
εἴδωλόν τι ἐστιν; ἢ ὅτι εἰδωλόθυτόν τί ἐστιν;
20ἀλλ' ὅτι ἃ θύει τὰ ἔθνη, δαιμονίοις θύει
καὶ οὐ Θεῷ· οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν
δαιμονίων γίνεσθαι. 21οὐ δύνασθε ποτήρι-
ον Κυρίου πίνειν καὶ ποτήριον δαιμονίων·
οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν καὶ

căci li s-au aşternut oasele în pustie. 6Şi
acestea chipuri nouă s-au făcut, ca să nu fim
poftitori de rele, precum şi aceia au poftit;
7nici să nu vă faceţi închinători la idoli, ca
unii dintre ei, precum este scris: *Şezut-a po-
porul să mănânce şi să bea, şi s-au sculat să
joace;* 8nici să ne desfrânăm, precum s-au
desfrânat unii dintre ei şi au căzut într-o zi
douăzeci şi trei de mii; 9nici să-L ispitim pe
Hristos, precum şi unii dintre ei L-au ispitit
şi au pierit de şerpi; 10nici să cârtiţi, precum
au cârtit unii dintre ei şi au fost daţi pieirii
de către nimicitorul. 11Şi acestea toate li se
întâmplau acelora ca preînchipuiri şi s-au
scris spre povăţuirea noastră, la care au
ajuns sfârşiturile veacurilor. 12Astfel că, cel
căruia i se pare că stă să ia seama să nu cadă.
13Ispită nu v-a cuprins, decât una omenea-
scă. Dar credincios este Dumnezeu, Care nu
va îngădui să fiţi ispitiţi mai mult decât pu-
teţi, ci, odată cu ispita, va lucra şi ieşirea
din ea, ca să puteţi răbda. 14De aceea, iu-
biţii mei, fugiţi de închinarea la idoli. 15Ca
unor înţelepţi vă vorbesc. Judecaţi voi înşi-
vă ce spun. 16Paharul binecuvântării, pe ca-
re-l binecuvântăm, nu este, oare, împărtăşi-
rea cu sângele lui Hristos? Pâinea pe care o
frângem nu este, oare, împărtăşirea cu tru-
pul lui Hristos? 17Că o pâine, un trup sun-
tem noi, cei mulţi, căci toţi ne împărtăşim
dintr-o pâine. 18Priviţi pe Israel cel după
trup; cei care mănâncă jertfele nu sunt păr-
taşi jertfelnicului? 19Ce spun, dar? Că ido-
lul este ceva? Sau că ce s-a jertfit idolului
este ceva? 20Nu, ci că cele pe care neamu-
rile le jertfesc, dracilor le jertfesc şi nu lui
Dumnezeu; şi nu voiesc ca voi să vă faceţi
părtaşi dracilor. 21Nu puteţi să beţi paha-
rul Domnului şi paharul dracilor; nu puteţi
să vă împărtăşiţi din masa Domnului şi din

τραπέζης δαιμονίων. 22ἢ παραζηλοῦμεν τὸν Κύριον; μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;

Πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ᾽ οὐ πάντα οἰκοδομεῖ. 24μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ τὸ τοῦ ἑτέρου ἕκαστος. 25Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν· 26*τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.* 27εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν. 28ἐὰν δέ τις ὑμῖν εἴπῃ, τοῦτο εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε δι᾽ ἐκεῖνον τὸν μηνύσαντα καὶ τὴν συνείδησιν· *τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.* 29συνείδησιν δὲ λέγω οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου. ἱνατί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; 30εἰ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; 31Εἴτε οὖν ἐσθίετε εἴτε πίνετε εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε. 32ἀπρόσκοποι γίνεσθε καὶ Ἰουδαίοις καὶ Ἕλλησι καὶ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, 33καθὼς κἀγὼ πάντα πᾶσιν ἀρέσκω, μὴ ζητῶν τὸ ἐμαυτοῦ συμφέρον, ἀλλὰ τὸ τῶν πολλῶν, ἵνα σωθῶσι.

masa dracilor. 22Sau stârnim spre gelozie pe Domnul? Oare suntem mai tari decât El?

Toate sunt în puterea mea, dar nu toate îmi sunt de folos. Toate sunt în puterea mea, dar nu toate zidesc. 24Nimeni să nu caute ale sale, ci fiecare pe ale celuilalt. 25Mâncați tot ce se vinde în măcelărie, neîntrebând nimic, pentru conștiință. 26*Căci al Domnului este pământul și plinirea lui.* 27Și dacă cineva dintre necredincioși vă cheamă și voiți să mergeți, mâncați orice vi se pune înainte, necercetând nimic, pentru conștiință. 28Dar, dacă cineva vă va spune: Aceasta este jertfă adusă idolilor!, să nu mâncați, pentru acela care v-a înștiințat și pentru conștiință; *căci al Domnului este pământul și plinirea lui.* 29Și conștiința, zic, nu a ta, ci a celuilalt. Căci de ce libertatea mea să fie judecată de o altă conștiință? 30Dacă eu mă împărtășesc prin har, de ce să fiu hulit pentru ceea ce aduc mulțumire? 31Așadar, fie că mâncați, fie că beți, fie că altceva faceți, toate faceți-le spre slava lui Dumnezeu. 32Nu fiți poticnire nici iudeilor, nici elinilor, nici Bisericii lui Dumnezeu, 33precum și eu mă fac plăcut tuturor în toate, necăutând folosul meu, ci pe al celor mulți, ca să se mântuiască.

Κεφάλαιον ΙΑ΄

Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ. 2Ἐπαινῶ δὲ ὑμᾶς, ἀδελφοί, ὅτι πάντα μου μέμνησθε καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις κατέχετε. 3θέλω δὲ ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι, κεφαλὴ

Capitolul 11

Fiți mie următori, precum și eu sunt lui Hristos. 2Și vă laud pe voi, fraților, că în toate vă aduceți aminte de mine și țineți predaniile așa cum vi le-am dat. 3Și voiesc ca voi să știți că Hristos este capul oricărui bărbat, iar bărbatul este cap femeii, iar capul lui

δὲ γυναικὸς ὁ ἀνήρ, κεφαλὴ δὲ Χριστοῦ ὁ Θεός. 4πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων καταισχύνει τὴν κεφαλὴν αὐτοῦ. 5πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς· ἓν γάρ ἐστι καὶ τὸ αὐτὸ τῇ ἐξυρημένῃ. 6εἰ γὰρ οὐ κατακαλύπτεται γυνή, καὶ κειράσθω· εἰ δὲ αἰσχρὸν γυναικὶ τὸ κείρασθαι ἢ ξυρᾶσθαι, κατακαλυπτέσθω. 7ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. 8οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ ἐξ ἀνδρός· 9καὶ γὰρ οὐκ ἐκτίσθη ἀνὴρ διὰ τὴν γυναῖκα, ἀλλὰ γυνὴ διὰ τὸν ἄνδρα. 10διὰ τοῦτο ὀφείλει ἡ γυνὴ ἐξουσίαν ἔχειν ἐπὶ τῆς κεφαλῆς διὰ τοὺς ἀγγέλους. 11πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικὸς οὔτε γυνὴ χωρὶς ἀνδρὸς ἐν Κυρίῳ· 12ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἀνδρός, οὕτω καὶ ὁ ἀνὴρ διὰ τῆς γυναικός, τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ. 13ἐν ὑμῖν αὐτοῖς κρίνατε· πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι; 14ἢ οὐδὲ αὐτὴ ἡ φύσις διδάσκει ὑμᾶς ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστι, 15γυνὴ δὲ ἐὰν κομᾷ, δόξα αὐτῇ ἐστιν; ὅτι ἡ κόμη ἀντὶ περιβολαίου δέδοται αὐτῇ. 16Εἰ δέ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὐδὲ αἱ ἐκκλησίαι τοῦ Θεοῦ.

Τοῦτο δὲ παραγγέλλων οὐκ ἐπαινῶ ὅτι οὐκ εἰς τὸ κρεῖττον, ἀλλ' εἰς τὸ ἧττον συνέρχεσθε. 18πρῶτον μὲν γὰρ συνερχομένων ὑμῶν ἐν ἐκκλησίᾳ ἀκούω σχίσματα ἐν ὑμῖν ὑπάρχειν, καὶ μέρος τι πιστεύω· 19δεῖ γὰρ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται ἐν ὑμῖν. 20συνερχομένων οὖν ὑμῶν ἐπὶ τὸ αὐτὸ οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν· 21ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς

Hristos este Dumnezeu. 4Orice bărbat care se roagă sau prooroceşte având capul acoperit, aduce ruşine capului său. 5Şi orice femeie care se roagă sau prooroceşte cu capul neacoperit, aduce ruşine capului ei; căci este una şi aceeaşi cu cea rasă. 6Căci dacă o femeie nu se acoperă, să se şi tundă. Iar dacă ruşine este pentru o femeie să se tundă ori să se radă, să se acopere. 7Căci bărbatul nu trebuie să-şi acopere capul, chip şi slavă a lui Dumnezeu fiind; iar femeia este slava bărbatului. 8Pentru că nu bărbatul este din femeie, ci femeia din bărbat; 9căci nu a fost zidit bărbatul pentru femeie, ci femeia pentru bărbat. 10De aceea şi femeia este datoare să aibă pe capul ei stăpânire, pentru îngeri. 11Totuşi, nici bărbatul fără femeie, nici femeia fără bărbat, în Domnul. 12Căci precum femeia este din bărbat, aşa şi bărbatul este prin femeie, şi toate sunt de la Dumnezeu. 13Judecaţi în voi înşivă: Este cuviincios ca o femeie să se roage lui Dumnezeu descoperită? 14Sau nu firea însăşi vă învaţă că dacă bărbatul îşi lasă plete îi este necinste? 15Şi că dacă femeia îşi lasă plete îi este cinste? Căci pletele i-au fost date ca acoperământ. 16Iar dacă cineva socoteşte să fie iubitor de ceartă, noi nu avem un astfel de obicei, nici Bisericile lui Dumnezeu.

Şi aceasta poruncindu-vă, nu vă laud, că nu spre bine, ci spre mai rău vă adunaţi. 18Căci mai întâi aud că, adunându-vă voi în biserică, sunt dezbinări între voi, şi în parte cred; 19căci trebuie să fie între voi şi eresuri, ca cei încercaţi să se facă vădiţi între voi. 20Deci, când vă adunaţi voi la un loc, nu e cu putinţă a mânca Cina Domnească; 21căci când mâncaţi, fiecare se grăbeşte să-şi ia cina sa, şi unuia îi este foame, iar altul se

δὲ μεθύει. 22μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; τί ὑμῖν εἴπω; ἐπαινέσω ὑμᾶς ἐν τούτῳ; οὐκ ἐπαινῶ. 23ἐγὼ γὰρ παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο ἔλαβεν ἄρτον καὶ εὐχαριστήσας ἔκλασε καὶ εἶπε· 24λάβετε φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. 25ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε, ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν. 26ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ. 27ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ αἵματος τοῦ Κυρίου. 28δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτόν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ ποτηρίου πινέτω· 29ὁ γὰρ ἐσθίων καὶ πίνων ἀναξίως κρῖμα ἑαυτῷ ἐσθίει καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου. 30διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι καὶ κοιμῶνται ἱκανοί. 31εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· 32κρινόμενοι δὲ ὑπὸ τοῦ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. 33Ὥστε, ἀδελφοί μου, συνερχόμενοι εἰς τὸ φαγεῖν ἀλλήλους ἐκδέχεσθε· 34εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρῖμα συνέρχησθε. Τὰ δὲ λοιπὰ ὡς ἂν ἔλθω διατάξομαι.

îmbată. 22N-aveți, oare, case ca să mâncați și să beți? Sau disprețuiți Biserica lui Dumnezeu și îi ruşinați pe cei ce nu au? Ce să vă zic? Vă voi lăuda în aceasta? Nu vă laud. 23Căci eu am primit de la Domnul ceea ce v-am și predat: Că Domnul Iisus, în noaptea în care era vândut, a luat pâine, și, mulțumind, a frânt și a zis:24 Luați, mâncați; acesta este Trupul Meu, care se frânge pentru voi. Aceasta să faceți întru pomenirea Mea. 25Asemenea și paharul după Cină, zicând: Acest pahar este Noul Testament, întru Sângele Meu. Aceasta să faceți ori de câte ori beți, întru pomenirea Mea. 26Căci ori de câte ori mâncați pâinea aceasta și beți paharul acesta, moartea Domnului vestiți până când va veni. 27Astfel, oricine va mânca pâinea aceasta sau va bea paharul Domnului cu nevrednicie, vinovat va fi față de Trupul și Sângele Domnului. 28Să se cerceteze însă omul pe sine însuși și așa să mănânce din pâine și să bea din pahar. 29Căci cel ce mănâncă și bea cu nevrednicie, osândă sieși mănâncă și bea, nedeosebind trupul Domnului. 30De aceea, între voi sunt mulți neputincioși și bolnavi și mulți au adormit. 31Căci dacă ne-am judeca pe noi înșine, nu am mai fi judecați. 32Dar, judecați fiind, suntem certați de Domnul, ca să nu fim osândiți împreună cu lumea. 33Astfel, frații mei, când vă adunați ca să mâncați, așteptați-vă unii pe alții. 34Iar dacă îi este cuiva foame, să mănânce acasă, ca să nu vă adunați spre osândă. Iar celelalte, când voi veni, le voi rândui.



Κεφάλαιον ΙΒ΄

Περὶ δὲ τῶν πνευματικῶν, ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν. 2οἴδατε ὅτι, ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἂν ἤγεσθε ἀπαγόμενοι. 3διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν Πνεύματι Θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν, καὶ οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ. 4Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα· 5καὶ διαιρέσεις διακονιῶν εἰσι, καὶ ὁ αὐτὸς Κύριος· 6καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτός ἐστι Θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. 7Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον. 8ᾧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, 9ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ Πνεύματι, 10ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν· 11πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

Καθάπερ γὰρ τὸ σῶμα ἕν ἐστι καὶ μέλη ἔχει πολλά, πάντα δὲ τὰ μέλη τοῦ σώματος τοῦ ἑνός, πολλὰ ὄντα, ἕν ἐστι σῶμα, οὕτω καὶ ὁ Χριστός· 13καὶ γὰρ ἐν ἑνὶ Πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι εἴτε Ἕλληνες, εἴτε δοῦλοι εἴτε ἐλεύθεροι, καὶ πάντες εἰς ἓν Πνεῦμα ἐποτίσθημεν. 14καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος, ἀλλὰ πολλά. 15ἐὰν εἴπῃ ὁ πούς, ὅτι οὐκ

Capitolul 12

Cât despre cele duhovniceşti, fraţilor, nu voiesc să fiţi în neştiinţă. 2Ştiţi că, pe când eraţi păgâni, eraţi duşi ca mânaţi la idolii cei fără de glas. 3De aceea, vă fac cunoscut că nimeni, grăind în Duhul lui Dumnezeu, nu zice: Iisus este anatema! şi nimeni nu poate să zică: Iisus este Domnul! decât în Duhul Sfânt. 4Sunt împărţiri ale darurilor, dar acelaşi Duh. 5Şi împărţiri ale slujirilor sunt, dar acelaşi Domn; 6şi împărţiri ale lucrărilor sunt, dar este acelaşi Dumnezeu, Care lucrează toate în toţi. 7Şi fiecăruia i se dă arătarea Duhului spre folos. 8Căci unuia i se dă prin Duhul cuvântul înţelepciunii, şi altuia cuvântul cunoştinţei, după acelaşi Duh, 9şi altuia credinţă, în acelaşi Duh, iar altuia darurile vindecărilor, în acelaşi Duh; 10şi altuia lucrările puterilor, şi altuia proorocie; şi altuia deosebirile duhurilor, şi unuia felurile limbilor şi celuilalt tălmăcirea limbilor. 11Şi toate acestea le lucrează unul şi acelaşi Duh, împărţind fiecăruia în parte, precum voieşte.

Căci precum trupul este unul, dar are mădulare multe, şi toate mădularele unui singur trup, deşi sunt multe, sunt un singur trup, aşa şi Hristos. 13Că într-un singur Duh noi toţi ne-am botezat ca să fim un singur trup, fie iudei, fie elini, fie robi, fie liberi, şi toţi la un singur Duh ne-am adăpat. 14Căci şi trupul nu este un singur mădular, ci multe. 15Dacă ar zice piciorul: Fiindcă nu sunt

εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; 16καὶ ἐὰν εἴπῃ τὸ οὖς, ὅτι οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; 17εἰ ὅλον τὸ σῶμα ὀφθαλμός, ποῦ ἡ ἀκοή; εἰ ὅλον ἀκοή, ποῦ ἡ ὄσφρησις; 18νυνὶ δὲ ὁ Θεὸς ἔθετο τὰ μέλη ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι καθὼς ἠθέλησεν. 19εἰ δὲ ἦν τὰ πάντα ἓν μέλος, ποῦ τὸ σῶμα; 20νῦν δὲ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα. 21οὐ δύναται δὲ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί· χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί· χρείαν ὑμῶν οὐκ ἔχω· 22ἀλλὰ πολλῷ μᾶλλον τὰ δοκοῦντα μέλη τοῦ σώματος ἀσθενέστερα ὑπάρχειν ἀναγκαῖά ἐστι, 23καὶ ἃ δοκοῦμεν ἀτιμότερα εἶναι τοῦ σώματος, τούτοις τιμὴν περισσοτέραν περιτίθεμεν, καὶ τὰ ἀσχήμονα ἡμῶν εὐσχημοσύνην περισσοτέραν ἔχει, 24τὰ δὲ εὐσχήμονα ἡμῶν οὐ χρείαν ἔχει. ἀλλ' ὁ Θεὸς συνεκέρασε τὸ σῶμα, τῷ ὑστεροῦντι περισσοτέραν δοὺς τιμήν, 25ἵνα μὴ ᾖ σχίσμα ἐν τῷ σώματι, ἀλλὰ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη· 26καὶ εἴτε πάσχει ἓν μέλος, συμπάσχει πάντα τὰ μέλη, εἴτε δοξάζεται ἓν μέλος, συγχαίρει πάντα τὰ μέλη. 27Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους. 28Καὶ οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους, ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων, ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν. 29μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; μὴ πάντες διδάσκαλοι; μὴ πάντες δυνάμεις; 30μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ πάντες διερμηνεύουσι; 31ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα. καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι.

mână nu sunt din trup, nu este el pentru aceasta din trup? 16Şi dacă ar zice urechea: Fiindcă nu sunt ochi, nu sunt din trup, nu este ea pentru aceasta din trup? 17Dacă tot trupul ar fi ochi, unde ar fi auzul? Dacă tot ar fi auz, unde ar fi mirosul? 18Aşa că Dumnezeu a pus mădularele, pe fiecare din ele în parte, în trup, precum a voit. 19Dacă toate ar fi un singur mădular, unde ar fi trupul? 20Aşa că sunt multe mădulare, însă un singur trup. 21Şi nu poate ochiul să zică mâinii: N-am trebuinţă de tine; sau, iarăşi, capul să zică picioarelor: N-am trebuinţă de voi. 22Ci cu mult mai trebuincioase sunt [tocmai] mădularele trupului care par a fi mai slabe. 23Şi pe cele ale trupului care ni se par că sunt mai de necinste, pe acelea le îmbrăcăm cu mai multă cinste; şi cele necuviincioase ale noastre au parte de mai multă cuviinţă. 24Iar cele cuviincioase ale noastre n-au trebuinţă. Dar Dumnezeu a întocmit trupul, celui lipsit dându-i mai multă cinste, 25ca să nu fie dezbinare în trup, ci mădularele să se îngrijească deopotrivă unele de altele. 26Şi dacă pătimeşte un mădular, toate mădularele pătimesc împreună; şi dacă este slăvit un mădular, se bucură împreună toate mădularele. 27Iar voi sunteţi trupul lui Hristos şi mădulare în parte. 28Şi pe unii i-a pus Dumnezeu în Biserică: mai întâi apostoli, al doilea prooroci, al treilea învăţători; apoi puteri; apoi darurile vindecărilor, ajutorările, cârmuirile, felurile limbilor. 29Oare toţi sunt apostoli? Oare toţi sunt prooroci? Oare toţi învăţători? Oare toţi puteri? 30Oare toţi au darurile vindecărilor? Oare toţi grăiesc în limbi? Oare toţi tălmăcesc? 31Râvniţi însă la darurile cele mai bune; şi iată, vă arăt o cale mai presus de orice cale.

Κεφάλαιον ΙΓ΄

Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. 2καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. 3καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. 4Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται, ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, 5οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, 6οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ· 7πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. 8ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει. εἴτε δὲ προφητεῖαι, καταργηθήσονται· εἴτε γλῶσσαι, παύσονται· εἴτε γνῶσις, καταργηθήσεται. 9ἐκ μέρους δὲ γινώσκομεν καὶ ἐκ μέρους προφητεύομεν· 10ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τότε τὸ ἐκ μέρους καταργηθήσεται. 11ὅτε ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου. 12βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον· ἄρτι γινώσκω ἐκ μέρους, τότε δὲ ἐπιγνώσομαι καθὼς καὶ ἐπεγνώσθην. 13νυνὶ δὲ μένει πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα· μείζων δὲ τούτων ἡ ἀγάπη.

Capitolul 13

De aş grăi în limbile oamenilor şi ale îngerilor, iar dragoste nu am, făcutu-m-am aramă sunătoare sau chimval răsunător. 2Şi de aş avea proorocie şi aş şti tainele toate şi toată cunoştinţa, şi de aş avea toată credinţa încât să mut munţii, iar dragoste nu am, nimic nu sunt. 3Şi de aş împărţi toate avuţiile mele, şi de aş da trupul meu să fie ars, iar dragoste nu am, nimic nu-mi foloseşte. 4Dragostea îndelung-rabdă, este binevoitoare, dragostea nu pizmuieşte, dragostea nu se laudă, nu se trufeşte, 5nu se poartă cu necuviinţă, nu caută ale sale, nu se aprinde de mânie, nu gândeşte răul, 6nu se bucură de nedreptate, ci se bucură de adevăr. 7Toate le suferă, toate le crede, toate le nădăjduieşte, toate le rabdă; 8Dragostea nu cade niciodată. Iar proorociile se vor desfiinţa; limbile vor înceta; cunoştinţa se va desfiinţa. 9În parte cunoaştem şi în parte proorocim; 10dar, când va veni ceea ce este desăvârşit, atunci ceea ce este în parte se va desfiinţa. 11Când eram prunc, ca un prunc vorbeam, ca un prunc pricepeam; ca un prunc gândeam; dar când m-am făcut bărbat, am lepădat cele ale pruncului. 12Căci vedem acum prin oglindă, în chip întunecat, iar atunci, faţă către faţă; acum cunosc în parte, atunci însă voi cunoaşte aşa cum am şi fost cunoscut. 13Aşa că rămân: credinţa, nădejdea şi dragostea, acestea trei. Iar dintre acestea mai mare este dragostea.

Κεφάλαιον ΙΔ΄

Διώκετε τὴν ἀγάπην· ζηλοῦτε δὲ τὰ πνευματικά, μᾶλλον δὲ ἵνα προφητεύητε. 2ὁ γὰρ λαλῶν γλώσσῃ οὐκ ἀνθρώποις λαλεῖ, ἀλλὰ τῷ Θεῷ· οὐδεὶς γὰρ ἀκούει, πνεύματι δὲ λαλεῖ μυστήρια· 3ὁ δὲ προφητεύων ἀνθρώποις λαλεῖ οἰκοδομὴν καὶ παράκλησιν καὶ παραμυθίαν. 4ὁ λαλῶν γλώσσῃ ἑαυτὸν οἰκοδομεῖ, ὁ δὲ προφητεύων ἐκκλησίαν οἰκοδομεῖ. 5θέλω δὲ πάντας ὑμᾶς λαλεῖν γλώσσαις, μᾶλλον δὲ ἵνα προφητεύητε· μείζων γὰρ ὁ προφητεύων ἢ ὁ λαλῶν γλώσσαις, ἐκτὸς εἰ μὴ διερμηνεύῃ, ἵνα ἡ ἐκκλησία οἰκοδομὴν λάβῃ. 6νυνὶ δέ, ἀδελφοί, ἐὰν ἔλθω πρὸς ὑμᾶς γλώσσαις λαλῶν, τί ὑμᾶς ὠφελήσω, ἐὰν μὴ ὑμῖν λαλήσω ἢ ἐν ἀποκαλύψει ἢ ἐν γνώσει ἢ ἐν προφητείᾳ ἢ ἐν διδαχῇ; 7ὅμως τὰ ἄψυχα φωνὴν διδόντα, εἴτε αὐλὸς εἴτε κιθάρα, ἐὰν διαστολὴν τοῖς φθόγγοις μὴ διδῷ, πῶς γνωσθήσεται τὸ αὐλούμενον ἢ τὸ κιθαριζόμενον; 8καὶ γὰρ ἐὰν ἄδηλον φωνὴν σάλπιγξ δῷ, τίς παρασκευάσεται εἰς πόλεμον; 9οὕτω καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον; ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες. 10τοσαῦτα εἰ τύχοι γένη φωνῶν ἐστιν ἐν κόσμῳ, καὶ οὐδὲν αὐτῶν ἄφωνον· 11ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος καὶ ὁ λαλῶν ἐν ἐμοὶ βάρβαρος. 12οὕτω καὶ ὑμεῖς ἐπεὶ ζηλωταί ἐστε πνευμάτων, πρὸς τὴν οἰκοδομὴν τῆς ἐκκλησίας ζητεῖτε ἵνα περισσεύητε. 13Διόπερ ὁ λαλῶν γλώσσῃ προσευχέσθω ἵνα διερμηνεύῃ. 14ἐὰν

Capitolul 14

Căutați dragostea cu sârguință. Râvniți cele duhovnicești, și mai ales ca să proorociți. 2Căci cel ce grăiește în limbi nu oamenilor le grăiește, ci lui Dumnezeu; căci nimeni nu-l aude, ci în duh grăiește taine. 3Iar cel ce prooroceşte oamenilor grăieşte cuvinte de zidire și îndemn și mângâiere. 4Cel ce grăiește în limbi pe sine singur se zidește, iar cel ce prooroceşte zidește Biserica. 5Voiesc ca voi toți să grăiți în limbi, dar mai degrabă să proorociți. Căci mai mare este cel ce prooroceşte decât cel ce grăiește în limbi, afară numai dacă tălmăceşte, ca Biserica să primească zidire. 6Iar acum, fraților, dacă voi veni la voi, grăind în limbi, cu ce vă voi folosi dacă nu vă voi grăi fie în descoperire, fie în cunoaştere, fie în proorocie, fie în învățătură? 7De asemenea, cele neînsuflețite, care dau glas, fie fluier, fie alăută, cum se va cunoaşte ce se cântă la fluier, sau la alăută, de nu vor da sunete deosebite? 8Şi dacă trâmbița va da glas nelămurit, cine se va pregăti de război? 9Aşa şi voi: Dacă prin limbă nu veți da cuvânt desluşit, cum se va cunoaşte ce ați grăit?. Căci veți grăi în vânt. 10Atâtea feluri de graiuri sunt în lume şi niciunul dintre ele nu este fără de înțeles. 11Deci, dacă nu voi şti înțelesul graiului, voi fi barbar pentru cel care grăiește, iar cel care vorbeşte barbar pentru mine. 12Aşa şi voi, de vreme ce sunteți râvnitori ai duhurilor, căutați să pri-

γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται, ὁ δὲ νοῦς μου ἄκαρπός ἐστι. 15τί οὖν ἐστι; προσεύξομαι τῷ πνεύματι, προσεύξομαι δὲ καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ. 16ἐπεὶ ἐὰν εὐλογήσῃς τῷ πνεύματι, ὁ ἀναπληρῶν τὸν τόπον τοῦ ἰδιώτου πῶς ἐρεῖ τὸ ἀμὴν ἐπὶ τῇ σῇ εὐχαριστίᾳ; ἐπειδὴ τί λέγεις οὐκ οἶδε· 17σὺ μὲν γὰρ καλῶς εὐχαριστεῖς, ἀλλ' ὁ ἕτερος οὐκ οἰκοδομεῖται. 18εὐχαριστῶ τῷ Θεῷ μου πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν· 19ἀλλ' ἐν ἐκκλησίᾳ θέλω πέντε λόγους διὰ τοῦ νοός μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ. 20Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶ τέλειοι γίνεσθε. 21ἐν τῷ νόμῳ γέγραπται ὅτι *ἐν ἑτερογλώσσοις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως εἰσακούσονταί μου, λέγει Κύριος.* 22ὥστε αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις, ἡ δὲ προφητεία οὐ τοῖς ἀπίστοις, ἀλλὰ τοῖς πιστεύουσιν. 23Ἐὰν οὖν συνέλθῃ ἡ ἐκκλησία ὅλη ἐπὶ τὸ αὐτὸ καὶ πάντες γλώσσαις λαλῶσιν, εἰσέλθωσι δὲ ἰδιῶται ἢ ἄπιστοι, οὐκ ἐροῦσιν ὅτι μαίνεσθε; 24ἐὰν δὲ πάντες προφητεύωσιν, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιώτης, ἐλέγχεται ὑπὸ πάντων, ἀνακρίνεται ὑπὸ πάντων, 25καὶ οὕτω τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτω πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ Θεῷ, ἀπαγγέλλων ὅτι ὁ Θεὸς ὄντως ἐν ὑμῖν ἐστι.

Τί οὖν ἐστιν, ἀδελφοί; ὅταν συνέρχησθε, ἕκαστος ὑμῶν ψαλμὸν ἔχει, διδαχὴν ἔχει, γλῶσσαν ἔχει, ἀποκάλυψιν ἔχει, ἑρμηνείαν ἔχει· πάντα πρὸς οἰκοδομὴν γινέσθω. 27εἴτε γλώσσῃ τις λαλεῖ, κατὰ δύο ἢ τὸ πλεῖστον τρεῖς, καὶ ἀνὰ μέρος, καὶ εἷς διερμηνευέτω·

sosiți spre zidirea Bisericii. 13De aceea, cel ce grăieşte în limbi să se roage ca să şi tălmăcească. 14Căci, dacă mă rog în limbi, duhul meu se roagă, dar mintea mea este neroditoare. 15Ce voi face, dar? Mă voi ruga cu duhul, dar mă voi ruga şi cu mintea; voi cânta cu duhul, dar voi cânta şi cu mintea. 16Fiindcă dacă vei binecuvânta cu duhul, cel ce stă pe locul celui simplu cum va zice Amin la mulțumirea ta, de vreme ce nu ştie ce zici? 17Căci tu mulțumeşti bine, dar celălalt nu se zideşte. 18Mulțumesc Dumnezeului meu că vorbesc în limbi mai mult decât voi toți; 19dar în Biserică vreau să grăiesc cinci cuvinte cu mintea mea, ca să-i învăț şi pe alții, decât zeci de mii de cuvinte în limbi. 20Fraților, nu fiți copii la minte, ci fiți prunci la răutate, iar la minte fiți desăvârşiți. 21În Lege este scris: *În alte limbi şi cu alte buze voi grăi acestui popor şi nici aşa nu Mă vor auzi, zice Domnul.* 22Astfel că limbile sunt spre semn nu celor care cred, ci celor necredincioşi; iar proorocia nu celor necredincioşi, ci celor ce cred. 23Deci, dacă s-ar aduna Biserica toată la un loc şi toți ar vorbi în limbi şi ar intra oameni simpli sau necredincioşi, nu vor zice oare că sunteți nebuni? 24Dar, dacă toți ar prooroci şi ar intra vreun necredincios sau vreun om simplu, el este dovedit de toți, e cercetat de toți, 25şi astfel, cele ascunse ale inimii lui se fac vădite, şi astfel, căzând cu fața la pământ, se va închina lui Dumnezeu, vestind că Dumnezeu este cu adevărat în voi.

Deci ce este de făcut, fraților? Când vă adunați, fiecare din voi are psalm, are învățătură, are limbă, are descoperire, are tălmăcire; toate spre zidire să se facă. 27Dacă grăieşte cineva în limbi, să grăiască câte doi sau cel mult trei, şi pe rând, şi unul să

28ἐὰν δὲ μὴ ᾖ διερμηνευτής, σιγάτω ἐν ἐκκλησίᾳ, ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ. 29προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν, καὶ οἱ ἄλλοι διακρινέτωσαν· 30ἐὰν δὲ ἄλλῳ ἀποκαλυφθῇ καθημένῳ, ὁ πρῶτος σιγάτω. 31δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν, ἵνα πάντες μανθάνωσι καὶ πάντες παρακαλῶνται· 32καὶ πνεύματα προφητῶν προφήταις ὑποτάσσεται· 33οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ Θεός, ἀλλὰ εἰρήνης. 34Ὡς ἐν πάσαις ταῖς ἐκκλησίαις τῶν ἁγίων, αἱ γυναῖκες ὑμῶν ἐν ταῖς ἐκκλησίαις σιγάτωσαν· οὐ γὰρ ἐπιτέτραπται αὐταῖς λαλεῖν, ἀλλ' ὑποτάσσεσθαι, καθὼς καὶ ὁ νόμος λέγει. 35εἰ δέ τι μαθεῖν θέλουσιν, ἐν οἴκῳ τοὺς ἰδίους ἄνδρας ἐπερωτάτωσαν· αἰσχρὸν γάρ ἐστι γυναιξὶν ἐν ἐκκλησίᾳ λαλεῖν. 36ἢ ἀφ' ὑμῶν ὁ λόγος τοῦ Θεοῦ ἐξῆλθεν, ἢ εἰς ὑμᾶς μόνους κατήντησεν; 37Εἴ τις δοκεῖ προφήτης εἶναι ἢ πνευματικός, ἐπιγινωσκέτω ἃ γράφω ὑμῖν, ὅτι τοῦ Κυρίου εἰσὶν ἐντολαί· 38εἰ δέ τις ἀγνοεῖ, ἀγνοείτω. 39Ὥστε, ἀδελφοί, ζηλοῦτε τὸ προφητεύειν, καὶ τὸ λαλεῖν γλώσσαις μὴ κωλύετε· 40πάντα εὐσχημόνως καὶ κατὰ τάξιν γινέσθω.

28Iar dacă nu este tălmăcitor, să tacă în biserică şi să-şi grăiască sieşi şi lui Dumnezeu. 29Iar proorocii să vorbească doi sau trei, şi ceilalţi să judece. 30Iar dacă se descoperă ceva altuia care şade, cel dintâi să tacă. 31Căci puteţi să proorociţi toţi câte unul, ca toţi să înveţe şi toţi să fie mângâiaţi; 32şi duhurile proorocilor se supun proorocilor; 33căci Dumnezeu nu este al neorânduielii, ci al păcii. 34Precum în toate Bisericile sfinţilor, femeile voastre să tacă în biserici; căci lor nu le este îngăduit să grăiască, ci să se supună, aşa cum spune şi Legea. 35Iar dacă voiesc să înveţe ceva, să întrebe acasă pe bărbaţii lor, căci este ruşinos pentru femei să vorbească în biserică. 36Oare de la voi a ieşit cuvântul lui Dumnezeu sau numai la voi a ajuns? 37Dacă socoteşte cineva că este prooroc sau om duhovnicesc, să cunoască cele ce vă scriu că sunt porunci ale Domnului. 38Iar dacă cineva nu vrea să priceapă, să nu priceapă. 39Astfel, fraţilor, râvniţi să proorociţi şi nu opriţi a se vorbi în limbi; 40toate cu bună cuviinţă şi după rânduială să se facă.

Κεφάλαιον ΙΕ΄

Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, 2δι' οὗ καὶ σῴζεσθε, τίνι λόγῳ εὐηγγελισάμην ὑμῖν εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε. 3παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς, 4καὶ ὅτι ἐτάφη, καὶ

Capitolul 15

Vă fac cunoscută, fraţilor, Evanghelia pe care am binevestit-o vouă, pe care aţi şi primit-o, întru care şi staţi, 2prin care vă şi mântuiţi, dacă o ţineţi în cuvântul în care v-am binevestit, afară numai dacă n-aţi crezut în zadar. 3Căci v-am predat întâi de toate ceea ce şi eu am primit, că Hristos a murit pentru păcatele noastre,

ὅτι ἐγήγερται τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς, 5καὶ ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα· 6ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς ἐφάπαξ, ἐξ ὧν οἱ πλείους μένουσιν ἕως ἄρτι, τινὲς δὲ καὶ ἐκοιμήθησαν· 7ἔπειτα ὤφθη Ἰακώβῳ, εἶτα τοῖς ἀποστόλοις πᾶσιν· 8ἔσχατον δὲ πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί. 9ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα τὴν ἐκκλησίαν τοῦ Θεοῦ· 10χάριτι δὲ Θεοῦ εἰμι ὅ εἰμι· καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δέ, ἀλλ᾽ ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. 11εἴτε οὖν ἐγὼ εἴτε ἐκεῖνοι, οὕτω κηρύσσομεν καὶ οὕτως ἐπιστεύσατε.

Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσί τινες ἐν ὑμῖν ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; 13εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται· 14εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, κενὴ δὲ καὶ ἡ πίστις ὑμῶν. 15εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ Θεοῦ, ὅτι ἐμαρτυρήσαμεν κατὰ τοῦ Θεοῦ ὅτι ἤγειρε τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν, εἴπερ ἄρα νεκροὶ οὐκ ἐγείρονται· 16εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται. 17εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν. 18ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ ἀπώλοντο. 19εἰ ἐν τῇ ζωῇ ταύτῃ ἠλπικότες ἐσμὲν ἐν Χριστῷ μόνον, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν. 20Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. 21ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου ὁ θάνατος, καὶ δι᾽ ἀνθρώπου ἀνάστασις νεκρῶν. 22ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνῄσκουσιν, οὕτω

după Scripturi; 4şi că a fost îngropat şi că a înviat a treia zi, după Scripturi; 5şi că S-a arătat lui Chefá, apoi celor doisprezece; 6după aceea S-a arătat la mai mult de cinci sute de fraţi deodată, dintre care cei mai mulţi au rămas până astăzi, iar unii au şi adormit; 7după aceea S-a arătat lui Iacov, apoi tuturor apostolilor; 8iar la urma tuturor, ca unui prunc lepădat, mi S-a arătat şi mie. 9Căci eu sunt cel mai mic dintre apostoli, care nu sunt vrednic să mă numesc apostol, pentru că am prigonit Biserica lui Dumnezeu. 10Dar prin harul lui Dumnezeu sunt ceea ce sunt; şi harul Lui care este în mine n-a fost în zadar, ci m-am ostenit mai mult decât ei toţi; dar nu eu, ci harul lui Dumnezeu care este cu mine. 11Deci fie eu, fie aceia, astfel propovăduim şi voi astfel aţi crezut.

Iar dacă se propovăduieşte că Hristos a înviat din morţi, cum zic unii dintre voi că nu este înviere a morţilor? 13Iar dacă nu este înviere a morţilor, nici Hristos n-a înviat. 14Iar dacă Hristos n-a înviat, deşartă este atunci propovăduirea noastră, deşartă şi credinţa voastră. 15Ne aflăm încă şi martori mincinoşi ai lui Dumnezeu, pentru că am dat mărturie împotriva lui Dumnezeu că L-a înviat pe Hristos, pe Care nu L-a înviat, de vreme ce morţii nu înviază. 16Căci dacă morţii nu înviază, nici Hristos n-a înviat. 17Iar dacă Hristos n-a înviat, zadarnică este credinţa voastră; încă sunteţi în păcatele voastre. 18Aşadar, şi cei ce au adormit în Hristos au pierit. 19Dacă numai pentru viaţa aceasta nădăjduim în Hristos, suntem mai de plâns decât toţi oamenii. 20Dar acum Hristos a înviat din morţi, pârgă a celor adormiţi S-a făcut. 21Căci de vreme ce printr-un om este moartea, printr-un om

καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται.
23ἕκαστος δὲ ἐν τῷ ἰδίῳ τάγματι· ἀπαρχὴ
Χριστός, ἔπειτα οἱ Χριστοῦ ἐν τῇ παρουσίᾳ
αὐτοῦ· 24εἶτα τὸ τέλος, ὅταν παραδῷ τὴν βα-
σιλείαν τῷ Θεῷ καὶ πατρί, ὅταν καταργήσῃ
πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύ-
ναμιν. 25δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ
ἂν θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας
αὐτοῦ. 26ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θά-
νατος· 27*πάντα γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας
αὐτοῦ*. ὅταν δὲ εἴπῃ ὅτι *πάντα ὑποτέτακται*,
δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ
πάντα. 28ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα,
τότε καὶ αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ
ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς
τὰ πάντα ἐν πᾶσιν. 29Ἐπεὶ τί ποιήσουσιν
οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν, εἰ ὅλως
νεκροὶ οὐκ ἐγείρονται; τί καὶ βαπτίζονται
ὑπὲρ τῶν νεκρῶν; 30τί καὶ ἡμεῖς κινδυνεύο-
μεν πᾶσαν ὥραν; 31καθ' ἡμέραν ἀποθνῄσκω,
νὴ τὴν ὑμετέραν καύχησιν ἣν ἔχω ἐν Χριστῷ
Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν. 32εἰ κατὰ ἄνθρωπον
ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος;
εἰ νεκροὶ οὐκ ἐγείρονται, *φάγωμεν καὶ πίω-
μεν, αὔριον γὰρ ἀποθνῄσκομεν*. 33μὴ πλα-
νᾶσθε· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κα-
καί. 34ἐκνήψατε δικαίως καὶ μὴ ἁμαρτάνετε·
ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσι· πρὸς ἐν-
τροπὴν ὑμῖν λέγω.

Ἀλλ' ἐρεῖ τις· πῶς ἐγείρονται οἱ νεκροί;
ποίῳ δὲ σώματι ἔρχονται; 36ἄφρον, σὺ ὃ
σπείρεις, οὐ ζωοποιεῖται ἐὰν μὴ ἀποθάνῃ·
37καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμε-
νον σπείρεις, ἀλλὰ γυμνὸν κόκκον, εἰ τύχοι
σίτου ἤ τινος τῶν λοιπῶν· 38ὁ δὲ Θεὸς αὐτῷ
δίδωσι σῶμα καθὼς ἠθέλησε, καὶ ἑκάστῳ
τῶν σπερμάτων τὸ ἴδιον σῶμα. 39οὐ πᾶσα
σὰρξ ἡ αὐτὴ σάρξ, ἀλλὰ ἄλλη μὲν ἀνθρώπων,

este şi învierea morţilor. 22Căci, precum în
Adam toţi mor, aşa şi în Hristos toţi se vor
face vii. 23Şi fiecare în ceata sa: Hristos pârgă, apoi cei ai lui Hristos, la venirea Lui,
24după aceea, sfârşitul, când El va preda
lui Dumnezeu şi Tatălui împărăţia, când va
desfiinţa toată domnia şi toată stăpânirea
şi puterea. 25Căci El trebuie să împărăţească până ce va pune pe toţi vrăjmaşii sub
picioarele Sale. 26Vrăjmaşul cel din urmă,
care va fi nimicit, este moartea. 27*Căci toate
le-a supus sub picioarele Lui.* Iar când zice:
Toate au fost supuse, e limpede că afară
de Cel care I-a supus Lui toate. 28Şi când
toate vor fi supuse Lui, atunci şi Fiul Însuşi Se va supune Celui care I-a supus Lui
toate, ca Dumnezeu să fie totul în toate.
29Altminteri ce vor face cei care se botează
pentru morţi, dacă morţii nu înviază nicidecum? Pentru ce se mai botează pentru
morţi? 30Pentru ce şi noi ne primejduim în
tot ceasul? 31Mor în fiecare zi! V-o jur pe
lauda voastră, pe care o am în Hristos Iisus, Domnul nostru. 32Dacă m-am luptat
ca om cu fiarele în Efes, care îmi este folosul? Dacă morţii nu înviază, *să bem şi să
mâncăm, căci mâine vom muri!* 33Nu rătăciţi! Tovărăşiile rele strică obiceiurile bune.
34Treziţi-vă cum se cuvine şi nu păcătuiţi!
Căci unii nu au cunoaşterea lui Dumnezeu;
spre ruşinare vă zic.

Dar va zice cineva: Cum înviază morţii?
Şi cu ce trup vor veni? 36Nebune! Ceea
ce tu semeni nu se face viu dacă nu moare.
37Şi ceea ce semeni, nu semeni trupul ce va
să fie, ci un grăunte dezgolit, poate de grâu
sau de ceva din celelalte; 38şi Dumnezeu îi
dă trup, precum a voit, şi fiecăreia dintre
seminţe trupul său. 39Nu tot trupul este
acelaşi trup, ci altul este al oamenilor, şi

ἄλλη δὲ σὰρξ κτηνῶν, ἄλλη δὲ ἰχθύων, ἄλλη
δὲ πετεινῶν. 40καὶ σώματα ἐπουράνια, καὶ
σώματα ἐπίγεια· ἀλλ᾽ ἑτέρα μὲν ἡ τῶν ἐπου-
ρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. 41ἄλλη
δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη
δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει
ἐν δόξῃ. 42οὕτω καὶ ἡ ἀνάστασις τῶν νεκρῶν.
σπείρεται ἐν φθορᾷ, ἐγείρεται ἐν ἀφθαρσίᾳ·
43σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ·
σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει·
44σπείρεται σῶμα ψυχικόν, ἐγείρεται σῶμα
πνευματικόν. ἔστι σῶμα ψυχικόν, καὶ ἔστι
σῶμα πνευματικόν. 45οὕτω καὶ γέγραπται·
ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυ-
χὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζω-
οποιοῦν. 46ἀλλ᾽ οὐ πρῶτον τὸ πνευματικόν,
ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν. 47ὁ
πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος
ἄνθρωπος ὁ Κύριος ἐξ οὐρανοῦ. 48οἷος ὁ χοϊ-
κός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπου-
ράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· 49καὶ
καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ,
φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.
50Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα
βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύνανται,
οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ.
51Ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες μὲν οὐ
κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα,
52ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ
σάλπιγγι· σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερ-
θήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα.
53δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι
ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι
ἀθανασίαν. 54ὅταν δὲ τὸ φθαρτὸν τοῦτο
ἐνδύσηται ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο
ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λό-
γος ὁ γεγραμμένος· *κατεπόθη ὁ θάνατος εἰς*
νῖκος. 55*ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ*
σου, ᾅδη, τὸ νῖκος; 56τὸ δὲ κέντρον τοῦ θανά-
του ἡ ἁμαρτία, ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ

altul trupul dobitoacelor, altul al peştilor,
altul al zburătoarelor. 40Sunt şi trupuri ce-
reşti şi trupuri pământeşti; dar alta este sla-
va celor cereşti şi alta a celor pământeşti.
41Alta este slava soarelui şi alta slava lunii
şi alta slava stelelor. Căci stea de stea se
deosebeşte în slavă. 42Aşa este şi învierea
morţilor. Se seamănă întru stricăciune, în-
viază întru nestricăciune; 43se seamănă în-
tru necinste, înviază întru slavă; se seamă-
nă întru neputinţă, înviază întru putere;
44se seamănă trup sufletesc, înviază trup
duhovnicesc. Este trup sufletesc şi este şi
trup duhovnicesc. 45Precum şi este scris:
Făcutu-s-a omul cel dintâi, Adam, suflet
viu; Adam cel de pe urmă duh făcător de
viaţă; 46dar nu este mai întâi cel duhovni-
cesc, ci cel sufletesc, apoi cel duhovnicesc.
47Omul cel dintâi este din pământ, pămân-
tesc; omul cel de-al doilea, Domnul, este
din cer. 48Cum este cel pământesc, ase-
menea sunt şi cei pământeşti; şi cum este
Cel ceresc, asemenea sunt şi cei cereşti.
49Şi după cum am purtat chipul celui pă-
mântesc, vom purta şi chipul Celui ceresc.
50Aceasta însă zic, fraţilor, că trupul şi sân-
gele nu pot să moştenească Împărăţia lui
Dumnezeu, nici stricăciunea nu moşteneş-
te nestricăciunea. 51Iată, taină vă zic vo-
uă: Nu toţi vom adormi, dar toţi ne vom
schimba, 52deodată, într-o clipire de ochi,
la trâmbiţa cea de pe urmă. Căci va trâmbi-
ţa, şi morţii vor învia nestricăcioşi, şi noi ne
vom schimba. 53Căci trebuie ca acest trup
stricăcios să se îmbrace în nestricăciune şi
acest trup muritor să se îmbrace în nemuri-
re. 54Iar când acest trup stricăcios se va îm-
brăca în nestricăciune şi acest trup muritor
se va îmbrăca în nemurire, atunci se va
împlini cuvântul scris: *Înghiţitu-s-a moartea*

νόμος. 57τῷ δὲ Θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 58Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ Κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστι κενὸς ἐν Κυρίῳ.

întru biruință. 55Unde îți este, moarte, boldul? Unde îți este, iadule, biruința? 56Şi boldul morții este păcatul, iar puterea păcatului Legea. 57Şi mulțumire lui Dumnezeu, Celui care ne dă biruința prin Domnul nostru Iisus Hristos. 58Astfel, frații mei iubiți, fiți tari, neclintiți, prisosind în lucrul Domnului totdeauna, ştiind că osteneala voastră nu este deşartă în Domnul.

Κεφάλαιον Ις΄

Περὶ δὲ τῆς λογίας τῆς εἰς τοὺς ἁγίους, ὥσπερ διέταξα ταῖς ἐκκλησίαις τῆς Γαλατίας οὕτω καὶ ὑμεῖς ποιήσατε. 2κατὰ μίαν σαββάτων ἕκαστος ὑμῶν παρ' ἑαυτῷ τιθέτω θησαυρίζων ὅ τι ἂν εὐοδῶται, ἵνα μὴ ὅταν ἔλθω τότε λογίαι γίνωνται. 3ὅταν δὲ παραγένωμαι, οὓς ἐὰν δοκιμάσητε, δι' ἐπιστολῶν τούτους πέμψω ἀπενεγκεῖν τὴν χάριν ὑμῶν εἰς Ἰερουσαλήμ· 4ἐὰν δὲ ᾖ ἄξιον τοῦ κἀμὲ πορεύεσθαι, σὺν ἐμοὶ πορεύσονται.

Ἐλεύσομαι δὲ πρὸς ὑμᾶς ὅταν Μακεδονίαν διέλθω· Μακεδονίαν γὰρ διέρχομαι· 6πρὸς ὑμᾶς δὲ τυχὸν παραμενῶ ἢ καὶ παραχειμάσω, ἵνα ὑμεῖς με προπέμψητε οὗ ἐὰν πορεύωμαι. 7οὐ θέλω γὰρ ὑμᾶς ἄρτι ἐν παρόδῳ ἰδεῖν, ἐλπίζω δὲ χρόνον τινὰ ἐπιμεῖναι πρὸς ὑμᾶς, ἐὰν ὁ Κύριος ἐπιτρέπῃ. 8ἐπιμενῶ δὲ ἐν Ἐφέσῳ ἕως τῆς πεντηκοστῆς· 9θύρα γάρ μοι ἀνέῳγε μεγάλη καὶ ἐνεργής, καὶ ἀντικείμενοι πολλοί. 10Ἐὰν δὲ ἔλθῃ Τιμόθεος, βλέπετε ἵνα ἀφόβως γένηται πρὸς ὑμᾶς· τὸ γὰρ ἔργον Κυρίου ἐργάζεται ὡς κἀγώ· μή τις οὖν αὐτὸν ἐξουθενήσῃ. 11προπέμψατε δὲ αὐτὸν ἐν εἰρή-

Capitolul 16

Cât despre strângerea de ajutoare cea pentru sfinți, precum am rânduit Bisericilor Galatiei, aşa să faceți şi voi. 2În ziua cea dintâi a săptămânii, fiecare dintre voi să-şi pună deoparte, strângând cât poate, ca să nu se facă strângerile de ajutoare atunci când voi veni. 3Iar când voi ajunge, pe cei pe care îi veți socoti, pe aceia îi voi trimite cu epistole să ducă darul vostru la Ierusalim. 4Iar de se va cuveni să merg şi eu, vor merge împreună cu mine.

Şi voi veni la voi când voi trece prin Macedonia, căci prin Macedonia trec. 6La voi, poate, voi rămâne sau voi şi ierna, ca să mă petreceți oriunde voi merge. 7Căci nu vreau să vă văd acum în treacăt, ci nădăjduiesc să rămân la voi o vreme, dacă Domnul va îngădui. 8Voi zăbovi însă în Efes, până la Cincizecime. 9Căci uşă mi s-a deschis, mare şi lucrătoare, şi potrivnici sunt mulți. 10Iar de va veni Timotei, vedeți să fie fără teamă la voi, căci lucrul Domnului lucrează, ca şi mine; deci, să nu-l disprețuiască cineva. 11Ci petreceți-l în pace, ca să vină la

νῃ ἵνα ἔλθῃ πρός με· ἐκδέχομαι γὰρ αὐτὸν μετὰ τῶν ἀδελφῶν. 12Περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ, πολλὰ παρεκάλεσα αὐτὸν ἵνα ἔλθῃ πρὸς ὑμᾶς μετὰ τῶν ἀδελφῶν· καὶ πάντως οὐκ ἦν θέλημα ἵνα νῦν ἔλθῃ, ἐλεύσεται δὲ ὅταν εὐκαιρήσῃ.

Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει, ἀνδρίζεσθε, κραταιοῦσθε. 14πάντα ὑμῶν ἐν ἀγάπῃ γινέσθω. 15Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί· οἴδατε τὴν οἰκίαν Στεφανᾶ, ὅτι ἐστὶν ἀπαρχὴ τῆς Ἀχαΐας καὶ εἰς διακονίαν τοῖς ἁγίοις ἔταξαν ἑαυτούς· 16ἵνα καὶ ὑμεῖς ὑποτάσσησθε τοῖς τοιούτοις καὶ παντὶ τῷ συνεργοῦντι καὶ κοπιῶντι. 17χαίρω δὲ ἐπὶ τῇ παρουσίᾳ Στεφανᾶ καὶ Φουρτουνάτου καὶ Ἀχαϊκοῦ, ὅτι τὸ ὑμῶν ὑστέρημα οὗτοι ἀνεπλήρωσαν· 18ἀνέπαυσαν γὰρ τὸ ἐμὸν πνεῦμα καὶ τὸ ὑμῶν. ἐπιγινώσκετε οὖν τοὺς τοιούτους. 19Ἀσπάζονται ὑμᾶς αἱ ἐκκλησίαι τῆς Ἀσίας. ἀσπάζονται ὑμᾶς ἐν Κυρίῳ πολλὰ Ἀκύλας καὶ Πρίσκιλλα σὺν τῇ κατ' οἶκον αὐτῶν ἐκκλησίᾳ. 20ἀσπάζονται ὑμᾶς οἱ ἀδελφοὶ πάντες. ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ. 21Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. 22εἴ τις οὐ φιλεῖ τὸν Κύριον Ἰησοῦν Χριστόν, ἤτω ἀνάθεμα. μαρὰν ἀθᾶ. 23Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. 24ἡ ἀγάπη μου μετὰ πάντων ὑμῶν ἐν Χριστῷ Ἰησοῦ· ἀμήν.

mine; căci îl aştept împreună cu fraţii. 12Iar despre fratele Apolo, mult l-am rugat să vină la voi împreună cu fraţii şi nicicum nu i-a fost voia să vină acum, ci va veni când va găsi bun prilej.

Privegheaţi, staţi neclintiţi în credinţă, îmbărbătaţi-vă, întăriţi-vă. 14Toate ale voastre în iubire să se facă. 15Şi vă rog, fraţilor; ştiţi casa lui Stefanás, că este pârgă a Ahaiei şi că s-au pus pe ei înşişi în slujba sfinţilor; 16ca şi voi să vă supuneţi unora ca aceştia şi tot celui care lucrează şi se osteneşte împreună cu ei. 17Mă bucur de venirea lui Stefanás şi a lui Fortunat şi a lui Ahaic, pentru că aceştia au împlinit lipsa voastră. 18Căci au odihnit duhul meu şi al vostru. Cunoaşteţi-i deci pe unii ca aceştia! 19Vă îmbrăţişează Bisericile Asiei. Vă îmbrăţişează mult, în Domnul, Acvila şi Priscila, împreună cu Biserica din casa lor. 20Vă îmbrăţişează fraţii toţi. Îmbrăţişaţi-vă unii pe alţii cu sărutare sfântă. 21Salutarea cu mâna mea, a lui Pavel. 22Dacă cineva nu iubeşte pe Domnul Iisus Hristos să fie anatema. Maran atha! 23Harul Domnului Iisus Hristos cu voi! 24Iubirea mea cu voi toţi, în Hristos Iisus! Amin.

A DOUA EPISTOLĂ CĂTRE CORINTENI

Κεφάλαιον Α΄

Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ τῇ οὔσῃ ἐν Κορίνθῳ σὺν τοῖς ἁγίοις πᾶσι τοῖς οὖσιν ἐν ὅλῃ τῇ Ἀχαΐᾳ· 2χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῶν οἰκτιρμῶν καὶ Θεὸς πάσης παρακλήσεως, 4ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει διὰ τῆς παρακλήσεως ἧς παρακαλούμεθα αὐτοὶ ὑπὸ τοῦ Θεοῦ· 5ὅτι καθὼς περισσεύει τὰ παθήματα τοῦ Χριστοῦ εἰς ἡμᾶς, οὕτω διὰ Χριστοῦ περισσεύει καὶ ἡ παράκλησις ἡμῶν. 6εἴτε δὲ θλιβόμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτηρίας τῆς ἐνεργουμένης ἐν ὑπομονῇ τῶν αὐτῶν παθημάτων ὧν καὶ ἡμεῖς πάσχομεν, καὶ ἡ ἐλπὶς ἡμῶν βεβαία ὑπὲρ ὑμῶν· εἴτε παρακαλούμεθα, ὑπὲρ τῆς ὑμῶν παρακλήσεως καὶ σωτη-

Capitolul 1

Pavel, apostol al lui Iisus Hristos prin voia lui Dumnezeu, şi fratele Timotei, Bisericii lui Dumnezeu care este în Corint, precum şi tuturor sfinţilor care sunt în toată Ahaia. 2Har vouă şi pace de la Dumnezeu Tatăl nostru şi de la Domnul Iisus Hristos.

Binecuvântat este Dumnezeu şi Tatăl Domnului nostru Iisus Hristos, Tatăl îndurărilor şi Dumnezeul a toată mângâierea, 4Cel ce ne mângâie pe noi în tot necazul nostru, ca să putem mângâia şi noi pe cei care sunt în tot necazul, prin mângâierea cu care noi înşine suntem mângâiaţi de Dumnezeu. 5Că precum prisosesc patimile lui Hristos în noi, tot aşa prin Hristos prisoseşte şi mângâierea noastră. 6Şi dacă suntem strâmtoraţi, este pentru a voastră mângâiere şi pentru mântuirea lucrată în răbdarea aceloraşi patimi pe care şi noi le pătimim, şi nădejdea noastră este întărită, pentru voi; şi dacă suntem mângâiaţi, este

ρίας, 7εἰδότες ὅτι ὥσπερ κοινωνοί ἐστε τῶν παθημάτων, οὕτω καὶ τῆς παρακλήσεως. 8Οὐ γὰρ θέλομεν ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὑπὲρ τῆς θλίψεως ἡμῶν τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν· 9ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκρούς· 10ὃς ἐκ τηλικούτου θανάτου ἐρρύσατο ἡμᾶς καὶ ῥύεται, εἰς ὃν ἠλπίκαμεν ὅτι καὶ ἔτι ῥύσεται, 11συνυπουργούντων καὶ ὑμῶν ὑπὲρ ἡμῶν τῇ δεήσει, ἵνα ἐκ πολλῶν προσώπων τὸ εἰς ἡμᾶς χάρισμα διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν.

Ἡ γὰρ καύχησις ἡμῶν αὕτη ἐστί, τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν, ὅτι ἐν ἁπλότητι καὶ εἰλικρινείᾳ Θεοῦ, οὐκ ἐν σοφίᾳ σαρκικῇ, ἀλλ' ἐν χάριτι Θεοῦ ἀνεστράφημεν ἐν τῷ κόσμῳ, περισσοτέρως δὲ πρὸς ὑμᾶς. 13οὐ γὰρ ἄλλα γράφομεν ὑμῖν, ἀλλ' ἢ ἃ ἀναγινώσκετε ἢ καὶ ἐπιγινώσκετε, ἐλπίζω δὲ ὅτι καὶ ἕως τέλους ἐπιγνώσεσθε, 14καθὼς καὶ ἐπέγνωτε ἡμᾶς ἀπὸ μέρους, ὅτι καύχημα ὑμῶν ἐσμεν, καθάπερ καὶ ὑμεῖς ἡμῶν, ἐν τῇ ἡμέρᾳ τοῦ Κυρίου Ἰησοῦ. 15Καὶ ταύτῃ τῇ πεποιθήσει ἐβουλόμην πρὸς ὑμᾶς ἐλθεῖν πρότερον, ἵνα δευτέραν χάριν ἔχητε, 16καὶ δι' ὑμῶν διελθεῖν εἰς Μακεδονίαν, καὶ πάλιν ἀπὸ Μακεδονίας ἐλθεῖν πρὸς ὑμᾶς καὶ ὑφ' ὑμῶν προπεμφθῆναι εἰς τὴν Ἰουδαίαν. 17τοῦτο οὖν βουλόμενος μήτι ἄρα τῇ ἐλαφρίᾳ ἐχρησάμην; ἢ ἃ βουλεύομαι, κατὰ σάρκα βουλεύομαι, ἵνα ᾖ παρ' ἐμοὶ τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὔ; 18πιστὸς δὲ ὁ Θεὸς ὅτι ὁ λόγος ἡμῶν ὁ πρὸς ὑμᾶς οὐκ ἐγένετο ναὶ καὶ οὔ. 19ὁ γὰρ τοῦ Θεοῦ υἱὸς Ἰησοῦς Χριστὸς ὁ ἐν ὑμῖν δι' ἡμῶν κηρυχθείς, δι' ἐμοῦ καὶ Σιλουανοῦ καὶ Τιμοθέου, οὐκ ἐγένετο ναὶ καὶ οὔ, ἀλλὰ ναὶ ἐν αὐτῷ γέγονεν· 20ὅσαι γὰρ ἐπαγγελίαι Θεοῦ, ἐν αὐτῷ τὸ ναὶ

pentru a voastră mângâiere şi mântuire, 7ştiind că aşa cum sunteţi părtaşi patimilor, tot aşa şi mângâierii. 8Căci nu voim să nu ştiţi, fraţilor, despre necazul nostru, care ni s-a făcut în Asia, că am fost îngreuiaţi cu covârşire, peste putere, încât nu mai aveam nădejde nici să trăim; 9ci noi am avut în noi înşine osândirea la moarte, ca să nu ne punem încrederea în noi, ci în Dumnezeu, Cel ce învia morţii; 10Care de o moarte ca aceasta ne-a izbăvit şi ne izbăveşte, în Care nădăjduim că încă ne va mai izbăvi, 11împreună-lucrând şi voi pentru noi cu rugăciunea, ca, pentru darul făcut nouă prin mulţi, să se aducă mulţumire pentru noi de la mulţi.

Căci lauda noastră aceasta este: mărturia conştiinţei noastre că în simplitate şi în curăţia cea de la Dumnezeu, nu în înţelepciune trupească, ci în harul lui Dumnezeu am umblat în lume, şi mai cu seamă la voi. 13Căci nu vă scriem vouă altele decât cele pe care le citiţi sau le şi cunoaşteţi, şi nădăjduiesc că şi până în sfârşit le veţi cunoaşte; 14după cum ne-aţi şi cunoscut în parte, că suntem lauda voastră, precum şi voi a noastră, în ziua Domnului Iisus. 15Şi cu această încredinţare voiam să vin mai întâi la voi, ca de două ori să aveţi har 16şi să trec pe la voi în Macedonia şi iarăşi din Macedonia să vin la voi şi să fiu petrecut de către voi spre Iudeea. 17Deci, voind eu aceasta, oare m-am purtat cu uşurătate? Sau cele ce le hotărăsc, după trup le hotărăsc, ca să fie la mine *Da*-ul *Da* şi *Nu*-ul *Nu*? 18Dar credincios este Dumnezeu, că nu a fost *Da* şi *Nu* cuvântul nostru cel către voi. 19Căci Fiul lui Dumnezeu, Iisus Hristos, Cel propovăduit în voi prin noi, prin mine şi Siluan şi Timotei, nu S-a făcut *Da* şi *Nu*, ci *Da* s-a făcut în El. 20Căci câte

καὶ ἐν αὐτῷ τὸ ἀμήν, τῷ Θεῷ πρὸς δόξαν δι' ἡμῶν. 21ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν καὶ χρίσας ἡμᾶς Θεός, 22ὁ καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν. 23Ἐγὼ δὲ μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι ἐπὶ τὴν ἐμὴν ψυχήν, ὅτι φειδόμενος ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον. 24οὐχ ὅτι κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀλλὰ συνεργοί ἐσμεν τῆς χαρᾶς ὑμῶν· τῇ γὰρ πίστει ἑστήκατε.

sunt făgăduințe ale lui Dumnezeu în El sunt *Da* şi în El sunt *Amin*, lui Dumnezeu spre slavă prin noi. 21Iar Cel ce ne întăreşte pe noi împreună cu voi în Hristos şi Care ne-a uns pe noi este Dumnezeu, 22Care ne-a şi pecetluit şi a dat arvuna Duhului în inimile noastre. 23Iar eu chem martor pe Dumnezeu asupra sufletului meu, că n-am mai venit la Corint pentru a vă cruța. 24Nu că suntem stăpâni peste credința voastră, ci suntem împreună-lucrători ai bucuriei voastre; căci prin credință stați.

Κεφάλαιον Β΄

Ἔκρινα δὲ ἐμαυτῷ τοῦτο, τὸ μὴ πάλιν ἐν λύπῃ ἐλθεῖν πρὸς ὑμᾶς. 2εἰ γὰρ ἐγὼ λυπῶ ὑμᾶς, καὶ τίς ἐστιν ὁ εὐφραίνων με εἰ μὴ ὁ λυπούμενος ἐξ ἐμοῦ; 3καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτό, ἵνα μὴ ἐλθὼν λύπην ἔχω ἀφ' ὧν ἔδει με χαίρειν, πεποιθὼς ἐπὶ πάντας ὑμᾶς ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστιν. 4ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα ὑμῖν διὰ πολλῶν δακρύων, οὐχ ἵνα λυπηθῆτε, ἀλλὰ τὴν ἀγάπην ἵνα γνῶτε ἣν ἔχω περισσοτέρως εἰς ὑμᾶς.

Εἰ δέ τις λελύπηκεν, οὐκ ἐμὲ λελύπηκεν, ἀλλὰ ἀπὸ μέρους, ἵνα μὴ ἐπιβαρῶ, πάντας ὑμᾶς. 6ἱκανὸν τῷ τοιούτῳ ἡ ἐπιτιμία αὕτη ἡ ὑπὸ τῶν πλειόνων· 7ὥστε τοὐναντίον μᾶλλον ὑμᾶς χαρίσασθαι καὶ παρακαλέσαι, μήπως τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. 8διὸ παρακαλῶ ὑμᾶς κυρῶσαι εἰς αὐτὸν

Capitolul 2

Si am judecat în mine însumi aceasta, să nu vin iarăşi cu întristare la voi. 2Căci dacă eu vă întristez, cine este cel care să mă înveselească, dacă nu cel întristat de mine? 3Şi v-am scris vouă chiar aceasta, ca nu cumva, venind, să am întristare de la cei care ar trebui să mă bucure, încredințat fiind despre voi toți că bucuria mea este a voastră a tuturor. 4Căci din multă mâhnire şi strângere de inimă v-am scris cu multe lacrimi, nu ca să vă întristați, ci ca să cunoaşteți iubirea pe care o am cu prisosință față de voi.

Si dacă a făcut cineva întristare, nu pe mine m-a întristat, ci în parte – ca să nu îngreuiez – pe voi toți. 6Destul îi este unui astfel de om pedeapsa aceasta de la cei mai mulți; 7aşa încât, dimpotrivă, mai bine să-l iertați şi să-l mângâiați, nu cumva unul ca acesta să fie înghițit de şi mai multă

ἀγάπην. 9εἰς τοῦτο γὰρ καὶ ἔγραψα, ἵνα γνῶ τὴν δοκιμὴν ὑμῶν, εἰ εἰς πάντα ὑπήκοοί ἐστε. 10ᾧ δέ τι χαρίζεσθε, καὶ ἐγώ· καὶ γὰρ ἐγὼ εἴ τι κεχάρισμαι ᾧ κεχάρισμαι, δι' ὑμᾶς ἐν προσώπῳ Χριστοῦ, 11ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ σατανᾶ· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.

Ἐλθὼν δὲ εἰς τὴν Τρῳάδα εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, καὶ θύρας μοι ἀνεῳγμένης ἐν Κυρίῳ, 13οὐκ ἔσχηκα ἄνεσιν τῷ πνεύματί μου τῷ μὴ εὑρεῖν με Τίτον τὸν ἀδελφόν μου, ἀλλὰ ἀποταξάμενος αὐτοῖς ἐξῆλθον εἰς Μακεδονίαν. 14Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ· 15ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ ἐν τοῖς σῳζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις, 16οἷς μὲν ὀσμὴ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ζωῆς εἰς ζωήν. καὶ πρὸς ταῦτα τίς ἱκανός; 17οὐ γάρ ἐσμεν ὡς οἱ λοιποὶ καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ, ἀλλ' ὡς ἐξ εἰλικρινείας, ἀλλ' ὡς ἐκ Θεοῦ κατενώπιον τοῦ Θεοῦ ἐν Χριστῷ λαλοῦμεν.

întristare. 8De aceea, vă rog să adeveriți dragostea către el. 9Căci pentru aceasta v-am şi scris, ca să cunosc încercarea voastră, dacă întru toate sunteți ascultători. 10Iar cui îi iertați ceva, şi eu îi iert; căci şi eu, dacă am iertat ceva cuiva, am iertat pentru voi în fața lui Hristos, 11ca să nu fim covârşiți de satana; căci gândurile lui nu ne sunt necunoscute.

Şi venind la Troa pentru Evanghelia lui Hristos şi uşa fiindu-mi deschisă în Domnul, 13n-am avut tihnă cu duhul meu, pentru că n-am găsit pe Tit, fratele meu, ci despărțindu-mă de ei, am plecat în Macedonia. 14Şi mulțumire lui Dumnezeu, Celui ce totdeauna ne poartă biruitori în Hristos şi Care arată mireasma cunoştinței Lui prin noi în tot locul! 15Că bună-mireasmă a lui Hristos suntem lui Dumnezeu între cei ce se mântuiesc şi între cei ce pier, 16unora mireasmă a morții spre moarte, altora mireasmă a vieții spre viață. Şi pentru acestea cine este destoinic? 17Căci nu suntem ca ceilalți, măsluind cuvântul lui Dumnezeu, ci grăim ca din curăția inimii, ca de la Dumnezeu, înaintea lui Dumnezeu, în Hristos.

Κεφάλαιον Γ΄

Ἀρχόμεθα πάλιν ἑαυτοὺς συνιστάνειν; εἰ μὴ χρῄζομεν ὥς τινες συστατικῶν ἐπιστολῶν πρὸς ὑμᾶς ἢ ἐξ ὑμῶν συστατικῶν; 2ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε, ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων, 3φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ

Capitolul 3

Ncepem iarăşi să ne recomandăm pe noi înşine? Avem oare nevoie, ca unii, de scrisori de recomandare către voi sau de scrisori de recomandare de la voi? 2Scrisoarea noastră sunteți voi, scrisă în inimile noastre, cunoscută şi citită de toți oamenii, 3arătându-vă că sunteți scrisoare a lui Hris-

διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ Πνεύματι Θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλὰ ἐν πλαξὶ καρδίαις σαρκίναις. 4Πεποίθησιν δὲ τοιαύτην ἔχομεν διὰ τοῦ Χριστοῦ πρὸς τὸν Θεόν. 5οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν, ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ, 6ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος· τὸ γὰρ γράμμα ἀποκτένει, τὸ δὲ πνεῦμα ζωοποιεῖ. 7Εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόσωπον Μωϋσέως διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην, 8πῶς οὐχὶ μᾶλλον ἡ διακονία τοῦ πνεύματος ἔσται ἐν δόξῃ; 9εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ. 10καὶ γὰρ οὐδὲ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης. 11εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ. 12Ἔχοντες οὖν τοιαύτην ἐλπίδα πολλῇ παρρησίᾳ χρώμεθα, 13καὶ οὐ καθάπερ Μωϋσῆς ἐτίθει κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ πρὸς τὸ μὴ ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ τέλος τοῦ καταργουμένου. 14ἀλλ' ἐπωρώθη τὰ νοήματα αὐτῶν. ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον ὅτι ἐν Χριστῷ καταργεῖται, 15ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται· 16ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. 17ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν· οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία. 18ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενοι τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος.

tos, slujită de noi, scrisă nu cu cerneală, ci cu Duhul Dumnezeului Celui viu, nu pe table de piatră, ci pe tablele de carne ale inimilor. 4Şi o astfel de încredere avem prin Hristos către Dumnezeu. 5Nu că suntem destoinici de la noi înşine să cugetăm ceva ca de la noi înşine, ci destoinicia noastră este de la Dumnezeu, 6Care ne-a făcut destoinici să fim slujitori ai Noului Testament, nu ai literei, ci ai Duhului; pentru că litera ucide, iar Duhul face viu. 7Iar dacă slujirea morții întipărită cu litere în pietre s-a făcut în slavă, încât fiii lui Israel nu puteau să caute la fața lui Moise din pricina slavei celei trecătoare a feței lui, 8cum nu va fi mai mult în slavă slujirea Duhului? 9Căci, dacă slujirea osândei este slavă, cu atât mai mult prisoseşte slujirea dreptății în slavă! 10Căci, din pricina slavei covârşitoare, ceea ce era slăvit în această privință nici măcar nu mai este slăvit. 11Căci, dacă ceea ce era trecător s-a făcut prin slavă, cu mult mai mult ceea ce rămâne este în slavă. 12Având deci o astfel de nădejde, cu multă îndrăzneală ne purtăm, 13şi nu precum Moise îşi punea un văl pe fața lui, ca să nu caute fiii lui Israel la sfârşitul a ceea ce era trecător. 14Dar s-au împietrit gândurile lor, căci până astăzi acelaşi văl rămâne la citirea Vechiului Testament, nedezvelindu-se – pentru că în Hristos se desființează –, 15ci până astăzi, când se citeşte Moise, un văl stă pe inima lor; 16iar când cineva se întoarce către Domnul, se ridică vălul. 17Iar Domnul este Duhul; şi unde este Duhul Domnului, acolo este libertate. 18Iar noi toți, cu fața descoperită, oglindind slava Domnului, spre acelaşi chip ne schimbăm la față din slavă în slavă, ca de la Domnul Duhul.

Κεφάλαιον Δ΄

Διὰ τοῦτο, ἔχοντες τὴν διακονίαν
ταύτην καθὼς ἠλεήθημεν, οὐκ ἐκ-
κακοῦμεν, 2ἀλλ᾽ ἀπειπάμεθα
τὰ κρυπτὰ τῆς αἰσχύνης, μὴ
περιπατοῦντες ἐν πανουργίᾳ
μηδὲ δολοῦντες τὸν λόγον τοῦ
Θεοῦ, ἀλλὰ τῇ φανερώσει τῆς ἀληθείας συνι-
στῶντες ἑαυτοὺς πρὸς πᾶσαν συνείδησιν ἀν-
θρώπων ἐνώπιον τοῦ Θεοῦ. 3εἰ δὲ καὶ ἔστι
κεκαλυμμένον τὸ εὐαγγέλιον ἡμῶν, ἐν τοῖς
ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον, 4ἐν οἷς ὁ
θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήμα-
τα τῶν ἀπίστων εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν
φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης τοῦ Χρι-
στοῦ, ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ. 5οὐ γὰρ ἑαυ-
τοὺς κηρύσσομεν, ἀλλὰ Χριστὸν Ἰησοῦν Κύ-
ριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν.
6ὅτι ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι,
ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φω-
τισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν
προσώπῳ Ἰησοῦ Χριστοῦ. 7Ἔχομεν δὲ τὸν
θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν,
ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ
καὶ μὴ ἐξ ἡμῶν, 8ἐν παντὶ θλιβόμενοι ἀλλ᾽ οὐ
στενοχωρούμενοι, ἀπορούμενοι ἀλλ᾽ οὐκ ἐξα-
πορούμενοι, 9διωκόμενοι ἀλλ᾽ οὐκ ἐγκαταλει-
πόμενοι, καταβαλλόμενοι ἀλλ᾽ οὐκ ἀπολλύ-
μενοι, 10πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου
Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, ἵνα καὶ
ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανε-
ρωθῇ. 11ἀεὶ γὰρ ἡμεῖς οἱ ζῶντες εἰς θάνατον
παραδιδόμεθα διὰ Ἰησοῦν, ἵνα καὶ ἡ ζωὴ τοῦ
Ἰησοῦ φανερωθῇ ἐν τῇ θνητῇ σαρκὶ ἡμῶν.
12ὥστε ὁ μὲν θάνατος ἐν ἡμῖν ἐνεργεῖται, ἡ

Capitolul 4

De aceea, având această slujire, precum
am fost miluiți, nu ne pierdem cura-
jul, 2ci ne-am dezis de cele ascunse
ale ruşinii, neumblând cu vicleşug,
nici măsluind cuvântul lui Dumne-
zeu, ci, prin arătarea adevărului, înfăți-
şându-ne pe noi înşine la toată conştiința
oamenilor înaintea lui Dumnezeu. 3Şi chiar
dacă Evanghelia noastră este acoperită, ea
este acoperită pentru cei ce pier, 4întru care
dumnezeul veacului acestuia a orbit gân-
durile celor necredincioşi, ca să nu le strălucească lor luminarea Evangheliei slavei
lui Hristos, Care este chipul lui Dumnezeu.
5Căci nu ne propovăduim pe noi înşine, ci
pe Hristos Iisus Domn, iar pe noi înşine robi
ai voştri, pentru Iisus. 6Că Dumnezeu, Cel
ce a zis să strălucească lumină din întune-
ric, Acesta a strălucit în inimile noastre spre
luminarea cunoştinței slavei lui Dumnezeu,
întru fața lui Iisus Hristos. 7Şi avem comoa-
ra aceasta în vase de lut, ca măsura covârşi-
toare a puterii să fie a lui Dumnezeu, şi nu
din noi, 8strâmtorați în toate, dar nu stri-
viți, în grea încurcătură, dar nu fără cale de
ieşire; 9prigoniți, dar nu părăsiți; doborâți,
dar nu dați pierzării; 10totdeauna purtând
în trup omorârea Domnului Iisus, pentru
ca şi viața lui Iisus să se arate în trupul nos-
tru. 11Căci pururea noi cei vii ne dăm spre
moarte pentru Iisus, ca şi viața lui Iisus să se
arate în trupul nostru cel muritor. 12Astfel
în noi lucrează moartea, iar în voi viața. 13Şi
având acelaşi duh al credinței, după cum

δὲ ζωὴ ἐν ὑμῖν. 13ἔχοντες δὲ τὸ αὐτὸ πνεῦμα
τῆς πίστεως κατὰ τὸ γεγραμμένον, *ἐπίστευσα,*
διὸ ἐλάλησα, καὶ ἡμεῖς πιστεύομεν, διὸ καὶ
λαλοῦμεν, 14εἰδότες ὅτι ὁ ἐγείρας τὸν Κύριον
Ἰησοῦν καὶ ἡμᾶς διὰ Ἰησοῦ ἐγερεῖ καὶ πα-
ραστήσει σὺν ὑμῖν. 15τὰ γὰρ πάντα δι' ὑμᾶς,
ἵνα ἡ χάρις πλεονάσασα διὰ τῶν πλειόνων
τὴν εὐχαριστίαν περισσεύσῃ εἰς τὴν δόξαν
τοῦ Θεοῦ. 16Διὸ οὐκ ἐκκακοῦμεν, ἀλλ' εἰ καὶ
ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ
ἔσωθεν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ. 17τὸ
γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως ἡμῶν
καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος
δόξης κατεργάζεται ἡμῖν, 18μὴ σκοπούντων
ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα·
τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλε-
πόμενα αἰώνια.

este scris: *Crezut-am, pentru aceea am grăit,*
şi noi credem, pentru aceea şi grăim, 14ştiind că Cel ce a înviat pe Domnul Iisus ne va învia şi pe noi prin Iisus şi ne va înfăţişa împreună cu voi. 15Căci toate sunt pentru voi, pentru ca harul, înmulţindu-se, să prisosească prin mai mulţi mulţumirea spre slava lui Dumnezeu. 16De aceea, nu ne pierdem curajul, ci, chiar dacă omul nostru cel din afară se strică, cel dinăuntru se înnoieşte din zi în zi. 17Căci puţinul de o clipă al strâmtorării noastre ne lucrează cu prisosinţă spre prisosinţă mulţime veşnică a slavei, 18neluând noi seama la cele ce se văd, ci la cele ce nu se văd; căci cele ce se văd sunt vremelnice, iar cele ce nu se văd sunt veşnice.

Κεφάλαιον Ε΄

Οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία
τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ
Θεοῦ ἔχομεν, οἰκίαν ἀχειροποίητον
αἰώνιον ἐν τοῖς οὐρανοῖς. 2καὶ γὰρ
ἐν τούτῳ στενάζομεν, τὸ οἰκητήριον
ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι
ἐπιποθοῦντες, 3εἴ γε καὶ ἐνδυσάμενοι
οὐ γυμνοὶ εὑρεθησόμεθα. 4καὶ γὰρ οἱ ὄντες
ἐν τῷ σκήνει στενάζομεν, βαρούμενοι ἐφ' ᾧ
οὐ θέλομεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι,
ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς. 5ὁ δὲ
κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο Θεός, ὁ
καὶ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ Πνεύματος.
6Θαρροῦντες οὖν πάντοτε καὶ εἰδότες ὅτι ἐν-
δημοῦντες ἐν τῷ σώματι ἐκδημοῦμεν ἀπὸ τοῦ
Κυρίου, 7–διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ
διὰ εἴδους– 8θαρροῦμεν δὲ καὶ εὐδοκοῦμεν

Capitolul 5

Căci ştim că, dacă acest cort, locuinţa
noastră pământească, se va strica,
avem zidire de la Dumnezeu, locuinţă nefăcută de mână, veşnică, în ceruri. 2Căci în aceasta şi suspinăm, dorind mult să ne îmbrăcăm cu locaşul nostru cel din cer, 3dacă într-adevăr, odată îmbrăcaţi, nu vom fi aflaţi goi. 4Că şi cei ce suntem în cort suspinăm îngreuiaţi, pentru că nu vrem să ne dezbrăcăm de el, ci să ne îmbrăcăm peste el, ca ceea ce este muritor să fie înghiţit de viaţă. 5Iar Cel ce ne-a lucrat spre aceasta este Dumnezeu, Care ne-a şi dat nouă arvuna Duhului. 6Deci îndrăznind totdeauna şi ştiind că, sălăşluind în trup, suntem departe de Domnul, 7căci umblăm prin credinţă, nu prin vedere,

μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ ἐνδημῆσαι πρὸς τὸν Κύριον. 9διὸ καὶ φιλοτιμούμεθα, εἴτε ἐνδημοῦντες εἴτε ἐκδημοῦντες, εὐάρεστοι αὐτῷ εἶναι. 10τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε κακόν.

Εἰδότες οὖν τὸν φόβον τοῦ Κυρίου ἀνθρώπους πείθομεν, Θεῷ δὲ πεφανερώμεθα, ἐλπίζω δὲ καὶ ἐν ταῖς συνειδήσεσιν ὑμῶν πεφανερῶσθαι. 12οὐ γὰρ πάλιν ἑαυτοὺς συνιστάνομεν ὑμῖν, ἀλλὰ ἀφορμὴν διδόντες ὑμῖν καυχήματος ὑπὲρ ἡμῶν, ἵνα ἔχητε πρὸς τοὺς ἐν προσώπῳ καυχωμένους καὶ οὐ καρδίᾳ. 13εἴτε γὰρ ἐξέστημεν, Θεῷ, εἴτε σωφρονοῦμεν, ὑμῖν. 14ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον· 15καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι. 16Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. 17ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα. 18τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ τοῦ καταλλάξαντος ἡμᾶς ἑαυτῷ διὰ Ἰησοῦ Χριστοῦ καὶ δόντος ἡμῖν τὴν διακονίαν τῆς καταλλαγῆς, 19ὡς ὅτι Θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν, καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. 20Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι᾽ ἡμῶν· δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ· 21τὸν γὰρ μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ.

8îndrăznim şi voim mai degrabă să sălăşluim afară din trup şi să fim la Domnul. 9De aceea şi râvnim, fie înăuntru, fie în afară, să fim bineplăcuți Lui. 10Căci noi toți trebuie să ne înfățişăm înaintea scaunului de judecată al lui Hristos, ca fiecare să primească cele prin trup, după cum a lucrat, fie bine, fie rău.

Deci, cunoscând noi frica de Domnul, pe oameni îi înduplecăm, dar lui Dumnezeu Îi suntem vădiți, şi nădăjduiesc să fim vădiți şi în conştiințele voastre. 12Căci nu ne recomandăm iarăşi pe noi înşine înaintea voastră, ci vă dăm prilej de laudă pentru noi, ca să aveți răspuns către cei ce se laudă cu fața, şi nu cu inima. 13Căci, dacă ne-am ieşit din minți, este pentru Dumnezeu, iar dacă suntem cu mintea întreagă, este pentru voi. 14Căci iubirea lui Hristos ne cuprinde pe noi cei care socotim aceasta, că dacă Unul a murit pentru toți, atunci toți au murit; 15şi pentru toți a murit, ca cei ce trăiesc să nu mai trăiască loruşi, ci Celui care a murit şi a înviat pentru ei. 16Astfel, de acum, noi nu mai ştim pe nimeni după trup; şi chiar dacă L-am cunoscut pe Hristos după trup, totuşi acum nu-L mai cunoaştem aşa. 17Astfel, dacă este cineva în Hristos, este zidire nouă; cele vechi au trecut, iată s-au făcut noi toate. 18Şi toate sunt de la Dumnezeu, Care ne-a împăcat pe noi cu Sine prin Iisus Hristos şi Care ne-a dat nouă slujirea împăcării. 19Adică Dumnezeu era în Hristos împăcând lumea cu Sine Însuşi, nesocotindu-le lor greşelile şi punând în noi cuvântul împăcării. 20Deci, în numele lui Hristos solim, ca şi cum Dumnezeu ar îndemna prin noi; vă rugăm, pentru Hristos, împăcați-vă cu Dumnezeu! 21Căci pe Cel ce n-a cunoscut păcat L-a făcut pentru noi păcat, ca noi, în El, să fim făcuți dreptate a lui Dumnezeu.

Κεφάλαιον ς΄

Συνεργοῦντες δὲ καὶ παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς 2–λέγει γάρ· *καιρῷ δεκτῷ ἐπήκουσά σου καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι*· ἰδοὺ νῦν *καιρὸς εὐπρόσδεκτος*, ἰδοὺ νῦν *ἡμέρα σωτηρίας*–, 3μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία, 4ἀλλ᾽ ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, 5ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, 6ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν Πνεύματι Ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, 7ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ, διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, 8διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας, ὡς πλάνοι καὶ ἀληθεῖς, 9ὡς ἀγνοούμενοι καὶ ἐπιγινωσκόμενοι, ὡς ἀποθνῄσκοντες καὶ ἰδοὺ ζῶμεν, ὡς παιδευόμενοι καὶ μὴ θανατούμενοι, 10ὡς λυπούμενοι ἀεὶ δὲ χαίροντες, ὡς πτωχοὶ πολλοὺς δὲ πλουτίζοντες, ὡς μηδὲν ἔχοντες καὶ πάντα κατέχοντες. 11Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι, ἡ καρδία ἡμῶν πεπλάτυνται· 12οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν· 13τὴν δὲ αὐτὴν ἀντιμισθίαν, ὡς τέκνοις λέγω, πλατύνθητε καὶ ὑμεῖς.

Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις· τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; τίς

Capitolul 6

Şi lucrând noi împreună cu El, vă şi rugăm să nu primiţi în deşert harul lui Dumnezeu 2 – căci zice: *La vreme primită te-am ascultat şi în ziua mântuirii am ajutat ţie;* iată acum *vreme bineprimită*, iată acum *zi a mântuirii* –, 3nedând în nimic nici o sminteală, ca să nu se prihănească slujirea, 4ci în toate înfăţişându-ne pe noi înşine ca slujitori ai lui Dumnezeu, în răbdare multă, în necazuri, în nevoi, în strâmtorări, 5în bătăi, în temniţe, în tulburări, în osteneli, în privegheri, în posturi; 6în curăţie, în cunoaştere, în îndelungă-răbdare, în bunătate, în Duhul Sfânt, în dragoste nefăţarnică; 7în cuvântul adevărului, în puterea lui Dumnezeu, prin armele dreptăţii, cele de-a dreapta şi cele de-a stânga, 8prin slavă şi necinste, prin defăimare şi bună faimă; ca nişte amăgitori, şi totuşi adevăraţi, 9ca nişte necunoscuţi, şi totuşi bine cunoscuţi, ca unii care murim, şi iată trăim, ca nişte pedepsiţi, şi totuşi nu daţi morţii; 10ca nişte întristaţi, dar pururea bucurându-ne; ca nişte săraci, dar pe mulţi îmbogăţind; ca unii care nu avem nimic, dar având în stăpânire toate. 11Gura noastră s-a deschis către voi, corintenilor, inima noastră s-a lărgit. 12Nu în noi sunteţi strâmtoraţi, ci în cele dinlăuntru ale voastre sunteţi strâmtoraţi; 13şi aceeaşi răsplată daţi-mi, ca unor copii vă spun, lărgiţi-vă şi voi!

Nu vă înjugaţi la jug străin cu cei necredincioşi! Căci care este părtăşia

δὲ κοινωνία φωτὶ πρὸς σκότος; 15τίς δὲ συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; 16τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος, καθὼς εἶπεν ὁ Θεὸς ὅτι *ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μοι λαός.* 17διὸ *ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, λέγει Κύριος, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, κἀγὼ εἰσδέξομαι ὑμᾶς,* 18*καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος παντοκράτωρ.*

dreptății cu fărădelegea? Sau care este împărtășirea luminii cu întunericul? 15Și ce învoire are Hristos cu Veliar; sau care este partea credinciosului cu un necredincios? 16Sau ce înțelegere este între templul lui Dumnezeu și idoli? Căci voi sunteți templu al Dumnezeului celui viu, precum a zis Dumnezeu: *Voi locui în ei și voi umbla întru ei și voi fi Dumnezeul lor și ei Îmi vor fi Mie popor.* 17Pentru aceea: *Ieșiți din mijlocul lor și osebiți-vă, zice Domnul, și de ce este necurat nu vă atingeți și Eu vă voi primi pe voi.* 18*Și vă voi fi vouă Părinte, și Îmi veți fi Mie fii și fiice, zice Domnul Atotțiitorul.*

Κεφάλαιον Ζ΄

Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, ἀγαπητοί, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ. 2Χωρήσατε ἡμᾶς· οὐδένα ἠδικήσαμεν, οὐδένα ἐφθείραμεν, οὐδένα ἐπλεονεκτήσαμεν. 3οὐ πρὸς κατάκρισιν λέγω· προείρηκα γὰρ ὅτι ἐν ταῖς καρδίαις ἡμῶν ἐστε εἰς τὸ συναποθανεῖν καὶ συζῆν. 4πολλή μοι παρρησία πρὸς ὑμᾶς, πολλή μοι καύχησις ὑπὲρ ὑμῶν· πεπλήρωμαι τῇ παρακλήσει, ὑπερπερισσεύομαι τῇ χαρᾷ ἐπὶ πάσῃ τῇ θλίψει ἡμῶν. 5Καὶ γὰρ ἐλθόντων ἡμῶν εἰς Μακεδονίαν οὐδεμίαν ἔσχηκεν ἄνεσιν ἡ σὰρξ ἡμῶν, ἀλλ' ἐν παντὶ θλιβόμενοι· ἔξωθεν μάχαι, ἔσωθεν φόβοι. 6ἀλλ' ὁ παρακαλῶν τοὺς ταπεινοὺς παρεκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐν τῇ παρουσίᾳ

Capitolul 7

Având deci aceste făgăduințe, iubiților, să ne curățim pe noi înșine de toată întinăciunea trupului și a duhului, săvârșind sfințenie în frica de Dumnezeu. 2Cuprindeți-ne înăuntrul vostru! Pe nimeni n-am nedreptățit, pe nimeni n-am păgubit, asupra nimănui nu m-am lăcomit. 3Nu spre osândire grăiesc; căci v-am spus mai înainte că sunteți în inimile noastre, ca împreună să murim și împreună să trăim. 4Multă îmi este îndrăznirea către voi, multă îmi este lauda pentru voi; umplutu-m-am de mângâiere, peste măsură sunt covârșit de bucurie, în toată strâmtorarea noastră. 5Căci, venind noi în Macedonia, n-a avut nici o tihnă trupul nostru, ci în toate am fost strâmtorați; din afară lupte, dinăuntru

Τίτου· 7οὐ μόνον δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἐν τῇ παρακλήσει ᾗ παρεκλήθη ἐφ' ὑμῖν, ἀναγγέλλων ἡμῖν τὴν ὑμῶν ἐπιπόθησιν, τὸν ὑμῶν ὀδυρμόν, τὸν ὑμῶν ζῆλον ὑπὲρ ἐμοῦ, ὥστε με μᾶλλον χαρῆναι, 8ὅτι εἰ καὶ ἐλύπησα ὑμᾶς ἐν τῇ ἐπιστολῇ, οὐ μεταμέλομαι, εἰ καὶ μετεμελόμην· βλέπω γὰρ ὅτι ἡ ἐπιστολὴ ἐκείνη, εἰ καὶ πρὸς ὥραν, ἐλύπησεν ὑμᾶς. 9νῦν χαίρω, οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν· ἐλυπήθητε γὰρ κατὰ Θεόν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν. 10ἡ γὰρ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον κατεργάζεται· ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται. 11ἰδοὺ γὰρ αὐτὸ τοῦτο, τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς, πόσην κατειργάσατο ὑμῖν σπουδήν, ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν. ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι ἐν τῷ πράγματι. 12ἄρα εἰ καὶ ἔγραψα ὑμῖν, οὐχ εἵνεκεν τοῦ ἀδικήσαντος, οὐδὲ εἵνεκεν τοῦ ἀδικηθέντος, ἀλλ' εἵνεκεν τοῦ φανερωθῆναι τὴν σπουδὴν ὑμῶν τὴν ὑπὲρ ἡμῶν πρὸς ὑμᾶς ἐνώπιον τοῦ Θεοῦ. 13Διὰ τοῦτο παρακεκλήμεθα. ἐπὶ δὲ τῇ παρακλήσει ὑμῶν περισσοτέρως μᾶλλον ἐχάρημεν ἐπὶ τῇ χαρᾷ Τίτου, ὅτι ἀναπέπαυται τὸ πνεῦμα αὐτοῦ ἀπὸ πάντων ὑμῶν· 14ὅτι εἴ τι αὐτῷ ὑπὲρ ὑμῶν κεκαύχημαι, οὐ κατῃσχύνθην, ἀλλ' ὡς πάντα ἐν ἀληθείᾳ ἐλαλήσαμεν ὑμῖν, οὕτω καὶ ἡ καύχησις ἡμῶν ἡ ἐπὶ Τίτου ἀλήθεια ἐγενήθη. 15καὶ τὰ σπλάγχνα αὐτοῦ περισσοτέρως εἰς ὑμᾶς ἐστιν ἀναμιμνησκομένου τὴν πάντων ὑμῶν ὑπακοήν, ὡς μετὰ φόβου καὶ τρόμου ἐδέξασθε αὐτόν. 16χαίρω ὅτι ἐν παντὶ θαρρῶ ἐν ὑμῖν.

temeri. 6Dar Cel ce mângâie pe cei smeriți, Dumnezeu, ne-a mângâiat pe noi cu venirea lui Tit. 7Şi nu numai cu venirea lui, ci şi cu mângâierea cu care el a fost mângâiat la voi, vestindu-ne nouă dorul vostru, jeluirea voastră, râvna voastră pentru mine, ca eu mai mult să mă bucur. 8Că, deşi v-am întristat prin epistolă, nu mă căiesc, chiar dacă m-am căit; căci văd că epistola aceea, fie şi numai pentru un timp, v-a întristat. 9Acum mă bucur, nu pentru că v-ați întristat, ci pentru că v-ați întristat spre pocăință; căci v-ați întristat după Dumnezeu, ca întru nimic să nu fiți păgubiți de către noi. 10Căci întristarea după Dumnezeu lucrează pocăință fără părere de rău, spre mântuire; iar întristarea lumii lucrează moarte. 11Că iată, însăşi aceasta, că v-ați întristat după Dumnezeu, câtă sârguință v-a lucrat, ce cuvânt de apărare, câtă mânie, câtă frică, câtă dorire, câtă râvnă, câtă răzbunare; întru totul v-ați înfățişat pe voi înşivă a fi curați în acest lucru. 12De aceea, chiar dacă v-am scris, nu din pricina celui ce a nedreptățit, nici din pricina celui nedreptățit, ci ca sârguința voastră, cea pentru noi, să se învedereze la voi, înaintea lui Dumnezeu. 13De aceea ne-am mângâiat. Dar, pe lângă mângâierea voastră, mai mult ne-am bucurat cu prisosință de bucuria lui Tit, căci duhul lui a fost odihnit de voi toți; 14că dacă m-am lăudat înaintea lui cu ceva pentru voi, n-am fost ruşinat, ci precum toate vi le-am grăit întru adevăr, aşa şi lauda noastră cea către Tit s-a făcut adevăr. 15Şi inima lui este cu prisosință spre voi, aducându-şi aminte de ascultarea voastră a tuturor, cum cu frică şi cu cutremur l-ați primit. 16Mă bucur că în toate mă încred în voi.

Κεφάλαιον Η΄

Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὴν χάριν τοῦ Θεοῦ τὴν δεδομένην ἐν ταῖς ἐκκλησίαις τῆς Μακεδονίας, 2ὅτι ἐν πολλῇ δοκιμῇ θλίψεως ἡ περισσεία τῆς χαρᾶς αὐτῶν καὶ ἡ κατὰ βάθους πτωχεία αὐτῶν ἐπερίσσευσεν εἰς τὸν πλοῦτον τῆς ἁπλότητος αὐτῶν· 3ὅτι κατὰ δύναμιν, μαρτυρῶ, καὶ ὑπὲρ δύναμιν, αὐθαίρετοι, 4μετὰ πολλῆς παρακλήσεως δεόμενοι ἡμῶν τὴν χάριν καὶ τὴν κοινωνίαν τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους, 5καὶ οὐ καθὼς ἠλπίσαμεν, ἀλλ' ἑαυτοὺς ἔδωκαν πρῶτον τῷ Κυρίῳ καὶ ἡμῖν διὰ θελήματος Θεοῦ, 6εἰς τὸ παρακαλέσαι ἡμᾶς Τίτον, ἵνα καθὼς προενήρξατο οὕτω καὶ ἐπιτελέσῃ εἰς ὑμᾶς καὶ τὴν χάριν ταύτην. 7ἀλλ' ὥσπερ ἐν παντὶ περισσεύετε, πίστει καὶ λόγῳ καὶ γνώσει καὶ πάσῃ σπουδῇ καὶ τῇ ἐξ ὑμῶν ἐν ἡμῖν ἀγάπῃ, ἵνα καὶ ἐν ταύτῃ τῇ χάριτι περισσεύητε. 8οὐ κατ' ἐπιταγὴν λέγω, ἀλλὰ διὰ τῆς ἑτέρων σπουδῆς καὶ τὸ τῆς ὑμετέρας ἀγάπης γνήσιον δοκιμάζων· 9γινώσκετε γὰρ τὴν χάριν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ὑμᾶς ἐπτώχευσε πλούσιος ὤν, ἵνα ὑμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσητε. 10καὶ γνώμην ἐν τούτῳ δίδωμι· τοῦτο γὰρ ὑμῖν συμφέρει, οἵτινες οὐ μόνον τὸ ποιῆσαι, ἀλλὰ καὶ τὸ θέλειν προενήρξασθε ἀπὸ πέρυσι· 11νυνὶ δὲ καὶ τὸ ποιῆσαι ἐπιτελέσατε, ὅπως καθάπερ ἡ προθυμία τοῦ θέλειν, οὕτω καὶ τὸ ἐπιτελέσαι ἐκ τοῦ ἔχειν. 12εἰ γὰρ ἡ προθυμία πρόκειται, καθὸ ἐὰν ἔχῃ τις εὐπρόσδεκτος, οὐ καθὸ οὐκ ἔχει. 13οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλῖψις, ἀλλ' ἐξ ἰσότητος ἐν τῷ νῦν καιρῷ τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, 14ἵνα καὶ

Capitolul 8

Şi vă fac cunoscut, fraţilor, harul lui Dumnezeu cel dat în Bisericile Macedoniei, 2că, în multa încercare a strâmtorării, prisosul bucuriei lor şi sărăcia lor cea adâncă au prisosit spre bogăţia dărniciei lor; 3că după putere – mărturisesc – şi peste putere au urmat voinţei lor, 4cu multă rugăminte cerându-ne harul şi împărtăşirea slujirii celei către sfinţi, 5şi nu precum am nădăjduit noi, ci pe ei înşişi s-au dat mai întâi Domnului şi nouă, prin voia lui Dumnezeu, 6încât l-am rugat pe Tit ca, precum a început mai dinainte, aşa să săvârşească la voi şi harul acesta. 7Ci precum în toate prisosiţi, în credinţă şi în cuvânt şi în cunoaştere şi în toată sârguinţa şi în iubirea cea de la voi spre noi, aşa şi în acest har să prisosiţi. 8Nu ca o poruncă o spun, ci, prin sârguinţa altora, încercând şi adevărul dragostei voastre; 9căci cunoaşteţi harul Domnului nostru Iisus Hristos, că pentru voi a sărăcit, bogat fiind, pentru ca voi cu sărăcia Lui să vă îmbogăţiţi. 10Şi sfat vă dau în aceasta; că vă este de folos vouă, care aţi început mai dinainte, de anul trecut, nu numai a face, ci şi a voi; 11acum însă şi a face să săvârşiţi, ca, după cum vă este osârdia de a voi, tot aşa să vă fie şi aceea de a săvârşi din ceea ce aveţi. 12Căci, de este osârdie, este bineprimită după cât are cineva, nu după cât nu are. 13Căci nu ca altora să le fie uşurare, iar vouă strâmtorare, ci spre potrivire: în vremea de acum prisosul vostru să fie pentru lipsa acelora, 14ca şi prisosul

τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα, ὅπως γένηται ἰσότης, 15καθὼς γέγραπται· *ὁ τὸ πολὺ οὐκ ἐπλεόνασε, καὶ ὁ τὸ ὀλίγον οὐκ ἠλαττόνησε.*

Χάρις δὲ τῷ Θεῷ τῷ διδόντι τὴν αὐτὴν σπουδὴν ὑπὲρ ὑμῶν ἐν τῇ καρδίᾳ Τίτου, 17ὅτι τὴν μὲν παράκλησιν ἐδέξατο, σπουδαιότερος δὲ ὑπάρχων αὐθαίρετος ἐξῆλθε πρὸς ὑμᾶς. 18συνεπέμψαμεν δὲ μετ' αὐτοῦ τὸν ἀδελφὸν οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν 19–οὐ μόνον δέ, ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκκλησιῶν συνέκδημος ἡμῶν σὺν τῇ χάριτι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν πρὸς τὴν αὐτοῦ τοῦ Κυρίου δόξαν καὶ προθυμίαν ἡμῶν–, 20στελλόμενοι τοῦτο, μή τις ἡμᾶς μωμήσηται ἐν τῇ ἁδρότητι ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν, 21προνοούμενοι καλὰ οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. 22συνεπέμψαμεν δὲ αὐτοῖς τὸν ἀδελφὸν ἡμῶν, ὃν ἐδοκιμάσαμεν ἐν πολλοῖς πολλάκις σπουδαῖον ὄντα, νυνὶ δὲ πολὺ σπουδαιότερον πεποιθήσει πολλῇ τῇ εἰς ὑμᾶς. 23εἴτε ὑπὲρ Τίτου, κοινωνὸς ἐμὸς καὶ εἰς ὑμᾶς συνεργός· εἴτε ἀδελφοὶ ἡμῶν, ἀπόστολοι ἐκκλησιῶν, δόξα Χριστοῦ. 24Τὴν οὖν ἔνδειξιν τῆς ἀγάπης ὑμῶν καὶ ἡμῶν καυχήσεως ὑπὲρ ὑμῶν εἰς αὐτοὺς ἐνδείξασθε εἰς πρόσωπον τῶν ἐκκλησιῶν.

acelora să fie pentru lipsa voastră, spre a se face potrivire, 15precum este scris: *Celui cu mult nu i-a prisosit şi celui cu puţin nu i s-a împuţinat.*

Dar mulţumire lui Dumnezeu, Celui ce dă aceeaşi sârguinţă pentru voi în inima lui Tit. 17Că el a primit îndemnul şi, mai sârguitor fiind, de bunăvoie a plecat către voi. 18Şi l-am trimis împreună cu el şi pe fratele a cărui laudă întru Evanghelie este în toate Bisericile 19 – şi nu numai atât, ci şi hirotonit de către Biserici spre a fi însoţitor al nostru la harul acesta slujit de către noi, spre slava Domnului Însuşi şi spre osârdia noastră –, 20ferindu-ne de aceasta, să nu ne prihănească cineva în această îmbelşugată strângere slujită de noi, 21îngrijindu-ne de cele bune nu numai înaintea Domnului, ci şi înaintea oamenilor. 22Şi l-am trimis împreună cu ei pe fratele nostru, pe care, de multe ori, noi l-am dovedit în multe încercări ca fiind osârduitor, iar acum cu mult mai sârguitor, prin multa lui încredere în voi. 23Cât despre Tit, el este părtaş mie şi împreună-lucrător la voi; iar fraţii noştri sunt apostoli ai Bisericilor, slavă a lui Hristos. 24Deci, dovada dragostei voastre şi a laudei noastre pentru voi arătaţi-o către ei în faţa Bisericilor.

Κεφάλαιον Θ΄

Περὶ μὲν γὰρ τῆς διακονίας τῆς εἰς τοὺς ἁγίους περισσόν μοί ἐστι τὸ γράφειν ὑμῖν· 2οἶδα γὰρ τὴν προθυμίαν ὑμῶν ἣν ὑπὲρ ὑμῶν καυχῶμαι Μακεδόσιν, ὅτι Ἀχαΐα παρεσκεύασται ἀπὸ πέρυσι· καὶ ὁ ἐξ ὑμῶν ζῆλος ἠρέθισε τοὺς πλείονας. 3ἔπεμ-

Capitolul 9

Cât despre slujirea cea pentru sfinţi îmi este de prisos să vă scriu; 2că ştiu osârdia voastră, cu care mă laud pentru voi înaintea macedonenilor, că Ahaia s-a pregătit de anul trecut; şi râvna din voi i-a stârnit pe cei mai mulţi. 3Şi am trimis pe fraţi, ca

ψα δὲ τοὺς ἀδελφούς, ἵνα μὴ τὸ καύχημα
ἡμῶν τὸ ὑπὲρ ὑμῶν κενωθῇ ἐν τῷ μέρει τούτῳ, ἵνα, καθὼς ἔλεγον, παρεσκευασμένοι
ἦτε, 4μήπως ἐὰν ἔλθωσι σὺν ἐμοὶ Μακεδόνες
καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκευάστους, καταισχυνθῶμεν ἡμεῖς, ἵνα μὴ λέγωμεν ὑμεῖς, ἐν
τῇ ὑποστάσει ταύτῃ τῆς καυχήσεως. 5ἀναγκαῖον οὖν ἡγησάμην παρακαλέσαι τοὺς
ἀδελφοὺς ἵνα προέλθωσιν εἰς ὑμᾶς καὶ προκαταρτίσωσι τὴν προκατηγγελμένην εὐλογίαν ὑμῶν, ταύτην ἑτοίμην εἶναι, οὕτως ὡς
εὐλογίαν καὶ μὴ ὡς πλεονεξίαν. 6Τοῦτο δέ, ὁ
σπείρων φειδομένως φειδομένως καὶ θερίσει,
καὶ ὁ σπείρων ἐπ' εὐλογίαις ἐπ' εὐλογίαις καὶ
θερίσει. 7ἕκαστος καθὼς προαιρεῖται τῇ καρδίᾳ, μὴ ἐκ λύπης ἢ ἐξ ἀνάγκης· ἱλαρὸν γὰρ
δότην ἀγαπᾷ ὁ Θεός. 8δυνατὸς δὲ ὁ Θεὸς
πᾶσαν χάριν περισσεῦσαι εἰς ὑμᾶς, ἵνα ἐν
παντὶ πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες
περισσεύητε εἰς πᾶν ἔργον ἀγαθόν, 9καθὼς
γέγραπται· *ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν·*
ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα. 10ὁ
δὲ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι καὶ ἄρτον εἰς βρῶσιν χορηγήσαι καὶ πληθύναι τὸν
σπόρον ὑμῶν καὶ αὐξήσαι τὰ γενήματα τῆς
δικαιοσύνης ὑμῶν· 11ἐν παντὶ πλουτιζόμενοι εἰς πᾶσαν ἁπλότητα, ἥτις κατεργάζεται δι' ἡμῶν εὐχαριστίαν τῷ Θεῷ· 12ὅτι ἡ
διακονία τῆς λειτουργίας ταύτης οὐ μόνον
ἐστὶ προσαναπληροῦσα τὰ ὑστερήματα τῶν
ἁγίων, ἀλλὰ καὶ περισσεύουσα διὰ πολλῶν
εὐχαριστιῶν τῷ Θεῷ, 13διὰ τῆς δοκιμῆς τῆς
διακονίας ταύτης δοξάζοντες τὸν Θεὸν ἐπὶ
τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ καὶ ἁπλότητι τῆς κοινωνίας εἰς αὐτοὺς καὶ εἰς πάντας, 14καὶ αὐτῶν
δεήσει ὑπὲρ ὑμῶν, ἐπιποθούντων ὑμᾶς διὰ
τὴν ὑπερβάλλουσαν χάριν τοῦ Θεοῦ ἐφ' ὑμῖν.
15χάρις δὲ τῷ Θεῷ ἐπὶ τῇ ἀνεκδιηγήτῳ αὐτοῦ
δωρεᾷ.

nu cumva lauda noastră cea despre voi să
se facă deşartă în această privinţă, pentru
ca, precum ziceam, să fiţi pregătiţi, 4ca nu
cumva, dacă vin împreună cu mine macedonenii şi vă găsesc nepregătiţi, să fim ruşinaţi noi – ca să nu zicem voi – în această
stare a laudei. 5Am socotit deci că este nevoie să-i rog pe fraţi să vină mai întâi la voi
şi să pregătească binecuvântarea voastră
cea vestită de mai înainte, ca aceasta să fie
gata, aşa, ca o binecuvântare, şi nu ca o lăcomie. 6Iar aceasta este: Cel ce seamănă cu
zgârcenie cu zgârcenie va şi secera, iar cel
ce seamănă cu binecuvântări cu binecuvântări va şi secera. 7Fiecare aşa cum alege cu
inima sa, nu din întristare sau de nevoie,
căci pe cel ce dă cu voie bună îl iubeşte
Dumnezeu. 8Şi puternic este Dumnezeu să
facă să prisosească tot harul la voi, ca, în
toate totdeauna toată îndestularea având,
să prisosiţi întru tot lucrul bun, 9precum
este scris: *Risipit-a, dat-a sărmanilor; dreptatea Lui rămâne în veac.* 10Iar Cel ce dăruieşte sămânţă semănătorului şi pâine spre
mâncare să dea şi să înmulţească sămânţa
voastră şi să sporească roadele dreptăţii
voastre, 11în toate fiind voi îmbogăţiţi spre
toată dărnicia, care lucrează, prin noi, mulţumire lui Dumnezeu; 12că slujirea acestei lucrări nu numai că plineşte lipsurile
sfinţilor, ci şi prisoseşte, prin multe mulţumiri lui Dumnezeu, 13datorită cercării acestei slujiri, slăvind ei pe Dumnezeu, pentru supunerea mărturisirii voastre faţă de
Evanghelia lui Hristos şi pentru dărnicia
împărtăşirii către ei şi către toţi, 14şi prin
rugăciunea lor pentru voi, dorindu-vă ei
pe voi pentru harul covârşitor al lui Dumnezeu peste voi. 15Iar lui Dumnezeu mulţumire, pentru darul Său cel de negrăit!

Κεφάλαιον Ι΄

Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πραΰτητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ, ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς· 2δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς ὡς κατὰ σάρκα περιπατοῦντας. 3Ἐν σαρκὶ γὰρ περιπατοῦντες οὐ κατὰ σάρκα στρατευόμεθα 4 –τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικά, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων–, 5λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ, 6καὶ ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή. 7Τὰ κατὰ πρόσωπον βλέπετε. εἴ τις πέποιθεν ἑαυτῷ Χριστοῦ εἶναι, τοῦτο λογιζέσθω πάλιν ἀφ' ἑαυτοῦ, ὅτι καθὼς αὐτὸς Χριστοῦ, οὕτω καὶ ἡμεῖς Χριστοῦ. 8ἐάν τε γὰρ καὶ περισσότερόν τι καυχήσωμαι περὶ τῆς ἐξουσίας ἡμῶν, ἧς ἔδωκεν ὁ Κύριος ἡμῖν εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν ὑμῶν, οὐκ αἰσχυνθήσομαι, 9ἵνα μὴ δόξω ὡς ἂν ἐκφοβεῖν ὑμᾶς διὰ τῶν ἐπιστολῶν. 10ὅτι αἱ μὲν ἐπιστολαί, φησί, βαρεῖαι καὶ ἰσχυραί, ἡ δὲ παρουσία τοῦ σώματος ἀσθενὴς καὶ ὁ λόγος ἐξουθενημένος. 11τοῦτο λογιζέσθω ὁ τοιοῦτος, ὅτι οἷοί ἐσμεν τῷ λόγῳ δι' ἐπιστολῶν ἀπόντες, τοιοῦτοι καὶ παρόντες τῷ ἔργῳ. 12Οὐ γὰρ τολμῶμεν ἐγκρῖναι ἢ συγκρῖναι ἑαυτούς τισι τῶν ἑαυτοὺς συνιστανόντων· ἀλλὰ αὐτοὶ ἐν ἑαυτοῖς ἑαυτοὺς μετροῦντες

Capitolul 10

Si eu însumi, Pavel, vă rog prin blândeţea şi îngăduinţa lui Hristos, eu, care de faţă sunt smerit între voi, dar, departe fiind, îndrăznesc către voi; 2şi mă rog ca, fiind de faţă, să nu îndrăznesc cu încrederea cu care socotesc că voi cuteza împotriva unora care ne socotesc ca umblând după trup. 3Căci, în trup umblând, nu după trup ne luptăm 4 – căci armele luptei noastre nu sunt trupeşti, ci puternice prin Dumnezeu spre surparea întăriturilor –, 5surpând gândurile şi toată înălţarea ce se ridică împotriva cunoaşterii lui Dumnezeu şi robind orice mişcare a minţii spre ascultarea lui Hristos, 6şi gata fiind să răzbunăm toată neascultarea, când se va plini ascultarea voastră. 7Voi vă uitaţi la faţa lucrurilor. Dacă cineva este încredinţat în sinea lui că este al lui Hristos, aceasta să gândească iarăşi de la sine, că precum el însuşi este al lui Hristos, tot aşa şi noi suntem ai lui Hristos. 8Căci chiar dacă mă voi lăuda ceva mai mult cu puterea noastră, pe care ne-a dat-o Domnul spre zidirea, iar nu spre surparea voastră, nu mă voi ruşina, 9ca să nu par că v-aş înfricoşa prin epistole. 10Că epistolele lui, zic ei, sunt grele şi tari, dar venirea sa cu trupul este slabă şi cuvântul de nimic. 11Aceasta să gândească unul ca acesta, că, aşa cum suntem cu cuvântul, prin scrisori, departe fiind, tot aşa suntem şi cu fapta, de faţă fiind. 12Căci nu îndrăznim să ne numărăm sau să ne asemănăm pe noi înşine cu

καὶ συγκρίνοντες ἑαυτοὺς ἑαυτοῖς οὐ συνιοῦσιν. 13ἡμεῖς δὲ οὐχὶ εἰς τὰ ἄμετρα καυχησόμεθα, ἀλλὰ κατὰ τὸ μέτρον τοῦ κανόνος οὗ ἐμέρισεν ἡμῖν ὁ Θεὸς μέτρου, ἐφικέσθαι ἄχρι καὶ ὑμῶν. 14οὐ γὰρ ὡς μὴ ἐφικνούμενοι εἰς ὑμᾶς ὑπερεκτείνομεν ἑαυτούς· ἄχρι γὰρ καὶ ὑμῶν ἐφθάσαμεν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, 15οὐκ εἰς τὰ ἄμετρα καυχώμενοι ἐν ἀλλοτρίοις κόποις, ἐλπίδα δὲ ἔχοντες, αὐξανομένης τῆς πίστεως ὑμῶν, ἐν ὑμῖν μεγαλυνθῆναι κατὰ τὸν κανόνα ἡμῶν εἰς περισσείαν, 16εἰς τὰ ὑπερέκεινα ὑμῶν εὐαγγελίσασθαι, οὐκ ἐν ἀλλοτρίῳ κανόνι εἰς τὰ ἕτοιμα καυχήσασθαι. 17*Ὁ δὲ καυχώμενος ἐν Κυρίῳ καυχάσθω*· 18οὐ γὰρ ὁ ἑαυτὸν συνιστῶν, ἐκεῖνός ἐστι δόκιμος, ἀλλ' ὃν ὁ Κύριος συνίστησιν.

unii care se recomandă pe sine; ci ei, în ei înşişi măsurându-se şi asemănându-se cu ei înşişi, sunt fără înţelegere. 13Iar noi nu ne vom lăuda cu cele nemăsurate, ci după măsura canonului pe care Dumnezeu ni l-a împărţit drept măsură: a ajunge şi până la voi. 14Căci nu ne întindem necumpătat, ca şi cum n-am fi ajuns la voi, căci am ajuns şi la voi cu Evanghelia lui Hristos, 15nu lăudându-ne cu cele nemăsurate, cu osteneli străine, ci având nădejde că, tot crescând credinţa voastră, ne vom mări prin voi, după canonul nostru, spre prisosinţă, 16ca să binevestim în ţinuturile de dincolo de voi, şi nu să ne lăudăm în canon străin cu cele de-a gata. 17*Iar cel ce se laudă, în Domnul să se laude.* 18Căci nu cel ce se recomandă pe sine este încercat, ci acela pe care Domnul îl recomandă.

Κεφάλαιον ΙΑ΄

Ὄφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ· ἀλλὰ καὶ ἀνέχεσθέ μου. 2ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ· ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρί, παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ· 3φοβοῦμαι δὲ μήπως, ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν. 4εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει ὃν οὐκ ἐκηρύξαμεν, ἢ

Capitolul 11

O, măcar de m-aţi răbda puţin întru nechibzuinţă! Dar mă şi răbdaţi. 2Căci vă râvnesc pe voi cu râvna lui Dumnezeu, căci v-am logodit unui singur bărbat, ca să vă înfăţişez lui Hristos fecioară curată. 3Dar mă tem ca nu cumva, precum şarpele a înşelat-o pe Eva în viclenia lui, tot aşa să se strice şi gândurile voastre de la simplitatea cea întru Hristos. 4Căci dacă vine cineva şi vă propovăduieşte alt Iisus, pe care

πνεῦμα ἕτερον λαμβάνετε ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον ὃ οὐκ ἐδέξασθε, καλῶς ἀνείχεσθε. 5λογίζομαι γὰρ μηδὲν ὑστερηκέναι τῶν ὑπερλίαν ἀποστόλων. 6εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει, ἀλλ' ἐν παντὶ φανερωθέντες ἐν πᾶσιν εἰς ὑμᾶς. 7Ἢ ἁμαρτίαν ἐποίησα ἐμαυτὸν ταπεινῶν ἵνα ὑμεῖς ὑψωθῆτε, ὅτι δωρεὰν τὸ τοῦ Θεοῦ εὐαγγέλιον εὐηγγελισάμην ὑμῖν; 8ἄλλας ἐκκλησίας ἐσύλησα λαβὼν ὀψώνιον πρὸς τὴν ὑμῶν διακονίαν, καὶ παρὼν πρὸς ὑμᾶς καὶ ὑστερηθεὶς οὐ κατενάρκησα οὐδενός· 9τὸ γὰρ ὑστέρημά μου προσανεπλήρωσαν οἱ ἀδελφοὶ ἐλθόντες ἀπὸ Μακεδονίας· καὶ ἐν παντὶ ἀβαρῆ ὑμῖν ἐμαυτὸν ἐτήρησα καὶ τηρήσω. 10ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοὶ ὅτι ἡ καύχησις αὕτη οὐ φραγήσεται εἰς ἐμὲ ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας. 11διατί; ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; ὁ Θεὸς οἶδεν. 12ὃ δὲ ποιῶ, καὶ ποιήσω, ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν, ἵνα ἐν ᾧ καυχῶνται εὑρεθῶσι καθὼς καὶ ἡμεῖς. 13οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ. 14καὶ οὐ θαυμαστόν· αὐτὸς γὰρ ὁ σατανᾶς μετασχηματίζεται εἰς ἄγγελον φωτός. 15οὐ μέγα οὖν εἰ καὶ οἱ διάκονοι αὐτοῦ μετασχηματίζονται ὡς διάκονοι δικαιοσύνης, ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν.

Πάλιν λέγω, μή τίς με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθέ με, ἵνα κἀγὼ μικρόν τι καυχήσωμαι. 17ὃ λαλῶ οὐ λαλῶ κατὰ Κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ, ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. 18ἐπεὶ πολλοὶ καυχῶνται κατὰ τὴν σάρκα, κἀγὼ καυχήσομαι. 19ἡδέως γὰρ ἀνέχεσθε τῶν ἀφρόνων φρόνιμοι ὄντες· 20ἀνέχεσθε γὰρ εἴ τις ὑμᾶς καταδουλοῖ, εἴ τις κατεσθίει, εἴ τις λαμβάνει, εἴ τις ἐπαίρεται, εἴ τις ὑμᾶς εἰς

noi nu l-am propovăduit, sau dacă luați alt duh, pe care nu l-ați luat, sau altă evanghelie, pe care nu ați primit-o, cât de bine îl răbdați! 5Căci socot că nu sunt cu nimic mai prejos decât preaînalții apostoli. 6Şi chiar dacă sunt simplu în cuvânt, totuşi nu şi în cunoaştere, ci în tot chipul ne-am arătat aşa în toate către voi. 7Sau am făcut păcat că, smerindu-mă pe mine însumi ca voi să vă înălțați, v-am binevestit în dar Evanghelia lui Dumnezeu? 8Alte Biserici am prădat, luând plată spre slujirea voastră, şi, venind la voi şi fiind lipsit, nu am fost povară nimănui. 9Căci ceea ce mi-a lipsit au plinit frații veniți din Macedonia; şi în toate m-am păzit şi mă voi păzi neîmpovărător pentru voi. 10Este în mine adevărul lui Hristos, că lauda aceasta nu-mi va fi îngrădită în ținuturile Ahaiei. 11Pentru ce? Pentru că nu vă iubesc? Ştie Dumnezeu! 12Dar ceea ce fac, voi mai face, ca să tai pricina celor ce vor pricină, ca să se afle asemenea nouă în ceea ce se laudă. 13Căci unii ca aceştia sunt apostoli mincinoşi, lucrători vicleni, care se prefac în apostoli ai lui Hristos. 14Şi nu este de mirare; căci însuşi satana se preface în înger de lumină. 15Nu este deci lucru mare dacă şi slujitorii lui se prefac a fi slujitori ai dreptății, al căror sfârşit va fi după faptele lor.

Iarăşi zic: Să nu mă socotească cineva că sunt nechibzuit, iar de nu, primiți-mă fie şi ca pe un nechibzuit, ca să mă laud şi eu puțin. 17Ceea ce grăiesc, nu după Domnul grăiesc, ci ca întru nechibzuință, în această stare de laudă. 18De vreme ce mulți se laudă după trup, şi eu mă voi lăuda. 19Căci voi, chibzuiți fiind, bucuros îi răbdați pe cei nechibzuiți. 20Căci răbdați dacă cineva vă robeşte, dacă cineva vă mănâncă,

πρόσωπον δέρει. 21κατὰ ἀτιμίαν λέγω, ὡς ὅτι ἡμεῖς ἠσθενήσαμεν. ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ. 22Ἑβραῖοί εἰσι; κἀγώ· Ἰσραηλῖταί εἰσι; κἀγώ· σπέρμα Ἀβραάμ εἰσι; κἀγώ· 23διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις· 24ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον, 25τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα· 26ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις· 27ἐν κόπῳ καὶ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ καὶ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει καὶ γυμνότητι· 28χωρὶς τῶν παρεκτὸς ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν, ἡ μέριμνα πασῶν τῶν ἐκκλησιῶν. 29τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; 30εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. 31ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. 32ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν πιάσαι με θέλων, 33καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ.

dacă cineva vă ia, dacă cineva se înalță, dacă cineva vă loveşte peste față. 21Întru necinste o spun, ca şi cum noi am fi fost slabi. Dar în ceea ce cutează cineva – întru nechibzuință zic – cutez şi eu! 22Sunt ei evrei? Şi eu. Sunt ei israeliți? Şi eu. Sunt ei sămânța lui Avraam? Şi eu. 23Sunt ei slujitori ai lui Hristos? Nebuneşte spun: eu mai mult! În osteneli cu prisosință, întru bătăi peste măsură, în temnițe cu prisosință, în primejdii de moarte adeseori; 24de la iudei de cinci ori am luat patruzeci de lovituri fără una; 25de trei ori am fost bătut cu vergi; o dată am fost bătut cu pietre; de trei ori s-a sfărâmat corabia cu mine; o noapte şi o zi am petrecut în largul mării; 26în călătorii adeseori, în primejdii pe râuri, în primejdii de la tâlhari, în primejdii de la neamul meu, în primejdii de la neamuri; în primejdii în cetate, în primejdii în pustie, în primejdii pe mare, în primejdii între frații mincinoşi; 27în osteneală şi în trudă, în privegheri adeseori, în foame şi în sete, în posturi adeseori, în frig şi în goliciune; 28pe lângă cele din afară, împresurarea mea cea din fiecare zi: grija de toate Bisericile. 29Cine este slab şi eu să nu fiu slab? Cine se sminteşte şi eu să nu ard? 30Dacă trebuie să mă laud, cu cele ale slăbiciunii mele mă voi lăuda. 31Dumnezeu şi Tatăl Domnului nostru Iisus Hristos, Cel ce este binecuvântat în veci, ştie că nu mint. 32În Damasc, etnarhul împăratului Areta păzea cetatea Damascului, vrând să mă prindă, 33şi printr-o fereastră din zid am fost lăsat în jos într-un coş şi am scăpat din mâinile lui.

Κεφάλαιον ΙΒ΄

Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι· ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου. 2οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων· εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα, ὁ Θεὸς οἶδεν· ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ. 3καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον· εἴτε ἐν σώματι εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα, ὁ Θεὸς οἶδεν· 4ὅτι ἡρπάγη εἰς τὸν παράδεισον καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. 5ὑπὲρ τοῦ τοιούτου καυχήσομαι, ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου. 6ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ· φείδομαι δὲ μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με ἢ ἀκούει τι ἐξ ἐμοῦ. 7Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος σατᾶν, ἵνα με κολαφίζῃ ἵνα μὴ ὑπεραίρωμαι. 8ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα ἵνα ἀποστῇ ἀπ᾽ ἐμοῦ· 9καὶ εἴρηκέ μοι· ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου, ἵνα ἐπισκηνώσῃ ἐπ᾽ ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. 10διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ὑπὲρ Χριστοῦ· ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι.

Γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με ἠναγκάσατε. ἐγὼ γὰρ ὤφειλον ὑφ᾽ ὑμῶν συνίστασθαι· οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπερλίαν ἀποστόλων, εἰ καὶ οὐδέν εἰμι. 12τὰ μὲν σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν ἐν πά-

Capitolul 12

De bună seamă, a mă lăuda nu-mi este de folos; căci voi veni la vedenii şi descoperiri ale Domnului. 2Ştiu un om în Hristos, acum paisprezece ani – fie în trup, nu ştiu; fie în afară de trup, nu ştiu, Dumnezeu ştie – a fost răpit unul ca acesta până la al treilea cer. 3Şi ştiu pe un astfel de om – fie în trup, fie afară de trup, nu ştiu, Dumnezeu ştie – 4că a fost răpit în rai şi a auzit cuvinte negrăite, pe care a le grăi nu stă în puterea omului. 5Pentru unul ca acesta mă voi lăuda; iar pentru mine însumi nu mă voi lăuda decât în neputinţele mele. 6Căci dacă aş vrea să mă laud, nu voi fi nechibzuit, căci voi spune adevărul; dar mă feresc, nu cumva cineva să socotească despre mine mai mult decât ce vede la mine sau aude de la mine. 7Şi ca să nu mă trufesc cu covârşirea descoperirilor, mi s-a dat un ghimpe în trup, un înger al satanei, ca să mă bată, să nu mă înalţ. 8Pentru aceasta de trei ori am rugat pe Domnul ca să-l îndepărteze de la mine; 9şi mi-a zis: Îţi este de ajuns harul Meu, căci puterea Mea se desăvârşeşte în slăbiciune. Deci, foarte bucuros, mai mult mă voi lăuda întru slăbiciunile mele, ca să se sălăşluiască peste mine puterea lui Hristos. 10De aceea binevoiesc în slăbiciuni, în ocări, în nevoi, în prigoniri, în strâmtorări pentru Hristos; căci când sunt neputincios, atunci sunt puternic.

M-am făcut nechibzuit, lăudându-mă. Voi m-aţi silit! Căci se cuvenea ca eu să fiu recomandat de voi, căci cu nimic nu sunt mai prejos decât preaînalţii apostoli, chiar dacă eu nu sunt nimic. 12Semnele de apostol

ση ὑπομονῇ, ἐν σημείοις καὶ τέρασι καὶ δυνάμεσι. 13τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας, εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν; χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην. 14Ἰδοὺ τρίτον ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ καταναρκήσω ὑμῶν· οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλὰ ὑμᾶς. οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ᾽ οἱ γονεῖς τοῖς τέκνοις. 15ἐγὼ δὲ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι ὑπὲρ τῶν ψυχῶν ὑμῶν, εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν ἧττον ἀγαπῶμαι. 16Ἔστω δέ, ἐγὼ οὐ κατεβάρησα ὑμᾶς, ἀλλ᾽ ὑπάρχων πανοῦργος δόλῳ ὑμᾶς ἔλαβον. 17μή τινα ὧν ἀπέσταλκα πρὸς ὑμᾶς, δι᾽ αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς; 18παρεκάλεσα Τίτον καὶ συναπέστειλα τὸν ἀδελφόν· μήτι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ πνεύματι περιεπατήσαμεν; οὐ τοῖς αὐτοῖς ἴχνεσι; 19Πάλιν δοκεῖτε ὅτι ὑμῖν ἀπολογούμεθα; κατενώπιον τοῦ Θεοῦ ἐν Χριστῷ λαλοῦμεν· τὰ δὲ πάντα, ἀγαπητοί, ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς. 20φοβοῦμαι γὰρ μήπως ἐλθὼν οὐχ οἵους θέλω εὕρω ὑμᾶς, κἀγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε, μήπως ἔρεις, ζῆλοι, θυμοί, ἐριθεῖαι, καταλαλιαί, ψιθυρισμοί, φυσιώσεις, ἀκαταστασίαι, 21μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀκαθαρσίᾳ καὶ πορνείᾳ καὶ ἀσελγείᾳ ᾗ ἔπραξαν.

s-au lucrat la voi în toată răbdarea, în semne şi minuni şi puteri. 13Căci cu ce sunteţi voi mai prejos decât celelalte Biserici, fără numai că eu nu v-am împovărat? Îngăduiţi-mi această nedreptate! 14Iată, a treia oară sunt gata să vin la voi şi nu vă voi împovăra, căci nu caut ale voastre, ci pe voi. Căci nu copiii sunt datori să agonisească pentru părinţi, ci părinţii pentru copii. 15Iar eu foarte bucuros voi cheltui şi mă voi cheltui pentru sufletele voastre, chiar dacă, cu prisosinţă iubindu-vă, eu sunt iubit mai puţin. 16Dar fie! Eu nu v-am împovărat; ci, fiind viclean, v-am prins cu înşelăciune. 17Oare am tras eu vreun folos de la voi prin vreunul din cei pe care i-am trimis vouă? 18L-am rugat pe Tit şi l-am trimis pe fratele împreună cu el. A tras Tit vreun folos de la voi? Nu am umblat noi în acelaşi duh? Nu pe aceleaşi urme? 19Iarăşi vi se pare că ne apărăm în faţa voastră? Dar noi înaintea lui Dumnezeu în Hristos grăim; şi toate, iubiţilor, pentru zidirea voastră. 20Căci mă tem ca nu cumva, venind, să nu vă găsesc cum voiesc, iar eu să fiu găsit de voi cum nu voiţi, să nu cumva să fie vrajbe, pizmuiri, mânii, zavistii, clevetiri, bârfe, îngâmfări, neorânduieli; 21ca nu cumva, venind iarăşi, să mă smerească Dumnezeul meu în faţa voastră şi să-i plâng pe mulţi dintre cei care au păcătuit înainte şi nu s-au pocăit de necurăţia şi desfrânarea şi destrăbălarea pe care le-au făptuit.

Κεφάλαιον ΙΓ΄

Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς· *ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα.* 2προείρηκα καὶ προλέγω, ὡς παρὼν τὸ δεύτερον, καὶ

Capitolul 13

A treia oară vin la voi; *în gura a doi martori sau trei va sta tot cuvântul.* 2Mai dinainte am spus şi mai dinainte spun – atunci, a doua oară fiind

ἀπὼν νῦν γράφω τοῖς προημαρτηκόσι καὶ
τοῖς λοιποῖς πᾶσιν, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν
οὐ φείσομαι, 3ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ
λαλοῦντος Χριστοῦ, ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ,
ἀλλὰ δυνατεῖ ἐν ὑμῖν. 4καὶ γὰρ εἰ ἐσταυρώθη
ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ·
καὶ γὰρ ἡμεῖς ἀσθενοῦμεν ἐν αὐτῷ, ἀλλὰ
ζησόμεθα σὺν αὐτῷ ἐκ δυνάμεως Θεοῦ εἰς
ὑμᾶς. 5Ἑαυτοὺς πειράζετε εἰ ἐστὲ ἐν τῇ πί-
στει, ἑαυτοὺς δοκιμάζετε. ἢ οὐκ ἐπιγινώσκετε
ἑαυτοὺς ὅτι Ἰησοῦς Χριστὸς ἐν ὑμῖν ἐστιν; εἰ
μή τι ἀδόκιμοί ἐστε. 6ἐλπίζω δὲ ὅτι γνώσεσθε
ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι. 7εὔχομαι δὲ
πρὸς τὸν Θεὸν μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδέν,
οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς
τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν.
8οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας, ἀλλ'
ὑπὲρ τῆς ἀληθείας. 9χαίρομεν γὰρ ὅταν ἡμεῖς
ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε· τοῦτο δὲ καὶ
εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν. 10Διὰ τοῦτο
ταῦτα ἀπὼν γράφω, ἵνα παρὼν μὴ ἀποτόμως
χρήσωμαι κατὰ τὴν ἐξουσίαν ἣν ἔδωκέ μοι ὁ
Κύριος εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν.
11Λοιπόν, ἀδελφοί, χαίρετε, καταρτίζεσθε,
παρακαλεῖσθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε,
καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται
μεθ' ὑμῶν. 12Ἀσπάσασθε ἀλλήλους ἐν ἁγίῳ
φιλήματι. ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες.
13Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ ἡ
ἀγάπη τοῦ Θεοῦ καὶ ἡ κοινωνία τοῦ Ἁγίου
Πνεύματος μετὰ πάντων ὑμῶν· ἀμήν.

de față, iar acum, nefiind de față, scriu – celor ce au păcătuit înainte şi celorlalți tuturor că, de voi veni iarăşi, nu voi cruța, 3de vreme ce voi căutați dovadă că grăieşte în mine Hristos, Care nu este neputincios la voi, ci este puternic întru voi. 4Căci şi dacă S-a răstignit din neputință, totuşi, este viu din puterea lui Dumnezeu; căci şi noi suntem neputincioşi întru El, dar la voi vom fi vii împreună cu El, din puterea lui Dumnezeu. 5Pe voi înşivă ispitiți-vă de sunteți în credință, pe voi înşivă încercați-vă. Sau nu vă cunoaşteți pe voi înşivă, că Iisus Hristos este în voi? Doar dacă nu cumva sunteți neîncercați. 6Nădăjduiesc însă că veți cunoaşte că noi nu suntem neîncercați. 7Şi mă rog la Dumnezeu să nu faceți voi nici un rău, nu pentru ca să ne arătăm noi încercați, ci pentru ca voi să faceți binele, iar noi să fim ca nişte neîncercați. 8Căci nu putem ceva împotriva adevărului, ci pentru adevăr. 9Căci ne bucurăm când noi suntem neputincioşi, iar voi sunteți puternici; şi pentru aceasta ne şi rugăm, pentru desăvârşirea voastră. 10De aceea scriu acestea, nefiind de față, ca atunci când voi fi de față să nu mă port cu asprime, după puterea pe care mi-a dat-o mie Domnul spre zidire, şi nu spre surpare. 11Deci, fraților, bucurați-vă, desăvârşiți-vă, mângâiați-vă, fiți într-un cuget, fiți în pace; şi Dumnezeul iubirii şi al păcii va fi cu voi. 12Îmbrățişați-vă unii pe alții cu sărutare sfântă. Vă îmbrățişează pe voi sfinții toți. 13Harul Domnului Iisus Hristos şi dragostea lui Dumnezeu şi împărtăşirea Sfântului Duh să fie cu voi cu toți! Amin.



EPISTOLA CĂTRE GALATENI

Κεφάλαιον Α΄

Παῦλος, ἀπόστολος οὐκ ἀπ᾽ ἀνθρώπων, οὐδὲ δι᾽ ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, 2καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί, ταῖς ἐκκλησίαις τῆς Γαλατίας· 3χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 4τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, 5ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ εἰς ἕτερον εὐαγγέλιον, 7ὃ οὐκ ἔστιν ἄλλο, εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς καὶ θέλοντες μεταστρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. 8ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ᾽ ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. 9ὡς προειρήκαμεν, καὶ ἄρτι πάλιν λέγω· εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ᾽ ὃ παρελάβετε, ἀνάθεμα ἔστω. 10ἄρτι

Capitolul 1

Pavel, apostol nu de la oameni, nici prin om, ci prin Iisus Hristos şi Dumnezeu-Tatăl, Care L-a sculat pe El din morţi, 2şi toţi fraţii cei dimpreună cu mine, Bisericilor Galatiei. 3Har vouă şi pace de la Dumnezeu-Tatăl şi de la Domnul nostru Iisus Hristos, 4Cel ce S-a dat pe Sine pentru păcatele noastre, ca să ne scoată pe noi din veacul cel viclean de acum, după voia lui Dumnezeu şi Tatăl nostru, 5Căruia fie slava în vecii vecilor. Amin!

Mă minunez că aşa grabnic treceţi de la Cel ce v-a chemat pe voi prin harul lui Hristos la altă evanghelie, 7care nu este alta, decât că sunt unii care vă tulbură şi voiesc să schimbe Evanghelia lui Hristos. 8Dar chiar dacă noi sau înger din cer v-ar binevesti vouă altceva decât v-am binevestit noi, anatema să fie! 9Precum mai dinainte am spus, şi acum iarăşi spun: Dacă cineva vă binevesteşte altceva decât aţi primit,

γὰρ ἀνθρώπους πείθω ἢ τὸν Θεόν; ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

11 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον· 12 οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτὸ οὔτε ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ. 13 Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ καὶ ἐπόρθουν αὐτήν, 14 καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. 15 Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ 16 ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, 17 οὐδὲ ἀνῆλθον εἰς Ἰεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους, ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν. 18 Ἔπειτα μετὰ ἔτη τρία ἀνῆλθον εἰς Ἰεροσόλυμα ἱστορῆσαι Πέτρον, καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε· 19 ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου. 20 ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ Θεοῦ ὅτι οὐ ψεύδομαι. 21 Ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας. 22 ἤμην δὲ ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας ταῖς ἐν Χριστῷ· 23 μόνον δὲ ἀκούοντες ἦσαν ὅτι ὁ διώκων ἡμᾶς ποτε νῦν εὐαγγελίζεται τὴν πίστιν ἣν ποτε ἐπόρθει, 24 καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν Θεόν.

anatema să fie! 10 Căci acum pe oameni îi înduplec sau pe Dumnezeu? Sau caut să plac oamenilor? Căci dacă încă aş plăcea oamenilor, n-aş fi rob al lui Hristos.

11 Vă fac cunoscut, fraţilor, că Evanghelia cea binevestită de mine nu este după om; 12 căci nici eu nu am primit-o de la om, nici n-am învăţat-o, ci prin descoperirea lui Iisus Hristos. 13 Căci aţi auzit de purtarea mea de odinioară în iudaism, că peste măsură prigoneam Biserica lui Dumnezeu şi o pustiam; 14 şi spoream în iudaism mai mult decât mulţi dintre cei de vârsta mea în neamul meu, fiind peste măsură de râvnitor al predaniilor mele părinteşti. 15 Dar când a binevoit Dumnezeu, Cel ce m-a osebit din pântecele maicii mele şi m-a chemat prin harul Lui, 16 să descopere pe Fiul Său în mine, ca să-L binevestesc întru neamuri, îndată nu am adăugat ceva de la trup şi de la sânge, 17 nici nu m-am suit în Ierusalim, la cei mai dinainte de mine apostoli, ci m-am dus în Arabia şi m-am întors iarăşi la Damasc. 18 Apoi, după trei ani, m-am suit la Ierusalim să-l cunosc pe Petru şi am rămas la el cincisprezece zile. 19 Iar pe altul dintre apostoli n-am văzut, decât pe Iacov, fratele Domnului. 20 Şi în cele ce vă scriu, iată – înaintea lui Dumnezeu – că nu vă mint. 21 După aceea am venit în ţinuturile Siriei şi ale Ciliciei. 22 Şi eram necunoscut la faţă Bisericilor Iudeii, cele în Hristos; 23 ci numai auziseră: Cel ce ne prigonea pe noi odinioară acum binevesteşte credinţa pe care odinioară o pustia; 24 şi slăveau în mine pe Dumnezeu.

Κεφάλαιον Β΄

Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν πάλιν ἀνέβην εἰς Ἰεροσόλυμα μετὰ Βαρνάβα, συμπαραλαβὼν καὶ Τίτον· 2ἀνέβην δὲ κατὰ ἀποκάλυψιν· καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι, κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι, μήπως εἰς κενὸν τρέχω ἢ ἔδραμον. 3ἀλλ' οὐδὲ Τίτος ὁ σὺν ἐμοί, Ἕλλην ὤν, ἠναγκάσθη περιτμηθῆναι· 4διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους, οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ, ἵνα ἡμᾶς καταδουλώσωνται· 5οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ, ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς. 6ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, ὁποῖοί ποτε ἦσαν οὐδέν μοι διαφέρει· πρόσωπον Θεὸς ἀνθρώπου οὐ λαμβάνει· ἐμοὶ γὰρ οἱ δοκοῦντες οὐδὲν προσανέθεντο, 7ἀλλὰ τοὐναντίον ἰδόντες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας καθὼς Πέτρος τῆς περιτομῆς· 8ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη· 9καὶ γνόντες τὴν χάριν τὴν δοθεῖσάν μοι, Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες στῦλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν· 10μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι.

Capitolul 2

Apoi, după paisprezece ani, iarăşi m-am suit la Ierusalim cu Barnaba, luând împreună cu mine şi pe Tit. 2Şi m-am suit, după descoperire; şi le-am pus înainte Evanghelia pe care o propovăduiesc întru neamuri, şi, osebit, celor socotiţi de seamă, ca nu cumva să alerg sau să fi alergat în zadar. 3Dar nici Tit, care era împreună cu mine, elin fiind, n-a fost silit să se taie împrejur; 4însă, din pricina fraţilor mincinoşi, strecuraţi printre noi, care veniseră pe furiş să iscodească libertatea noastră, pe care o avem în Hristos Iisus, ca să ne robească, 5cărora nici măcar un ceas nu ne-am plecat cu supunere, ca adevărul Evangheliei să rămână neclintit la voi. 6Iar de la cei socotiţi a fi ceva – oricine ar fi fost ei cândva, nu mă priveşte; Dumnezeu nu caută la faţa omului –, căci mie cei socotiţi de seamă nu mi-au adăugat nimic, 7ci dimpotrivă, văzând că mie mi-a fost încredinţată Evanghelia netăierii-împrejur, precum lui Petru cea a tăierii-împrejur 8 – căci Cel ce a lucrat prin Petru spre apostolia tăierii-împrejur a lucrat şi prin mine spre neamuri – 9şi cunoscând harul ce mi-a fost dat mie, Iacov şi Chefá şi Ioan, cei socotiţi a fi stâlpi, mi-au dat mie şi lui Barnaba dreapta împărtăşirii, pentru ca noi să binevestim la neamuri, iar ei la tăierea-împrejur; 10numai să ne aducem aminte de săraci, şi chiar aceasta m-am şi străduit să fac.

Οτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ
πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνω-
σμένος ἦν. 12πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ
Ἰακώβου μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ
ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτόν, φο-
βούμενος τοὺς ἐκ περιτομῆς. 13καὶ συνυπεκρί-
θησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι, ὥστε καὶ
Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει.
14ἀλλ' ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς
τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Πέ-
τρῳ ἔμπροσθεν πάντων· εἰ σὺ Ἰουδαῖος ὑπάρ-
χων ἐθνικῶς ζῇς καὶ οὐκ ἰουδαϊκῶς, τί τὰ
ἔθνη ἀναγκάζεις ἰουδαΐζειν;

Ημεῖς φύσει Ἰουδαῖοι καὶ οὐκ ἐξ ἐθνῶν
ἁμαρτωλοί, 16εἰδότες δὲ ὅτι οὐ δικαιοῦται
ἄνθρωπος ἐξ ἔργων νόμου ἐὰν μὴ διὰ πίστε-
ως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν Ἰη-
σοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πί-
στεως Χριστοῦ καὶ οὐκ ἐξ ἔργων νόμου, διότι
οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ.
17εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ
εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἆρα Χρι-
στὸς ἁμαρτίας διάκονος; μὴ γένοιτο. 18εἰ γὰρ
ἃ κατέλυσα ταῦτα πάλιν οἰκοδομῶ, παραβά-
την ἐμαυτὸν συνίστημι. 19ἐγὼ γὰρ διὰ νόμου
νόμῳ ἀπέθανον, ἵνα Θεῷ ζήσω. 20Χριστῷ
συνεσταύρωμαι· ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν
ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει
ζῶ τῇ τοῦ υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός
με καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ. 21Οὐκ
ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ· εἰ γὰρ διὰ νόμου
δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανεν.

Și când a venit Petru la Antiohia, pe fa-
ță i-am stat împotrivă, căci era vrednic
de înfruntare. 12Căci înainte de a veni unii
de la Iacov, mânca împreună cu neamurile;
dar când au venit, se ferea şi se osebea, te-
mându-se de cei din tăierea-împrejur. 13Şi
s-au fățărnicit împreună cu el şi ceilalți iu-
dei, încât şi Barnaba a fost tras în fățărni-
cia lor. 14Dar când am văzut că ei nu cal-
că drept, după adevărul Evangheliei, am
zis lui Petru înaintea tuturor: Dacă tu, iu-
deu fiind, trăieşti ca neamurile, şi nu ca
iudeii, de ce sileşti neamurile să se poarte
ca iudeii?

Noi din fire suntem iudei, şi nu păcătoşi
dintre neamuri. 16Ştiind însă că nu se
îndreptează omul din faptele Legii, ci nu-
mai prin credința în Iisus Hristos, am cre-
zut şi noi în Hristos Iisus, ca să ne îndrep-
tăm din credința în Hristos, şi nu din
faptele Legii, pentru că nici un trup nu se
va îndrepta din faptele Legii. 17Dacă însă,
căutând să ne îndreptăm în Hristos, ne-am
aflat şi noi înşine păcătoşi, oare Hristos
este slujitor al păcatului? Să nu fie! 18Căci
dacă cele pe care le-am surpat pe acestea
iarăşi le zidesc, mă arăt pe mine însumi
călcător de lege. 19Căci eu prin Lege Legii
am murit, ca să trăiesc lui Dumnezeu; 20cu
Hristos împreună m-am răstignit; şi nu eu
mai trăiesc, ci trăieşte Hristos în mine. Şi
ceea ce acum trăiesc în trup, trăiesc în cre-
dința în Fiul lui Dumnezeu, Care m-a iubit
şi S-a dat pe Sine pentru mine. 21Nu lepăd
harul lui Dumnezeu; căci dacă dreptatea
este prin Lege, atunci Hristos în zadar a
murit.

Κεφάλαιον Γ΄

Ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκανε τῇ ἀληθείᾳ μὴ πείθεσθαι, οἷς κατ᾽ ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος; 2τοῦτο μόνον θέλω μαθεῖν ἀφ᾽ ὑμῶν· ἐξ ἔργων νόμου τὸ Πνεῦμα ἐλάβετε ἢ ἐξ ἀκοῆς πίστεως; 3οὕτως ἀνόητοί ἐστε; ἐναρξάμενοι πνεύματι νῦν σαρκὶ ἐπιτελεῖσθε; 4τοσαῦτα ἐπάθετε εἰκῇ; εἴ γε καὶ εἰκῇ. 5ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ Πνεῦμα καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου ἢ ἐξ ἀκοῆς πίστεως; 6καθὼς Ἀβραὰμ *ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.* 7Γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ. 8προϊδοῦσα δὲ ἡ γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεός, προευηγγελίσατο τῷ Ἀβραὰμ ὅτι *ἐνευλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη.* 9ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ. 10Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσίν, ὑπὸ κατάραν εἰσί· γέγραπται γάρ· *ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά.* 11ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ Θεῷ, δῆλον· ὅτι *ὁ δίκαιος ἐκ πίστεως ζήσεται·* 12ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ᾽ *ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς.* 13Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γάρ· *ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου·* 14ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωμεν διὰ τῆς πίστεως.

Capitolul 3

O, galateni fără de minte, cine v-a deocheat pe voi, să nu vă supuneți adevărului, voi, în ochii cărora mai înainte a fost zugrăvit Iisus Hristos răstignit? 2Numai aceasta vreau să aflu de la voi: Din faptele Legii ați primit voi Duhul sau din ascultarea credinței? 3Atât de fără de minte sunteți? După ce ați început în Duh, acum sfârșiți în trup? 4Ați pătimit atâtea în zadar? Dacă a fost într-adevăr în zadar. 5Deci, Cel care vă dă vouă Duhul şi Care lucrează puteri în voi face acestea din faptele Legii sau din ascultarea credinței? 6Tot astfel, Avraam *a crezut lui Dumnezeu şi i s-a socotit lui ca dreptate.* 7Cunoașteți, așadar, că cei din credință, aceştia sunt fii ai lui Avraam. 8Şi văzând mai înainte Scriptura că Dumnezeu îndreptează din credință neamurile, a binevestit mai dinainte lui Avraam: *Se vor binecuvânta în tine toate neamurile.* 9Încât cei din credință se binecuvintează împreună cu credinciosul Avraam. 10Căci câți sunt din faptele Legii sub blestem sunt; că scris este: *Blestemat tot cel care nu stăruie în toate cele scrise în cartea Legii, ca să le facă pe ele.* 11Şi că în Lege nimeni nu se îndreptează la Dumnezeu, este înveder at; că *dreptul din credință va fi viu*; 12iar Legea nu este din credință, ci *omul care face acestea va fi viu prin ele.* 13Hristos ne-a răscumpărat pe noi din blestemul Legii, făcându-Se pentru noi blestem; căci scris este: *Blestemat tot cel spânzurat pe lemn*; 14ca binecuvântarea lui Avraam să ajungă la neamuri în Hristos Iisus, ca făgăduința Duhului să o primim prin credință.

Ἀδελφοί, κατὰ ἄνθρωπον λέγω· ὅμως ἀνθρώπου κεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται. 16τῷ δὲ Ἀβραὰμ ἐρρέθησαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ· οὐ λέγει, καὶ τοῖς σπέρμασιν, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός, *καὶ τῷ σπέρματί σου*, ὅς ἐστι Χριστός. 17τοῦτο δὲ λέγω· διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ Θεοῦ εἰς Χριστὸν ὁ μετὰ ἔτη τετρακόσια καὶ τριάκοντα γεγονὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν. 18εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκέτι ἐξ ἐπαγγελίας· τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ Θεός. 19Τί οὖν ὁ νόμος; τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται, διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου. 20ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν, ὁ δὲ Θεὸς εἷς ἐστιν. 21ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ; μὴ γένοιτο. εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη· 22ἀλλὰ συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσι. 23Πρὸ δὲ τοῦ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. 24ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· 25ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν.

Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· 27ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. 28οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ. 29εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ καὶ κατ' ἐπαγγελίαν κληρονόμοι.

Fraților, ca om vorbesc; chiar şi testamentul întărit al unui om nimeni nu-l nesocoteşte, nici nu-i mai adaugă porunci. 16Iar făgăduinţele au fost rostite lui Avraam şi sămânţei lui; nu zice: şi sămânţelor, ca de mai mulţi, ci ca de unul: *şi sămânţei tale*, Care este Hristos. 17Şi aceasta zic: Legea, care s-a făcut după patru sute treizeci de ani, nu desface, ca să desfiinţeze făgăduinţa, un testament mai dinainte întărit de Dumnezeu întru Hristos. 18Căci dacă din Lege este moştenirea, nu mai este din făgăduinţă; dar lui Avraam prin făgăduinţă i-a dăruit Dumnezeu. 19Atunci de ce [s-a dat] Legea? Ea s-a adăugat pentru călcările de poruncă, până să vină Sămânţa Căreia I s-a făgăduit, fiind dată ca poruncă, prin îngeri, în mâna unui mijlocitor. 20Iar mijlocitorul nu este al unuia singur, dar Dumnezeu unul este. 21Deci, Legea este oare împotriva făgăduinţelor lui Dumnezeu? Să nu fie! Căci dacă s-ar fi dat o lege care să poată da viaţă, cu adevărat din Lege ar fi dreptatea; 22dar Scriptura le-a închis pe toate sub păcat, ca făgăduinţa să se dea celor ce cred din credinţa în Iisus Hristos. 23Iar înainte să vină credinţa, noi eram păziţi sub Lege, închişi spre credinţa care avea să se descopere. 24Astfel că Legea s-a făcut nouă pedagog spre Hristos, ca din credinţă să ne îndreptăm; 25şi venind credinţa, nu mai suntem sub pedagog.

Căci toţi sunteţi fii ai lui Dumnezeu prin credinţa în Hristos Iisus. 27Căci câţi în Hristos v-aţi botezat în Hristos v-aţi îmbrăcat. 28Nu este iudeu, nici elin; nu este rob, nici liber; nu este parte bărbătească şi parte femeiască, căci voi toţi unul sunteţi în Hristos Iisus. 29Iar dacă voi sunteţi ai lui Hristos, atunci sunteţi sămânţă a lui Avraam şi moştenitori după făgăduinţă.

Κεφάλαιον Δ΄

Λέγω δέ, ἐφ᾽ ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, 2ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. 3οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· 4ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, 5ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν. 6Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον· ἀββᾶ ὁ πατήρ. 7ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλ᾽ υἱός· εἰ δὲ υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ.

Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς· 9νῦν δὲ γνόντες Θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε; 10ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς· 11φοβοῦμαι ὑμᾶς μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. 12Γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς, ἀδελφοί, δέομαι ὑμῶν. οὐδέν με ἠδικήσατε. 13οἴδατε δὲ ὅτι δι᾽ ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν τὸ πρότερον, 14καὶ τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε οὐδὲ ἐξεπτύσατε, ἀλλ᾽ ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με, ὡς Χριστὸν Ἰησοῦν. 15τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν; μαρτυρῶ γὰρ ὑμῖν ὅτι εἰ δυνατὸν τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες

Capitolul 4

Iar eu zic: Câtă vreme moştenitorul este prunc, nu se deosebeşte cu nimic de rob, chiar dacă este domn al tuturor, 2ci este sub epitropi şi iconomi, până la sorocul rânduit de tatăl său. 3Aşa şi noi, când eram prunci, eram robiţi sub stihiile lumii; 4iar când a venit plinirea vremii, a trimis Dumnezeu pe Fiul Său, născut din femeie, născut sub Lege, 5ca pe cei de sub Lege să-i răscumpere, ca să primim înfierea. 6Şi pentru că sunteţi fii, a trimis Dumnezeu pe Duhul Fiului Său în inimile voastre, Care strigă: Avvá, Părinte! 7Astfel că nu mai eşti rob, ci fiu; iar de eşti fiu, eşti şi moştenitor al lui Dumnezeu, prin Hristos.

Dar atunci, necunoscând pe Dumnezeu, eraţi robi celor ce erau dumnezei nu după fire; 9acum însă, cunoscând pe Dumnezeu, sau mai degrabă fiind cunoscuţi de Dumnezeu, cum vă întoarceţi iarăşi la stihiile slabe şi sărace, cărora iarăşi voiţi să le slujiţi ca înainte? 10Ţineţi zile şi luni şi timpuri şi ani! 11Mă tem pentru voi, să nu mă fi ostenit la voi în zadar. 12Vă rog, fraţilor, fiţi ca mine, că şi eu am fost ca voi. Cu nimic nu m-aţi nedreptăţit. 13Dar ştiţi că, printr-o neputinţă a trupului, v-am binevestit vouă mai întâi, 14şi încercarea mea cea în trup n-aţi socotit-o de nimic, nici n-aţi disprețuit-o, ci ca pe un înger al lui Dumnezeu m-aţi primit, ca pe Hristos Iisus. 15Deci, care era fericirea voastră? Căci vă

ἂν ἐδώκατέ μοι. 16ὥστε ἐχθρὸς ὑμῶν γέγονα
ἀληθεύων ὑμῖν; 17ζηλοῦσιν ὑμᾶς οὐ καλῶς,
ἀλλὰ ἐκκλεῖσαι ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς
ζηλοῦτε. 18καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ
πάντοτε καὶ μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς
ὑμᾶς. 19τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ
μορφωθῇ Χριστὸς ἐν ὑμῖν· 20ἤθελον δὲ παρεῖ-
ναι πρὸς ὑμᾶς ἄρτι καὶ ἀλλάξαι τὴν φωνήν
μου, ὅτι ἀποροῦμαι ἐν ὑμῖν.

dau mărturie că, de-ar fi fost cu putinţă,
v-aţi fi scos ochii voştri şi mi i-aţi fi dat mie.
16Astfel, acum m-am făcut vrăjmaşul vos-
tru spunându-vă adevărul? 17Ei vă râvnesc,
dar nu bine; ci vor să vă despartă de mine,
ca să-i râvniţi pe ei. 18Dar e bine să râvniţi
totdeauna în bine, şi nu numai când sunt
eu de faţă la voi. 19Copiii mei, pentru care
sufăr iarăşi durerile naşterii, până ce Hris-
tos va lua chip în voi! 20Şi aş vrea să vin la
voi acum şi să-mi schimb glasul, căci sunt
nedumerit despre voi.

Λέγετέ μοι οἱ ὑπὸ νόμον θέλοντες εἶναι· τὸν
νόμον οὐκ ἀκούετε; 22γέγραπται γὰρ ὅτι
Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδί-
σκης καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. 23ἀλλ' ὁ μὲν ἐκ
τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ
ἐκ τῆς ἐλευθέρας διὰ τῆς ἐπαγγελίας, 24ἅτινά
ἐστιν ἀλληγορούμενα· αὗται γάρ εἰσι δύο δια-
θῆκαι, μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν
γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ· 25τὸ γὰρ Ἄγαρ
Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ
τῇ νῦν Ἰερουσαλήμ, δουλεύει δὲ μετὰ τῶν
τέκνων αὐτῆς· 26ἡ δὲ ἄνω Ἰερουσαλὴμ ἐλευ-
θέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν.
27γέγραπται γάρ· *εὐφράνθητι στεῖρα ἡ οὐ*
τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα·
ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ
τῆς ἐχούσης τὸν ἄνδρα. 28ἡμεῖς δέ, ἀδελφοί,
κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν. 29ἀλλ'
ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκε
τὸν κατὰ πνεῦμα, οὕτω καὶ νῦν. 30ἀλλὰ τί
λέγει ἡ γραφή; *ἔκβαλε τὴν παιδίσκην καὶ τὸν*
υἱὸν αὐτῆς· οὐ μὴ γὰρ κληρονομήσει ὁ υἱὸς
τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας.
31Ἄρα, ἀδελφοί, οὐκ ἐσμὲν παιδίσκης τέκνα,
ἀλλὰ τῆς ἐλευθέρας.

Spuneţi-mi voi, care vreţi să fiţi sub Le-
ge: nu auziţi Legea? 22Căci scris este că
Avraam a avut doi fii: unul din slujnică şi
altul din cea liberă. 23Dar cel din slujnică
s-a născut după trup, iar cel din cea liberă
prin făgăduinţă. 24Acestea sunt spuse cu alt
înţeles, căci acelea sunt două testamente:
unul de la Muntele Sinai, născând spre ro-
bie, care este Agar; 25căci Agar este Mun-
tele Sinai, în Arabia, şi înseamnă Ierusa-
limul de acum şi este roabă împreună cu
copiii ei; 26iar Ierusalimul de sus este cea
liberă, care este maica noastră, a tuturor.
27Căci scris este: *Veseleşte-te, cea stearpă,*
care nu naşti! Izbucneşte şi strigă, tu, care
nu suferi durerile naşterii, căci mai mulţi
sunt fiii celei părăsite decât ai celei cu băr-
bat. 28Iar noi, fraţilor, suntem, potrivit lui
Isaac, fii ai făgăduinţei. 29Ci, precum atunci
cel născut după trup îl prigonea pe cel după
Duh, aşa şi acum. 30Dar ce zice Scriptura?
Scoate-o pe slujnică şi pe fiul ei; căci nu va
moşteni fiul slujnicei împreună cu fiul celei
libere. 31Aşadar, fraţilor, nu suntem fii ai
slujnicei, ci ai celei libere.

Κεφάλαιον Ε΄

Τῇ ἐλευθερίᾳ οὖν, ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσε, στήκετε, καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε. 2Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. 3μαρτύρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον ποιῆσαι. 4κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε· 5ἡμεῖς γὰρ Πνεύματι ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. 6ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι᾽ ἀγάπης ἐνεργουμένη. 7Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψε τῇ ἀληθείᾳ μὴ πείθεσθαι; 8ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς. 9μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ. 10ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ ὅτι οὐδὲν ἄλλο φρονήσετε· ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρῖμα, ὅστις ἂν ᾖ. 11ἐγὼ δέ, ἀδελφοί, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι; ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ. 12ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς. 13Ὑμεῖς γὰρ ἐπ᾽ ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί, ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις. 14ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ, *ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν*. 15εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ᾽ ἀλλήλων ἀναλωθῆτε.

Λέγω δέ, πνεύματι περιπατεῖτε καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. 17ἡ γὰρ σὰρξ

Capitolul 5

Aşadar, staţi neclintiţi în libertatea în care Hristos ne-a eliberat şi nu vă prindeţi iarăşi în jugul robiei. 2Iată eu, Pavel, vă spun vouă că, de vă veţi tăia împrejur, Hristos nu vă va folosi la nimic. 3Şi dau mărturie, iarăşi, la tot omul ce se taie împrejur, că este dator să facă toată Legea. 4V-aţi dezlegat de Hristos cei care vă îndreptaţi în Lege, aţi căzut din har; 5căci noi aşteptăm în Duhul, din credinţă, nădejdea dreptăţii. 6Căci în Hristos Iisus, nici tăierea-împrejur nu poate ceva, nici netăierea-împrejur, ci credinţa lucrătoare prin iubire. 7Era bine cum alergaţi. Cine v-a oprit de nu vă mai supuneţi adevărului? 8Înduplecarea voastră nu este de la Cel care vă cheamă. 9Puţin aluat dospeşte toată frământătura. 10Eu am încredere în voi, în Domnul, că nimic altceva nu veţi cugeta; dar cel ce vă tulbură pe voi îşi va purta osânda, oricine ar fi el. 11Iar eu, fraţilor, dacă propovăduiesc încă tăierea-împrejur, de ce mai sunt prigonit? Aşadar, s-a desfiinţat sminteala crucii! 12Măcar de s-ar şi tăia de tot cei ce vă răzvrătesc! 13Căci voi, fraţilor, aţi fost chemaţi la libertate; numai să nu faceţi libertatea prilej trupului, ci fiţi robi unii altora prin iubire. 14Căci toată Legea într-un singur cuvânt se plineşte, în aceasta: *Iubeşte pe aproapele tău ca pe tine însuţi.* 15Iar dacă vă muşcaţi şi vă mâncaţi unii pe alţii, vedeţi să nu fiţi mistuiţi unii de către alţii.

Iar eu zic: Umblaţi în duh şi pofta trupului n-o veţi săvârşi. 17Căci trupul pofteşte

ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μὴ ἃ ἂν θέλητε ταῦτα ποιῆτε. 18εἰ δὲ Πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. 19φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστι μοιχεία, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, 20εἰδωλολατρία, φαρμακεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, 21φθόνοι, φόνοι, μέθαι, κῶμοι καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. 22ὁ δὲ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, 23πραότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. 24οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. 25Εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. 26μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προκαλούμενοi, ἀλλήλοις φθονοῦντες.

împotriva duhului, iar duhul împotriva trupului; iar acestea se împotrivesc unul altuia, ca să nu faceți cele ce ați vrea. 18Iar dacă sunteți purtați de Duhul, nu sunteți sub Lege. 19Şi învederate sunt faptele trupului, care sunt: adulter, desfrânare, necurăție, destrăbălare, 20închinare la idoli, fermecătorie, vrăjmăşii, certuri, invidii, mânii, zavistii, dezbinări, eresuri, 21pizmuiri, ucideri, beții, îmbuibări şi cele asemenea acestora, pe care vi le spun dinainte, precum dinainte v-am şi spus, că cei ce făptuiesc unele ca acestea nu vor moşteni Împărăția lui Dumnezeu. 22Iar roada Duhului este iubirea, bucuria, pacea, îndelungă-răbdarea, bunătatea, facerea de bine, credința, 23blândețea, înfrânarea; împotriva unora ca acestea nu este lege. 24Iar cei ai lui Hristos şi-au răstignit trupul împreună cu patimile şi cu poftele. 25Dacă trăim în Duhul, în Duhul să şi umblăm. 26Să nu ne facem iubitori de slavă deşartă, întărâtându-ne unii pe alții şi pizmuindu-ne unii pe alții.

Κεφάλαιον ς΄

Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. 2ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. 3εἰ γὰρ δοκεῖ τις εἶναί τι μηδὲν ὤν, ἑαυτὸν φρεναπατᾷ. 4τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος, καὶ τότε εἰς ἑαυτὸν

Capitolul 6

Fraților, de va cădea un om într-o greşeală, voi, cei duhovnicești, îndreptați-l pe unul ca acesta cu duhul blândeții, luând seama la tine însuți ca să nu fii şi tu ispitit. 2Unii altora purtați-vă sarcinile şi aşa veți împlini legea lui Hristos. 3Căci de se socoteşte cineva a fi ceva, nimic fiind, se amăgeşte pe sine însuşi. 4Iar fiecare să își încerce fapta lui, şi atunci va avea lau-

μόνον τὸ καύχημα ἕξει καὶ οὐκ εἰς τὸν ἕτερον· 5ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει. 6Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς. 7Μὴ πλανᾶσθε, Θεὸς οὐ μυκτηρίζεται· ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει· 8ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ ἐκ τῆς σαρκὸς θερίσει φθοράν, ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. 9τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν· καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι. 10Ἄρα οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως. 11Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. 12ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται. 13οὐδὲ γὰρ οἱ περιτετμημένοι αὐτοὶ νόμον φυλάσσουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται. 14ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ. 15ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις. 16καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ. 17Τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω. 18Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί· ἀμήν.

dă numai faţă de sine, nu şi faţă de altul; 5căci fiecare îşi va purta povara lui. 6Cel ce primeşte învăţătură în cuvânt să-i facă parte celui ce-l învaţă din toate bunurile. 7Nu vă amăgiţi, Dumnezeu nu poate fi batjocorit; căci ce va semăna omul aceea va şi secera. 8Cel ce seamănă în trupul lui, din trup va secera stricăciune, iar cel ce seamănă în duh, din Duhul va secera viaţă veşnică. 9Să nu ne pierdem curajul în a face binele, căci vom secera la timpul nostru, dacă nu vom osteni. 10Atunci, aşadar, cât avem vreme, să lucrăm binele către toţi, dar mai ales către casnicii întru credinţă. 11Vedeţi cu ce litere mari v-am scris cu mâna mea. 12Câţi vor să placă în trup, aceia vă silesc să vă tăiaţi împrejur, numai ca să nu fie prigoniţi pentru crucea lui Hristos. 13Căci cei tăiaţi împrejur, ei înşişi nu păzesc Legea, ci vor să vă tăiaţi voi împrejur, ca să se laude în trupul vostru. 14Iar mie să nu-mi fie a mă lăuda, decât în crucea Domnului nostru Iisus Hristos, prin care lumea este răstignită mie, şi eu lumii! 15Că în Hristos Iisus nici tăierea-împrejur nu poate ceva, nici netăierea-împrejur, ci zidirea cea nouă. 16Şi câţi vor umbla după canonul acesta – pace şi milă peste ei şi peste Israelul lui Dumnezeu! 17În rest, nimeni să nu-mi mai facă supărare, căci eu port în trupul meu semnele Domnului Iisus. 18Harul Domnului nostru Iisus Hristos să fie cu duhul vostru, fraţilor! Amin.

EPISTOLA CĂTRE EFESENI

Κεφάλαιον Α΄

Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ· 2χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ, 4καθὼς καὶ ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ, ἐν ἀγάπῃ 5προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ, 6εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ, 7ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων, κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ, 8ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει, 9γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ, ἣν προέθετο ἐν αὐτῷ 10εἰς

Capitolul 1

Pavel, apostol al lui Iisus Hristos prin voia lui Dumnezeu, sfinților care sunt în Efes şi credincioşilor în Hristos Iisus. 2Har vouă şi pace de la Dumnezeu, Tatăl nostru, şi de la Domnul Iisus Hristos!

Binecuvântat este Dumnezeu şi Tatăl Domnului nostru Iisus Hristos, Cel ce ne-a binecuvântat pe noi cu toată binecuvântarea duhovnicească în cele cereşti în Hristos, 4precum ne-a şi ales pe noi în El înainte de întemeierea lumii, ca să fim noi sfinți şi fără de prihană înaintea Lui în iubire, 5mai înainte rânduindu-ne pe noi spre înfiere întru El, prin Iisus Hristos, după bunăvoința voii Sale, 6spre lauda slavei harului Său, cu care ne-a dăruit pe noi în Cel iubit, 7în Care avem răscumpărarea prin sângele Lui, iertarea greşalelor, după bogăția harului Său, 8pe care l-a făcut să prisosească în noi, în toată înțelepciunea şi priceperea, 9făcându-ne cunoscută taina voii Sale, după bunăvoința Sa, pe care mai

οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν,
ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ,
τὰ ἐπὶ τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, ἐν
αὐτῷ, 11ἐν ᾧ καὶ ἐκληρώθημεν προορισθέντες
κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος
κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ,
12εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον δόξης αὐτοῦ,
τοὺς προηλπικότας ἐν τῷ Χριστῷ· 13ἐν ᾧ καὶ
ὑμεῖς ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας,
τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧ καὶ
πιστεύσαντες ἐσφραγίσθητε τῷ Πνεύματι τῆς
ἐπαγγελίας τῷ Ἁγίῳ, 14ὅς ἐστιν ἀρραβὼν τῆς
κληρονομίας ἡμῶν, εἰς ἀπολύτρωσιν τῆς πε-
ριποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.

Διὰ τοῦτο κἀγώ, ἀκούσας τὴν καθ' ὑμᾶς
πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ καὶ τὴν ἀγάπην
τὴν εἰς πάντας τοὺς ἁγίους, 16οὐ παύομαι
εὐχαριστῶν ὑπὲρ ὑμῶν μνείαν ὑμῶν ποιού-
μενος ἐπὶ τῶν προσευχῶν μου, 17 ἵνα ὁ Θεὸς
τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ
τῆς δόξης, δῴη ὑμῖν πνεῦμα σοφίας καὶ
ἀποκαλύψεως ἐν ἐπιγνώσει αὐτοῦ, 18πεφω-
τισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας
ὑμῶν, εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς
τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς
δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις,
19καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμε-
ως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας κατὰ
τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ,
20ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ ἐγείρας αὐτὸν
ἐκ νεκρῶν, καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ ἐν
τοῖς ἐπουρανίοις 21ὑπεράνω πάσης ἀρχῆς καὶ
ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος καὶ
παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον
ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι·
22καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ,
καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκ-
κλησίᾳ, 23ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλή-
ρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου.

dinainte a hotărât-o în El, 10spre iconomia
plinirii vremurilor, ca toate să fie recapitu-
late în Hristos, cele din ceruri şi cele de pe
pământ, în El, 11întru Care am şi fost făcuţi
moştenitori, mai dinainte rânduiţi după
vrerea Celui ce toate le lucrează după sfa-
tul voii Sale, 12ca să fim spre lauda slavei
Sale, noi, cei care mai dinainte am nădăj-
duit în Hristos; 13întru Care şi voi, auzind
cuvântul adevărului, Evanghelia mântuirii
voastre, în Care şi crezând, aţi fost pecet-
luiţi cu Duhul făgăduinţei, Cel Sfânt, 14Ca-
re este arvună a moştenirii noastre, spre
răscumpărarea agoniselii şi spre lauda sla-
vei Sale.

De aceea şi eu, auzind de credinţa voas-
tră în Domnul Iisus şi de iubirea cea
către toţi sfinţii, 16nu încetez să mulţumesc
pentru voi, făcând pomenirea voastră în ru-
găciunile mele, 17ca Dumnezeul Domnului
nostru Iisus Hristos, Tatăl slavei, să vă dea
vouă duhul înţelepciunii şi al descoperi-
rii, întru cunoştinţa Lui, 18luminând ochii
inimii voastre, ca să cunoaşteţi care este
nădejdea chemării Lui şi care este bogă-
ţia slavei moştenirii Lui în sfinţi 19şi care
este mărimea covârşitoare a puterii Lui în-
tru noi, cei ce credem, după lucrarea stă-
pânirii tăriei Lui, 20pe care a lucrat-o în
Hristos, sculându-L din morţi, şi L-a aşe-
zat de-a dreapta Sa în cele cereşti, 21mai
presus decât toată începătoria şi stăpânia
şi puterea şi domnia şi decât tot numele
numit nu numai în veacul acesta, ci şi în
cel ce va să fie; 22şi toate le-a supus sub pi-
cioarele Lui şi pe El L-a dat cap Bisericii
peste toate, 23care este trupul Lui, plinirea
Celui ce plineşte toate în toţi.

Κεφάλαιον Β΄

Καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ ταῖς ἁμαρτίαις, 2ἐν αἷς ποτε περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας· 3ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, καὶ ἤμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί. 4ὁ δὲ Θεὸς πλούσιος ὢν ἐν ἐλέει, διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς, 5καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι συνεζωοποίησε τῷ Χριστῷ –χάριτί ἐστε σεσωσμένοι– 6καὶ συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ, 7ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ᾽ ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ. 8τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι διὰ τῆς πίστεως· καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, Θεοῦ τὸ δῶρον, 9οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. 10αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς ἵνα ἐν αὐτοῖς περιπατήσωμεν.

Διὸ μνημονεύετε ὅτι ὑμεῖς ποτε τὰ ἔθνη ἐν σαρκί, οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου, 12ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ. 13νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἱ

Capitolul 2

Iar pe voi, care eraţi morţi prin greşale şi păcate, 2în care odinioară aţi umblat, după veacul lumii acesteia, după stăpânitorul puterii văzduhului, a duhului care acum lucrează în fiii neascultării; 3între aceştia, şi noi toţi am petrecut odinioară în poftele trupului nostru, făcând voile trupului şi ale cugetelor, şi eram, prin fire, fii ai urgiei, ca şi ceilalţi. 4Dar Dumnezeu, bogat fiind în milă, pentru multa Sa iubire cu care ne-a iubit pe noi, 5chiar fiind noi morţi prin greşale, ne-a făcut vii împreună cu Hristos – prin har sunteţi mântuiţi! – 6şi împreună cu El ne-a sculat şi ne-a aşezat în cele cereşti în Hristos Iisus, 7ca să arate în veacurile ce au să vie covârşitoarea bogăţie a harului Său, în bunătatea cea către noi în Hristos Iisus. 8Căci prin har sunteţi mântuiţi, prin credinţă; şi aceasta nu este de la voi, este darul lui Dumnezeu, 9nu din fapte, ca să nu se laude cineva. 10Căci a Lui făptură suntem, zidiţi în Hristos Iisus spre fapte bune, pe care Dumnezeu mai dinainte le-a gătit, ca în ele să umblăm.

De aceea, aduceţi-vă aminte că odinioară neamurile în trup eraţi voi, cei numiţi netăiere-împrejur de către cei numiţi tăiere-împrejur, făcută de mână în trup, 12că eraţi în vremea aceea fără Hristos, înstrăinaţi de petrecerea lui Israel şi străini de testamentele făgăduinţei, neavând nădejde şi fiind fără de Dumnezeu în lume. 13Iar acum, în Hristos Iisus, voi, care odinioară

ποτὲ ὄντες μακρὰν ἐγγὺς ἐγενήθητε ἐν τῷ
αἵματι τοῦ Χριστοῦ. 14αὐτὸς γάρ ἐστιν ἡ εἰ-
ρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ
μεσότοιχον τοῦ φραγμοῦ λύσας, 15τὴν ἔχθραν,
ἐν τῇ σαρκὶ αὐτοῦ τὸν νόμον τῶν ἐντολῶν
ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ
ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον ποιῶν
εἰρήνην, 16καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέ-
ρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ,
ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ· 17καὶ ἐλθὼν
εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν καὶ
τοῖς ἐγγύς, 18ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσ-
αγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς
τὸν πατέρα. 19ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ
πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ
οἰκεῖοι τοῦ Θεοῦ, 20ἐποικοδομηθέντες ἐπὶ
τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν,
ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ,
21ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη
αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ· 22ἐν ᾧ καὶ
ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ
Θεοῦ ἐν Πνεύματι.

eraţi departe, v-aţi făcut aproape prin sângele lui Hristos, 14căci El este pacea noastră, Cel ce a făcut pe amândouă una şi Care a surpat peretele din mijloc al despărţiturii, 15vrăjmăşia, în trupul Său desfiinţând legea poruncilor prin învăţături, ca pe cei doi să îi zidească în Sine într-un singur om nou, făcând pace, 16şi să-i împace pe amândoi într-un singur trup cu Dumnezeu, prin cruce, omorând vrăjmăşia în El; 17şi, venind, a binevestit pace, vouă, celor de departe şi celor de aproape; 18că prin El avem aducere, şi unii şi alţii, într-un Duh, la Tatăl. 19Deci, dar, nu mai sunteţi străini şi venetici, ci împreună-cetăţeni cu sfinţii şi casnici ai lui Dumnezeu, 20ziditi pe temelia apostolilor şi a proorocilor, piatra cea din capul unghiului fiind Însuşi Iisus Hristos, 21în Care toată zidirea bine alcătuită creşte spre a fi templu sfânt în Domnul; 22în Care şi voi sunteţi împreună-ziditi, spre a fi locaş al lui Dumnezeu în Duh.

Κεφάλαιον Γ΄

Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέ-
σμιος τοῦ Χριστοῦ Ἰησοῦ ὑπὲρ
ὑμῶν τῶν ἐθνῶν, 2εἴγε ἠκούσατε
τὴν οἰκονομίαν τῆς χάριτος τοῦ
Θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς,
3ὅτι κατὰ ἀποκάλυψιν ἐγνώρισέ μοι
τὸ μυστήριον, καθὼς προέγραψα ἐν ὀλίγῳ,
4πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι
τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χρι-
στοῦ, 5ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς
υἱοῖς τῶν ἀνθρώπων ὡς νῦν ἀπεκαλύφθη
τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις

Capitolul 3

Pentru aceasta, eu Pavel, întemniţatul lui Hristos Iisus pentru voi, neamurile, 2 – dacă într-adevăr aţi auzit de iconomia harului lui Dumnezeu dat mie pentru voi, 3că prin descoperire mi-a făcut cunoscută taina, precum v-am scris mai înainte pe scurt, 4unde puteţi, citind, să înţelegeţi priceperea mea în taina lui Hristos, 5care, în alte veacuri, nu s-a făcut cunoscută fiilor oamenilor, aşa cum acum s-a descoperit sfinţilor Săi apostoli şi prooroci în Duhul:

ἐν Πνεύματι, 6εἶναι τὰ ἔθνη συγκληρονόμα
καὶ σύσσωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας
αὐτοῦ ἐν τῷ Χριστῷ διὰ τοῦ εὐαγγελίου, 7οὗ
ἐγενόμην διάκονος κατὰ τὴν δωρεὰν τῆς χά-
ριτος τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι κατὰ τὴν
ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ. 8Ἐμοὶ τῷ
ἐλαχιστοτέρῳ πάντων τῶν ἁγίων ἐδόθη ἡ
χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι
τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ 9καὶ
φωτίσαι πάντας τίς ἡ οἰκονομία τοῦ μυστη-
ρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων
ἐν τῷ Θεῷ, τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ
Χριστοῦ, 10ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ
ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς
ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ,
11κατὰ πρόθεσιν τῶν αἰώνων ἣν ἐποίησεν ἐν
Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, 12ἐν ᾧ ἔχο-
μεν τὴν παρρησίαν καὶ τὴν προσαγωγὴν ἐν
πεποιθήσει διὰ τῆς πίστεως αὐτοῦ. 13διὸ αἰ-
τοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ
ὑμῶν, ἥτις ἐστὶ δόξα ὑμῶν.

Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς
τὸν πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι-
στοῦ, 15ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ
ἐπὶ γῆς ὀνομάζεται, 16ἵνα δῴη ὑμῖν κατὰ τὸν
πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιω-
θῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω
ἄνθρωπον, 17κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς
πίστεως ἐν ταῖς καρδίαις ὑμῶν, 18ἐν ἀγάπῃ
ἐρριζωμένοι καὶ τεθεμελιωμένοι ἵνα ἐξισχύ-
σητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις τί
τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος,
19γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως
ἀγάπην τοῦ Χριστοῦ, ἵνα πληρωθῆτε εἰς πᾶν
τὸ πλήρωμα τοῦ Θεοῦ. 20Τῷ δὲ δυναμένῳ
ὑπὲρ πάντα ποιῆσαι ὑπερεκπερισσοῦ ὧν αἰ-
τούμεθα ἢ νοοῦμεν, κατὰ τὴν δύναμιν τὴν
ἐνεργουμένην ἐν ἡμῖν, 21αὐτῷ ἡ δόξα ἐν τῇ
ἐκκλησίᾳ ἐν Χριστῷ Ἰησοῦ εἰς πάσας τὰς
γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων· ἀμήν.

6Neamurile sunt împreună-moştenitoare şi
într-un trup şi împreună-părtaşe ale făgă-
duinţei Lui în Hristos prin Evanghelie, 7al
cărei slujitor m-am făcut după darul haru-
lui lui Dumnezeu cel dat mie prin lucrarea
puterii Lui. 8Mie, celui mai mic dintre toţi
sfinţii, mi s-a dat harul acesta să binevես-
tesc la neamuri nepătrunsa bogăţie a lui
Hristos 9şi să-i luminez pe toţi care este
iconomia tainei celei ascunse din veci în
Dumnezeu, Cel ce a zidit toate prin Iisus
Hristos, 10ca să se facă acum cunoscută În-
cepătoriilor şi Stăpâniilor în cele cereşti,
prin Biserică, înţelepciunea cea de multe
feluri a lui Dumnezeu, 11după vrerea cea
din veci pe care a împlinit-o în Hristos Ii-
sus, Domnul nostru, 12întru Care avem în-
drăzneală şi apropiere, cu încredinţare,
prin credinţa în El. 13De aceea, vă rog să
nu vă pierdeţi curajul în necazurile mele
pentru voi, care sunt slava voastră.

Pentru aceasta, îmi plec genunchii înain-
tea Tatălui Domnului nostru Iisus Hris-
tos, 15de la Care se numeşte toată semin-
ţia în ceruri şi pe pământ, 16ca să vă dea, după
bogăţia slavei Sale, să fiţi întăriţi cu putere,
prin Duhul Său, în omul dinăuntru, 17să Se
sălăşluiască Hristos, prin credinţă, în ini-
mile voastre, 18înrădăcinaţi şi întemeiaţi în
iubire, ca să puteţi înţelege împreună cu
toţi sfinţii care este lărgimea şi lungimea
şi adâncimea şi înălţimea, 19şi să cunoaşteţi
iubirea lui Hristos care covârşeşte cunoaş-
terea, ca să vă umpleţi spre toată plinătatea
lui Dumnezeu. 20Iar Celui ce poate mai
presus de toate să facă cu mult mai mult
decât ceea ce cerem sau gândim, după pu-
terea cea lucrătoare în noi, 21Lui fie slava în
Biserică, în Hristos Iisus, întru toate nea-
murile veacului veacurilor. Amin!

Κεφάλαιον Δ΄

Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, 2μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, 3σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης. 4ἓν σῶμα καὶ ἓν Πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν· 5εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα· 6εἷς Θεὸς καὶ πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ἡμῖν. 7Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ. 8διὸ λέγει· *ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν καὶ ἔδωκε δόματα τοῖς ἀνθρώποις.* 9τὸ δὲ *ἀνέβη* τί ἐστιν εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς; 10ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα. 11καὶ αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, 12πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, 13μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, 14ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης, 15ἀληθεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλή, ὁ Χριστός, 16ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον διὰ πάσης

Capitolul 4

Vă rog deci eu, cel întemniţat în Domnul, să umblaţi în chip vrednic de chemarea cu care aţi fost chemaţi, 2cu toată smerita-cugetare şi blândeţea, cu îndelungă-răbdare, îngăduindu-vă unii pe alţii în iubire, 3silindu-vă să ţineţi unirea Duhului întru legătura păcii. 4Un trup şi un Duh, precum aţi şi fost chemaţi într-o singură nădejde a chemării voastre; 5un Domn, o credinţă, un botez, 6un Dumnezeu şi Tată al tuturor, Cel peste toate şi prin toate şi în noi toţi. 7Şi fiecăruia dintre noi i s-a dat harul după măsura darului lui Hristos. 8Pentru aceea zice: *Suindu-Se la înălţime, a robit robia şi a dat daruri oamenilor.* 9Iar *S-a suit* ce este decât că S-a pogorât mai întâi în părţile cele mai de jos ale pământului? 10Cel ce S-a pogorât, El Însuşi este şi Cel ce S-a suit mai presus de toate cerurile, ca pe toate să le umple. 11Şi El i-a dat pe unii apostoli, pe alţii prooroci, pe alţii evanghelişti, pe alţii păstori şi învăţători, 12spre pregătirea sfinţilor spre lucrul slujirii, spre zidirea trupului lui Hristos, 13până vom ajunge toţi la unirea credinţei şi a cunoştinţei Fiului lui Dumnezeu, la starea bărbatului desăvârşit, la măsura vârstei plinătăţii lui Hristos, 14ca să nu mai fim prunci duşi de valuri şi purtaţi încoace şi încolo de tot vântul învăţăturii, în amăgirea oamenilor, în vicleşug, spre uneltirea rătăcirii, 15ci, fiind în adevăr, cu iubire, toate să le creştem în El, Care este capul, Hristos, 16din Care tot trupul bine alcătuit şi bine încheiat, prin toată legătura îmbelşugatei-dăru-

ἁφῆς τῆς ἐπιχορηγίας κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ.

Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι ὑμᾶς περιπατεῖν καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, [18]ἐσκοτισμένοι τῇ διανοίᾳ, ὄντες ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, [19]οἵτινες, ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ. [20]ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστόν, [21]εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ, [22]ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, [23]ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν [24]καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας.

Διὸ ἀποθέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ· ὅτι ἐσμὲν ἀλλήλων μέλη. [26]*ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε*· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, [27]μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ. [28]ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσίν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. [29]πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσι. [30]καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. [31]πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ· [32]γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ἡμῖν.

iri, potrivit lucrării pe măsura fiecărei părți în parte, îşi săvârşeşte creşterea trupului, spre zidirea sa în dragoste.

Aşadar, aceasta zic şi mărturisesc în Domnul, ca voi să nu mai umblați cum umblă şi celelalte neamuri, în deşertăciunea minții lor, [18]întunecați la cuget, înstrăinați fiind de viața lui Dumnezeu din pricina necunoştinței care este în ei din pricina împietririi inimii lor; [19]care, încetând a mai simți, s-au dat pe sine destrăbălării, spre lucrarea a toată necurăția cu lăcomie. [20]Voi însă n-ați cunoscut aşa pe Hristos, [21]de vreme ce ați auzit de El şi ați fost învățați în El, aşa cum este adevărul întru Iisus, [22]să vă lepădați de viețuirea de mai înainte, de omul cel vechi, care se strică după poftele amăgirii, [23]şi să vă înnoiți în duhul minții voastre, [24]şi să vă îmbrăcați în omul cel nou, cel după Dumnezeu zidit în dreptate şi în cuvioşia adevărului.

Pentru aceea, lepădând minciuna, grăiți adevărul fiecare cu aproapele său; că suntem unul altuia mădulare. [26]*Mâniați-vă, şi nu păcătuiți*; soarele să nu apună întru mânia voastră. [27]Nici nu dați loc diavolului. [28]Cel ce fură să nu mai fure, ci mai vârtos să se ostenească lucrând binele cu mâinile, ca să aibă să dea celui ce are trebuință. [29]Din gura voastră să nu iasă nici un cuvânt stricat, ci, dacă este ceva bun, spre zidirea cea de trebuință, ca să dea har celor ce ascultă. [30]Şi nu întristați Duhul cel Sfânt al lui Dumnezeu, în Care ați fost pecetluiți spre ziua răscumpărării. [31]Toată amărăciunea şi mânia şi urgia şi strigarea şi hula să piară de la voi, împreună cu toată răutatea. [32]Şi fiți între voi buni, milostivi, dăruindu-vă iertare unul altuia, precum şi Dumnezeu, în Hristos, v-a dăruit vouă iertare.

Κεφάλαιον Ε΄

Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ ὡς τέκνα ἀγαπητά, 2καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας. 3πορνεία δὲ καὶ πᾶσα ἀκαθαρσία ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις, 4καὶ αἰσχρότης καὶ μωρολογία ἢ εὐτραπελία, τὰ οὐκ ἀνῆκοντα, ἀλλὰ μᾶλλον εὐχαριστία. 5τοῦτο γὰρ ἐστὲ γινώσκοντες, ὅτι πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ. 6Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις· διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. 7μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν. 8ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ· ὡς τέκνα φωτὸς περιπατεῖτε 9 –ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ–, 10δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. 11καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· 12τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν· 13τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστι. 14διὸ λέγει· ἔγειρε ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.

Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί, 16ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί

Capitolul 5

Faceți-vă, dar, următori ai lui Dumnezeu, ca niște fii iubiți, 2și umblați în iubire, precum și Hristos ne-a iubit pe noi și S-a dat pe Sine pentru noi ofrandă și jertfă lui Dumnezeu, întru miros de bună mireasmă. 3Iar desfrâu și orice necurăție sau lăcomie nici să nu se pomenească între voi, precum se cuvine sfinților; 4nici nerușinare, nici vorbe prosteşti, nici glume, care nu se cuvin, ci mai degrabă mulțumire. 5Căci aceasta să știți, că tot desfrânatul, sau necuratul, sau lacomul – care este închinător la idoli –, nu are moștenire în Împărăția lui Hristos și Dumnezeu. 6Nimeni să nu vă amăgească cu cuvinte goale, căci pentru acestea vine urgia lui Dumnezeu asupra fiilor neascultării. 7Deci, nu vă faceți părtași cu ei. 8Căci odată erați întuneric, dar acum sunteți lumină în Domnul; umblați ca fii ai luminii 9 – căci roada Duhului este în toată bunătatea și dreptatea și adevărul –, 10încercând ce este bineplăcut Domnului. 11Și nu vă împărtășiți de faptele cele neroditoare ale întunericului, ci mai degrabă și vădiți-le; 12căci cele pe care le fac ei întru ascuns ruşine este a le și grăi. 13Dar toate, vădite de lumină, se descoperă; căci tot ceea ce se descoperă lumină este. 14Pentru aceea zice: Scoală-te, cel ce dormi, și înviază din morți și te va lumina Hristos.

Deci, vedeți cu luare aminte cum umblați, nu ca niște neînțelepți, ci ca cei înțelepți, 16răscumpărând vremea, căci zilele

εἰσι. 17διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου. 18καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν Πνεύματι, 19λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ, 20εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ Θεῷ καὶ πατρί, 21ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ.

Αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε ὡς τῷ Κυρίῳ, 23ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικός, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας, καὶ αὐτός ἐστι σωτὴρ τοῦ σώματος. 24ἀλλ' ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί. 25οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας ἑαυτῶν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν καὶ ἑαυτὸν παρέδωκεν ὑπὲρ αὐτῆς, 26ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι, 27ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον τὴν ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος. 28οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα. ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ· 29οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν, καθὼς καὶ ὁ Κύριος τὴν ἐκκλησίαν· 30ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ· 31*ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.* 32τὸ μυστήριον τοῦτο μέγα ἐστίν, ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν. 33πλὴν καὶ ὑμεῖς οἱ καθ' ἕνα ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπάτω ὡς ἑαυτόν, ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα.

rele sunt. 17De aceea nu fiţi fără de minte, ci înţelegeţi care este voia Domnului. 18Şi nu vă îmbătaţi de vin, în care este dezmăţ, ci vă umpleţi de Duhul, 19grăind între voi în psalmi şi în imne şi în cântări duhovniceşti, cântând şi înălţând psalmi în inima voastră Domnului, 20mulţumind totdeauna pentru toate în numele Domnului nostru Iisus Hristos, lui Dumnezeu şi Tatăl, 21supunându-vă unul altuia în frica lui Hristos.

Femeilor, supuneţi-vă bărbaţilor voştri ca Domnului, 23pentru că bărbatul este cap al femeii, precum şi Hristos cap al Bisericii, şi El este Mântuitor al trupului. 24Ci, precum Biserica se supune lui Hristos, aşa şi femeile bărbaţilor lor întru totul. 25Bărbaţilor, iubiţi pe femeile voastre, după cum şi Hristos a iubit Biserica şi S-a dat pe Sine pentru ea, 26ca s-o sfinţească, curăţind-o cu baia apei prin cuvânt, 27şi ca s-o înfăţişeze Sieşi Biserică slăvită, neavând pată sau zbârcitură, ori altceva de acest fel, ci ca să fie sfântă şi fără de prihană. 28Aşa sunt datori bărbaţii să-şi iubească femeile, ca pe trupurile lor. Cel ce-şi iubeşte femeia pe sine se iubeşte. 29Căci nimeni vreodată nu şi-a urât trupul, ci îl hrăneşte şi îl încălzeşte, precum şi Domnul Biserica; 30că suntem mădulare ale trupului Lui, din carnea Lui şi din oasele Lui; 31*Pentru aceasta, va lăsa omul pe tatăl său şi pe mama sa şi se va lipi de femeia sa şi vor fi amândoi un singur trup.* 32Taina aceasta mare este; iar eu zic ca despre Hristos şi despre Biserică. 33Dar şi voi, fiecare în parte, aşa să-şi iubească femeia ca pe sine însuşi; iar femeia să se teamă de bărbat.

Κεφάλαιον ς΄

Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ· τοῦτο γάρ ἐστι δίκαιον. 2*τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα*, ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ, 3*ἵνα εὖ σοι γένηται καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς*.
4καὶ οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ᾽ ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.

Οἱ δοῦλοι ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα μετὰ φόβου καὶ τρόμου ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν ὡς τῷ Χριστῷ, 6μὴ κατ᾽ ὀφθαλμοδουλείαν ὡς ἀνθρωπάρεσκοι, ἀλλ᾽ ὡς δοῦλοι τοῦ Χριστοῦ, ποιοῦντες τὸ θέλημα τοῦ Θεοῦ ἐκ ψυχῆς, 7μετ᾽ εὐνοίας δουλεύοντες ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις, 8εἰδότες ὅτι ὃ ἐάν τι ἕκαστος ποιήσῃ ἀγαθόν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου, εἴτε δοῦλος εἴτε ἐλεύθερος. 9Καὶ οἱ κύριοι τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτούς, ἀνιέντες τὴν ἀπειλήν, εἰδότες ὅτι καὶ ὑμῶν αὐτῶν ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωπολημψία οὐκ ἔστι παρ᾽ αὐτῷ.

Τὸ λοιπόν, ἀδελφοί μου, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. 11ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· 12ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. 13διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ ἅπαντα

Capitolul 6

Copii, ascultați de părinții voștri în Domnul; că așa este drept. 2*Cinstește pe tatăl tău și pe mama ta*, care este prima poruncă cu făgăduință: 3*ca bine să-ți fie ție și să ai zile îndelungate pe pământ*. 4Și voi, părinților, nu întărâtați la mânie pe copiii voștri, ci creșteți-i întru învățătura și povățuirea Domnului.

Robilor, ascultați de stăpânii cei după trup, cu frică și cu cutremur, în simplitatea inimii voastre, ca de Hristos, 6nu slujind de ochii lor, ca unii care caută să placă oamenilor, ci ca robi ai lui Hristos, făcând voia lui Dumnezeu din suflet, 7cu bunăvoire slujind, ca Domnului, și nu ca oamenilor, 8știind că orice bine ar face fiecare, aceea va primi de la Domnul, fie rob, fie liber. 9Și voi, stăpânilor, faceți aceleași lucruri față de ei, lăsând la o parte amenințarea, știind că și voi aveți Domn în ceruri și părtinire nu este la El.

În rest, frații mei, întăriți-vă în Domnul și în puterea tăriei Lui. 11Îmbrăcați-vă cu toate armele lui Dumnezeu, ca să puteți sta împotriva uneltirilor diavolului. 12Căci lupta noastră nu este împotriva sângelui și a cărnii, ci împotriva începătoriilor, împotriva stăpâniilor, împotriva stăpânitorilor întunericului acestui veac, împotriva duhurilor vicleniei, care sunt în cele cerești. 13Pentru aceea, luați toate armele lui Dumnezeu, ca să puteți sta împotrivă în ziua cea rea, și, toate săvârșindu-le, să stați neclin-

κατεργασάμενοι στῆναι. 14στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, 15καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, 16ἐπὶ πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· 17καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ, 18διὰ πάσης προσευχῆς καὶ δεήσεως, προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν Πνεύματι, καὶ εἰς αὐτὸ τοῦτο ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων, 19καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου, 20ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει, ἵνα ἐν αὐτῷ παρρησιάσωμαι ὡς δεῖ με λαλῆσαι. 21Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ᾽ ἐμέ, τί πράσσω, πάντα ὑμῖν γνωρίσει Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος ἐν Κυρίῳ, 22ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν. 23Εἰρήνη τοῖς ἀδελφοῖς καὶ ἀγάπη μετὰ πίστεως ἀπὸ Θεοῦ πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. 24Ἡ χάρις μετὰ πάντων τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν ἀφθαρσίᾳ· ἀμήν.

tiți. 14Stați deci neclintiți, având încins mijlocul vostru cu adevărul, îmbrăcându-vă cu platoşa dreptății 15şi având încălțate picioarele întru pregătirea Evangheliei păcii; 16peste toate luați scutul credinței, cu care veți putea să stingeți toate săgețile arzătoare ale celui viclean;17primiți şi coiful mântuirii, şi sabia Duhului, care este cuvântul lui Dumnezeu, 18prin toată rugăciunea şi cererea, rugându-vă în toată vremea în Duhul, şi chiar pentru aceasta priveghind, cu toată stăruința şi cererea pentru toți sfinții 19şi pentru mine, ca să mi se dea cuvânt întru deschiderea gurii mele, să fac cunoscută cu îndrăzneală taina Evangheliei, 20pentru care vestesc în lanțuri, ca în ea să vorbesc cu îndrăzneală, precum trebuie să grăiesc. 21Şi ca să ştiți şi voi cele despre mine, ce fac, pe toate vi le va face cunoscute Tihic, iubitul frate şi credinciosul slujitor întru Domnul; 22pe care l-am trimis la voi, tocmai pentru aceasta, ca să ştiți cele despre noi şi să mângâie inimile voastre. 23Pace fraților şi iubire, cu credință de la Dumnezeu-Tatăl şi de la Domnul Iisus Hristos. 24Harul fie cu toți cei ce iubesc pe Domnul nostru Iisus Hristos în nestricăciune. Amin.

EPISTOLA CĂTRE FILIPENI

Κεφάλαιον Α΄

Παῦλος καὶ Τιμόθεος, δοῦλοι Ἰησοῦ Χριστοῦ, πᾶσι τοῖς ἁγίοις ἐν Χριστῷ Ἰησοῦ τοῖς οὖσιν ἐν Φιλίπποις σὺν ἐπισκόποις καὶ διακόνοις· 2χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εὐχαριστῶ τῷ Θεῷ μου ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν, 4πάντοτε ἐν πάσῃ δεήσει μου ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς τὴν δέησιν ποιούμενος 5ἐπὶ τῇ κοινωνίᾳ ὑμῶν εἰς τὸ εὐαγγέλιον ἀπὸ πρώτης ἡμέρας ἄχρι τοῦ νῦν, 6πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ, 7καθώς ἐστι δίκαιον ἐμοὶ τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου καὶ ἐν τῇ ἀπολογίᾳ καὶ βεβαιώσει τοῦ εὐαγγελίου συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας. 8μάρτυς γάρ μού ἐστιν ὁ Θεός, ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Ἰησοῦ Χριστοῦ. 9καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει, 10εἰς

Capitolul 1

Pavel şi Timotei, robi ai lui Iisus Hristos, tuturor sfinţilor în Hristos Iisus, care sunt în Filipi, precum şi episcopilor şi diaconilor; 2har vouă şi pace de la Dumnezeu, Tatăl nostru, şi de la Domnul Iisus Hristos.

Mulţumesc Dumnezeului meu ori de câte ori fac pomenirea voastră, 4totdeauna în toată rugăciunea mea pentru voi toţi cu bucurie rugăciune făcând, 5pentru că aţi fost părtaşi la Evanghelie, din ziua dintâi până acum, 6încredinţat fiind de aceasta, că Cel ce a început în voi lucrul bun îl va săvârşi până în ziua lui Iisus Hristos, 7aşa cum este drept să cuget aceasta despre voi toţi, pentru că vă am în inimă, fiind voi toţi împreună-părtaşi cu mine ai harului, în lanţurile mele, precum şi în apărarea şi în adeverirea Evangheliei. 8Căci martor îmi este Dumnezeu că vă doresc pe voi pe toţi cu dragostea lui Iisus Hristos. 9Şi aceasta mă rog, ca iubirea voastră să prisosească tot mai mult şi mai mult întru

τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα, ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοποι εἰς ἡμέραν Χριστοῦ, 11πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ εἰς δόξαν καὶ ἔπαινον Θεοῦ.

Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν, 13ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ καὶ τοῖς λοιποῖς πᾶσι, 14καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν. 15τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν· 16οἱ μὲν ἐξ ἐριθείας τὸν Χριστὸν καταγγέλλουσιν, οὐχ ἁγνῶς, οἰόμενοι θλῖψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου· 17οἱ δὲ ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι. 18τί γάρ; πλὴν παντὶ τρόπῳ, εἴτε προφάσει εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται. καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι· 19οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ, 20κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι, ἀλλ' ἐν πάσῃ παρρησίᾳ, ὡς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου εἴτε διὰ ζωῆς εἴτε διὰ θανάτου. 21Ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς καὶ τὸ ἀποθανεῖν κέρδος. 22εἰ δὲ τὸ ζῆν ἐν σαρκί, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι οὐ γνωρίζω. 23συνέχομαι δὲ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι· πολλῷ γὰρ μᾶλλον κρεῖσσον· 24τὸ δὲ ἐπιμένειν ἐν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. 25καὶ τοῦτο πεποιθὼς οἶδα ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως, 26ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ

cunoştinţă şi întru toată simţirea, 10spre a deslușI voi cele însemnate, ca să fiţi curaţi şi fără poticnire în ziua lui Hristos, 11plini de roadele dreptăţii, cele prin Iisus Hristos, spre slava şi lauda lui Dumnezeu.

Si vreau ca voi să ştiţi, fraţilor, că cele petrecute cu mine au venit mai degrabă spre sporirea Evangheliei, 13încât lanţurile mele întru Hristos s-au făcut vădite în tot pretoriul şi la toţi ceilalţi; 14şi cei mai mulţi dintre fraţi, încredinţaţi întru Domnul prin lanţurile mele, mai mult cutează fără de frică să grăiască cuvântul. 15Unii din pizmă şi din ceartă, alţii însă din bunăvoire Îl propovăduiesc pe Hristos. 16Unii, nu curat, din zavistie Îl vestesc pe Hristos, socotind să adauge strâmtorare lanţurilor mele. 17Alţii, însă, din iubire, ştiind că sunt pus pentru apărarea Evangheliei. 18Ce, dar? Fără numai că, în tot chipul, fie cu făţărnicie, fie cu adevăr, Hristos Se vesteşte; şi în aceasta mă bucur, şi mă voi bucura încă. 19Căci ştiu că aceasta îmi va fi mie spre mântuire, prin rugăciunea voastră şi prin dăruirea Duhului lui Iisus Hristos, 20după aşteptarea şi nădejdea mea că întru nimic nu mă voi ruşina, ci, cu toată îndrăzneala, ca întotdeauna, şi acum se va mări Hristos în trupul meu, fie prin viaţă, fie prin moarte; 21căci mie a trăi este Hristos şi a muri este câştig. 22Iar dacă a trăi în trup îmi este roadă a lucrării, ce voi alege nu ştiu. 23Sunt strâmtorat din două părţi: având dorinţa să mă duc şi să fiu împreună cu Hristos, căci e cu mult mai bine; 24dar a rămâne în trup este mai de trebuinţă pentru voi. 25Şi de aceasta fiind încredinţat, ştiu că voi rămâne şi voi petrece împreună cu voi toţi, spre sporirea voastră şi spre bucuria credinţei, 26ca lauda voastră

ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς.

Μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε, ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς εἴτε ἀπὼν ἀκούσω τὰ περὶ ὑμῶν, ὅτι στήκετε ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου, 28καὶ μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων, ἥτις αὐτοῖς μέν ἐστιν ἔνδειξις ἀπωλείας, ὑμῖν δὲ σωτηρίας, καὶ τοῦτο ἀπὸ Θεοῦ· 29ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν, 30τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοὶ καὶ νῦν ἀκούετε ἐν ἐμοί.

să prisosească în Hristos Iisus întru mine prin venirea mea iarăşi la voi.

Numai purtaţi-vă în chip vrednic de Evanghelia lui Hristos, pentru ca, fie venind eu şi văzându-vă, fie lipsind, să aud cele despre voi, că staţi neclintiţi într-un duh, într-un suflet luptându-vă împreună pentru credinţa Evangheliei, 28întru nimic înfricoşaţi de cei potrivnici, ceea ce lor le este semn de pierzare, iar vouă de mântuire, şi lucrul acesta este de la Dumnezeu. 29Căci vouă vi s-a dăruit ca, pentru Hristos, nu numai să credeţi în El, ci să şi pătimiţi pentru El, 30aceeaşi luptă având, pe care aţi văzut-o la mine şi acum o auziţi despre mine.

Κεφάλαιον Β΄

Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία Πνεύματος, εἴ τις σπλάγχνα καὶ οἰκτιρμοί, 2πληρώσατέ μου τὴν χαράν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες, 3μηδὲν κατὰ ἐριθείαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν. 4μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος. 5τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, 6ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, 7ἀλλ᾽ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, 8καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. 9διὸ

Capitolul 2

Deci, dacă este vreun îndemn în Hristos, dacă este vreo mângâiere a dragostei, dacă este vreo împărtăşire a Duhului, dacă sunt milostiviri şi îndurări, 2împliniţi-mi bucuria, ca să fiţi în acelaşi gând, având aceeaşi dragoste, acelaşi suflet, acelaşi cuget, 3nimic din zavistie sau din slavă deşartă, ci, cu smerită cugetare, fiecare socotindu-l pe celălalt mai presus decât pe sine însuşi. 4Să nu caute fiecare la ale sale, ci şi la ale altora. 5Aceasta să se cugete în voi, care era şi în Hristos Iisus, 6Care, în chipul lui Dumnezeu fiind, n-a socotit răpire a fi întocmai cu Dumnezeu, 7ci S-a golit pe Sine, chip de rob luând, întru asemănarea oamenilor făcându-Se 8şi, aflându-Se la înfăţişare ca un om, S-a smerit pe Sine, făcându-Se ascultător până la

καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε καὶ ἐχαρίσατο
αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, 10ἵνα ἐν τῷ
ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων
καὶ ἐπιγείων καὶ καταχθονίων, 11καὶ πᾶσα
γλῶσσα ἐξομολογήσηται ὅτι Κύριος Ἰησοῦς
Χριστὸς εἰς δόξαν Θεοῦ πατρός.

Ὥστε, ἀγαπητοί μου, καθὼς πάντοτε ὑπη-
κούσατε, μὴ ὡς ἐν τῇ παρουσίᾳ μου
μόνον, ἀλλὰ νῦν πολλῷ μᾶλλον ἐν τῇ ἀπου-
σίᾳ μου, μετὰ φόβου καὶ τρόμου τὴν ἑαυ-
τῶν σωτηρίαν κατεργάζεσθε· 13ὁ Θεὸς γάρ
ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ
ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας. 14πάντα ποιεῖ-
τε χωρὶς γογγυσμῶν καὶ διαλογισμῶν, 15ἵνα
γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι, τέκνα Θεοῦ
ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διε-
στραμμένης, ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν
κόσμῳ, 16λόγον ζωῆς ἐπέχοντες, εἰς καύχημα
ἐμοὶ εἰς ἡμέραν Χριστοῦ, ὅτι οὐκ εἰς κενὸν
ἔδραμον οὐδὲ εἰς κενὸν ἐκοπίασα. 17Ἀλλ' εἰ
καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ
τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν
ὑμῖν· 18τὸ δ' αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγ-
χαίρετέ μοι.

Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ Τιμόθεον ταχέ-
ως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ γνοὺς
τὰ περὶ ὑμῶν· 20οὐδένα γὰρ ἔχω ἰσόψυχον,
ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει·
21οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ
τὰ Χριστοῦ Ἰησοῦ. 22τὴν δὲ δοκιμὴν αὐτοῦ
γινώσκετε, ὅτι ὡς πατρὶ τέκνον σὺν ἐμοὶ
ἐδούλευσεν εἰς τὸ εὐαγγέλιον. 23τοῦτον μὲν
οὖν ἐλπίζω πέμψαι ὡς ἂν ἀπίδω τὰ περὶ
ἐμὲ ἐξαυτῆς· 24πέποιθα δὲ ἐν Κυρίῳ ὅτι καὶ
αὐτὸς ταχέως ἐλεύσομαι. 25Ἀναγκαῖον δὲ
ἡγησάμην Ἐπαφρόδιτον τὸν ἀδελφὸν καὶ
συνεργὸν καὶ συστρατιώτην μου, ὑμῶν δὲ
ἀπόστολον καὶ λειτουργὸν τῆς χρείας μου,

moarte, şi încă moarte pe cruce. 9De ace-
ea, şi Dumnezeu L-a preaînălţat pe El şi I-a
dăruit Lui nume mai presus de orice nume;
10ca în numele lui Iisus tot genunchiul să
se plece, al celor cereşti şi al celor pămân-
teşti şi al celor de sub pământ, 11şi să măr-
turisească toată limba că Domn este Iisus
Hristos, spre slava lui Dumnezeu Tatăl.

Drept aceea, iubiţii mei, precum totdea-
una aţi ascultat, nu numai atunci când
eram de faţă, ci acum cu atât mai mult, când
sunt departe, cu frică şi cu cutremur lucraţi
stăruitor mântuirea voastră; 13căci Dum-
nezeu este Cel care lucrează în voi şi a voi şi
a lucra pentru bunăvoirea Sa. 14Toate face-
ţi-le fără cârtiri şi fără gânduri, 15ca să fiţi
fără prihană şi curaţi, fii ai lui Dumnezeu
neîntinaţi în mijlocul unui neam strâmb şi
stricat, în care străluciţi ca nişte luminători
în lume, 16ţinând cuvântul vieţii, spre lauda
mea în ziua lui Hristos, că nu în zadar am
alergat, nici în zadar m-am ostenit. 17Şi, dacă
îmi şi vărs sângele peste jertfa şi slujba cre-
dinţei voastre, mă bucur şi împreună cu voi
toţi mă bucur. 18Asemenea şi voi: Bucuraţi-
vă şi împreună cu mine bucuraţi-vă!

Şi nădăjduiesc în Domnul Iisus să vi-l
trimit grabnic pe Timotei, ca şi eu să
prind curaj, cunoscând cele despre voi.
20Căci pe nimeni nu am de un suflet cu
mine, care cu adevărat să se îngrijească de
cele ale voastre; 21căci toţi caută ale lor, nu
cele ale lui Hristos Iisus. 22Şi încercarea lui
o cunoaşteţi, căci, ca un fiu cu tatăl său, a
slujit împreună cu mine întru Evanghelie.
23Pe acesta deci nădăjduiesc să-l trimit, de
îndată ce voi vedea ce va fi cu mine. 24Sunt
încredinţat însă în Domnul că şi eu însumi
voi veni grabnic. 25Am socotit că e nevoie
să-l trimit la voi pe Epafrodit, frate, împre-

πέμψαι πρὸς ὑμᾶς, 26ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς, καὶ ἀδημονῶν διότι ἠκούσατε ὅτι ἠσθένησε. 27καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου· ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησεν, οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμέ, ἵνα μὴ λύπην ἐπὶ λύπην σχῶ. 28σπουδαιοτέρως οὖν ἔπεμψα αὐτόν, ἵνα ἰδόντες αὐτὸν πάλιν χαρῆτε, κἀγὼ ἀλυπότερος ὦ. 29προσδέχεσθε οὖν αὐτὸν ἐν Κυρίῳ μετὰ πάσης χαρᾶς, καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε, 30ὅτι διὰ τὸ ἔργον τοῦ Χριστοῦ μέχρι θανάτου ἤγγισε, παραβουλευσάμενος τῇ ψυχῇ, ἵνα ἀναπληρώσῃ τὸ ὑμῶν ὑστέρημα τῆς πρός με λειτουργίας.

ună-lucrător şi ostaş dimpreună cu mine, trimisul vostru şi slujitor al trebuinţei mele, 26întrucât avea mare dor de voi toţi şi era neliniştit pentru că aţi auzit că s-a îmbolnăvit. 27Într-adevăr, s-a îmbolnăvit aproape de moarte; dar Dumnezeu l-a miluit, şi nu numai pe el, ci şi pe mine, ca nu cumva să am întristare peste întristare. 28Deci, l-am trimis mai repede, pentru ca, văzându-l, voi iarăşi să vă bucuraţi, iar eu să fiu mai puţin întristat. 29Primiţi-l deci în Domnul, cu toată bucuria, şi pe unii ca aceştia întru cinste să-i aveţi, 30că pentru lucrul lui Hristos a ajuns până aproape de moarte, primejduindu-şi sufletul, ca să împlinească ceea ce lipseşte slujirii voastre către mine.

Κεφάλαιον Γ΄

Τὸ λοιπόν, ἀδελφοί μου, χαίρετε ἐν Κυρίῳ. τὰ αὐτὰ γράφειν ὑμῖν ἐμοὶ μὲν οὐκ ὀκνηρόν, ὑμῖν δὲ ἀσφαλές. 2Βλέπετε τοὺς κύνας, βλέπετε τοὺς κακοὺς ἐργάτας, βλέπετε τὴν κατατομήν· 3ἡμεῖς γάρ ἐσμεν ἡ περιτομή, οἱ Πνεύματι Θεοῦ λατρεύοντες καὶ καυχώμενοι ἐν Χριστῷ Ἰησοῦ καὶ οὐκ ἐν σαρκὶ πεποιθότες, 4καίπερ ἐγὼ ἔχων πεποίθησιν καὶ ἐν σαρκί. εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκί, ἐγὼ μᾶλλον· 5περιτομῇ ὀκταήμερος, ἐκ γένους Ἰσραήλ, φυλῆς Βενιαμίν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος, 6κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος. 7ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. 8ἀλλὰ μενοῦνγε καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου μου, δι' ὃν

Capitolul 3

În rest, fraţii mei, bucuraţi-vă întru Domnul. Ca să vă scriu aceleaşi lucruri, mie nu-mi este cu anevoie, iar vouă vă este pază. 2Luaţi seama la câini! Luaţi seama la lucrătorii cei răi! Luaţi seama la ciuntire; 3căci noi suntem tăierea-împrejur, cei care ne închinăm în Duhul lui Dumnezeu şi ne lăudăm în Hristos Iisus şi nu ne încredinţăm în trup, 4deşi eu am încredinţare şi în trup. Dacă altcineva socoteşte să se încredinţeze în trup, eu cu atât mai mult: 5tăiere-împrejur – la opt zile, din neamul lui Israel, din seminţia lui Veniamin, evreu din evrei, după Lege fariseu, 6după râvnă prigonind Biserica; după dreptatea cea din Lege, fiind fără prihană. 7Dar cele ce îmi erau mie câştig, pe acestea le socotesc pentru Hristos pagubă.

τὰ πάντα ἐζημιώθην, καὶ ἡγοῦμαι σκύβαλα
εἶναι ἵνα Χριστὸν κερδήσω 9καὶ εὑρεθῶ ἐν
αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν ἐκ νόμου,
ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ, τὴν ἐκ Θεοῦ
δικαιοσύνην ἐπὶ τῇ πίστει,

Τοῦ γνῶναι αὐτὸν καὶ τὴν δύναμιν τῆς
ἀναστάσεως αὐτοῦ καὶ τὴν κοινωνίαν
τῶν παθημάτων αὐτοῦ, συμμορφούμενος
τῷ θανάτῳ αὐτοῦ, 11εἴ πως καταντήσω εἰς
τὴν ἐξανάστασιν τῶν νεκρῶν. 12οὐχ ὅτι ἤδη
ἔλαβον ἢ ἤδη τετελείωμαι, διώκω δὲ εἰ καὶ
καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ τοῦ
Χριστοῦ Ἰησοῦ. 13ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὔ-
πω λογίζομαι κατειληφέναι· 14ἓν δέ, τὰ μὲν
ὀπίσω ἐπιλανθανόμενος τοῖς δὲ ἔμπροσθεν
ἐπεκτεινόμενος κατὰ σκοπὸν διώκω ἐπὶ τὸ
βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν
Χριστῷ Ἰησοῦ. 15ὅσοι οὖν τέλειοι, τοῦτο φρο-
νῶμεν· καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο
ὁ Θεὸς ὑμῖν ἀποκαλύψει. 16πλὴν εἰς ὃ ἐφθά-
σαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρο-
νεῖν. 17Συμμιμηταί μου γίνεσθε, ἀδελφοί, καὶ
σκοπεῖτε τοὺς οὕτω περιπατοῦντας, καθὼς
ἔχετε τύπον ἡμᾶς. 18πολλοὶ γὰρ περιπατοῦσιν,
–οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων
λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χρι-
στοῦ, 19ὧν τὸ τέλος ἀπώλεια, ὧν ὁ Θεὸς ἡ
κοιλία καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ
ἐπίγεια φρονοῦντες. 20ἡμῶν γὰρ τὸ πολίτευ-
μα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα
ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν, 21ὃς
μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως
ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ
σώματι τῆς δόξης αὐτοῦ κατὰ τὴν ἐνέργειαν
τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι αὐτῷ τὰ
πάντα.

8Dar mai mult: pe toate le socotesc pagubă, pentru măreția cunoașterii lui Hristos
Iisus, Domnul meu, pentru Care m-am păgubit de toate și le socotesc gunoaie, ca pe
Hristos să-L câștig 9și să mă aflu în El, nu
având dreptatea mea cea din Lege, ci pe
cea prin credința în Hristos, dreptatea cea
din Dumnezeu, pe temeiul credinței,

Ca să-L cunosc pe El și puterea învierii
Lui și împărtășirea patimilor Lui, lu-
ând chipul morții Lui, 11ca să ajung cumva
la învierea din morți. 12Nu că am luat deja,
ori că sunt deja desăvârșit, ci alerg, doar
voi și dobândi; pentru care am și fost do-
bândit de către Hristos Iisus. 13Fraților, cât
despre mine, încă nu socotesc că am dobân-
dit, 14dar una știu: pe cele din urmă uitân-
du-le și către cele dinainte întinzându-mă,
la țintă alerg după premiul chemării celei
de sus a lui Dumnezeu, în Hristos Iisus.
15Așadar, câți suntem desăvârșiți aceas-
ta să cugetăm; și dacă cugetați ceva în alt
fel, Dumnezeu vă va descoperi și aceasta.
16Dar la ceea ce am ajuns, să urmăm același
canon, să cugetăm la fel. 17Faceți-vă urmă-
tori ai mei, fraților, și uitați-vă la cei care
umblă astfel precum ne aveți pe noi pildă.
18Căci mulți, despre care vă vorbeam ade-
seori, iar acum vă spun și plângând, umblă
ca vrăjmași ai crucii lui Hristos, 19al căror
sfârșit este pieirea, al căror dumnezeu este
pântecele și a căror slavă este întru ruși-
nea lor, ca unii care cugetă cele pământe-
ști. 20Căci petrecerea noastră este în ce-
ruri, de unde și așteptăm Mântuitor, pe
Domnul Iisus Hristos, 21Care va schimba
la înfățișare trupul smereniei noastre, ca
să fie întocmai cu trupul slavei Sale, după
lucrarea puterii pe care o are El de a-Și
supune Sieși toate.

Κεφάλαιον Δ΄

Ὥστε, ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου, οὕτω στήκετε ἐν Κυρίῳ, ἀγαπητοί. 2Εὐοδίαν παρακαλῶ καὶ Συντύχην παρακαλῶ τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ· 3ναὶ ἐρωτῶ καὶ σέ, Σύζυγε γνήσιε, συλλαμβάνου αὐταῖς, αἵτινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι μετὰ καὶ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. 4Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε. 5τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. ὁ Κύριος ἐγγύς. 6μηδὲν μεριμνᾶτε, ἀλλ᾽ ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν. 7καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ. 8Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνά, ὅσα δίκαια, ὅσα ἁγνά, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε· 9ἃ καὶ ἐμάθετε καὶ παρελάβετε καὶ ἠκούσατε καὶ εἴδετε ἐν ἐμοί, ταῦτα πράσσετε· καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ᾽ ὑμῶν.

Ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως ὅτι ἤδη ποτὲ ἀνεθάλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν· ἐφ᾽ ᾧ καὶ ἐφρονεῖτε, ἠκαιρεῖσθε δέ. 11οὐχ ὅτι καθ᾽ ὑστέρησιν λέγω· ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμι αὐτάρκης εἶναι. 12οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσι

Capitolul 4

Drept aceea, fraţii mei iubiţi şi mult doriţi, bucuria şi cununa mea, aşa să staţi neclintiţi în Domnul, iubiţilor. 2Rog pe Evodia şi rog pe Sintihi, să cugete la fel în Domnul. 3Şi te rog pe tine Sizig, adevărate însoţitor, ia-le în grija ta, ca pe unele care au luptat împreună cu mine întru Evanghelie, şi cu Clement şi cu ceilalţi împreună-lucrători cu mine, ale căror nume sunt în cartea vieţii. 4Bucuraţi-vă în Domnul pururea! Şi iarăşi voi zice: Bucuraţi-vă! 5Îngăduinţa voastră să fie cunoscută tuturor oamenilor! Domnul este aproape. 6Nu vă îngrijiţi de nimic, ci în toate, prin rugăciune şi prin cerere, cu mulţumire, rugăminţile voastre să fie făcute cunoscute către Dumnezeu. 7Şi pacea lui Dumnezeu, care covârşeşte toată mintea, va păzi inimile voastre şi cugetele voastre în Hristos Iisus. 8În rest, fraţilor, câte sunt adevărate, câte sunt de cinste, câte sunt drepte, câte sunt curate, câte sunt vrednice de iubit, câte sunt cu nume bun, dacă este vreo virtute şi dacă este vreo laudă, la acestea să vă gândiţi; 9cele ce aţi şi învăţat şi aţi primit şi aţi auzit şi aţi văzut la mine, acestea să le înfăptuiţi; şi Dumnezeul păcii va fi cu voi.

Si m-am bucurat mult în Domnul, că deja aţi făcut să înflorească din nou gândul vostru pentru mine, aşa cum vă şi gândeaţi, dar v-a lipsit prilejul. 11N-o spun ca şi când aş duce lipsă; căci eu am învăţat să fiu îndestulat în cele în care mă aflu. 12Ştiu şi

μεμύημαι καὶ χορτάζεσθαι καὶ πεινᾶν, καὶ περισσεύειν καὶ ὑστερεῖσθαι· 13πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. 14πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ θλίψει. 15οἴδατε δὲ καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως εἰ μὴ ὑμεῖς μόνοι, 16ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε. 17οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ' ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν. 18ἀπέχω δὲ πάντα καὶ περισσεύω· πεπλήρωμαι δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτήν, εὐάρεστον τῷ Θεῷ. 19ὁ δὲ Θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλοῦτον αὐτοῦ ἐν δόξῃ ἐν Χριστῷ Ἰησοῦ. 20Τῷ δὲ Θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί. 22ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα δὲ οἱ ἐκ τῆς Καίσαρος οἰκίας. 23Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν· ἀμήν.

să mă smeresc, ştiu şi să am cu prisosinţă; în orice şi în toate am învăţat taina de a fi şi sătul şi flămând, şi de a avea cu prisosinţă, şi de a fi lipsit. 13Toate le pot întru Hristos, Cel ce mă întăreşte. 14Dar bine aţi făcut că aţi împărtăşit cu mine strâmtorarea. 15Ştiţi şi voi, filipenilor, că la începutul Evangheliei, când am ieşit din Macedonia, nici o Biserică nu s-a împărtăşit cu mine, când era vorba de a da şi de a primi, decât voi singuri, 16pentru că şi în Tesalonic, şi o dată, şi a doua oară, mi-aţi trimis cele spre trebuinţă. 17Nu că aş căuta darul, ci caut rodul care prisoseşte, în folosul vostru. 18Am de toate şi am şi de prisos; m-am îndestulat primind de la Epafrodit cele din partea voastră, miros de bună mireasmă, jertfă primită, bineplăcută lui Dumnezeu. 19Iar Dumnezeul meu va împlini toată trebuinţa voastră după bogăţia Sa, întru slavă, în Hristos Iisus. 20Iar lui Dumnezeu şi Tatăl nostru, slava în vecii vecilor! Amin.

Îmbrăţişaţi pe toţi sfinţii în Hristos Iisus. Vă îmbrăţişează pe voi fraţii cei dimpreună cu mine. 22Vă îmbrăţişează pe voi toţi sfinţii, mai ales cei din casa Cezarului. 23Harul Domnului Iisus Hristos cu voi toţi! Amin!



EPISTOLA CĂTRE COLOSENI

Κεφάλαιον Α΄

Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός, 2τοῖς ἐν Κολοσσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εὐχαριστοῦμεν τῷ Θεῷ καὶ πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πάντοτε περὶ ὑμῶν προσευχόμενοι, 4ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους, 5διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρανοῖς, ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου 6τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ, καὶ ἔστι καρποφορούμενον καὶ αὐξανόμενον καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ, 7καθὼς καὶ ἐμάθετε ἀπὸ Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν διάκονος τοῦ Χριστοῦ, 8ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν Πνεύματι.

Capitolul 1

Pavel, apostol al lui Iisus Hristos prin voia lui Dumnezeu, şi Timotei, fratele, 2celor care sunt în Colose sfinţi şi credincioşi fraţi în Hristos: Har vouă şi pace de la Dumnezeu, Tatăl nostru, şi de la Domnul Iisus Hristos.

Mulţumim lui Dumnezeu şi Tatălui Domnului nostru Iisus Hristos, totdeauna pentru voi rugându-ne, 4auzind de credinţa voastră în Hristos Iisus şi de dragostea către toţi sfinţii, 5pentru nădejdea pusă deoparte pentru voi în ceruri, de care aţi auzit mai înainte în cuvântul adevărului Evangheliei, 6care, ajungând la voi, precum şi în toată lumea, aduce roadă şi sporeşte, precum şi în voi din ziua în care aţi auzit şi aţi cunoscut harul lui Dumnezeu întru adevăr, 7aşa cum aţi şi aflat de la iubitul Epafras, cel împreună cu noi rob, care este credincios slujitor al lui Hristos pentru voi 8şi care ne-a arătat iubirea voastră în Duhul.

Διὰ τοῦτο καὶ ἡμεῖς, ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι καὶ αἰτούμενοι ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ, 10περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Κυρίου εἰς πᾶσαν ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες καὶ αὐξανόμενοι εἰς τὴν ἐπίγνωσιν τοῦ Θεοῦ, 11ἐν πάσῃ δυνάμει δυναμούμενοι κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν, μετὰ χαρᾶς 12εὐχαριστοῦντες τῷ Θεῷ καὶ πατρὶ τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί.

Ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς ἀγάπης αὐτοῦ, 14ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· 15ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως, 16ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι· τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· 17καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε, 18καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος, τῆς ἐκκλησίας· ὅς ἐστιν ἀρχή, πρωτότοκος ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων, 19ὅτι ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι 20καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, δι' αὐτοῦ εἴτε τὰ ἐπὶ τῆς γῆς εἴτε τὰ ἐν τοῖς οὐρανοῖς.

Καὶ ὑμᾶς ποτε ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξεν 22ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλήτους κατενώπιον αὐτοῦ, 23εἴ γε

De aceea şi noi, din ziua în care am auzit, nu încetăm să ne rugăm pentru voi şi să cerem să vă umpleţi de cunoştinţa voii Lui, întru toată înţelepciunea şi înţelegerea duhovnicească, 10ca să umblaţi în chip vrednic de Domnul, spre tot ce este plăcut Lui, în tot lucrul bun aducând roadă şi sporind spre deplina-cunoştinţă a lui Dumnezeu, 11în toată puterea întăriţi, după puterea slavei Lui, spre toată răbdarea şi îndelunga-îngăduinţă, cu bucurie; 12mulţumind lui Dumnezeu şi Tatălui, Celui ce ne-a făcut pe noi destoinici pentru partea sorţului sfinţilor, întru lumină,

Care ne-a izbăvit din stăpânirea întunericului şi ne-a strămutat în Împărăţia Fiului iubirii Sale, 14întru Care avem răscumpărarea, iertarea păcatelor; 15Care este chipul lui Dumnezeu Celui nevăzut, întâiul-născut a toată zidirea, 16că în El s-au zidit toate, cele din ceruri şi cele de pe pământ, cele văzute şi cele nevăzute, fie Tronuri, fie Domnii, fie Începătorii, fie Stăpânii; toate prin El şi înspre El sunt zidite; 17şi El este mai înainte de toate şi toate întru El sunt ţinute laolaltă, 18şi El este capul trupului, al Bisericii; Care este începutul, întâiul-născut din morţi, ca să fie în toate El Însuşi cel dintâi, 19că în El a binevoit să sălăşluiască toată plinătatea 20şi prin El să împace toate întru Sine, făcând pace, prin sângele crucii Lui, prin El, fie în cele de pe pământ, fie în cele din ceruri.

Şi pe voi, care eraţi cândva înstrăinaţi şi vrăjmaşi cu cugetul în faptele cele rele, acum v-a împăcat 22în trupul cărnii Lui, prin moarte, ca să vă înfăţişeze pe voi sfinţi, fără de prihană şi fără vină înaintea Lui, 23dacă, într-adevăr, staruiţi în credinţă, în-

ἐπιμένετε τῇ πίστει τεθεμελιωμένοι καὶ ἑδραῖοι καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν, οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος.

Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία, 25ἧς ἐγενόμην ἐγὼ διάκονος κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς, πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ, 26τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ, 27οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι τίς ὁ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης· 28ὃν ἡμεῖς καταγγέλλομεν νουθετοῦντες πάντα ἄνθρωπον καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ· 29εἰς ὃ καὶ κοπιῶ ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει.

temeiați și întăriți și nestrămutați de la nădejdea Evangheliei pe care ați auzit-o, cea propovăduită la toată zidirea cea de sub cer, căreia eu, Pavel, m-am făcut slujitor.

Acum mă bucur în patimile mele pentru voi și în schimb împlinesc lipsurile strâmtorărilor lui Hristos, în carnea mea pentru trupul Lui, care este Biserica, 25căreia eu m-am făcut slujitor, după iconomia lui Dumnezeu, cea dată mie pentru voi, ca să plinesc cuvântul lui Dumnezeu, 26taina cea din veci și din neam în neam ascunsă acum s-a descoperit sfinților Săi, 27cărora a voit să le facă Dumnezeu cunoscut care este bogăția slavei tainei acesteia între neamuri, care este Hristos în voi, nădejdea slavei; 28pe Care noi Îl vestim, sfătuind pe tot omul și învățând pe tot omul întru toată înțelepciunea, ca să înfățișăm pe tot omul desăvârșit în Hristos Iisus; 29spre care mă și ostenesc, luptându-mă potrivit lucrării Lui care lucrează în mine întru putere.

Κεφάλαιον Β΄

Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ καὶ ὅσοι οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκί, 2ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων ἐν ἀγάπῃ καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ καὶ πατρὸς καὶ τοῦ Χριστοῦ, 3ἐν ᾧ

Capitolul 2

Căci voiesc ca voi să știți câtă luptă am pentru voi și pentru cei din Laodiceea și pentru câți n-au văzut fața mea în trup, 2ca să se mângâie inimile lor, strâns uniți în iubire și spre toată bogăția încredințării înțelegerii, spre deplina-cunoștință a tainei lui Dumnezeu și Tatăl și a lui Hristos, 3în Care sunt ascunse toate vistieriile înțelep-

εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι. 4Τοῦτο δὲ λέγω ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ· 5εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν.

Ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε, 7ἐρριζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ καὶ βεβαιούμενοι ἐν τῇ πίστει καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ. 8Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστόν· 9ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, 10καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας, 11ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, 12συνταφέντες αὐτῷ ἐν τῷ βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν. 13καὶ ὑμᾶς, νεκροὺς ὄντας ἐν τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν, συνεζωοποίησεν ὑμᾶς σὺν αὐτῷ, χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα, 14ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρεν ἐκ τοῦ μέσου προσηλώσας αὐτὸ τῷ σταυρῷ· 15ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ.

Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει ἢ ἐν μέρει ἑορτῆς ἢ νουμηνίας ἢ σαββάτων, 17ἅ ἐστι σκιὰ τῶν μελλόντων, τὸ δὲ σῶμα Χριστοῦ. 18μηδεὶς ὑμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ

ciunii şi ale cunoştinţei. 4Şi aceasta zic, ca nimeni să nu vă înşele prin cuvântări ticluite. 5Căci chiar dacă lipsesc cu trupul, cu duhul sunt împreună cu voi, bucurându-mă şi văzându-vă rânduiala şi tăria credinţei voastre în Hristos.

Deci, precum aţi primit pe Hristos Iisus, Domnul, în El umblaţi, 7înrădăcinaţi şi ziditi în El şi întăriţi în credinţă, precum aţi fost învăţaţi, prisosind în ea cu mulţumire. 8Vedeţi ca nu cumva să vă fure cineva prin filozofie şi deşartă înşelăciune, după predania oamenilor, după stihiile lumii, şi nu după Hristos; 9că în El sălăşluieşte, trupeşte, toată plinătatea Dumnezeirii, 10şi sunteţi pliniţi întru El, Care este capul a toată Începătoria şi Stăpânia, 11întru Care aţi şi fost tăiaţi împrejur, cu tăiere-împrejur nefăcută de mână, întru dezbrăcarea de trupul păcatelor cărnii, întru tăierea-împrejur a lui Hristos, 12împreună-îngropaţi cu El în botez, în Care aţi şi fost împreună-înviaţi prin credinţa în lucrarea lui Dumnezeu, Celui care L-a înviat pe El din morţi. 13Şi pe voi, morţi fiind în greşalele şi netăierea-împrejur a trupului vostru, v-a făcut vii împreună cu El, iertându-ne toate greşalele, 14ştergând cu învăţăturile zapisul ce era asupra noastră, care ne era potrivnic, şi l-a ridicat din mijloc, pironindu-l pe cruce; 15dezbrăcând începătoriile şi stăpâniile, le-a făcut de ocară înaintea tuturor, purtând biruinţă asupra lor întru ea.

Deci, nimeni să nu vă judece pentru mâncare sau pentru băutură sau cu privire la vreun praznic sau lună nouă sau sâmbete, 17care sunt umbră a celor viitoare, iar trupul este al lui Hristos. 18Nimeni să nu vă

τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, 19καὶ οὐ κρατῶν τὴν κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ. 20Εἰ οὖν ἀπεθάνετε σὺν τῷ Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε, 21μὴ ἅψῃ μηδὲ γεύσῃ μηδὲ θίγῃς 22–ἅ ἐστι πάντα εἰς φθορὰν τῇ ἀποχρήσει– κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων; 23ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκίᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός.

lipsească de premiu, printr-o părută smerită-cugetare şi prin închinarea la îngeri, intrând în cele pe care nu le-a văzut, în zadar îngâmfându-se cu mintea lui trupească, 19fără să se ţină strâns de cap, din care tot trupul, prin încheieturi şi legături, fiind îmbelşugat-dăruit şi bine-întocmit, creşte în creşterea lui Dumnezeu. 20Dacă deci aţi murit împreună cu Hristos faţă de stihiile lumii, de ce, ca şi cum aţi vieţui în lume, mai sunteţi sub porunci: 21Nu lua, nu gusta, nu te atinge! 22 – lucruri care sunt toate menite pieirii prin întrebuinţare – după poruncile şi învăţăturile oamenilor? 23Acestea, deşi au nume de înţelepciune în închinarea după voia proprie, în smerita-cugetare şi necruţarea trupului, nu sunt în vreo cinste, ci spre mulţumirea trupului.

Κεφάλαιον Γ΄

Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος, 2τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς. 3ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ· 4ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. 5Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία, 6δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας, 7ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς· 8νυνὶ δὲ ἀπόθεσθε

Capitolul 3

Aşadar, dacă aţi înviat împreună cu Hristos, căutaţi cele de sus, unde este Hristos, şezând de-a dreapta lui Dumnezeu; 2cele de sus cugetaţi, nu cele de pe pământ; 3căci voi aţi murit şi viaţa voastră este ascunsă împreună cu Hristos în Dumnezeu; 4iar când Se va arăta Hristos, Viaţa noastră, atunci şi voi împreună cu El vă veţi arăta în slavă. 5Omorâţi deci mădularele voastre cele de pe pământ: desfrânarea, necurăţia, patima, pofta rea şi lăcomia, care este închinare la idoli, 6pentru care vine mânia lui Dumnezeu peste fiii neascultării, 7în care şi voi aţi umblat odinioară,

καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν· 9μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ 10καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν, 11ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός. 12Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν, 13ἀνεχόμενοι ἀλλήλων καὶ χαριζόμενοι ἑαυτοῖς ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν, οὕτω καὶ ὑμεῖς· 14ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος. 15καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι· καὶ εὐχάριστοι γίνεσθε· 16ὁ λόγος τοῦ Χριστοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως, ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ἐν χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ. 17καὶ πᾶν ὅ τι ἂν ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ Θεῷ καὶ πατρὶ δι' αὐτοῦ.

Αἱ γυναῖκες ὑποτάσσεσθε τοῖς ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ. 19Οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. 20Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον τῷ Κυρίῳ. 21Οἱ πατέρες μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. 22Οἱ δοῦλοι ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλίαις, ὡς ἀνθρωπάρεσκοι,

când trăiați în ele. 8Iar acum lepădați și voi toate: mânia, iuțimea, răutatea, hula, vorbele de ruşine din gura voastră; 9nu vă mințiți unul pe altul, de vreme ce v-ați dezbrăcat de omul cel vechi, dimpreună cu faptele lui, 10şi v-ați îmbrăcat cu cel nou, care se înnoieşte, spre deplină cunoştință, după chipul Celui ce l-a zidit, 11unde nu mai este elin şi iudeu, tăiere-împrejur şi netăiere-împrejur, barbar, scit, rob, liber, ci toate şi întru toți Hristos. 12Îmbrăcați-vă deci ca aleşi ai lui Dumnezeu, sfinți şi iubiți, cu milostivirea îndurării, cu bunătate, cu smerită cugetare, cu blândețe, cu îndelungă-răbdare, 13îngăduindu-vă unii pe alții şi iertându-vă unii altora în dar, dacă are cineva vreo plângere împotriva cuiva; după cum şi Hristos v-a iertat în dar, aşa şi voi; 14şi, peste toate acestea, îmbrăcați-vă cu iubirea, care este legătura desăvârşirii. 15Şi pacea lui Dumnezeu să stăpânească în inimile voastre, spre care ați şi fost chemați într-un singur trup; şi fiți mulțumitori. 16Cuvântul lui Hristos să se sălăşluiască în voi cu bogăție, în toată înțelepciunea învățându-vă şi povățuindu-vă unii pe alții cu psalmi şi cu imne şi cântări duhovniceşti, în har cântând în inima voastră Domnului. 17Şi tot ce faceți, cu cuvântul sau cu fapta, toate în numele Domnului Iisus, mulțumind lui Dumnezeu şi Tatăl prin El.

Femeilor, supuneți-vă bărbaților voştri, precum se cuvine în Domnul. 19Bărbaților, iubiți pe femeile voastre şi nu fiți amarnici cu ele. 20Copiilor, ascultați pe părinții voştri în toate; căci aceasta este bine-plăcut Domnului. 21Părinților, nu-i stârniți pe copiii voştri, ca să nu se mâhnească. 22Robilor, ascultați în toate pe stăpânii voştri cei după trup, nu slujind de ochii lor, ca

ἀλλ᾽ ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν. 23καὶ πᾶν ὅ τι ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις, 24εἰδότες ὅτι ἀπὸ Κυρίου ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας· τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε· 25ὁ δὲ ἀδικῶν κομιεῖται ὃ ἠδίκησε, καὶ οὐκ ἔστι προσωποληψία.

cei ce caută să placă oamenilor, ci în simplitatea inimii, temându-vă de Dumnezeu. 23Şi tot ceea ce faceţi, din suflet lucraţi, ca pentru Domnul, şi nu ca pentru oameni, 24ştiind că de la Domnul veţi lua răsplata moştenirii; căci Domnului Hristos sunteţi robi. 25Iar cel ce nedreptăţeşte va primi ceea ce a nedreptăţit, şi nu este părtinire.

Κεφάλαιον Δ΄

Οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς. 2Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ, 3προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν, ἵνα ὁ Θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου, λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, δι᾽ ὃ καὶ δέδεμαι, 4ἵνα φανερώσω αὐτὸ ὡς δεῖ με λαλῆσαι. 5Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. 6ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. 7Τὰ κατ᾽ ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν Κυρίῳ, 8ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ τὰ περὶ ὑμῶν καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν, 9σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε.

Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου, καὶ Μᾶρκος ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολάς –ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν–, 11καὶ Ἰησοῦς ὁ

Capitolul 4

Stăpânilor, daţi robilor voştri ce este drept şi potrivit, ştiind că şi voi aveţi Stăpân în ceruri. 2Stăruiţi în rugăciune, priveghind în ea cu mulţumire, 3rugându-vă totodată şi pentru noi, ca Dumnezeu să ne deschidă uşa cuvântului, spre a grăi taina lui Hristos, pentru care şi sunt legat, 4ca să o arăt aşa cum trebuie să grăiesc. 5Umblaţi cu înţelepciune faţă de cei din afară, răscumpărând vremea. 6Cuvântul vostru să fie totdeauna cu har, dres cu sare, ca să ştiţi cum trebuie să răspundeţi fiecăruia. 7Toate cele despre mine vi le va face cunoscute Tihic, iubitul frate şi credincios slujitor şi rob, împreună cu mine, în Domnul, 8pe care l-am trimis la voi chiar pentru aceasta, ca să ştie cele despre voi şi ca să mângâie inimile voastre, 9împreună cu Onisim, credinciosul şi iubitul frate, care este dintre voi; toate cele de aici vi le vor face cunoscute.

Vă îmbrăţişează Aristarh, cel împreună robit cu mine, şi Marcu, nepotul lui Barnaba, despre care aţi primit porunci – dacă vine la voi, primiţi-l –, 11şi Iisus, cel

λεγόμενος Ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς· οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία. 12ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς ὁ ἐξ ὑμῶν, δοῦλος Χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι τοῦ Θεοῦ· 13μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον πολὺν ὑπὲρ ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ καὶ τῶν ἐν Ἱεραπόλει. 14ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς καὶ Δημᾶς. 15ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς καὶ Νυμφᾶν καὶ τὴν κατ' οἶκον αὐτοῦ ἐκκλησίαν· 16καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολή, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε. 17καὶ εἴπατε Ἀρχίππῳ· βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. 18Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. μνημονεύετέ μου τῶν δεσμῶν. Ἡ χάρις μεθ' ὑμῶν· ἀμήν.

numit Iustus, care sunt din tăierea-împrejur; numai aceştia sunt împreună lucrători cu mine pentru Împărăţia lui Dumnezeu, care mi-au fost mie mângâiere. 12Vă îmbrăţişează Epafras, cel dintre voi, rob al lui Hristos, care totdeauna se luptă pentru voi în rugăciuni, ca să staţi desăvârşiţi şi pliniţi în toată voia lui Dumnezeu. 13Căci mărturisesc despre el că are râvnă multă pentru voi şi pentru cei din Laodiceea şi pentru cei din Ierapole. 14Vă îmbrăţişează Luca, doctorul cel iubit, şi Dimas. 15Îmbrăţişaţi pe fraţii din Laodiceea şi pe Nimfas şi Biserica din casa lui; 16şi când se va citi la voi epistola, faceţi ca să se citească şi în Biserica laodiceenilor, iar pe cea din Laodiceea faceţi ca şi voi să o citiţi. 17Şi spuneţi lui Arhip: Vezi de slujirea pe care ai primit-o întru Domnul, ca să o împlineşti. 18Salutarea cu mâna mea, a lui Pavel. Aduceţi-vă aminte de lanţurile mele. Harul fie cu voi! Amin.

ÎNTÂIA EPISTOLĂ CĂTRE TESALONICENI

Κεφάλαιον Α΄

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ πατρὶ καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν, 3ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως καὶ τοῦ κόπου τῆς ἀγάπης καὶ τῆς ὑπομονῆς τῆς ἐλπίδος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, 4εἰδότες, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Θεοῦ, τὴν ἐκλογὴν ὑμῶν, 5ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει καὶ ἐν Πνεύματι Ἁγίῳ καὶ ἐν πληροφορίᾳ πολλῇ, καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι᾽ ὑμᾶς.

Καὶ ὑμεῖς μιμηταὶ ἡμῶν ἐγενήθητε καὶ τοῦ Κυρίου δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ μετὰ χαρᾶς Πνεύματος Ἁγίου, 7ὥστε

Capitolul 1

Pavel şi Siluan şi Timotei, Bisericii tesalonicenilor în Dumnezeu Tatăl şi în Domnul Iisus Hristos; har vouă şi pace de la Dumnezeu Tatăl nostru şi de la Domnul Iisus Hristos.

Mulţumim lui Dumnezeu totdeauna pentru voi toţi, făcând pomenirea voastră în rugăciunile noastre, 3neîncetat pomenind lucrarea credinţei voastre şi osteneala dragostei şi răbdarea nădejdii în Domnul nostru Iisus Hristos înaintea lui Dumnezeu şi Tatăl nostru, 4ştiind, fraţilor iubiţi de Dumnezeu, alegerea voastră, 5că Evanghelia noastră nu a fost la voi numai în cuvânt, ci şi în putere şi în Duhul Sfânt şi în încredinţare multă, precum ştiţi cum am fost între voi pentru voi.

Şi voi v-aţi făcut următori ai noştri şi ai Domnului, primind cuvântul în strâmtorare multă, cu bucuria Duhului Sfânt,

γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ. 8ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Κυρίου· οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυθεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι· 9αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν εἰδώλων δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, 10καὶ ἀναμένειν τὸν υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν, Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης.

7încât v-aţi făcut pilde tuturor credincioşilor în Macedonia şi în Ahaia. 8Căci de la voi răsună cuvântul Domnului; nu numai în Macedonia şi în Ahaia, ci şi în tot locul, credinţa voastră cea către Dumnezeu a ieşit, încât nu mai avem noi trebuinţă să spunem ceva; 9căci ei înşişi vestesc despre noi ce fel de intrare am avut la voi şi cum v-aţi întors la Dumnezeu de la idoli, ca să slujiţi Dumnezeului Celui viu şi adevărat 10şi să aşteptaţi pe Fiul Lui din ceruri, pe Care L-a sculat din morţi, pe Iisus, Cel ce ne izbăveşte din mânia ce va să vină.

Κεφάλαιον Β΄

Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοί, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς ὅτι οὐ κενὴ γέγονεν, 2ἀλλὰ προπαθόντες καὶ ὑβρισθέντες, καθὼς οἴδατε, ἐν Φιλίπποις, ἐπαρρησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν λαλῆσαι πρὸς ὑμᾶς τὸ εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι. 3ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν δόλῳ, 4ἀλλὰ καθὼς δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτω λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν. 5οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας, Θεὸς μάρτυς, 6οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν οὔτε ἀπὸ ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι, 7ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα· 8οὕτως

Capitolul 2

Căci voi înşivă ştiţi, fraţilor, intrarea noastră la voi, că nu s-a făcut în zadar, 2ci, mai înainte pătimind şi fiind ocărâţi, precum ştiţi, în Filipi, am îndrăznit în Dumnezeul nostru să grăim către voi Evanghelia lui Dumnezeu cu multă luptă. 3Căci îndemnul nostru nu a fost din rătăcire, nici din necurăţie, nici cu viclenie, 4ci, după cum am fost încercaţi de Dumnezeu ca să ni se încredinţeze Evanghelia, aşa grăim, nu ca plăcând oamenilor, ci lui Dumnezeu, Celui care încearcă inimile noastre. 5Căci nici n-am fost vreodată cu cuvânt de linguşire, precum ştiţi, nici cu gând de lăcomie – Dumnezeu este martor – 6nici căutând de la oameni slavă, nici de la voi, nici de la alţii, deşi puteam să fim cu greutate, ca apostoli ai lui Hristos, 7dar am fost blânzi în mijlocul vostru, aşa cum o doică îşi îngrijeşte copiii.

ὁμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι
ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ Θεοῦ, ἀλλὰ
καὶ τὰς ἑαυτῶν ψυχάς, διότι ἀγαπητοὶ ἡμῖν
γεγένησθε. 9μνημονεύετε γάρ, ἀδελφοί, τὸν
κόπον ἡμῶν καὶ τὸν μόχθον· νυκτὸς γὰρ καὶ
ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί
τινα ὑμῶν ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ εὐαγγέλιον
τοῦ Θεοῦ. 10ὑμεῖς μάρτυρες καὶ ὁ Θεὸς ὡς
ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς
πιστεύουσιν ἐγενήθημεν, 11καθάπερ οἴδατε
ὡς ἕνα ἕκαστον ὑμῶν ὡς πατὴρ τέκνα ἑαυτοῦ
12παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι
καὶ μαρτυρόμενοι εἰς τὸ περιπατῆσαι ὑμᾶς
ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν
ἑαυτοῦ βασιλείαν καὶ δόξαν. 13Διὰ τοῦτο καὶ
ἡμεῖς εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως,
ὅτι παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν
τοῦ Θεοῦ ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλ-
λὰ καθώς ἐστιν ἀληθῶς, λόγον Θεοῦ, ὅς καὶ
ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν. 14ὑμεῖς
γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοί, τῶν ἐκκλη-
σιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ
ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ
ὑμεῖς ὑπὸ τῶν ἰδίων συμφυλετῶν καθὼς καὶ
αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, 15τῶν καὶ τὸν Κύ-
ριον ἀποκτεινάντων Ἰησοῦν καὶ τοὺς ἰδίους
προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ
μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναν-
τίων, 16κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι
ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι αὐτῶν τὰς
ἁμαρτίας πάντοτε. ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ
ὀργὴ εἰς τέλος.

Ἡμεῖς δέ, ἀδελφοί, ἀπορφανισθέντες ἀφ'
ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ οὐ
καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ
πρόσωπον ὑμῶν ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ.
18διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, ἐγὼ
μὲν Παῦλος καὶ ἅπαξ καὶ δίς, καὶ ἐνέκοψεν
ἡμᾶς ὁ σατανᾶς. 19τίς γὰρ ἡμῶν ἐλπὶς ἢ χαρὰ
ἢ στέφανος καυχήσεως ἢ οὐχὶ καὶ ὑμεῖς

8Astfel dorindu-vă pe voi, ne bucurăm să
vă dăm nu numai Evanghelia lui Dumne-
zeu, ci şi sufletele noastre, pentru că iubiţi
v-aţi făcut nouă. 9Căci vă aduceţi aminte,
fraţilor, de osteneala şi de truda noastră;
căci, noapte şi zi lucrând ca să nu împovă-
răm pe vreunul dintre voi, am propovăduit
la voi Evanghelia lui Dumnezeu. 10Voi sun-
teţi martori şi Dumnezeu cu câtă cuviosie
şi dreptate şi fără de prihană ne-am pur-
tat cu voi, cei credincioşi, 11precum ştiţi că
pe fiecare dintre voi, ca un tată pe fiii lui,
12v-am îndemnat şi v-am dat curaj şi v-am
rugat cu stăruinţă ca să umblaţi în chip
vrednic de Dumnezeu, Cel ce v-a chemat
la Împărăţia şi slava Sa. 13De aceea şi noi
mulţumim lui Dumnezeu neîncetat, că,
primind voi de la noi cuvântul vestirii lui
Dumnezeu, aţi primit nu cuvânt al oameni-
lor, ci, aşa cum este cu adevărat, cuvânt al
lui Dumnezeu, care şi lucrează în voi, cei
care credeţi. 14Căci voi, fraţilor, v-aţi făcut
următori ai Bisericilor lui Dumnezeu care
sunt în Iudeea în Hristos Iisus, că aceleaşi
aţi pătimit şi voi de la cei de un neam cu voi
ca şi aceia de la iudei, 15care şi pe Domnul
Iisus L-au omorât şi pe proorocii lor, şi pe
noi ne-au prigonit, şi lui Dumnezeu nu-I
sunt plăcuţi, şi tuturor oamenilor sunt po-
trivnici, 16care ne-au împiedicat să vorbim
neamurilor ca să se mântuiască, spre a-şi
plini totdeauna măsura păcatelor lor. Dar
a ajuns peste ei mânia până în sfârşit.

Iar noi, fraţilor, rămaşi orfani de voi pentru
o bucată de vreme, cu faţa, nu cu inima,
mai mult ne-am străduit să vedem faţa voas-
tră cu multă dorire. 18De aceea am vrut să
venim la voi, eu, Pavel, o dată, şi încă o dată,
şi ne-a împiedicat satana. 19Căci cine este
nădejdea noastră, sau bucuria, sau cununa

ἔμπροσθεν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ αὐτοῦ παρουσίᾳ; 20ὑμεῖς γάρ ἐστε ἡ δόξα ἡμῶν καὶ ἡ χαρά.

de laudă? Oare nu şi voi, înaintea Domnului nostru Iisus Hristos la venirea Lui? 20Că voi sunteţi slava noastră şi bucuria.

Κεφάλαιον Γ΄

Διὸ μηκέτι στέγοντες εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι, 2καὶ ἐπέμψαμεν Τιμόθεον, τὸν ἀδελφὸν ἡμῶν καὶ διάκονον τοῦ Θεοῦ καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑμᾶς περὶ τῆς πίστεως ὑμῶν, 3τὸ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις. αὐτοὶ γὰρ οἴδατε ὅτι εἰς τοῦτο κείμεθα· 4καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο καὶ οἴδατε. 5διὰ τοῦτο κἀγὼ μηκέτι στέγων ἔπεμψα εἰς τὸ γνῶναι τὴν πίστιν ὑμῶν, μήπως ἐπείρασεν ὑμᾶς ὁ πειράζων καὶ εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. 6Ἄρτι δὲ ἐλθόντος Τιμοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν καὶ εὐαγγελισαμένου ἡμῖν τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν ἡμῶν ἀγαθήν, πάντοτε ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν καθάπερ καὶ ἡμεῖς ὑμᾶς, 7διὰ τοῦτο παρεκλήθημεν, ἀδελφοί, ἐφ' ὑμῖν ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν διὰ τῆς ὑμῶν πίστεως· 8ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ. 9τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ Θεῷ ἀνταποδοῦναι περὶ ὑμῶν ἐπὶ πάσῃ τῇ χαρᾷ ᾗ χαίρομεν δι' ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν, 10νυκτὸς καὶ ἡμέρας ὑπερεκπερισσοῦ δεόμενοι εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσωπον καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν; 11Αὐτὸς δὲ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς· 12ὑμᾶς δὲ ὁ Κύριος

Capitolul 3

De aceea, nemaiputând răbda, am socotit de cuviinţă să fim lăsaţi în Atena singuri, 2şi am trimis pe Timotei, fratele nostru şi slujitor al lui Dumnezeu şi împreună-lucrător cu noi la Evanghelia lui Hristos, ca să vă întărească şi să vă dea curaj în credinţa voastră, 3ca nimeni să nu se clatine în strâmtorările acestea. Căci voi înşivă ştiţi că spre aceasta suntem puşi; 4căci şi când eram noi la voi vă spuneam de mai înainte că avem să fim strâmtoraţi, precum s-a şi întâmplat şi ştiţi. 5Pentru aceea şi eu, nemaiputând răbda, am trimis ca să cunosc credinţa voastră, nu cumva să vă fi ispitit pe voi ispititorul şi în deşert să fie osteneala noastră. 6Acum însă, venind Timotei la noi de la voi şi binevestindu-ne credinţa şi iubirea voastră şi că aveţi bună amintire de noi, totdeauna dorind mult să ne vedeţi – precum şi noi pe voi – 7pentru aceasta, ne-am mângâiat, fraţilor, pentru voi, în toată strâmtorarea şi nevoia noastră, prin credinţa voastră; 8că acum noi suntem vii, dacă voi staţi neclintiţi în Domnul. 9Căci ce mulţumire putem să dăm în schimb lui Dumnezeu pentru voi, pentru toată bucuria cu care ne bucurăm de voi înaintea Dumnezeului nostru, 10noapte şi zi cu prisosinţă rugându-ne ca să vedem faţa voastră şi să împlinim lipsurile credinţei voastre? 11Şi Însuşi Dumnezeu şi Tatăl nostru şi Domnul nostru Iisus Hristos să

πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ εἰς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς, 13εἰς τὸ στηρίξαι ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιωσύνῃ ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.

îndrepteze calea noastră către voi; 12iar pe voi Domnul să vă facă să creşteţi şi să prisosiţi în iubirea unuia către altul şi către toţi, precum şi noi către voi, 13ca să întărească inimile voastre fără de prihană, în sfinţenie, înaintea lui Dumnezeu şi Tatăl nostru, la venirea Domnului nostru Iisus Hristos împreună cu toţi sfinţii Lui.

Κεφάλαιον Δ΄

Τὸ λοιπὸν οὖν, ἀδελφοί, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ' ἡμῶν τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ ἀρέσκειν Θεῷ, ἵνα περισσεύητε μᾶλλον· 2οἴδατε γὰρ τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου Ἰησοῦ. 3Τοῦτο γάρ ἐστι θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας, 4εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, 5μὴ ἐν πάθει ἐπιθυμίας καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν, 6τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ, διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων, καθὼς καὶ προείπομεν ὑμῖν καὶ διεμαρτυράμεθα. 7οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ. 8τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν τὸν καὶ δόντα τὸ Πνεῦμα αὐτοῦ τὸ Ἅγιον εἰς ὑμᾶς. 9Περὶ δὲ τῆς φιλαδελφίας οὐ χρείαν ἔχετε γράφειν ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ ἀγαπᾶν ἀλλήλους· 10καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ. παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, περισσεύειν μᾶλλον 11καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν καὶ πράσσειν τὰ ἴδια

Capitolul 4

Aşadar, în rest, fraţilor, vă rugăm şi vă îndemnăm în Domnul Iisus ca, precum aţi primit de la noi cum trebuie să umblaţi şi să plăceţi lui Dumnezeu, mai vârtos să prisosiţi; 2căci ştiţi ce porunci v-am dat vouă prin Domnul Iisus. 3Căci aceasta este voia lui Dumnezeu: sfinţirea voastră, să vă ţineţi departe de desfrânare, 4să ştie fiecare dintre voi să-şi dobândească vasul său întru sfinţire şi cinste, 5nu în patima poftei, ca neamurile care nu Îl cunosc pe Dumnezeu, 6să nu întreacă măsura şi să se lăcomească asupra fratelui său în aceasta, pentru că răzbunător este Domnul pentru toate acestea, precum v-am şi spus mai înainte şi v-am dat mărturie. 7Căci nu ne-a chemat Dumnezeu la necurăţie, ci întru sfinţire. 8Drept aceea, cel ce nesocoteşte, nu om nesocoteşte, ci pe Dumnezeu, Care v-a şi dat Duhul Lui cel Sfânt. 9Iar despre iubirea de fraţi nu aveţi trebuinţă să vă scriu; căci voi înşivă sunteţi învăţaţi de Dumnezeu să vă iubiţi unul pe altul; 10căci şi faceţi aceasta către toţi fraţii cei din toată Macedonia. Şi vă rugăm pe voi, fraţilor, mai vârtos să prisosiţi 11şi să râvniţi să vă

καὶ ἐργάζεσθαι ταῖς ἰδίαις χερσὶν ὑμῶν, καθὼς ὑμῖν παρηγγείλαμεν, 12ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω καὶ μηδενὸς χρείαν ἔχητε.

Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε καθὼς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. 14εἰ γὰρ πιστεύομεν ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. 15τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας· 16ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ᾽ οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, 17ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. 18Ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.

liniştiţi şi să făptuiţi ale voastre şi să lucraţi cu mâinile voastre, precum v-am poruncit, 12ca să umblaţi cu bună cuviinţă faţă de cei din afară, şi de nimic să nu aveţi trebuinţă.

Nu vrem să fiţi în neştiinţă, fraţilor, despre cei ce au adormit, ca să nu vă întristaţi ca ceilalţi care nu au nădejde. 14Căci, de credem că Iisus a murit şi a înviat, aşa şi Dumnezeu pe cei adormiţi prin Iisus îi va aduce împreună cu El. 15Căci aceasta vă spunem, întru cuvântul Domnului, că noi cei vii, cei rămaşi până la venirea Domnului, nu o vom lua înainte celor adormiţi; 16că Însuşi Domnul, întru poruncă, la glasul arhanghelului şi întru trâmbiţa lui Dumnezeu, Se va pogorî din cer şi cei morţi în Hristos vor învia întâi, 17apoi noi, cei vii, cei rămaşi, vom fi răpiţi împreună cu ei în nori, întru întâmpinarea Domnului în văzduh, şi aşa pururea cu Domnul vom fi. 18Drept aceea, mângâiaţi-vă unii pe alţii cu cuvintele acestea.

Κεφάλαιον Ε΄

Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοί, οὐ χρείαν ἔχετε ὑμῖν γράφεσθαι· 2αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε ὅτι ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ οὕτως ἔρχεται. 3ὅταν γὰρ λέγωσιν, εἰρήνη καὶ ἀσφάλεια, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν. 4ὑμεῖς δέ, ἀδελφοί, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα ὑμᾶς ὡς κλέπτης καταλάβῃ· 5πάντες ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας. οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους. 6Ἄρα οὖν μὴ καθεύδωμεν ὡς καὶ οἱ λοιποί, ἀλλὰ γρηγορῶμεν

Capitolul 5

Iar despre timpuri şi vremuri, fraţilor, nu aveţi trebuinţă să vă scriu; 2căci voi înşivă ştiţi bine că ziua Domnului astfel vine, ca un fur în noapte. 3Căci când vor zice: Pace şi linişte, atunci fără de veste va veni asupra lor pieire, ca durerea peste cea care are în pântece, şi nu vor afla scăpare. 4Iar voi, fraţilor, nu sunteţi în întuneric, ca ziua să vă prindă ca un fur; 5voi toţi fii ai luminii sunteţi şi fii ai zilei. Nu suntem ai nopţii, nici ai întunericului. 6Deci, dar, să nu dormim ca şi ceilalţi, ci să priveghem şi să avem trezvie.

καὶ νήφωμεν. 7οἱ γὰρ καθεύδοντες νυκτὸς
καθεύδουσι, καὶ οἱ μεθυσκόμενοι νυκτὸς με-
θύουσιν· 8ἡμεῖς δὲ ἡμέρας ὄντες νήφωμεν,
ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης
καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίας· 9ὅτι
οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργήν, ἀλλ' εἰς
περιποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ, 10τοῦ ἀποθανόντος ὑπὲρ
ἡμῶν, ἵνα εἴτε γρηγορῶμεν εἴτε καθεύδωμεν
ἅμα σὺν αὐτῷ ζήσωμεν. 11Διὸ παρακαλεῖτε
ἀλλήλους καὶ οἰκοδομεῖτε εἷς τὸν ἕνα, καθὼς
καὶ ποιεῖτε.

12Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς
κοπιῶντας ἐν ὑμῖν καὶ προϊσταμένους
ὑμῶν ἐν Κυρίῳ καὶ νουθετοῦντας ὑμᾶς,
13καὶ ἡγεῖσθαι αὐτοὺς ὑπερεκπερισσοῦ ἐν
ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν. εἰρηνεύετε ἐν
ἑαυτοῖς. 14Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί,
νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε
τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν,
μακροθυμεῖτε πρὸς πάντας. 15ὁρᾶτε μή τις
κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ, ἀλλὰ πάντοτε
τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους καὶ εἰς
πάντας. 16Πάντοτε χαίρετε, 17ἀδιαλείπτως
προσεύχεσθε, 18ἐν παντὶ εὐχαριστεῖτε· τοῦτο
γὰρ θέλημα Θεοῦ ἐν Χριστῷ Ἰησοῦ εἰς ὑμᾶς.
19τὸ Πνεῦμα μὴ σβέννυτε, 20προφητείας μὴ
ἐξουθενεῖτε. 21πάντα δὲ δοκιμάζετε, τὸ κα-
λὸν κατέχετε· 22ἀπὸ παντὸς εἴδους πονηροῦ
ἀπέχεσθε. 23Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης
ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς, καὶ ὁλόκληρον ὑμῶν
τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμ-
πτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ τηρηθείη. 24πιστὸς ὁ καλῶν ὑμᾶς, ὃς
καὶ ποιήσει. 25Ἀδελφοί, προσεύχεσθε περὶ
ἡμῶν. 26Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας
ἐν φιλήματι ἁγίῳ. 27Ὁρκίζω ὑμᾶς τὸν Κύριον
ἀναγνωσθῆναι τὴν ἐπιστολὴν πᾶσι τοῖς ἁγίοις
ἀδελφοῖς. 28Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ μεθ' ὑμῶν· ἀμήν.

7Căci cei ce dorm, noaptea dorm şi cei ce
se îmbată, noaptea se îmbată; 8Iar noi, ai
zilei fiind, să avem trezvie, îmbrăcaţi cu
platoşa credinţei şi a iubirii, şi având coif
nădejdea mântuirii; 9că nu ne-a pus pe noi
Dumnezeu spre urgie, ci spre agonisirea
mântuirii prin Domnul nostru Iisus Hristos,
10Care a murit pentru noi, ca, fie că privе-
ghem, fie că dormim, să fim vii împreună
cu El. 11De aceea, mângâiaţi-vă unii pe alţii
şi zidiţi-vă unul pe celălalt, precum şi faceţi.

12Şi vă rugăm, fraţilor, să-i cunoaşteţi pe
cei care se ostenesc între voi şi pe întâi-
stătătorii voştri în Domnul şi pe cei care vă
povăţuiesc, 13şi să-i socotiţi pe ei cu priso-
sinţă în iubire pentru lucrul lor. Fiţi în pace
unii cu alţii. 14Şi vă îndemnăm, fraţilor, po-
văţuiţi pe cei fără rânduială, îmbărbătaţi pe
cei împuţinaţi la suflet, sprijiniţi pe cei slabi,
fiţi îndelung răbdători faţă de toţi. 15Ve-
deţi să nu răsplătească cineva cuiva răul
cu rău, ci totdeauna urmăriţi binele, şi unii
către alţii, şi către toţi. 16Bucuraţi-vă pуru-
rea, 17rugaţi-vă neîncetat, 18în toate mulţu-
miţi; căci aceasta este voia lui Dumnezeu
întru Hristos Iisus pentru voi. 19Duhul să
nu-L stingeţi, 20proorociile să nu le dispre-
ţuiţi, 21toate să le încercaţi, ţineţi binele;
22feriţi-vă de orice fel de rău. 23Şi Însuşi
Dumnezeul păcii să vă sfinţească pe voi
cu totul desăvârşiţi, şi întreg duhul şi su-
fletul şi trupul vostru să se păzească fără
prihană, la venirea Domnului nostru Iisus
Hristos. 24Credincios este Cel ce vă chea-
mă, Care va şi face. 25Fraţilor, rugaţi-vă
pentru noi. 26Îmbrăţişaţi pe toţi fraţii cu
sărutare sfântă. 27Vă jur pe Domnul să
se citească epistola tuturor fraţilor sfinţi.
28Harul Domnului nostru Iisus Hristos cu
voi. Amin.

A DOUA EPISTOLĂ CĂTRE TESALONICENI

Κεφάλαιον Α΄

Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ πατρὶ ἡμῶν καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ· 2χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν, ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους, 4ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως ἐν πᾶσι τοῖς διωγμοῖς ὑμῶν καὶ ταῖς θλίψεσιν αἷς ἀνέχεσθε, 5ἔνδειγμα τῆς δικαίας κρίσεως τοῦ Θεοῦ, εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε, 6εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλῖψιν 7καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ' ἡμῶν ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ 8ἐν πυρὶ φλογός, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι Θεὸν καὶ τοῖς μὴ ὑπακούουσι τῷ

Capitolul 1

Pavel, Siluan şi Timotei, Bisericii tesalonicenilor în Dumnezeu, Tatăl nostru, şi în Domnul Iisus Hristos. 2Har vouă şi pace de la Dumnezeu, Tatăl nostru, şi de la Domnul Iisus Hristos.

Datori suntem să mulţumim lui Dumnezeu pururea pentru voi, fraţilor, precum se cuvine, că peste măsură creşte credinţa voastră şi se înmulţeşte dragostea unuia către altul, a fiecăruia dintre voi toţi, 4încât noi înşine ne lăudăm cu voi în Bisericile lui Dumnezeu, pentru răbdarea şi credinţa voastră în toate prigonirile voastre şi în strâmtorările pe care le îndurați, 5semn al dreptei judecăți a lui Dumnezeu, ca să vă învredniciți de Împărăția lui Dumnezeu, pentru care şi pătimiți, 6de vreme ce este drept la Dumnezeu să răsplătească strâmtorare celor ce vă strâmtorează, 7iar vouă celor strâmtorați să vă dea uşurare, împreună cu noi, la descoperirea Domnului Iisus din cer împreună cu îngerii puterii Sale, 8Care

εὐαγγελίῳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
9οἵτινες δίκην τίσουσιν ὄλεθρον αἰώνιον ἀπὸ
προσώπου τοῦ Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς
ἰσχύος αὐτοῦ, 10ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν
τοῖς ἁγίοις αὐτοῦ καὶ θαυμασθῆναι ἐν πᾶσι
τοῖς πιστεύσασιν, ὅτι ἐπιστεύθη τὸ μαρτύριον
ἡμῶν ἐφ' ὑμᾶς, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. 11εἰς ὃ
καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα
ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ Θεὸς ἡμῶν καὶ
πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης καὶ
ἔργον πίστεως ἐν δυνάμει, 12ὅπως ἐνδοξασθῇ
τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν
τοῦ Θεοῦ ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

în văpaie de foc dă răzbunare asupra celor
ce nu cunosc pe Dumnezeu şi asupra celor care nu ascultă de Evanghelia Domnului nostru Iisus Hristos. 9Aceştia vor plăti drept osândă pieirea veşnică de la faţa
Domnului şi de la slava tăriei Lui, 10când
va veni să Se proslăvească în sfinţii Săi şi
să Se arate minunat în toţi care au crezut
– că a fost crezută mărturia noastră la voi –
în ziua aceea. 11Pentru aceasta ne şi rugăm
totdeauna pentru voi, ca Dumnezeul nostru să vă învrednicească de chemare şi să
împlinească toată bunăvoirea bunătăţii şi
lucrul credinţei întru putere, 12ca să se proslăvească numele Domnului nostru Iisus
Hristos în voi şi voi în El, după harul Dumnezeului nostru şi al Domnului Iisus Hristos.

Κεφάλαιον Β΄

Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, ὑπὲρ
τῆς παρουσίας τοῦ Κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ καὶ ἡμῶν ἐπισυναγωγῆς ἐπ' αὐτόν, 2εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τοῦ νοὸς
μήτε θροεῖσθαι μήτε διὰ πνεύματος
μήτε διὰ λόγου μήτε δι' ἐπιστολῆς ὡς
δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ
Χριστοῦ. 3μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον· ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία
πρῶτον καὶ ἀποκαλυφθῇ ὁ ἄνθρωπος τῆς
ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας, 4ὁ ἀντικείμενος καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον
Θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν
τοῦ Θεοῦ ὡς Θεὸν καθίσαι, ἀποδεικνύντα
ἑαυτὸν ὅτι ἐστὶ Θεός. 5Οὐ μνημονεύετε ὅτι ἔτι
ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν; 6καὶ νῦν τὸ
κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν

Capitolul 2

Şi vă rugăm, fraţilor, despre venirea
Domnului nostru Iisus Hristos şi a
adunării noastre la El, 2să nu vă
clătinaţi degrabă de la minte sau
să vă înfricoşaţi, nici prin duh, nici
prin cuvânt, nici prin vreo epistolă
ca de la noi, cum că ar fi venit ziua
lui Hristos. 3Să nu vă amăgească cineva în
vreun fel; că nu va fi dacă nu va veni mai
întâi apostazia şi dacă nu se va descoperi
omul păcatului, fiul pierzării, 4potrivnicul
şi cel ce se înalţă mai presus de tot ce se
numeşte Dumnezeu sau primeşte închinare,
încât el însuşi să se aşeze, ca un Dumnezeu,
în templul lui Dumnezeu, arătându-se pe
sine a fi Dumnezeu. 5Nu vă aduceţi aminte
că, încă fiind la voi, vă spuneam acestea?
6Şi acum ştiţi ce-l ţine, ca să se descopere

ἐν τῷ ἑαυτοῦ καιρῷ· 7τὸ γὰρ μυστήριον ἤδη
ἐνεργεῖται τῆς ἀνομίας, μόνον ὁ κατέχων ἄρτι
ἕως ἐκ μέσου γένηται· 8καὶ τότε ἀποκαλυ-
φθήσεται ὁ ἄνομος, ὃν ὁ Κύριος ἀναλώσει τῷ
πνεύματι τοῦ στόματος αὐτοῦ καὶ καταργή-
σει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ· 9οὗ
ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ σατανᾶ
ἐν πάσῃ δυνάμει καὶ σημείοις καὶ τέρασι
ψεύδους 10καὶ ἐν πάσῃ ἀπάτῃ τῆς ἀδικίας ἐν
τοῖς ἀπολλυμένοις, ἀνθ' ὧν τὴν ἀγάπην τῆς
ἀληθείας οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς·
11καὶ διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέρ-
γειαν πλάνης εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ ψεύ-
δει, 12ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες
τῇ ἀληθείᾳ, ἀλλ' εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ.

Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ
πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι
ὑπὸ Κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ Θεὸς ἀπ' ἀρχῆς
εἰς σωτηρίαν ἐν ἁγιασμῷ Πνεύματος καὶ πί-
στει ἀληθείας, 14εἰς ὃ ἐκάλεσεν ὑμᾶς διὰ τοῦ
εὐαγγελίου ἡμῶν εἰς περιποίησιν δόξης τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 15Ἄρα οὖν,
ἀδελφοί, στήκετε, καὶ κρατεῖτε τὰς παραδό-
σεις ἃς ἐδιδάχθητε εἴτε διὰ λόγου εἴτε δι' ἐπι-
στολῆς ἡμῶν. 16Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰη-
σοῦς Χριστὸς καὶ ὁ Θεὸς καὶ πατὴρ ἡμῶν, ὁ
ἀγαπήσας ἡμᾶς καὶ δοὺς παράκλησιν αἰωνί-
αν καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι, 17παρακαλέ-
σαι ὑμῶν τὰς καρδίας καὶ στηρίξαι ὑμᾶς ἐν
παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ.

la vremea lui. 7Căci taina fărădelegii deja
se lucrează, atât că acum este cel ce îl ține,
până se va lua din mijloc; 8şi atunci se va
descoperi cel fără de lege, pe care Domnul
îl va pierde cu duhul gurii Sale şi-l va mis-
tui cu arătarea venirii Sale; 9venirea aceluia
este prin lucrarea satanei, întru toată pute-
rea, întru semne şi minuni ale minciunii, 10şi
întru toată amăgirea nedreptății în cei care
pier, pentru că n-au primit ei iubirea adevă-
rului ca să se mântuiască; 11şi de aceea le va
trimite Dumnezeu lucrare de rătăcire, ca ei
să creadă minciunii, 12ca să fie judecați toți
cei ce n-au crezut adevărului, ci au binevo-
it întru nedreptate.

Iar noi datori suntem să mulțumim lui Dum-
nezeu totdeauna pentru voi, frați iubiți de
Domnul, că Dumnezeu v-a ales pe voi din-
tru început spre mântuire, întru sfințirea
Duhului şi credința adevărului, 14la care v-a
chemat prin Evanghelia noastră, spre agoni-
sirea slavei Domnului nostru Iisus Hristos.
15Deci, dar, fraților, stați tari şi țineți preda-
niile pe care le-ați învățat, fie prin cuvânt,
fie prin epistola noastră. 16Şi Însuşi Domnul
nostru Iisus Hristos şi Dumnezeu şi Tatăl
nostru, Cel ce ne-a iubit pe noi şi ne-a dat
mângâiere veşnică şi nădejde bună în har,
17să mângâie inimile voastre şi să vă întă-
rească pe voi în tot cuvântul şi lucrul bun.

Κεφάλαιον Γ΄

Τὸ λοιπὸν προσεύχεσθε, ἀδελφοί,
περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ Κυρίου
τρέχῃ καὶ δοξάζηται, καθὼς καὶ
πρὸς ὑμᾶς, 2καὶ ἵνα ῥυσθῶμεν ἀπὸ
τῶν ἀτόπων καὶ πονηρῶν ἀνθρώπων·

Capitolul 3

În rest, rugați-vă, fraților, pentru noi,
ca să alerge cuvântul Domnului şi să
se slăvească, ca şi la voi, 2şi ca să ne iz-
băvim de oamenii cei neașezați şi vi-
cleni; căci nu a tuturor este credința;

οὐ γὰρ πάντων ἡ πίστις. 3πιστὸς δέ ἐστιν ὁ Κύριος, ὃς στηρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ. 4Πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ' ὑμᾶς ὅτι ἃ παραγγέλλομεν ὑμῖν καὶ ποιεῖτε καὶ ποιήσετε. 5Ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ. 6Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοί, ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβον παρ' ἡμῶν. 7αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν, 8οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νύκτα καὶ ἡμέραν ἐργαζόμενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν· 9οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς. 10καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. 11ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους· 12τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν. 13Ὑμεῖς δέ, ἀδελφοί, μὴ ἐκκακήσητε καλοποιοῦντες. 14εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς, τοῦτον σημειοῦσθε, καὶ μὴ συναναμίγνυσθε αὐτῷ, ἵνα ἐντραπῇ· 15καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν.

Αὐτὸς δὲ ὁ Κύριος τῆς εἰρήνης δώῃ ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ. Ὁ Κύριος μετὰ πάντων ὑμῶν. 17Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου, ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτω γράφω. 18Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν· ἀμήν.

3dar credincios este Domnul, Care vă va întări pe voi şi vă va păzi de cel viclean. 4Şi suntem încredinţaţi în Domnul despre voi, că cele ce vă poruncim şi le faceţi, şi le veţi face. 5Iar Domnul să îndrepteze inimile voastre spre iubirea lui Dumnezeu şi spre răbdarea lui Hristos! 6Şi vă poruncim, fraţilor, în numele Domnului nostru Iisus Hristos, să vă feriţi de orice frate care umblă fără rânduială şi nu după predania pe care au luat-o de la noi. 7Căci voi înşivă ştiţi cum trebuie să ne urmaţi, că noi nu am fost fără rânduială la voi, 8nici n-am mâncat pâine în dar de la cineva, ci, cu osteneală şi trudă, noapte şi zi lucrând, ca să nu împovărăm pe vreunul din voi. 9Nu că nu avem putere, ci ca să ne dăm pe noi înşine pildă vouă, spre a ne urma. 10Căci şi când eram la voi, aceasta vă porunceam: Dacă cineva nu vrea să lucreze, nici să nu mănânce. 11Căci auzim că unii umblă între voi cu neorânduială, nu să facă treabă, ci doar aflându-se în treabă. 12Iar unora ca aceştia le poruncim şi-i îndemnăm prin Domnul nostru Iisus Hristos, ca, în linişte lucrând, să-şi mănânce pâinea lor. 13Iar voi, fraţilor, nu vă pierdeţi curajul în a face binele. 14Iar dacă vreunul nu ascultă de cuvântul nostru prin epistolă, pe acela însemnaţi-l şi nu vă amestecaţi cu el, ca să se ruşineze. 15Dar nu-l socotiţi ca pe un vrăjmaş, ci povăţuiţi-l ca pe un frate.

Şi Însuşi Domnul păcii să vă dea vouă pacea întotdeauna în tot chipul! Domnul fie cu voi toţi! 17Salutarea cu mâna mea, a lui Pavel, care este semn în orice epistolă. Aşa scriu. 18Harul Domnului nostru Iisus Hristos cu voi toţi! Amin.

Κεφάλαιον Α΄

Παῦλος, ἀπόστολος Ἰησοῦ Χριστοῦ κατ᾽ ἐπιταγὴν Θεοῦ σωτῆρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τῆς ἐλπίδος ἡμῶν, 2Τιμοθέῳ γνησίῳ τέκνῳ ἐν πίστει· χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ, πορευόμενος εἰς Μακεδονίαν, ἵνα παραγγείλῃς τισὶ μὴ ἑτεροδιδασκαλεῖν 4μηδὲ προσέχειν μύθοις καὶ γενεαλογίαις ἀπεράντοις, αἵτινες ζητήσεις παρέχουσι μᾶλλον ἢ οἰκονομίαν Θεοῦ τὴν ἐν πίστει· 5τὸ δὲ τέλος τῆς παραγγελίας ἐστὶν ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου, 6ὧν τινες ἀστοχήσαντες ἐξετράπησαν εἰς ματαιολογίαν, 7θέλοντες εἶναι νομοδιδάσκαλοι, μὴ νοοῦντες μήτε ἃ λέγουσι μήτε περὶ τίνων διαβεβαιοῦνται. 8Οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος, ἐάν τις αὐτῷ νομίμως χρῆται, 9εἰδὼς τοῦτο, ὅτι δικαίῳ νόμος οὐ κεῖται, ἀνόμοις δὲ

Capitolul 1

Pavel, apostol al lui Iisus Hristos, după porunca lui Dumnezeu, Mântuitorul nostru, şi a Domnului Iisus Hristos, nădejdea noastră, 2lui Timotei, adevărat fiu în credinţă. Har, milă, pace, de la Dumnezeu Tatăl nostru şi de la Hristos Iisus, Domnul nostru.

Precum te-am rugat să rămâi în Efes, pornind eu spre Macedonia, ca să le porunceşti unora să nu propovăduiască altă învăţătură, 4nici să ia aminte la basme şi la nesfârşite înşirări de genealogii, care aduc mai degrabă neînţelegeri, decât iconomia lui Dumnezeu, cea întru credinţă; 5iar ţinta poruncii este iubirea din inimă curată, din conştiinţă bună şi din credinţă nefăţarnică, 6de la care unii, abătându-se, s-au întors spre vorbire deşartă, 7voind să fie învăţători de Lege, dar neînţelegând nici cele ce spun, nici cele despre care dau încredinţare. 8Şi ştim că bună este Legea, dacă cineva se foloseşte de ea în chip

καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, ἀνοσίοις καὶ βεβήλοις, πατρολῴαις καὶ μητρολῴαις, ἀνδροφόνοις, 10πόρνοις, ἀρσενοκοίταις, ἀνδραποδισταῖς, ψεύσταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται, 11κατὰ τὸ εὐαγγέλιον τῆς δόξης τοῦ μακαρίου Θεοῦ, ὃ ἐπιστεύθην ἐγώ.

legiuit, 9ştiind aceasta, că nu pentru cel drept este pusă legea, ci pentru cei fără de lege şi nesupuşi, rău-cinstitori şi păcătoşi, necuvioşi şi spurcaţi, pentru ucigaşii de tată şi ucigaşii de mamă, pentru cei care omoară oameni, 10pentru desfrânaţi, sodomiţi, vânzători de robi, mincinoşi, pentru cei care jură strâmb şi pentru tot ce stă împotriva învăţăturii sănătoase, 11după Evanghelia slavei fericitului Dumnezeu, cea care mi s-a încredinţat.

Καὶ χάριν ἔχω τῷ ἐνδυναμώσαντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο, θέμενος εἰς διακονίαν, 13τὸν πρότερον ὄντα βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ᾽ ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ, 14ὑπερεπλεόνασε δὲ ἡ χάρις τοῦ Κυρίου ἡμῶν μετὰ πίστεως καὶ ἀγάπης τῆς ἐν Χριστῷ Ἰησοῦ. 15Πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος, ὅτι Χριστὸς Ἰησοῦς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ· 16ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ᾽ αὐτῷ εἰς ζωὴν αἰώνιον. 17Τῷ δὲ βασιλεῖ τῶν αἰώνων, ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ, τιμὴ καὶ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. 18Ταύτην τὴν παραγγελίαν παρατίθεμαί σοι, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, ἵνα στρατεύῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν, 19ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἣν τινες ἀπωσάμενοι περὶ τὴν πίστιν ἐναυάγησαν· 20ὧν ἐστιν Ὑμέναιος καὶ Ἀλέξανδρος, οὓς παρέδωκα τῷ σατανᾷ, ἵνα παιδευθῶσι μὴ βλασφημεῖν.

Şi mulţumesc Celui ce m-a întărit, lui Hristos Iisus, Domnul nostru, că m-a socotit credincios, punându-mă la slujire, 13pe mine, care mai înainte eram hulitor şi prigonitor şi ocărâtor; dar am fost miluit, că necunoscând am făcut acestea întru necredinţă, 14şi peste măsură s-a înmulţit harul Domnului nostru laolaltă cu credinţa şi cu iubirea cea întru Hristos Iisus. 15Credincios este cuvântul şi de toată primirea vrednic, că Hristos Iisus a venit în lume să-i mântuiască pe păcătoşi, dintre care cel dintâi sunt eu; 16dar pentru aceasta am fost miluit, ca în mine mai întâi să arate Iisus Hristos toată îndelunga-răbdare, drept pildă a celor ce vor crede în El spre viaţă veşnică. 17Iar Împăratului veacurilor, Celui nestricăcios, nevăzutului, singurului înţelept Dumnezeu, cinste şi slavă în vecii vecilor. Amin! 18Această poruncă ţi-o încredinţez, fiule Timotei, după proorociile venite mai înainte asupra ta, ca să te lupţi întru ele lupta cea bună, 19având credinţă şi conştiinţă bună, pe care unii lepădând-o, şi-au sfărâmat corabia credinţei; 20între aceştia sunt Imeneu şi Alexandru, pe care i-am dat satanei, ca să se înveţe să nu hulească.

Κεφάλαιον Β΄

Παρακαλῶ οὖν πρῶτον πάντων ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας, ὑπὲρ πάντων ἀνθρώπων, 2ὑπὲρ βασιλέων καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων, ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. 3τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ σωτῆρος ἡμῶν Θεοῦ, 4ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. 5εἷς γὰρ Θεός, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, 6ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις, 7εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος –ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι–, διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ. 8Βούλομαι οὖν προσεύχεσθαι τοὺς ἄνδρας ἐν παντὶ τόπῳ, ἐπαίροντας ὁσίους χεῖρας χωρὶς ὀργῆς καὶ διαλογισμοῦ. 9ὡσαύτως καὶ τὰς γυναῖκας ἐν καταστολῇ κοσμίῳ, μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτάς, μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ, 10ἀλλ᾽ ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι᾽ ἔργων ἀγαθῶν. 11Γυνὴ ἐν ἡσυχίᾳ μανθανέτω ἐν πάσῃ ὑποταγῇ· 12γυναικὶ δὲ διδάσκειν οὐκ ἐπιτρέπω, οὐδὲ αὐθεντεῖν ἀνδρός, ἀλλ᾽ εἶναι ἐν ἡσυχίᾳ. 13Ἀδὰμ γὰρ πρῶτος ἐπλάσθη, εἶτα Εὔα· 14καὶ Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε· 15σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης.

Capitolul 2

Deci, vă îndemn, mai înainte de toate, să faceţi cereri, rugăciuni, mijlociri, mulţumiri pentru toţi oamenii, 2pentru împăraţi şi pentru toţi cei care sunt în înalte dregătorii, ca să petrecem viaţă paşnică şi liniştită întru toată buna-cinstire şi cuviinţa, 3căci acesta este lucru bun şi primit înaintea Mântuitorului nostru, Dumnezeu, 4Care voieşte ca toţi oamenii să se mântuiască şi la cunoştinţa adevărului să vină. 5Căci unul este Dumnezeu, unul este şi Mijlocitorul între Dumnezeu şi oameni, omul Hristos Iisus, 6Care S-a dat pe Sine răscumpărare pentru toţi, mărturia la vremea cuvenită, 7pentru care am fost pus eu propovăduitor şi apostol – adevăr zic în Hristos, nu mint –, învăţător al neamurilor, întru credinţă şi adevăr. 8Vreau deci ca bărbaţii să se roage în tot locul, ridicând mâini cuvioase, fără mânie şi fără îndoială. 9Asemenea şi femeile să se împodobească pe sine în îmbrăcăminte cuviincioasă, cu sfială şi cumpănenie, nu cu păr împletit sau cu aur sau cu mărgăritare sau cu veşminte de mult preţ; 10ci, precum se cuvine unor femei care au făgăduit cinstire de Dumnezeu, prin fapte bune. 11Femeia să primească învăţătura în linişte, cu toată supunerea. 12Iar femeii nu-i îngădui să înveţe pe cineva, nici să-l stăpânească pe bărbat, ci să fie în linişte. 13Căci Adam a fost plăsmuit întâi, apoi Eva; 14şi Adam nu a fost amăgit, ci femeia, amăgită fiind, a ajuns la călcarea poruncii; 15dar se va mântui prin naşterea de prunci, dacă vor rămâne în credinţă şi în iubire şi în sfinţenie cu cumpătare.

Κεφάλαιον Γ΄

Πιστὸς ὁ λόγος· εἴ τις ἐπισκοπῆς
ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ.
2δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίλη-
πτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα,
νηφάλιον, σώφρονα, κόσμιον,
φιλόξενον, διδακτικόν, 3μὴ πά-
ροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, ἀλλ'
ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, 4τοῦ ἰδίου
οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα
ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος· 5 –εἰ δέ
τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς
ἐκκλησίας Θεοῦ ἐπιμελήσεται;– 6μὴ νεόφυ-
τον, ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ
διαβόλου. 7δεῖ δὲ αὐτὸν καὶ μαρτυρίαν καλὴν
ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν
ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου. 8Διακόνους
ὡσαύτως σεμνούς, μὴ διλόγους, μὴ οἴνῳ πολ-
λῷ προσέχοντας, μὴ αἰσχροκερδεῖς, 9ἔχοντας
τὸ μυστήριον τῆς πίστεως ἐν καθαρᾷ συνει-
δήσει. 10καὶ οὗτοι δὲ δοκιμαζέσθωσαν πρῶ-
τον, εἶτα διακονείτωσαν ἀνέγκλητοι ὄντες.
11γυναῖκας ὡσαύτως σεμνάς, μὴ διαβόλους,
νηφαλίους, πιστὰς ἐν πᾶσι. 12διάκονοι ἔστω-
σαν μιᾶς γυναικὸς ἄνδρες, τέκνων καλῶς
προϊστάμενοι καὶ τῶν ἰδίων οἴκων. 13οἱ γὰρ
καλῶς διακονήσαντες βαθμὸν ἑαυτοῖς καλὸν
περιποιοῦνται καὶ πολλὴν παρρησίαν ἐν πί-
στει τῇ ἐν Χριστῷ Ἰησοῦ.

Ταῦτά σοι γράφω ἐλπίζων ἐλθεῖν πρὸς σὲ
τάχιον· 15ἐὰν δὲ βραδύνω, ἵνα εἰδῇς πῶς
δεῖ ἐν οἴκῳ Θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν
ἐκκλησία Θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα
τῆς ἀληθείας. 16καὶ ὁμολογουμένως μέγα ἐστὶ
τὸ τῆς εὐσεβείας μυστήριον· Θεὸς ἐφανερώθη

Capitolul 3

Credincios este cuvântul: de pofteşte
cineva episcopie, bun lucru doreşte.
2Trebuie deci ca episcopul să fie fă-
ră de pată, bărbat al unei singure fe-
mei, cu trezvie, cumpătat, cuviincios,
primitor de străini, învățător, 3nu be-
țiv, nu bătăuş, nu lacom de câştig ruşinos,
ci îngăduitor, necertăreț, neiubitor de ar-
gint, 4bine stăpânind peste casa lui, ținân-
du-şi copiii în supunere, cu toată cuviința;
5 – iar dacă cineva casa lui să şi-o stăpâ-
nească nu ştie, cum se va îngriji de Biserica
lui Dumnezeu? – 6nu neofit, ca nu cumva
îngâmfându-se să cadă în osânda diavolu-
lui. 7Şi trebuie ca el să aibă şi bună măr-
turie de la cei din afară, ca să nu cadă în
ocară şi în cursa diavolului. 8Diaconii, de
asemenea, să fie cucernici, nu cu două fețe,
nu dedați la vin mult, nu lacomi de câştig
ruşinos, 9având taina credinței în conştiință
curată. 10Dar şi aceştia să fie încercați mai
întâi, apoi să fie diaconi, dacă sunt fără vi-
nă. 11Femeile de asemenea să fie cucernice,
neclevetitoare, cu trezvie, credincioase
în toate. 12Diaconii să fie bărbați ai unei
singure femei, bine stăpânind peste copiii
şi casele lor. 13Căci cei ce slujesc bine îşi
agonisesc sieşi bună treaptă şi multă în-
drăzneală în credința cea în Hristos Iisus.
Acestea îți scriu, nădăjduind să vin la
tine degrabă; 15iar dacă zăbovesc,
să ştii cum trebuie să te porți în casa lui
Dumnezeu, care este Biserica Dumneze-
ului celui viu, stâlp şi temelie a adevărului.
16Şi, mărturisit lucru, mare este taina bu-

ἐν σαρκί, ἐδικαιώθη ἐν Πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ.

nei-cinstiri: Dumnezeu S-a arătat în trup, S-a îndreptat în Duhul, a fost văzut de îngeri, S-a propovăduit la neamuri, a fost crezut în lume, S-a înălțat în slavă.

Κεφάλαιον Δ΄

Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων, [2]ἐν ὑποκρίσει ψευδολόγων, κεκαυτηριασμένων τὴν ἰδίαν συνείδησιν, [3]κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ Θεὸς ἔκτισεν εἰς μετάληψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν. [4]ὅτι πᾶν κτίσμα Θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον μετὰ εὐχαριστίας λαμβανόμενον· [5]ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως. [6]Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς καλὸς ἔσῃ διάκονος Ἰησοῦ Χριστοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας ᾗ παρηκολούθηκας. [7]τοὺς δὲ βεβήλους καὶ γραώδεις μύθους παραιτοῦ, γύμναζε δὲ σεαυτὸν πρὸς εὐσέβειαν· [8]ἡ γὰρ σωματικὴ γυμνασία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, ἡ δὲ εὐσέβεια πρὸς πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης. [9]πιστὸς ὁ λόγος καὶ πάσης ἀποδοχῆς ἄξιος· [10]εἰς τοῦτο γὰρ καὶ κοπιῶμεν καὶ ὀνειδιζόμεθα, ὅτι ἠλπίκαμεν ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν. [11]Παράγγελλε ταῦτα καὶ δίδασκε. [12]μηδείς σου τῆς νεότητος καταφρονείτω, ἀλλὰ τύπος γίνου τῶν πιστῶν ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ, ἐν πνεύματι, ἐν πίστει, ἐν ἁγνείᾳ. [13]ἕως ἔρχομαι πρόσεχε

Capitolul 4

Iar Duhul grăieşte lămurit că, în vremurile de pe urmă, unii se vor lepăda de credinţă, luând aminte la duhuri amăgitoare şi la învăţăturile dracilor, [2]în făţărnicia celor cu cuvinte mincinoase, înfieraţi în conştiinţa lor, [3]care opresc să se căsătorească şi cer să se ţină departe de la mâncăruri, pe care Dumnezeu le-a făcut spre împărtăşire cu mulţumire celor credincioşi şi celor care au cunoscut deplin adevărul, [4]pentru că toată făptura lui Dumnezeu este bună şi nimic nu este de lepădat, dacă este luat cu mulţumire; [5]căci se sfinţeşte prin cuvântul lui Dumnezeu şi prin mijlocire. [6]Acestea punându-le înaintea fraţilor, vei fi un bun slujitor al lui Iisus Hristos, hrănindu-te cu cuvintele credinţei şi ale bunei învăţături pe care ai urmat-o. [7]Iar de basmele spurcate şi bătrâneşti fereşte-te şi nevoieşte-te spre bună-cinstire; [8]căci nevoinţa trupească spre puţin este folositoare, dar buna-cinstire spre toate este folositoare, având făgăduinţa vieţii de acum şi a celei ce va să vină. [9]Credincios este cuvântul şi de toată primirea vrednic, [10]căci pentru aceasta ne şi ostenim şi suntem ocărâţi, că am nădăjduit spre Dumnezeul cel viu, Care este Mântuitor al tuturor oamenilor, mai ales al celor credincioşi. [11]Acestea porunceşte şi învaţă.

τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ. 14μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, ὃ ἐδόθη σοι διὰ προφητείας μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου. 15ταῦτα μελέτα, ἐν τούτοις ἴσθι, ἵνα σου ἡ προκοπὴ φανερὰ ᾖ ἐν πᾶσιν. 16ἔπεχε σεαυτῷ καὶ τῇ διδασκαλίᾳ, ἐπίμενε αὐτοῖς· τοῦτο γὰρ ποιῶν καὶ σεαυτὸν σώσεις καὶ τοὺς ἀκούοντάς σου.

12Nimeni să nu-ți disprețuiască tinerețea, ci fă-te pildă a celor credincioşi în cuvânt, în purtare, în iubire, în duh, în credință, în curăție. 13Până vin, ia aminte la citire, la îndemn, la învățătură. 14Nu nesocoti darul care este în tine, care ți s-a dat prin proorocie cu punerea mâinilor preoțimii. 15De acestea să te îngrijeşti, în acestea să fii, ca sporirea ta să fie vădită în toate. 16Fii cu băgare de seamă la tine însuți şi la învățătură, stăruie în acestea; căci, aceasta făcând, şi pe tine te vei mântui şi pe cei care te ascultă.

Κεφάλαιον Ε΄

Πρεσβυτέρῳ μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα, νεωτέρους ὡς ἀδελφούς, 2πρεσβυτέρας ὡς μητέρας, νεωτέρας ὡς ἀδελφὰς ἐν πάσῃ ἁγνείᾳ. 3Χήρας τίμα τὰς ὄντως χήρας. 4εἰ δέ τις χήρα τέκνα ἢ ἔκγονα ἔχει, μανθανέτωσαν πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν καὶ ἀμοιβὰς ἀποδιδόναι τοῖς προγόνοις· τοῦτο γάρ ἐστι καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ Θεοῦ. 5ἡ δὲ ὄντως χήρα καὶ μεμονωμένη ἤλπικεν ἐπὶ τὸν Θεὸν καὶ προσμένει ταῖς δεήσεσι καὶ ταῖς προσευχαῖς νυκτὸς καὶ ἡμέρας· 6ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε. 7καὶ ταῦτα παράγγελλε, ἵνα ἀνεπίληπτοι ὦσιν. 8εἰ δέ τις τῶν ἰδίων καὶ μάλιστα τῶν οἰκείων οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται καὶ ἔστιν ἀπίστου χείρων. 9Χήρα καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα γεγονυῖα, ἑνὸς ἀνδρὸς γυνή, 10ἐν ἔργοις καλοῖς μαρτυρουμένη, εἰ ἐτεκνοτρόφησεν, εἰ ἐξενοδόχησεν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσεν, εἰ παντὶ ἔργῳ ἀγα-

Capitolul 5

Pe cel bătrân să nu-l certi, ci să-l îndemni ca pe un părinte; pe tineri, ca pe frați, 2pe bătrâne, ca pe mame, pe tinere, ca pe surori, în toată curăția. 3Pe văduve cinsteşte-le, pe cele cu adevărat văduve. 4Iar dacă vreo văduvă are fii sau nepoți, ei să învețe să cinstească mai întâi casa lor şi să dea răsplătiri părinților; căci aceasta este lucru bun şi primit înaintea lui Dumnezeu. 5Şi cea cu adevărat văduvă şi rămasă singură nădăjduieşte spre Dumnezeu şi stăruieşte în cereri şi rugăciuni, noaptea şi ziua. 6Iar cea care petrece întru desfătare, vie fiind, este moartă. 7Şi acestea porunceşte-le, ca ele să fie fără de pată. 8Iar dacă cineva nu se îngrijeşte de ai săi şi mai ales de casnicii săi, s-a lepădat de credință şi este mai rău decât un necredincios. 9Să fie înscrisă văduvă cea care nu are mai puțin de şaizeci de ani, femeie a unui singur bărbat, 10mărturisită în fapte bune, dacă a crescut prunci,

θῷ ἐπηκολούθησε. 11νεωτέρας δὲ χήρας
παραιτοῦ· ὅταν γὰρ καταστρηνιάσωσι τοῦ
Χριστοῦ, γαμεῖν θέλουσιν, 12ἔχουσαι κρῖμα,
ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν· 13ἅμα δὲ καὶ
ἀργαὶ μανθάνουσι περιερχόμεναι τὰς οἰκίας,
οὐ μόνον δὲ ἀργαί, ἀλλὰ καὶ φλύαροι καὶ
περίεργοι, λαλοῦσαι τὰ μὴ δέοντα. 14βούλο-
μαι οὖν νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰ-
κοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ
ἀντικειμένῳ λοιδορίας χάριν. 15ἤδη γάρ τι-
νες ἐξετράπησαν ὀπίσω τοῦ σατανᾶ. 16εἴ τις
πιστὸς ἢ πιστὴ ἔχει χήρας, ἐπαρκείτω αὐταῖς,
καὶ μὴ βαρείσθω ἡ ἐκκλησία, ἵνα ταῖς ὄντως
χήραις ἐπαρκέσῃ. 17Οἱ καλῶς προεστῶτες
πρεσβύτεροι διπλῆς τιμῆς ἀξιούσθωσαν, μά-
λιστα οἱ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ·
18λέγει γὰρ ἡ γραφή· *βοῦν ἀλοῶντα οὐ φιμώ-
σεις·* καί· *ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ.*
19κατὰ πρεσβυτέρου κατηγορίαν μὴ παραδέ-
χου, ἐκτὸς εἰ μὴ ἐπὶ δύο ἢ τριῶν μαρτύρων.
20τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγ-
χε, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσι. 21διαμαρ-
τύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Κυρίου Ἰη-
σοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα
ταῦτα φυλάξῃς, χωρὶς προκρίματος μηδὲν
ποιῶν κατὰ πρόσκλισιν. 22χεῖρας ταχέως
μηδενὶ ἐπιτίθει, μηδὲ κοινώνει ἁμαρτίαις
ἀλλοτρίαις· σεαυτὸν ἁγνὸν τήρει. 23Μηκέτι
ὑδροπότει, ἀλλ᾽ οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στό-
μαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας.
24Τινῶν ἀνθρώπων αἱ ἁμαρτίαι πρόδηλοί
εἰσι, προάγουσαι εἰς κρίσιν, τισὶ δὲ καὶ ἐπα-
κολουθοῦσιν· 25ὡσαύτως καὶ τὰ καλὰ ἔργα
πρόδηλά ἐστι, καὶ τὰ ἄλλως ἔχοντα κρυβῆναι
οὐ δύνανται.

dacă a primit străini, dacă a spălat picioare-
le sfinților, dacă le-a ajutat celor strâmto-
rați, dacă a urmat toată fapta bună. 11Iar de
văduvele tinere fereşte-te; căci, atunci când
poftele le îndepărtează de Hristos, vor să
se mărite, 12având osândă pentru că au le-
pădat credința cea dintâi; 13totodată, învață
să fie nelucrătoare cutreierând casele, şi nu
numai nelucrătoare, ci şi bârfitoare şi isco-
ditoare, grăind ce nu se cuvine. 14Voiesc
deci ca cele tinere să se mărite, să nască
prunci, casele să-şi chivernisească şi să nu
dea nici un prilej de ocară celui potrivnic.
15Căci unele s-au şi întors în urma satanei.
16Dacă vreun credincios sau credincioasă
are văduve, să le fie de ajutor şi să nu se
împovăreze Biserica, ca aceasta să le fie de
ajutor celor cu adevărat văduve. 17Preoții
care cârmuiesc bine să se învrednicească
de îndoită cinste, mai ales cei care se oste-
nesc în cuvânt şi învățătură. 18Căci Scriptu-
ra zice: *Să nu legi gura boului care treieră,*
şi: *Vrednic este lucrătorul de plata sa.* 19În-
vinuire împotriva preotului să nu primeşti,
decât de la doi sau trei martori. 20Pe cei ce
păcătuiesc mustră-i înaintea tuturor, ca şi
ceilalți să aibă frică. 21Te jur înaintea lui
Dumnezeu şi a Domnului Iisus Hristos şi
a îngerilor aleşi, ca să păzeşti acestea, fără
vreo judecată dinainte, nefăcând nimic cu
părtinire. 22Nu-ți pune degrabă mâinile pe
nimeni, nici nu te face părtaş la păcatele
altora; păzeşte-te curat. 23De acum să nu
bei numai apă, ci foloseşte puțin vin, pen-
tru stomacul tău şi pentru desele tale boli.
24Păcatele unor oameni sunt vădite, mer-
gând înainte la judecată, iar altora le şi ur-
mează. 25Asemenea, şi faptele cele bune
sunt vădite şi cele ce sunt altfel nu pot fi
ascunse.

Κεφάλαιον ς΄

Ὅσοι εἰσὶν ὑπὸ ζυγὸν δοῦλοι, τοὺς ἰδίους δεσπότας πάσης τιμῆς ἀξίους ἡγείσθωσαν, ἵνα μὴ τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἡ διδασκαλία βλασφημῆται. 2οἱ δὲ πιστοὺς ἔχοντες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰσιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσι καὶ ἀγαπητοὶ οἱ τῆς εὐεργεσίας ἀντιλαμβανόμενοι. 3Ταῦτα δίδασκε καὶ παρακάλει.

Εἴ τις ἑτεροδιδασκαλεῖ καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῖς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, 4τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί, 5παραδιατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. ἀφίστασο ἀπὸ τῶν τοιούτων. 6ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετὰ αὐταρκείας. 7οὐδὲν γὰρ εἰσηνέγκαμεν εἰς τὸν κόσμον, δῆλον ὅτι οὐδὲ ἐξενεγκεῖν τι δυνάμεθα· 8ἔχοντες δὲ διατροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. 9οἱ δὲ βουλόμενοι πλουτεῖν ἐμπίπτουσιν εἰς πειρασμὸν καὶ παγίδα καὶ ἐπιθυμίας πολλὰς ἀνοήτους καὶ βλαβεράς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν. 10ῥίζα γὰρ πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία, ἧς τινες ὀρεγόμενοι ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς.

Capitolul 6

Câți sunt robi sub jug să-i socotească pe stăpânii lor vrednici de toată cinstea, ca numele lui Dumnezeu şi învăţătura să nu fie hulite. 2Iar cei ce au stăpâni credincioşi să nu-i dispreţuiască, pentru că sunt fraţi, ci mai mult ca robi să slujească, pentru că sunt credincioşi şi iubiţi cei care primesc facerea de bine. 3Acestea învaţă-le şi îndeamnă-le.

Dacă propovăduieşte cineva altă învăţătură şi nu vine la cuvintele cele sănătoase ale Domnului nostru Iisus Hristos şi la învăţătura cea potrivită cu buna-cinstire, 4este îngâmfat, neştiind nimic, ci suferind de boala certurilor şi a luptelor de cuvinte, din care se iscă pizmă, ceartă, hule, bănuieli viclene, 5vorbe nefolositoare ale oamenilor stricaţi la minte şi lipsiţi de adevăr, care socotesc buna-cinstire a fi mijloc de câştig. Stai departe de unii ca aceştia. 6Dar mare câştig este buna-cinstire când se îndestulează cu ce are. 7Căci nimic nu am adus în lume, este vădit că nici nu putem scoate ceva; 8ci, având hrană şi acoperăminte, ne vom îndestula cu acestea. 9Iar cei care voiesc să ajungă bogaţi cad în ispită şi în cursă şi în multe pofte fără de minte şi vătămătoare, care îi afundă pe oameni în nimicire şi pierzare. 10Căci rădăcină a tuturor relelor este iubirea de arginţi, pe care unii, poftind-o, au rătăcit de la credinţă şi s-au pătruns cu multe dureri.

Σὺ δέ, ὦ ἄνθρωπε τοῦ Θεοῦ, ταῦτα φεῦγε· δίωκε δὲ δικαιοσύνην, εὐσέβειαν, πίστιν, ἀγάπην, ὑπομονήν, πραότητα. 12ἀγωνίζου τὸν καλὸν ἀγῶνα τῆς πίστεως· ἐπιλαβοῦ τῆς αἰωνίου ζωῆς, εἰς ἣν καὶ ἐκλήθης καὶ ὡμολόγησας τὴν καλὴν ὁμολογίαν ἐνώπιον πολλῶν μαρτύρων. 13παραγγέλλω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα καὶ Χριστοῦ Ἰησοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, 14τηρῆσαί σε τὴν ἐντολὴν ἄσπιλον, ἀνεπίληπτον μέχρι τῆς ἐπιφανείας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 15ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνάστης, ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, 16ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, ὃν εἶδεν οὐδεὶς ἀνθρώπων οὐδὲ ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ κράτος αἰώνιον· ἀμήν. 17Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι, ἀλλ' ἐν τῷ Θεῷ τῷ ζῶντι, τῷ παρέχοντι ἡμῖν πάντα πλουσίως εἰς ἀπόλαυσιν, 18ἀγαθοεργεῖν, πλουτεῖν ἐν ἔργοις καλοῖς, εὐμεταδότους εἶναι, κοινωνικούς, 19ἀποθησαυρίζοντας ἑαυτοῖς θεμέλιον καλὸν εἰς τὸ μέλλον, ἵνα ἐπιλάβωνται τῆς αἰωνίου ζωῆς. 20Ὦ Τιμόθεε, τὴν παρακαταθήκην φύλαξον, ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως, 21ἣν τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἠστόχησαν. Ἡ χάρις μετὰ σοῦ· ἀμήν.

Dar tu, o, omule al lui Dumnezeu, fugi de acestea; şi urmăreşte dreptatea, buna-cinstire, credinţa, iubirea, răbdarea, blândeţea. 12Luptă-te lupta cea bună a credinţei; apucă viaţa veşnică la care ai fost chemat şi ai mărturisit mărturisirea cea bună înaintea multor martori. 13Îţi poruncesc înaintea lui Dumnezeu, Cel care le face pe toate vii, şi înaintea lui Hristos Iisus, Cel care a mărturisit în faţa lui Ponţiu Pilat mărturisirea cea bună, 14să păzeşti porunca neîntinată, nepătată, până la arătarea Domnului nostru Iisus Hristos, 15pe care, la vremea ei, o va arăta Cel fericit şi singur puternic, Împăratul împăraţilor şi Domnul domnilor, 16Cel care singur are nemurire, locuind întru lumină neapropiată, pe Care nimeni dintre oameni nu L-a văzut şi nici nu poate să-L vadă, a Căruia este cinstea şi puterea veşnică! Amin. 17Celor bogaţi în veacul de acum porunceşte-le să nu se înalţe cu cugetul, nici să nădăjduiască în nestatornicia bogăţiei, ci în Dumnezeul Cel viu, Care ne dă toate din belşug, spre desfătare, 18să lucreze binele, să se îmbogăţească în fapte bune, să fie darnici, gata să împartă, 19agonisindu-şi bună temelie pentru ce va să fie, ca să ia viaţa veşnică. 20O, Timotei, păzeşte ceea ce ţi-a fost încredinţat, întorcându-te de la vorbirile deşarte cele spurcate şi de la împotrivirile cunoştinţei mincinoase, 21cu care unii lăudându-se, au rătăcit de la credinţă. Harul cu tine! Amin.

A DOUA EPISTOLĂ CĂTRE TIMOTEI

Κεφάλαιον Α΄

Παῦλος, ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελήματος Θεοῦ κατ᾽ ἐπαγγελίαν ζωῆς τῆς ἐν Χριστῷ Ἰησοῦ, 2Τιμοθέῳ ἀγαπητῷ τέκνῳ· χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

Χάριν ἔχω τῷ Θεῷ, ᾧ λατρεύω ἀπὸ προγόνων ἐν καθαρᾷ συνειδήσει, ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου νυκτὸς καὶ ἡμέρας, 4ἐπιποθῶν σε ἰδεῖν, μεμνημένος σου τῶν δακρύων, ἵνα χαρᾶς πληρωθῶ, 5ὑπόμνησιν λαμβάνων τῆς ἐν σοὶ ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου Λωΐδι καὶ τῇ μητρί σου Εὐνίκῃ, πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. 6δι᾽ ἣν αἰτίαν ἀναμιμνήσκω σε ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ ἐστιν ἐν σοὶ διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου· 7οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς Πνεῦμα δειλίας, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. 8μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ, ἀλλὰ συγκακοπάθησον τῷ εὐαγγελίῳ κατὰ δύναμιν Θεοῦ, 9τοῦ σώ-

Capitolul 1

Pavel, apostol al lui Hristos Iisus, prin voia lui Dumnezeu, după făgăduința vieții celei în Hristos Iisus, 2lui Timotei, iubitului fiu. Har, milă, pace de la Dumnezeu-Tatăl şi de la Hristos Iisus, Domnul nostru!

Mulțumesc lui Dumnezeu, Căruia Mă închin din moşi-strămoşi, cu conştiință curată, că fac pomenire neîncetată de tine în rugăciunile mele noaptea şi ziua, 4dorind mult să te văd, amintindu-mi de lacrimile tale, ca să mă umplu de bucurie, 5aducându-mi aminte de credința nefățarnică din tine, care s-a sălăşluit mai întâi în bunica ta, Loida, şi în mama ta, Eunice, şi sunt încredințat că şi în tine. 6Din această pricină, îți amintesc să aprinzi din nou darul lui Dumnezeu, care este în tine prin punerea mâinilor mele; 7căci Dumnezeu nu ne-a dat Duhul temerii, ci al puterii şi al iubirii şi al înțelepțirii. 8Deci, să nu te ruşinezi de mărturia Domnului nostru, nici de mine, cel întemnițat al Lui, ci pătimeşte

σαντος ἡμᾶς καὶ καλέσαντος κλήσει ἁγίᾳ, οὐ κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ κατ' ἰδίαν πρόθεσιν καὶ χάριν, τὴν δοθεῖσαν ἡμῖν ἐν Χριστῷ Ἰησοῦ πρὸ χρόνων αἰωνίων, 10φανερωθεῖσαν δὲ νῦν διὰ τῆς ἐπιφανείας τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καταργήσαντος μὲν τὸν θάνατον, φωτίσαντος δὲ ζωὴν καὶ ἀφθαρσίαν διὰ τοῦ εὐαγγελίου, 11εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ καὶ ἀπόστολος καὶ διδάσκαλος ἐθνῶν. 12δι' ἣν αἰτίαν καὶ ταῦτα πάσχω, ἀλλ' οὐκ ἐπαισχύνομαι· οἶδα γὰρ ᾧ πεπίστευκα, καὶ πέπεισμαι ὅτι δυνατός ἐστι τὴν παραθήκην μου φυλάξαι εἰς ἐκείνην τὴν ἡμέραν. 13ὑποτύπωσιν ἔχε ὑγιαινόντων λόγων ὧν παρ' ἐμοῦ ἤκουσας, ἐν πίστει καὶ ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ· 14τὴν καλὴν παραθήκην φύλαξον διὰ Πνεύματος Ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. 15Οἶδας τοῦτο, ὅτι ἀπεστράφησάν με πάντες οἱ ἐν τῇ Ἀσίᾳ, ὧν ἐστι Φύγελλος καὶ Ἑρμογένης. 16δῴη ἔλεος ὁ Κύριος τῷ Ὀνησιφόρου οἴκῳ, ὅτι πολλάκις με ἀνέψυξε καὶ τὴν ἅλυσίν μου οὐκ ἐπαισχύνθη, 17ἀλλὰ γενόμενος ἐν Ῥώμῃ σπουδαιότερον ἐζήτησέ με καὶ εὗρε· 18δῴη αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· καὶ ὅσα ἐν Ἐφέσῳ διηκόνησε, βέλτιον σὺ γινώσκεις.

răul împreună cu mine pentru Evanghelie, după puterea lui Dumnezeu, 9Care ne-a mântuit pe noi şi ne-a chemat cu chemare sfântă, nu după faptele noastre, ci după a Sa hotărâre şi după harul care ni s-a dat nouă în Hristos Iisus mai înainte de vremurile veşnice 10şi care s-a vădit acum prin arătarea Mântuitorului nostru Iisus Hristos, Cel ce a nimicit moartea şi a luminat viaţă şi nestricăciune, prin Evanghelie, 11spre care am fost pus eu propovăduitor şi apostol şi învăţător al neamurilor. 12Din această pricină şi pătimesc acestea, dar nu mă ruşinez; căci ştiu pe Cel căruia am crezut şi sunt încredinţat că puternic este să păzească până în ziua aceea comoara mea. 13Ţine chipul cuvintelor sănătoase pe care le-ai auzit de la mine, în credinţa şi iubirea cea în Hristos Iisus. 14Comoara cea bună păzeşte-o prin Duhul Sfânt, Care sălăşluieşte întru noi. 15Ştii aceasta că s-au îndepărtat de mine toţi cei din Asia, între care sunt Fighel şi Ermoghen. 16Să dea Domnul milă casei lui Onisifor, căci adesea m-a însufleţit şi nu s-a ruşinat de lanţul meu, 17ci, venind în Roma, cu mai multă râvnă m-a căutat şi m-a găsit. 18Să-i dea lui Domnul să afle milă de la Domnul în ziua aceea; şi cât mi-a slujit în Efes, tu ştii mai bine.

Κεφάλαιον Β΄

Σὺ οὖν, τέκνον μου, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, 2καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. 3σὺ οὖν κακοπά-

Capitolul 2

Tu, deci, fiul meu, întăreşte-te în harul cel în Hristos Iisus 2şi cele ce ai auzit de la mine în faţa multor martori, acestea încredinţează-le unor oameni credincioşi, care vor fi în stare să-i în-

θησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ.
4οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ
βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι
ἀρέσῃ. 5ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται,
ἐὰν μὴ νομίμως ἀθλήσῃ. 6τὸν κοπιῶντα γεωρ-
γὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν.
7νόει ἃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν
ἐν πᾶσι. 8Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερ-
μένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαυίδ, κατὰ
τὸ εὐαγγέλιόν μου, 9ἐν ᾧ κακοπαθῶ μέχρι
δεσμῶν ὡς κακοῦργος· ἀλλ' ὁ λόγος τοῦ Θεοῦ
οὐ δέδεται. 10διὰ τοῦτο πάντα ὑπομένω διὰ
τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχω-
σι τῆς ἐν Χριστῷ Ἰησοῦ μετὰ δόξης αἰωνίου.
11Πιστὸς ὁ λόγος· εἰ γὰρ συναπεθάνομεν, καὶ
συζήσομεν· 12εἰ ὑπομένομεν, καὶ συμβασιλεύ-
σομεν· εἰ ἀρνούμεθα, κἀκεῖνος ἀρνήσεται
ἡμᾶς· 13εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει·
ἀρνήσασθαι ἑαυτὸν οὐ δύναται.

Ταῦτα ὑπομίμνησκε, διαμαρτυρόμενος
ἐνώπιον τοῦ Κυρίου μὴ λογομαχεῖν εἰς
οὐδὲν χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκου-
όντων. 15σπούδασον σεαυτὸν δόκιμον πα-
ραστῆσαι τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον,
ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας. 16τὰς
δὲ βεβήλους κενοφωνίας περιΐστασο· ἐπὶ
πλεῖον γὰρ προκόψουσιν ἀσεβείας, 17καὶ ὁ
λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει· ὧν
ἐστιν Ὑμέναιος καὶ Φιλητός, 18οἵτινες περὶ
τὴν ἀλήθειαν ἠστόχησαν, λέγοντες τὴν ἀνά-
στασιν ἤδη γεγονέναι, καὶ ἀνατρέπουσι τήν
τινων πίστιν. 19ὁ μέντοι στερεὸς θεμέλιος τοῦ
Θεοῦ ἕστηκεν, ἔχων τὴν σφραγῖδα ταύτην·
ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ· καὶ ἀποστήτω
ἀπὸ ἀδικίας πᾶς ὁ ὀνομάζων τὸ ὄνομα

veţe şi pe alţii. 3Tu, aşadar, pătimeşte răul
ca un bun ostaş al lui Iisus Hristos. 4Nici
un ostaş nu se încurcă cu treburile vieţii, ca
să fie pe plac celui care strânge oaste. 5Şi
chiar dacă se întrece cineva la jocuri, nu ia
cununa decât dacă se întrece după legea jo-
cului. 6Lucrătorul care se osteneşte trebuie
să se împărtăşească el cel dintâi din roade.
7Înţelege cele ce zic; să-ţi dea ţie Domnul
pricepere în toate. 8Adu-ţi aminte de Iisus
Hristos înviat din morţi, din sămânţa lui
David, după Evanghelia mea, 9întru Care
rău-pătimesc până la lanţuri, ca un făcător
de rele; dar cuvântul lui Dumnezeu nu se
înlănţuie. 10De aceea toate le rabd pentru
cei aleşi, ca şi ei să dobândească mântuirea
cea în Hristos Iisus, laolaltă cu slava veşni-
că. 11Credincios este cuvântul; căci dacă am
murit împreună cu El, vom fi şi vii împre-
ună cu El; 12dacă răbdăm, vom şi împărăţi
împreună cu El; dacă Îl tăgăduim, şi Ace-
la ne va tăgădui pe noi; 13dacă nu credem,
Acela rămâne credincios; să Se tăgăduiască
pe Sine Însuşi nu poate.

Acestea aminteşte-le, poruncindu-le îna-
intea Domnului să nu se certe pe cu-
vinte, la nimic folosind aceasta, decât la
surparea celor ce aud. 15Sârguieşte-te să te
înfăţişezi încercat înaintea lui Dumnezeu,
lucrător neînfruntat, drept-învăţând cuvân-
tul adevărului. 16Iar de deşartele vorbiri
spurcate fereşte-te, căci şi mai mult vor
spori reaua-cinstire, 17şi cuvântul lor ca o
cangrenă se va întinde; dintre aceştia sunt
Imeneu şi Filit, 18care au rătăcit de la ade-
văr, zicând că învierea s-a şi petrecut, şi răs-
toarnă credinţa unora. 19Dar temelia tare a
lui Dumnezeu stă neclintită, având pecetea
aceasta: Cunoscut-a Domnul pe cei ce sunt
ai Săi; şi Să se depărteze de la nedreptate

Κυρίου. 20ἐν μεγάλῃ δὲ οἰκίᾳ οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ ξύλινα καὶ ὀστράκινα, καὶ ἃ μὲν εἰς τιμήν, ἃ δὲ εἰς ἀτιμίαν. 21ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον καὶ εὔχρηστον τῷ δεσπότῃ, εἰς πᾶν ἔργον ἀγαθὸν ἡτοιμασμένον. 22τὰς δὲ νεωτερικὰς ἐπιθυμίας φεῦγε, δίωκε δὲ δικαιοσύνην, πίστιν, ἀγάπην, εἰρήνην μετὰ τῶν ἐπικαλουμένων τὸν Κύριον ἐκ καθαρᾶς καρδίας. 23τὰς δὲ μωρὰς καὶ ἀπαιδεύτους ζητήσεις παραιτοῦ, εἰδὼς ὅτι γεννῶσι μάχας· 24δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ᾽ ἤπιον εἶναι πρὸς πάντας, διδακτικόν, ἀνεξίκακον, 25ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δῷ αὐτοῖς ὁ Θεὸς μετάνοιαν εἰς ἐπίγνωσιν ἀληθείας, 26καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος, ἐζωγρημένοι ὑπ᾽ αὐτοῦ εἰς τὸ ἐκείνου θέλημα.

tot cel ce numeşte numele Domnului. 20Iar într-o casă mare nu sunt numai vase de aur şi de argint, ci şi de lemn şi de lut; şi unele sunt spre cinste, iar altele spre necinste. 21Aşadar, dacă cineva se va curăţi pe sine de acestea, va fi vas spre cinste, sfinţit şi de bun-folos stăpânului, pregătit spre tot lucrul bun. 22Fugi de poftele tinereţilor şi urmăreşte dreptatea, credinţa, iubirea, pacea, laolaltă cu cei ce cheamă pe Domnul din inimă curată. 23Iar de întrebările nebuneşti şi neînţelepte fereşte-te, ştiind că nasc certuri. 24Un rob al Domnului nu trebuie să se certe, ci să fie blând faţă cu toţi, destoinic să dea învăţătură, răbdând răul, 25cu blândeţe mustrând pe cei ce stau împotrivă, doar le va da Dumnezeu pocăinţă spre cunoaşterea adevărului 26şi să se trezească din cursa diavolului, fiind ei prinşi de el spre voia lui.

Κεφάλαιον Γ΄

Τοῦτο δὲ γίνωσκε, ὅτι ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί· 2ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, 3ἄστοργοι, ἄσπονδοι, διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, 4προδόται, προπετεῖς, τετυφωμένοι, φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, 5ἔχοντες μόρφωσιν εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι. καὶ τούτους ἀποτρέπου. 6ἐκ τούτων γάρ εἰσιν οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας καὶ αἰχμαλωτίζοντες γυναικάρια σεσωρευμένα ἁμαρτίαις, ἀγόμενα ἐπιθυμίαις ποικίλαις,

Capitolul 3

Şi aceasta să ştii că, în zilele din urmă, vor veni vremuri grele; 2că oamenii vor fi iubitori de sine, iubitori de arginţi, trufaşi, mândri, hulitori, neascultători de părinţi, nemulţumitori, necuvioşi, 3lipsiţi de dragoste, neînduplecaţi, clevetitori, neînfrânaţi, sălbatici, neiubitori de bine, 4trădători, necugetaţi, îngâmfaţi, iubitori de plăceri mai mult decât iubitori de Dumnezeu, 5având înfăţişarea bunei-cinstiri, dar puterea ei tăgăduind-o. Şi de aceştia depărtează-te. 6Căci dintre aceştia sunt cei ce se vârâ prin case şi robesc femeiuşti împovă-

7πάντοτε μανθάνοντα καὶ μηδέποτε εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν δυνάμενα. 8ὃν τρόπον δὲ Ἰαννῆς καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσεῖ, οὕτω καὶ οὗτοι ἀνθίστανται τῇ ἀληθείᾳ, ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν. 9ἀλλ᾽ οὐ προκόψουσιν ἐπὶ πλεῖον· ἡ γὰρ ἄνοια αὐτῶν ἔκδηλος ἔσται πᾶσιν, ὡς καὶ ἡ ἐκείνων ἐγένετο.

10Σὺ δὲ παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, 11τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένοντο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις, οἵους διωγμοὺς ὑπήνεγκα· καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος. 12καὶ πάντες δὲ οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ διωχθήσονται· 13πονηροὶ δὲ ἄνθρωποι καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες καὶ πλανώμενοι. 14σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, 15καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ. 16πᾶσα γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, 17ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.

rate de păcate, mânate de fel şi fel de pofte, 7totdeauna învăţând şi neputând niciodată să ajungă la cunoaşterea adevărului. 8Şi aşa cum Iannis şi Iamvris i-au stat împotrivă lui Moise, aşa şi aceştia stau împotrivă adevărului, oameni stricaţi la minte, neîncercaţi în credinţă. 9Dar nu vor înainta mai mult; căci nebunia lor va fi vădită tuturor, precum s-a făcut şi a acelora.

10Tu însă ai urmat învăţăturii mele, purtării, voinţei, credinţei, îndelung-răbdării, iubirii, răbdării, 11prigoanelor, patimilor – câte mi s-au făcut în Antiohia, în Iconiu, în Listra, ce prigoane am răbdat! Şi din toate m-a izbăvit Domnul. 12Cu adevărat, toţi care voiesc să vieţuiască cu bună-cinstire în Hristos Iisus vor fi prigoniţi; 13iar oamenii vicleni şi amăgitori vor înainta spre mai rău, ducându-i pe alţii în rătăcire şi rătăcindu-se pe sine. 14Tu însă rămâi în cele ce ai învăţat şi te-ai încredinţat, ştiind de la cine ai învăţat 15şi că din pruncie cunoşti sfintele Scripturi, cele care pot să te înţelepţească spre mântuire, prin credinţa cea în Hristos Iisus. 16Toată Scriptura este de-Dumnezeu-însuflată şi folositoare, spre învăţătură, spre mustrare, spre îndreptare, spre povăţuirea cea întru dreptate, 17ca omul lui Dumnezeu să fie deplin, întrarmat spre tot lucru bun.

Κεφάλαιον Δ΄

Διαμαρτύρομαι οὖν ἐγὼ ἐνώπιον τοῦ Θεοῦ καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκροὺς κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ, 2κήρυξον τὸν

Capitolul 4

Aşadar, te jur înaintea lui Dumnezeu şi a Domnului Iisus Hristos, Care va să judece viii şi morţii, în vremea arătării Lui şi împărăţiei Lui: 2propovăduieşte cuvântul, stăruieşte la vreme potrivită şi

λόγον, ἐπίστηθι εὐκαίρως ἀκαίρως, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον, ἐν πάσῃ μακροθυμίᾳ καὶ διδαχῇ. 3ἔσται γὰρ καιρὸς ὅτε τῆς ὑγιαινούσης διδασκαλίας οὐκ ἀνέξονται, ἀλλὰ κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους κνηθόμενοι τὴν ἀκοήν, 4καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀποστρέψουσιν, ἐπὶ δὲ τοὺς μύθους ἐκτραπήσονται. 5σὺ δὲ νῆφε ἐν πᾶσι, κακοπάθησον, ἔργον ποίησον εὐαγγελιστοῦ, τὴν διακονίαν σου πληροφόρησον. 6ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκε. 7τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· 8λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής, οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ.

Σπούδασον ἐλθεῖν πρός με ταχέως· 10Δημᾶς γάρ με ἐγκατέλιπεν ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην, Κρήσκης εἰς Γαλατίαν, Τίτος εἰς Δαλματίαν· 11Λουκᾶς ἐστι μόνος μετ᾽ ἐμοῦ. Μᾶρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ· ἔστι γάρ μοι εὔχρηστος εἰς διακονίαν. 12Τυχικὸν δὲ ἀπέστειλα εἰς Ἔφεσον. 13τὸν φαιλόνην, ὃν ἀπέλιπον ἐν Τρῳάδι παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία, μάλιστα τὰς μεμβράνας. 14Ἀλέξανδρος ὁ χαλκεὺς πολλά μοι κακὰ ἐνεδείξατο· ἀποδῴη αὐτῷ ὁ Κύριος κατὰ τὰ ἔργα αὐτοῦ· 15ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις. 16Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ οὐδείς μοι συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον· μὴ αὐτοῖς λογισθείη· 17ὁ δὲ Κύριός μοι παρέστη καὶ ἐνεδυνάμωσέ με, ἵνα δι᾽ ἐμοῦ τὸ κήρυγμα πληροφορηθῇ καὶ ἀκούσῃ πάντα τὰ ἔθνη· καὶ ἐρρύσθην ἐκ στόματος λέοντος. 18καὶ ῥύσεταί με ὁ Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ καὶ σώσει εἰς τὴν

nepotrivită, mustră, ceartă, mângâie cu toată îndelunga-răbdare şi învăţătura. 3Căci va fi o vreme când nu vor suferi învăţătura sănătoasă, ci, după poftele lor, îşi vor grămădi loruşi învăţători, gâdilându-şi auzul, 4şi de la adevăr auzul şi-l vor întoarce şi se vor abate către basme. 5Tu însă fii cu trezvie în toate, pătimeşte răul, fă lucru de evanghelist, slujirea ta fă-o deplin! 6Căci eu de-acum îmi vărs sângele şi vremea despărţirii mele s-a apropiat. 7Lupta cea bună m-am luptat, calea am săvârşit, credinţa am păzit; 8de acum mi s-a pus deoparte cununa dreptăţii, pe care mi-o va răsplăti mie Domnul în ziua aceea, Dreptul Judecător, şi nu numai mie, ci şi tuturor celor ce au iubit arătarea Lui.

Sârguieşte-te să vii la mine grabnic; 10căci Dimas m-a părăsit, iubind veacul de acum, şi a plecat la Tesalonic; Crescent în Galatia, Tit în Dalmaţia; 11Numai Luca este cu mine. Luându-l pe Marcu, adu-l cu tine; căci îmi este de bun-folos în slujire. 12Pe Tihic l-am trimis la Efes. 13Când vei veni, adu-mi felonul pe care l-am lăsat în Troa la Carp, precum şi cărţile, mai ales pergamentele. 14Alexandru arămarul multe rele mi-a făcut; să-i răsplătească Domnul după faptele lui; 15de care şi tu păzeşte-te, căci mult s-a împotrivit cuvintelor noastre. 16La întâia mea apărare, nimeni n-a fost alături de mine, ci toţi m-au părăsit. Să nu li se socotească! 17Însă Domnul mi-a fost alături şi mi-a dat putere, pentru ca, prin mine, propovăduirea să se plinească şi să audă toate neamurile; şi m-am izbăvit din gura leului. 18Şi mă va izbăvi pe mine Domnul de tot lucrul rău şi mă va mântui întru îm-

βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ἀσπασαι Πρίσκαν καὶ Ἀκύλαν καὶ τὸν Ὀνησιφόρου οἶκον. 20 Ἔραστος ἔμεινεν ἐν Κορίνθῳ, Τρόφιμον δὲ ἀπέλιπον ἐν Μιλήτῳ ἀσθενοῦντα. 21σπούδασον πρὸ χειμῶνος ἐλθεῖν. Ἀσπάζεταί σε Εὔβουλος καὶ Πούδης καὶ Λίνος καὶ Κλαυδία καὶ οἱ ἀδελφοὶ πάντες. 22 Ὁ Κύριος Ἰησοῦς Χριστὸς μετὰ τοῦ πνεύματός σου. Ἡ χάρις μεθ' ὑμῶν· ἀμήν.

Îmbrățișează pe Priscila şi pe Acvila şi casa lui Onisifor. 20Erast a rămas în Corint, iar pe Trofim l-am lăsat în Milet, fiind bolnav. 21Sârguieşte-te să vii înainte de iarnă. Te îmbrățișează Eubul şi Pudens şi Linos şi Claudia şi frații toți. 22Domnul Iisus Hristos să fie cu duhul tău! Harul cu voi! Amin.

EPISTOLA CĂTRE TIT

Κεφάλαιον Α΄

Παῦλος, δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ Χριστοῦ κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ καὶ ἐπίγνωσιν ἀληθείας τῆς κατ᾽ εὐσέβειαν 2ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων, 3ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον αὐτοῦ ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ᾽ ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν Θεοῦ, 4Τίτῳ γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν· χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.

Τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι διεταξάμην, 6εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστά, μὴ ἐν κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα. 7δεῖ γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, 8ἀλλὰ

Capitolul 1

Pavel, rob al lui Dumnezeu şi apostol al lui Iisus Hristos, după credinţa aleşilor lui Dumnezeu şi deplina-cunoştinţă a adevărului celui după buna-cinstire, 2întru nădejdea vieţii veşnice, pe care a făgăduit-o nemincinosul Dumnezeu mai înainte de vremurile veşnice 3şi a arătat, la vremea lui, cuvântul Său în propovăduirea încredinţată mie după porunca Mântuitorului nostru Dumnezeu, 4lui Tit, adevăratul fiu după credinţa cea de obşte: Har, milă, pace, de la Dumnezeu-Tatăl şi de la Domnul Iisus Hristos, Mântuitorul nostru.

Pentru aceasta te-am lăsat în Creta, ca să îndreptezi cele ce lipsesc şi să aşezi preoţi prin cetăţi, precum eu ţi-am rânduit: 6De este cineva fără vină, bărbat al unei singure femei, având copii credincioşi, nu sub învinuire de dezmăţ sau nesupuşi. 7Căci trebuie ca episcopul să fie fără vină, ca iconom al lui Dumnezeu, nu îngâmfat, nu mânios, nu beţiv, nu bătăuş, nu lacom de câş-

φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, 9ἀντεχόμενον τοῦ κατὰ τὴν διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν. 10Εἰσὶ γὰρ πολλοὶ καὶ ἀνυπότακτοι, ματαιολόγοι καὶ φρεναπάται, μάλιστα οἱ ἐκ περιτομῆς, 11οὓς δεῖ ἐπιστομίζειν, οἵτινες ὅλους οἴκους ἀνατρέπουσι διδάσκοντες ἃ μὴ δεῖ αἰσχροῦ κέρδους χάριν. 12εἶπέ τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προφήτης· Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί. 13ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής. δι' ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν τῇ πίστει, 14μὴ προσέχοντες Ἰουδαϊκοῖς μύθοις καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν. 15πάντα μὲν καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ μεμιαμμένοις καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. 16Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

tig ruşinos, 8ci primitor de străini, iubitor de bine, cumpătat, drept, cuvios, înfrânat, 9ţinându-se de cuvântul credincios cel după învăţătură, ca să fie destoinic şi să îndemne în învăţătura cea sănătoasă şi să mustre pe cei împotrivă-grăitori. 10Căci mulţi sunt şi nesupuşi, grăitori în deşert şi amăgitori-de-minţi, mai ales cei din tăierea-împrejur, 11cărora trebuie să li se pună frâu gurii, ca unora care răstoarnă case întregi, învăţând ce nu trebuie de dragul unui câştig ruşinos. 12A zis unul dintre ei, însuşi fiind un prooroc de-al lor: Cretanii sunt pururea mincinoşi, fiare rele, pântece leneşe. 13Mărturia aceasta este adevărată; pentru care pricină mustră-i cu asprime, ca să fie sănătoşi în credinţă, 14neluând aminte la basmele iudaice şi la poruncile unor oameni care se întorc de la adevăr. 15Toate sunt curate celor curaţi; iar celor întinaţi şi necredincioşi nimic nu le este curat, ci li s-a întinat lor şi mintea şi conştiinţa. 16Ei mărturisesc că Îl ştiu pe Dumnezeu, dar cu faptele Îl tăgăduiesc, urâciune fiind ei, nesupuşi şi la tot lucru bun neîncercaţi.

Κεφάλαιον Β΄

Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. 2Πρεσβύτας νηφαλίους εἶναι, σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ. 3Πρεσβύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους, 4ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους, 5σώφρονας,

Capitolul 2

Tu însă grăieşte cele ce se cuvin învăţăturii sănătoase. 2Bătrânii să fie cu trezvie, cuviincioşi, cumpătaţi, sănătoşi în credinţă, în dragoste, în răbdare; 3bătrânele, de asemenea, în înfăţişare de sfinţită-cuviinţă, neclevetitoare, nerobite de vin mult, învăţând de bine, 4ca să înţelepţească pe cele tinere să-şi iubească bărbaţii, să-şi

ἁγνάς, οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται. 6Τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν, 7περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ ἀδιαφθορίαν, σεμνότητα, ἀφθαρσίαν, 8λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ μηδὲν ἔχων περὶ ἡμῶν λέγειν φαῦλον. 9Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας, 10μὴ νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν, ἵνα τὴν διδασκαλίαν τοῦ σωτῆρος ἡμῶν Θεοῦ κοσμῶσιν ἐν πᾶσιν. 11Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις, 12παιδεύουσα ἡμᾶς ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, 13προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, 14ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. 15Ταῦτα λάλει καὶ παρακάλει καὶ ἔλεγχε μετὰ πάσης ἐπιταγῆς· μηδείς σου περιφρονείτω.

iubească copiii, 5să fie cumpătate, neprihănite, gospodine, bune, supuse bărbaților lor, ca să nu se hulească cuvântul lui Dumnezeu. 6Pe cei tineri, de asemenea, îndeamnă-i să fie cumpătați, 7în toate dându-te pe tine pildă de fapte bune, iar în învățătură arătând neschimbare, cuviință, nestricăciune, 8cuvânt sănătos, de neosândit, pentru ca cel potrivnic să se ruşineze, neavând de zis nimic rău despre noi. 9Robii să se supună stăpânilor lor, să fie bineplăcuți întru toate, negrăind împotrivă, 10nedosind nimic, ci arătând toată buna credință, ca în toate să împodobească învățătura Mântuitorului nostru Dumnezeu. 11Căci s-a arătat harul cel mântuitor al lui Dumnezeu tuturor oamenilor, 12învățându-ne ca, lepădând reaua-cinstire şi poftele lumeşti, să vieţuim în cumpătare şi în dreptate şi în bună-cinstire în veacul de acum, 13aşteptând fericita nădejde şi arătare a slavei marelui Dumnezeu şi Mântuitorului nostru Iisus Hristos, 14Care S-a dat pe Sine pentru noi, ca să ne răscumpere de toată fărădelegea şi să-Şi curățească Sieşi popor ales, râvnitor de fapte bune. 15Acestea grăieşte şi îndeamnă şi mustră cu toată porunca; nimeni să nu te disprețuiască.

Κεφάλαιον Γ΄

Ὑπομίμνησκε αὐτοὺς ἀρχαῖς καὶ ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, 2μηδένα βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς, πᾶσαν ἐνδεικνυμένους πραότητα πρὸς πάντας ἀνθρώπους. 3Ἦμεν γάρ ποτε

Capitolul 3

Aminteşte-le să se supună stăpânirilor şi puterilor, să asculte, să fie gata spre tot lucru bun, 2pe nimeni să nu hulească, să fie necertăreți, îngăduitori, arătând toată blândețea către toți oamenii. 3Căci eram cândva şi noi fără de

καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοί, μισοῦντες ἀλλήλους· 4ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν Θεοῦ, 5οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου, 6οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, 7ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου. 8Πιστὸς ὁ λόγος· καὶ περὶ τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ. ταῦτά ἐστι τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις· 9μωρὰς δὲ ζητήσεις καὶ γενεαλογίας καὶ ἔρεις καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι. 10αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, 11εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. 12Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σὲ ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι. 13Ζηνᾶν τὸν νομικὸν καὶ Ἀπολλὼ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. 14μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. 15Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες. ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν· ἀμήν.

minte, neascultători, rătăciți, fiind robi poftelor şi plăcerilor felurite, petrecând în răutate şi pizmă, urâți fiind şi urându-ne unul pe altul; 4dar, când bunătatea şi iubirea de oameni a Mântuitorului nostru Dumnezeu s-au arătat, 5nu din faptele cele întru dreptate, pe care le-am făcut noi, ci după mila Lui, ne-a mântuit pe noi prin baia naşterii din nou şi prin înnoirea Duhului Sfânt, 6pe Care L-a vărsat peste noi, din belşug, prin Iisus Hristos, Mântuitorul nostru, 7ca, îndreptându-ne prin harul Aceluia, moştenitori să ne facem, potrivit nădejdii, ai vieții veşnice. 8Credincios este cuvântul; şi despre acestea vreau să adevereşti cu tărie, ca cei care au crezut lui Dumnezeu să aibă grijă să fie în frunte la fapte bune. Acestea sunt cele bune şi folositoare oamenilor. 9Iar de întrebările nebuneşti şi de înşirări de neamuri şi de certuri şi de sfădirile despre Lege, fereşte-te; căci sunt nefolositoare şi deşarte. 10De omul eretic, după o mustrare şi după a doua, depărtează-te, 11ştiind că unul ca acesta s-a abătut şi păcătuieşte, osândit de sine însuşi. 12Când voi trimite pe Artemas la tine sau pe Tihic, sârguieşte-te să vii la mine la Nicopole; căci acolo am socotit să iernez. 13Pe Zenas, cunoscătorul de lege, şi pe Apolo trimite-i mai înainte cu bună grijă, ca nimic să nu le lipsească. 14Şi să învețe şi ai noştri să fie în frunte la fapte bune, spre trebuințele cele de neapărată nevoie, ca să nu fie neroditori. 15Te îmbrățişează toți cei dimpreună cu mine. Îmbrățişează-i pe cei ce ne iubesc pe noi în credință. Harul cu voi toți! Amin.

EPISTOLA CĂTRE FILIMON

Παῦλος, δέσμιος Χριστοῦ Ἰησοῦ, καὶ Τιμόθεος ὁ ἀδελφός, Φιλήμονι τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν 2καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ ἡμῶν καὶ τῇ κατ' οἶκόν σου ἐκκλησίᾳ· 3χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εὐχαριστῶ τῷ Θεῷ μου πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, 5ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις πρὸς τὸν Κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους, 6ὅπως ἡ κοινωνία τῆς πίστεώς σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ τοῦ ἐν ἡμῖν εἰς Χριστὸν Ἰησοῦν. 7χάριν γὰρ ἔχομεν πολλὴν καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ.

Διό, πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον, 9διὰ τὴν ἀγάπην μᾶλλον παρακαλῶ· τοιοῦτος ὤν, ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ Χριστοῦ, 10παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν ἐγέννησα ἐν τοῖς δεσμοῖς

Pavel, întemniţat al lui Hristos Iisus, şi fratele Timotei, lui Filimon, iubitul şi împreună-lucrătorul nostru, 2şi iubitei Apfia şi lui Arhip, cel împreună-ostaş cu noi, şi Bisericii din casa ta: 3Har vouă şi pace de la Dumnezeu, Tatăl nostru, şi de la Domnul Iisus Hristos!

Mulţumesc Dumnezeului meu pururea, făcând pomenirea ta în rugăciunile mele, 5auzind de iubirea ta şi de credinţa pe care o ai în Domnul Iisus şi în toţi sfinţii, 6pentru ca împărtăşirea credinţei tale să se facă lucrătoare, prin deplina-cunoştinţă a tot binele cel din noi, întru Hristos Iisus. 7Căci avem har mult şi mângâiere în iubirea ta, că inimile sfinţilor s-au odihnit prin tine, frate.

De aceea, deşi am multă îndrăznire în Hristos să-ţi poruncesc ce se cuvine, 9pentru iubire, mai degrabă te rog: Aşa fiind eu, Pavel, ca un bătrân, iar acum şi întemniţat al lui Iisus Hristos, 10te rog pentru fiul meu, pe care l-am născut în lanţurile

μου, Ὀνήσιμον, [11]τὸν ποτέ σοι ἄχρηστον, νυνὶ δὲ σοὶ καὶ ἐμοὶ εὔχρηστον, ὃν ἀνέπεμψα· [12]σὺ δὲ αὐτόν, τοῦτ' ἔστι τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ· [13]ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου· [14]χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ κατὰ ἑκούσιον. [15]τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν, ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς, [16]οὐκέτι ὡς δοῦλον, ἀλλ' ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί, πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ καὶ ἐν Κυρίῳ. [17]εἰ οὖν με ἔχεις κοινωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ. [18]εἰ δέ τι ἠδίκησέ σε ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγει· [19]ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί, ἐγὼ ἀποτίσω· ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσοφείλεις. [20]ναί, ἀδελφέ, ἐγώ σου ὀναίμην ἐν Κυρίῳ· ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν Κυρίῳ. [21]Πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις. [22]ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν· ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν χαρισθήσομαι ὑμῖν. [23]Ἀσπάζεταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ, [24]Μᾶρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου. [25]Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν· ἀμήν.

mele, pentru Onisim, [11]cel care cândva îți era nefolositor, iar acum şi ție şi mie ne este de bun-folos, pe care l-am trimis înapoi; [12]tu deci, pe acesta, adică inima mea, primește-l; [13]eu voiam să-l țin la mine, ca, în locul tău, să-mi slujească mie în lanțurile Evangheliei; [14]dar fără voia ta n-am voit să fac nimic, ca nu cumva binele tău să fie silit, ci de bunăvoie. [15]Căci poate pentru aceea s-a despărțit de tine pentru un timp, ca veşnic să-l dobândeşti, [16]dar nu ca rob, ci mai mult decât un rob, ca pe un frate iubit, mai ales mie, şi cu cât mai vârtos ție, şi în trup şi în Domnul. [17]Deci, dacă mă ai pe mine părtaş, primeşte-l pe el ca pe mine. [18]Iar de te-a nedreptățit cu ceva sau îți este dator, socoteşte-mi mie aceasta. [19]Eu, Pavel, am scris cu mâna mea, eu îți voi plăti; ca să nu-ți spun că şi tu îmi eşti dator cu tine însuți. [20]Da, frate, fie să mă folosesc şi eu de tine în Domnul; odihneşte inima mea în Domnul! [21]Încredințat fiind de ascultarea ta, ți-am scris, ştiind că şi mai mult decât zic eu vei face. [22]Şi totodată pregăteşte-mi loc de găzduit; căci nădăjduiesc că, prin rugăciunile voastre, voi fi dăruit vouă. [23]Te îmbrățişează Epafras, cel împreună-robit cu mine în Hristos Iisus, [24]Marcu, Aristarh, Dimas, Luca, cei împreună-lucrători cu mine. [25]Harul Domnului nostru Iisus Hristos cu duhul vostru! Amin.

EPISTOLA CĂTRE EVREI

Κεφάλαιον Α΄

Capitolul 1

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ, [2]ὃν ἔθηκε κληρονόμον πάντων, δι᾽ οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· [3]ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι᾽ ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, [4]τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ᾽ αὐτοὺς κεκληρονόμηκεν ὄνομα.

Τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων· *υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε;* καὶ πάλιν· *ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν;* [6]ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· *καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.* [7]καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· *ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ*

În multe rânduri şi în multe chipuri grăind odinioară Dumnezeu părinţilor prin prooroci, la sfârşitul zilelor acestora ne-a grăit nouă prin Fiul, [2]pe Care L-a pus moştenitor a toate, prin Care a făcut şi veacurile; [3]Care, fiind strălucirea slavei şi întipărirea ipostasului Lui şi purtând toate cu cuvântul puterii Lui, după ce a făcut prin Sine curăţirea păcatelor noastre, a şezut de-a dreapta măririi întru cele înalte, [4]cu atât mai mare făcându-Se decât îngerii, cu cât a moştenit un nume mai deosebit decât ei.

Căci căruia dintre îngeri a zis vreodată: *Fiul Meu eşti Tu, Eu astăzi Te-am născut;* şi iarăşi: *Eu Îi voi fi Lui Tată şi El Îmi va fi Mie Fiu?* [6]Şi iarăşi, când Îl aduce pe Cel întâi născut în lume, zice: *Şi să se închine Lui toţi îngerii lui Dumnezeu.* [7]Şi despre îngeri zice: *Cel ce face pe îngerii Săi duhuri şi pe slujitorii Săi pară de foc;* [8]Iar despre Fiul: *Tronul Tău, Dumnezeule, în veacul*

πυρὸς φλόγα· 8πρὸς δὲ τὸν υἱόν· ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου. 9ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε, ὁ Θεός, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· 10καί· σὺ κατ' ἀρχάς, Κύριε, τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί· 11αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, 12καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. 13πρὸς τίνα δὲ τῶν ἀγγέλων εἴρηκέ ποτε· κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; 14οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;

veacului; toiag al dreptății toiagul împărăției Tale. 9Iubit-ai dreptatea și ai urât fărădelegea; pentru aceasta Te-a uns pe Tine, Dumnezeule, Dumnezeul Tău cu untdelemnul bucuriei, mai mult decât pe părtașii Tăi. 10Și: *Tu, dintru început, Doamne, pământul l-ai întemeiat și lucrurile mâinilor Tale sunt cerurile;* 11*ele vor pieri, dar Tu rămâi; și toate ca o haină se vor învechi,* 12*și ca pe un acoperământ le vei înfășura, și se vor schimba; dar Tu Același ești și anii Tăi nu se vor sfârși.* 13Și căruia dintre îngeri i-a zis vreodată: *Șezi de-a dreapta Mea până ce voi pune pe vrăjmașii tăi așternut picioarelor Tale?* 14Nu sunt toți duhuri slujitoare, trimise spre slujire, pentru cei ce au să moștenească mântuirea?

Κεφάλαιον Β΄

Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μή ποτε παραρρυῶμεν. 2εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, 3πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, 4συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι καὶ Πνεύματος Ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν.

Capitolul 2

Pentru aceea trebuie mai mult să luăm aminte la cele auzite, ca nu cumva să rătăcim. 2Căci, dacă s-a adeverit cuvântul grăit prin îngeri și toată călcarea de poruncă și neascultarea și-a primit dreapta răsplătire, 3cum vom scăpa noi neluând în seamă o astfel de mântuire, care, luând început a se grăi prin Domnul, s-a adeverit întru noi de către cei ce au ascultat-o, 4împreună mărturisind Dumnezeu și cu semne, și cu minuni, și cu felurite puteri, și cu împărțirile Duhului Sfânt după a Sa voință?

Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην
τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν, 6διεμαρτύρατο δέ πού τις λέγων· *τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν;* 7*ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν,* 8*πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ*· ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα· 9τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. 10ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι. 11ὅ τε γὰρ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, 12λέγων· *ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε*· 13καὶ πάλιν· *ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ*· καὶ πάλιν· *ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ Θεός.* 14ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ' ἔστι τὸν διάβολον, 15καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. 16οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. 17ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. 18ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Căci nu îngerilor le-a supus lumea ce va
să vină, despre care vorbim, 6ci a mărturisit undeva cineva, zicând: *Ce este omul, că-l pomeneşti pe el, sau fiul omului, că-l cercetezi pe el?* 7*Micşoratu-l-ai pe el cu puţin faţă de îngeri; cu slavă şi cu cinste l-ai încununat pe el;* 8*toate le-ai supus sub picioarele lui;* căci, toate supunându-le Lui, nimic nu I-a lăsat Lui nesupus. Acum însă, încă nu vedem că toate sunt supuse Lui. 9Ci pe Cel micşorat cu puţin faţă de îngeri Îl vedem, pe Iisus, pentru patima morţii, cu slavă şi cu cinste încununat, ca, prin harul lui Dumnezeu, pentru toţi să guste moartea. 10Căci se cuvenea Lui, Celui pentru Care sunt toate şi prin Care sunt toate, pe mulţi fii ducându-i la slavă, să-L desăvârşească prin patimi pe Începătorul mântuirii lor. 11Căci şi Cel ce sfinţeşte şi cei ce se sfinţesc dintru Unul sunt toţi; pentru care pricină nu se ruşinează să-i numească pe ei fraţi, 12zicând: *Vesti-voi Numele Tău fraţilor mei, în mijlocul Bisericii Te voi lăuda;* 13şi iarăşi: *Eu mă voi încrede în El;* şi iarăşi: *Iată Eu şi pruncii pe care Mi i-a dat Dumnezeu.* 14Deci, de vreme ce pruncii se împărtăşesc de trup şi sânge, şi El în acelaşi fel S-a făcut părtaş la acestea, ca, prin moarte, să nimicească pe cel ce avea stăpânirea morţii, adică pe diavolul, 15şi să-i scape pe aceia care, prin frica morţii, erau ţinuţi în robie în toată vremea vieţii. 16Căci, într-adevăr, nu a luat firea îngerilor, ci sămânţa lui Avraam a luat. 17Pentru aceea, dator era întru toate să Se asemene fraţilor, ca să Se facă milostiv şi credincios arhiereu în cele către Dumnezeu, spre a ispăşi păcatele poporului. 18Căci în ceea ce a pătimit, Însuşi fiind ispitit, poate şi celor ispitiţi să le ajute.

Κεφάλαιον Γ΄

Θεν, ἀδελφοὶ ἅγιοι, κλήσεως ἐπουρανίου μέτοχοι, κατανοήσατε τὸν ἀπόστολον καὶ ἀρχιερέα τῆς ὁμολογίας ἡμῶν Ἰησοῦν Χριστόν, 2πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν, ὡς καὶ Μωϋσῆς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. 3πλείονος γὰρ δόξης οὗτος παρὰ Μωϋσῆν ἠξίωται, καθ' ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. 4πᾶς γὰρ οἶκος κατασκευάζεται ὑπό τινος, ὁ δὲ τὰ πάντα κατασκευάσας Θεός. 5καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ ὡς θεράπων, εἰς μαρτύριον τῶν λαληθησομένων, 6Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς, ἐάνπερ τὴν παρρησίαν καὶ τὸ καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν.

Διό, καθὼς λέγει τὸ Πνεῦμα τὸ Ἅγιον· *σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, 8μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, 9οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με, καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη· 10διὸ προσώχθισα τῇ γενεᾷ ἐκείνῃ καὶ εἶπον· ἀεὶ πλανῶνται τῇ καρδίᾳ, αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου· 11ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου·* 12βλέπετε, ἀδελφοί, μή ποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος, 13ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν ἄχρις οὗ τὸ σήμερον καλεῖται, ἵνα μὴ σκληρυνθῇ ἐξ ὑμῶν τις ἀπάτῃ τῆς ἁμαρτίας· 14μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ, ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους

Capitolul 3

Pentru aceea, fraţi sfinţi, părtaşi ai chemării cereşti, luaţi seama la Apostolul şi Arhiereul mărturisirii noastre, la Iisus Hristos, 2credincios fiind Celui ce L-a făcut, ca şi Moise în toată casa Lui. 3Căci de mai multă slavă S-a învrednicit Acesta decât Moise, după cum mai multă cinste are decât casa cel ce a zidit-o. 4Căci toată casa se zideşte de cineva, dar Cel ce pe toate le zideşte este Dumnezeu. 5Şi Moise a fost credincios în toată casa Lui, ca o slugă, spre mărturie a celor ce aveau să se grăiască, 6iar Hristos ca Fiu a fost peste casa Lui, a Cărui casă suntem noi, numai dacă ţinem neclintită îndrăznirea şi lauda nădejdii până la sfârşit.

De aceea, precum zice Duhul cel Sfânt: *Astăzi, dacă auziţi glasul Lui, 8nu vă învârtoşaţi inimile voastre, ca la răzvrătire, în ziua ispitirii, în pustie, 9unde M-au ispitit părinţii voştri, M-au încercat, şi au văzut lucrările Mele patruzeci de ani. 10De aceea, M-am mâniat pe neamul acela şi am zis: Pururea rătăcesc cu inima şi n-au cunoscut căile Mele; 11cum M-am jurat în mânia Mea: „Nu vor intra în odihna Mea!”*. 12Vedeţi, fraţilor, să nu fie în vreunul din voi inimă vicleană, de necredinţă, depărtându-se de la Dumnezeul cel viu. 13Ci îndemnaţi-vă în fiecare zi câtă vreme se cheamă *Astăzi*, ca să nu se învârtoşeze dintre voi cineva cu înşelăciunea păcatului; 14căci părtaşi ne-am făcut lui Hristos, numai dacă ţinem neclintit până la sfârşit începutul întemeierii, 15de

βεβαίαν κατάσχωμεν, 15ἐν τῷ λέγεσθαι· *σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ.* 16τίνες γὰρ ἀκούσαντες παρεπίκραναν; ἀλλ᾽ οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωϋσέως; 17τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσεν ἐν τῇ ἐρήμῳ; 18τίσι δὲ ὤμοσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; 19καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι᾽ ἀπιστίαν.

vreme ce se zice: *Astăzi, dacă auziți glasul Lui, nu vă învârtoșați inimile ca la răzvrătire.* 16Căci cine, auzind, s-a răzvrătit? Oare nu toți cei care au ieșit din Egipt, prin Moise? 17Şi pe cine S-a mâniat patruzeci de ani? Oare nu pe cei ce au păcătuit, ale căror oase au căzut în pustie? 18Şi cui S-a jurat că nu vor intra întru odihna Lui, dacă nu celor nesupuși? 19Şi vedem că n-au putut să intre, pentru necredință.

Κεφάλαιον Δ΄

Φοβηθῶμεν οὖν μή ποτε, καταλειπομένης ἐπαγγελίας *εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ,* δοκῇ τις ἐξ ὑμῶν ὑστερηκέναι. 2καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι· ἀλλ᾽ οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους μὴ συγκεκραμένους τῇ πίστει τοῖς ἀκούσασιν. 3*εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν* οἱ πιστεύσαντες, καθὼς εἴρηκεν· *ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου·* καίτοι τῶν ἔργων ἀπὸ καταβολῆς κόσμου γενηθέντων. 4εἴρηκε γάρ που περὶ τῆς ἑβδόμης οὕτω· *καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ·* 5καὶ ἐν τούτῳ πάλιν· *εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.* 6ἐπεὶ οὖν ἀπολείπεταί τινας εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ πρότερον εὐαγγελισθέντες οὐκ εἰσῆλθον δι᾽ ἀπείθειαν, 7πάλιν τινὰ ὁρίζει ἡμέραν, σήμερον, ἐν Δαυὶδ λέγων, μετὰ τοσοῦτον χρόνον, καθὼς εἴρηται· *σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν.* 8εἰ γὰρ αὐτοὺς Ἰη-

Capitolul 4

Să ne temem, deci, ca nu cumva, fiind lăsată făgăduința de a *intra în odihna Lui,* să pară că cineva dintre voi e lipsit. 2Că şi nouă ni s-a binevestit ca şi acelora; dar acelora nu le-a folosit cuvântul propovăduirii, neavând amestec cu credința celor care au auzit. 3Căci *intrăm în odihnă* noi, cei ce am crezut, precum s-a zis: *Cum M-am jurat întru mânia Mea: Nu vor intra în odihna Mea;* măcar că lucrările erau făcute de la întemeierea lumii. 4Căci s-a zis undeva despre ziua a şaptea astfel: *Şi S-a odihnit Dumnezeu în ziua a şaptea de toate lucrările Sale.* 5Şi în acelaşi loc, iarăşi: *Nu vor intra în odihna Mea!* 6Deci, de vreme ce rămâne ca unii să intre în ea, şi cei cărora li s-a binevestit mai înainte nu au intrat, pentru nesupunere, 7iarăşi rânduieşte o zi, *Astăzi,* prin David zicând, după atâta vreme, precum s-a zis: *Astăzi dacă auziți glasul Lui, nu vă învârtoșați inimile.* 8Căci dacă pe aceia Iisus Navi i-ar fi odihnit, n-ar fi

σοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας· 9ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. 10ὁ γὰρ εἰσελθὼν *εἰς τὴν κατάπαυσιν αὐτοῦ καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ,* ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός. 11Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι πέσῃ τῆς ἀπειθείας. 12Ζῶν γὰρ ὁ Λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας, 13καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ, πάντα δὲ γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν ἡμῖν ὁ λόγος.

Ἔχοντες οὖν ἀρχιερέα μέγαν διεληλυθότα τοὺς οὐρανούς, Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας. 15οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. 16προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

vorbit despre o altă zi după acestea. 9Drept aceea, rămâne odihnă ca de sâmbătă poporului lui Dumnezeu. 10Căci cel ce a *intrat întru odihna Lui, şi el s-a odihnit de lucrările lui,* precum Dumnezeu de ale Sale. 11Să ne sârguim deci să intrăm întru acea odihnă, ca să nu cadă cineva în aceeaşi pildă a nesupunerii. 12Căci viu este Cuvântul lui Dumnezeu şi lucrător şi mai ascuţit decât toată sabia cu două tăişuri, şi pătrunzător până la despărţitura sufletului şi a duhului, a încheieturilor şi a măduvei, şi judecător al cugetelor şi al gândurilor inimii, 13şi nu este zidire nearătată înaintea Lui, ci toate sunt goale şi descoperite ochilor Lui, către Care ne este cuvântul de apărare.

Drept aceea, având Arhiereu mare, Care a străbătut cerurile, pe Iisus, Fiul lui Dumnezeu, să ţinem mărturisirea. 15Că nu avem arhiereu care să nu poată pătimi împreună cu neputinţele noastre, ci pe Unul ispitit întru toate, după asemănare, afară de păcat. 16Să ne apropiem deci cu îndrăzneală de tronul harului, ca să luăm milă şi har să aflăm, spre ajutor la vreme potrivită.

Κεφάλαιον Ε΄

Πᾶς γὰρ ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν, ἵνα προσφέρῃ δῶρά τε καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, 2μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται ἀσθένειαν· 3καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν. 4καὶ οὐχ ἑαυτῷ τις λαμβάνει

Capitolul 5

Căci orice arhiereu, fiind luat dintre oameni, pentru oameni este pus în cele către Dumnezeu, ca să aducă daruri şi jertfe pentru păcate; 2putând să fie îngăduitor faţă de cei neştiutori şi rătăciţi, de vreme ce şi el este cuprins de neputinţă. 3Şi pentru aceasta dator este, precum pentru popor, aşa şi pentru sine să aducă jertfă pentru păcate. 4Şi nu de la sine îşi ia cineva cinstea, ci

τὴν τιμήν, ἀλλὰ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ Ἀαρών. 5οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν· *υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε·* 6καθὼς καὶ ἐν ἑτέρῳ λέγει· *σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.* 7ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ δεήσεις τε καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον σῴζειν αὐτὸν ἐκ θανάτου μετὰ κραυγῆς ἰσχυρᾶς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, 8καίπερ ὢν υἱός, ἔμαθεν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοήν, 9καὶ τελειωθεὶς ἐγένετο τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν αἴτιος σωτηρίας αἰωνίου, 10προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ *ἀρχιερεὺς κατὰ τὴν τάξιν Μελχισεδέκ.*

Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ δυσερμήνευτος λέγειν, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. 12καὶ γὰρ ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ, καὶ γεγόνατε χρείαν ἔχοντες γάλακτος καὶ οὐ στερεᾶς τροφῆς. 13πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαιοσύνης· νήπιος γάρ ἐστι· 14τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

chemat de Dumnezeu, ca şi Aaron. 5Aşa şi Hristos, nu El S-a slăvit pe Sine, ca să Se facă Arhiereu, ci Cel ce a grăit către El: *Fiul Meu eşti Tu, Eu astăzi Te-am născut.* 6Precum şi altundeva zice: *Tu eşti Preot în veac după rânduiala lui Melchisedec.* 7Care, în zilele trupului Său, aducând cereri şi rugi către Cel ce putea să-L mântuiască pe El din moarte, cu strigare tare şi cu lacrimi, şi fiind auzit pentru evlavie, 8chiar de era Fiu, a învăţat ascultarea din cele ce a pătimit, 9şi desăvârşindu-Se, S-a făcut tuturor celor ce-L ascultă pricinuitor al mântuirii veşnice, 10numit fiind de Dumnezeu: *Arhiereu după rânduiala lui Melchisedec.*

Despre aceasta avem a zice mult cuvânt şi greu de tâlcuit, de vreme ce greoi v-aţi făcut la auz. 12Căci şi voi, datori fiind după atâta vreme să fiţi învăţători, iarăşi aveţi trebuinţă să vă înveţe cineva care sunt cele de început ale cuvintelor lui Dumnezeu, şi aţi ajuns să aveţi trebuinţă de lapte şi nu de hrană tare. 13Căci tot cel ce are parte de lapte este neîncercat în cuvântul dreptăţii; căci prunc este; 14iar hrana tare este a celor desăvârşiţi, care au prin obişnuinţă simţurile deprinse spre deosebirea binelui şi a răului.

Κεφάλαιον ς'

Διὸ ἀφέντες τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον ἐπὶ τὴν τελειότητα φερώμεθα, μὴ πάλιν θεμέλιον καταβαλλόμενοι μετανοίας ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως ἐπὶ Θεόν, 2βαπτισμῶν διδαχῆς, ἐπιθέσεώς τε χειρῶν, ἀναστάσεώς τε νεκρῶν καὶ κρίμα-

Capitolul 6

De aceea, lăsând cuvântul de început despre Hristos, să trecem la desăvârşire, nemaipunând iarăşi temelie a pocăinţei de la faptele moarte, a credinţei în Dumnezeu, 2a învăţăturii despre botezuri, despre punerea mâinilor, despre învierea morţilor

τος αἰωνίου. 3καὶ τοῦτο ποιήσομεν, ἐάνπερ ἐπιτρέπῃ ὁ Θεός. 4ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου καὶ μετόχους γενηθέντας Πνεύματος Ἁγίου 5καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος, 6καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντας. 7γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας ἀπὸ τοῦ Θεοῦ· 8ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν. 9Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοί, τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. 10οὐ γὰρ ἄδικος ὁ Θεὸς ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν καὶ τοῦ κόπου τῆς ἀγάπης ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς ἁγίοις καὶ διακονοῦντες. 11ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους, 12ἵνα μὴ νωθροὶ γένησθε, μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

Τῷ γὰρ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεός, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, 14λέγων· *ἦ μὴν εὐλογῶν εὐλογήσω σε καὶ πληθύνων πληθυνῶ σε*· 15καὶ οὕτω μακροθυμήσας ἐπέτυχε τῆς ἐπαγγελίας. 16ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος· 17ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ, 18ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν

şi judecata veşnică. 3Şi aceasta o vom face de va îngădui Dumnezeu. 4Căci este cu neputinţă ca cei ce s-au luminat o dată şi au gustat darul cel ceresc şi s-au făcut părtaşi Duhului Sfânt, 5şi au gustat cuvântul cel bun al lui Dumnezeu şi puterile veacului ce va să fie 6şi au căzut, să se înnoiască iarăşi spre pocăinţă, de vreme ce iarăşi Îl răstignesc loruşi pe Fiul lui Dumnezeu şi Îl fac de batjocură. 7Căci pământul care bea ploaia ce vine peste el adeseori şi naşte iarba folositoare celor pentru care a şi fost lucrat, se împărtăşeşte de binecuvântare de la Dumnezeu; 8dar, dacă scoate spini şi mărăcini, netrebnic este şi aproape de blestem, iar sfârşitul lui este arderea. 9Iar despre voi, iubiţilor, suntem încredinţaţi de lucrurile cele mai bune şi care ţin de mântuire, chiar dacă grăim aşa, 10căci nu este nedrept Dumnezeu, ca să uite de lucrul vostru şi de osteneala dragostei pe care aţi arătat-o în numele Lui, voi, care aţi slujit şi slujiţi sfinţilor. 11Şi dorim ca fiecare dintre voi să arate aceeaşi sârguinţă spre încredinţarea nădejdii, până la sfârşit, 12ca să nu fiţi zăbavnici, ci următori ai celor ce, prin credinţă şi îndelungă-răbdare, moştenesc făgăduinţele.

Căci Dumnezeu, făgăduind lui Avraam, de vreme ce nu avea pe nimeni mai mare să Se jure, S-a jurat pe Sine, 14zicând: *Cu adevărat, binecuvântând te voi binecuvânta, şi înmulţind te voi înmulţi.* 15Şi aşa, având îndelungă-răbdare, a dobândit făgăduinţa. 16Căci oamenii se jură pe cel mai mare şi jurământul le este lor capăt a toată împotrivirea, spre adeverire; 17în acesta, mai mult voind Dumnezeu să arate moştenitorilor făgăduinţei nestrămutarea sfatului Său, a mijlocit prin jurământ, 18ca prin două lucruri nestrămutate, în care este cu neputin-

οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης
ἐλπίδος· [19]ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς
ἀσφαλῆ τε καὶ βεβαίαν καὶ εἰσερχομένην εἰς
τὸ ἐσώτερον τοῦ καταπετάσματος, [20]ὅπου
πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κα-
τὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμε-
νος εἰς τὸν αἰῶνα.

ță să mintă Dumnezeu, să avem mângâiere
tare noi, cei ce scăpăm, ca să ținem nădej-
dea pusă înainte, [19]pe care o avem ca o an-
coră a sufletului, neclintită şi tare, care in-
tră *în cele mai dinlăuntru ale catapetesmei,*
[20]unde înainte-mergător pentru noi a intrat
Iisus, făcându-Se Arhiereu în veac, după
rânduiala lui Melchisedec.

Κεφάλαιον Ζ΄

Οὗτος γὰρ ὁ Μελχισεδέκ, *βασιλεὺς Σα-
λήμ, ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου,* ὁ
συναντήσας Ἀβραὰμ ὑποστρέφοντι
ἀπὸ τῆς κοπῆς τῶν βασιλέων καὶ εὐ-
λογήσας αὐτόν, [2]ᾧ καὶ δεκάτην ἀπὸ
πάντων ἐμέρισεν Ἀβραάμ, πρῶτον μὲν
ἑρμηνευόμενος βασιλεὺς δικαιοσύνης,
ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ, ὅ ἐστι βασιλεὺς
εἰρήνης, [3]ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος,
μήτε ἀρχὴν ἡμερῶν μήτε ζωῆς τέλος ἔχων,
ἀφωμοιωμένος δὲ τῷ υἱῷ τοῦ Θεοῦ, μένει
ἱερεὺς εἰς τὸ διηνεκές. [4]Θεωρεῖτε δὲ πηλίκος
οὗτος, ᾧ καὶ δεκάτην Ἀβραὰμ ἔδωκεν ἐκ τῶν
ἀκροθινίων ὁ πατριάρχης. [5]καὶ οἱ μὲν ἐκ τῶν
υἱῶν Λευὶ τὴν ἱερατείαν λαμβάνοντες ἐντολὴν
ἔχουσιν ἀποδεκατοῦν τὸν λαὸν κατὰ τὸν νό-
μον, τοῦτ' ἔστι τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ
ἐξεληλυθότας ἐκ τῆς ὀσφύος Ἀβραάμ· [6]ὁ δὲ
μὴ γενεαλογούμενος ἐξ αὐτῶν δεδεκάτωκε
τὸν Ἀβραάμ, καὶ τὸν ἔχοντα τὰς ἐπαγγελίας
εὐλόγηκε. [7]χωρὶς δὲ πάσης ἀντιλογίας τὸ
ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. [8]καὶ
ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι
λαμβάνουσιν, ἐκεῖ δὲ μαρτυρούμενος ὅτι ζῇ.
[9]καὶ ὡς ἔπος εἰπεῖν, διὰ Ἀβραὰμ καὶ Λευὶ ὁ
δεκάτας λαμβάνων δεδεκάτωται· [10]ἔτι γὰρ

Capitolul 7

Căci acest Melchisedec, *împărat al
Salimului, preot al Dumnezeului
Celui Preaînalt,* care L-a întâmpinat
pe Avraam când se întorcea de la
uciderea împăraților şi l-a binecu-
vântat, [2]căruia şi zeciuială din toate
i-a împărțit Avraam, care se tâlcuieşte mai
întâi împărat al dreptății, şi apoi împărat al
Salimului, adică împărat al păcii, [3]fără de
tată, fără de mamă, fără seminție, neavând
nici început al zilelor, nici sfârşit al vieții,
ci, asemănat Fiului lui Dumnezeu, rămâne
preot de-a pururea. [4]Vedeți, dar, cât de
mare este acesta, căruia patriarhul Avraam
i-a dat zeciuială din pârga prăzilor. [5]Şi cei
dintre fiii lui Levi care primesc preoția au
poruncă să ia zeciuială de la popor, după
lege, adică de la frații lor, chiar dacă şi
aceştia au ieşit din coapsa lui Avraam; [6]iar
cel ce nu se trăgea din neamul lor a luat
zeciuială de la Avraam şi l-a binecuvântat
pe cel care avea făgăduințele. [7]Fără nici o
îndoială, cel mai mic se binecuvântează de
către cel mai mare. [8]Şi aici iau zeciuieli oa-
meni care mor, iar acolo, unul mărturisit
că trăieşte. [9]Şi, ca să zic aşa, prin Avraam

ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς ἦν ὅτε συνήντησεν
αὐτῷ ὁ Μελχισεδέκ. 11Εἰ μὲν οὖν τελείωσις
διὰ τῆς Λευϊτικῆς ἱερωσύνης ἦν· ὁ λαὸς γὰρ
ἐπ' αὐτῇ νενομοθέτητο· τίς ἔτι χρεία κατὰ
τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι
ἱερέα καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγε-
σθαι; 12μετατιθεμένης γὰρ τῆς ἱερωσύνης ἐξ
ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. 13ἐφ' ὃν
γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν,
ἀφ' ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ.
14πρόδηλον γὰρ ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν
ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱε-
ρωσύνης Μωϋσῆς ἐλάλησε.

Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ
κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίστα-
ται ἱερεὺς ἕτερος, 16ὃς οὐ κατὰ νόμον ἐντολῆς
σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς
ἀκαταλύτου· 17μαρτυρεῖ γὰρ ὅτι *σὺ ἱερεὺς εἰς
τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.* 18ἀθέ-
τησις μὲν γὰρ γίνεται προαγούσης ἐντολῆς
διὰ τὸ αὐτῆς ἀσθενὲς καὶ ἀνωφελές· 19οὐδὲν
γὰρ ἐτελείωσεν ὁ νόμος, ἐπεισαγωγὴ δὲ κρείτ-
τονος ἐλπίδος, δι' ἧς ἐγγίζομεν τῷ Θεῷ. 20καὶ
καθ' ὅσον οὐ χωρὶς ὁρκωμοσίας –οἱ μὲν γὰρ
χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες, 21ὁ
δὲ μετὰ ὁρκωμοσίας διὰ τοῦ λέγοντος πρὸς
αὐτόν· *ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθή-
σεται· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν
Μελχισεδέκ*–, 22κατὰ τοσοῦτον κρείττονος
διαθήκης γέγονεν ἔγγυος Ἰησοῦς. 23Καὶ οἱ μὲν
πλείονές εἰσι γεγονότες ἱερεῖς διὰ τὸ θανάτῳ
κωλύεσθαι παραμένειν· 24ὁ δὲ διὰ τὸ μένειν
αὐτὸν εἰς τὸν αἰῶνα ἀπαράβατον ἔχει τὴν
ἱερωσύνην· 25ὅθεν καὶ σῴζειν εἰς τὸ παντελὲς
δύναται τοὺς προσερχομένους δι' αὐτοῦ τῷ
Θεῷ, πάντοτε ζῶν εἰς τὸ ἐντυγχάνειν ὑπὲρ
αὐτῶν. 26Τοιοῦτος γὰρ ἡμῖν ἔπρεπεν ἀρχιε-
ρεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμέ-

a dat zeciuială şi Levi, cel ce ia zeciuieli;
10căci el era încă în coapsa părintelui când
l-a întâmpinat Melchisedec. 11Dacă deci
desăvârşirea ar fi fost prin preoţia levitică – căci poporul pe temeiul ei a primit legea – ce trebuinţă mai era să se ridice alt preot după rânduiala lui Melchisedec şi să nu se numească după rânduiala lui Aaron?
12Căci, schimbându-se preoţia, de nevoie se face şi schimbarea Legii. 13Căci Cel despre Care se spun acestea e părtaş altei seminţii, din care nimeni nu s-a apropiat de jertfelnic, 14 – căci e învederat că din Iuda a răsărit Domnul nostru –, pentru care seminţie Moise n-a grăit nimic despre preoţie.

Şi mai mult încă, este şi mai învederat dacă se ridică un alt preot după asemănarea lui Melchisedec, 16Care S-a făcut nu după legea poruncii trupeşti, ci după puterea vieţii nepieritoare, 17căci mărturiseşte: *Tu eşti Preot în veac, după rânduiala lui Melchisedec.* 18Căci se face înlăturare a poruncii de dinainte pentru neputinţa şi nefolosul ei; 19căci nimic n-a desăvârşit Legea, ci ea este aducerea unei nădejdi mai bune, prin care ne apropiem de Dumnezeu.
20Şi pe cât nu a fost fără jurământ – căci aceştia s-au făcut preoţi fără jurământ, 21 iar Acela cu jurământ, prin Cel ce zice către El: *Juratu-S-a Domnul şi nu-I va părea rău: Tu eşti Preot în veac, după rânduiala lui Melchisedec* –, 22pe atât S-a făcut Iisus chezaş unui testament mai bun. 23Şi aceştia s-au făcut preoţi mai mulţi, pentru că erau împiedicaţi de moarte să rămână, 24dar Acela, pentru că rămâne în veac, are preoţia netrecătoare. 25Pentru aceasta şi poate să mântuiască pentru totdeauna pe cei ce se apropie prin El de Dumnezeu, fiind viu întotdeauna ca să mijlocească pentru ei.

νος ἀπὸ τῶν ἁμαρτωλῶν καὶ ὑψηλότερος τῶν οὐρανῶν γενόμενος, 27ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. 28ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν ἀρχιερεῖς ἔχοντας ἀσθένειαν, ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον.

26Căci de un astfel de Arhiereu aveam trebuinţă: cuvios, fără răutate, neîntinat, osebit de cei păcătoşi şi făcându-Se mai presus decât cerurile, 27Care nu are nevoie, ca arhiereii, să aducă jertfe în toate zilele, mai întâi pentru păcatele lor, apoi pentru ale poporului, căci a făcut aceasta o dată pentru totdeauna, aducându-Se jertfă pe Sine Însuşi. 28Căci Legea pune arhierei oameni care au neputinţă, iar cuvântul jurământului celui de după Lege Îl pune pe Fiul desăvârşit în veac.

Κεφάλαιον Η΄

Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον ἔχομεν ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς οὐρανοῖς, 2τῶν Ἁγίων λειτουργὸς καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, *ἣν ἔπηξεν ὁ Κύριος*, καὶ οὐκ ἄνθρωπος. 3πᾶς γὰρ ἀρχιερεὺς εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας καθίσταται· ὅθεν ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ. 4εἰ μὲν γὰρ ἦν ἐπὶ γῆς, οὐδ' ἂν ἦν ἱερεύς, ὄντων τῶν ἱερέων τῶν προσφερόντων κατὰ τὸν νόμον τὰ δῶρα, 5οἵτινες ὑποδείγματι καὶ σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων, καθὼς κεχρημάτισται Μωϋσῆς μέλλων ἐπιτελεῖν τὴν σκηνήν· *ὅρα* γάρ φησι, *ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει*· 6νυνὶ δὲ διαφορωτέρας τέτευχε λειτουργίας, ὅσῳ καὶ κρείττονός ἐστι διαθήκης μεσίτης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθέτηται. 7εἰ γὰρ ἡ πρώτη ἐκείνη ἦν ἄμεμπτος, οὐκ

Capitolul 8

Şi lucru de căpetenie peste cele spuse: un astfel de Arhiereu avem, Care a şezut de-a dreapta tronului măririi în ceruri, 2slujitor al Sfintei Sfintelor şi al Cortului celui adevărat, *pe care l-a înfipt Domnul*, şi nu un om. 3Căci orice arhiereu este pus să aducă daruri şi jertfe; de aceea este de trebuinţă ca şi Acesta să aibă ceva să aducă. 4Căci dacă ar fi pe pământ, nici n-ar fi preot, de vreme ce preoţii sunt cei care aduc după Lege darurile, 5care slujesc pildei şi umbrei celor cereşti, precum a avut Moise înştiinţare, când avea să ridice cortul: *Vezi*, zice, *să faci toate după chipul cel arătat ţie în munte*. 6Aşa că a dobândit o slujire cu atât mai osebită, cu cât şi este Mijlocitorul unui testament mai bun, care a fost legiuit pe făgăduinţe mai bune. 7Căci dacă acela, cel dintâi, era fără prihană, nu s-ar mai fi căutat loc celui de-al doi-

ἂν δευτέρας ἐζητεῖτο τόπος. 8μεμφόμενος γὰρ αὐτοῖς λέγει· *ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινήν, 9οὐ κατὰ τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν, λέγει Κύριος· 10ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος· διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς, καὶ ἔσομαι αὐτοῖς εἰς Θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. 11καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πολίτην αὐτοῦ καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων· γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν· 12ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.* 13ἐν τῷ λέγειν *καινὴν* πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ.

lea. 8Căci, mustrând, le zice: *Iată vin zile, zice Domnul, când voi săvârşi peste casa lui Israel şi peste casa lui Iuda testament nou, 9nu după testamentul pe care l-am făcut părinţilor lor, în ziua în care i-am apucat de mână ca să-i scot din pământul Egiptului; căci ei n-au rămas în testamentul Meu, şi Eu i-am nesocotit, zice Domnul.* 10*Că acesta este testamentul pe care îl voi lăsa casei lui Israel, după zilele acelea, zice Domnul, dând legile Mele în cugetul lor, şi pe inimile lor le voi scrie, şi voi fi lor Dumnezeu şi ei vor fi Mie popor.* 11*Şi nu vor mai învăţa fiecare pe aproapele lui şi fiecare pe fratele lui, zicând: Cunoaşte pe Domnul! – că toţi Mă vor cunoaşte, de la cel mic al lor până la cel mare al lor;* 12*căci milostiv voi fi cu nedreptăţile lor, şi păcatele şi fărădelegile lor nu le voi mai pomeni.* 13Şi zicând *Nou*, l-a învechit pe cel dintâi. Iar ce este învechit şi îmbătrânit aproape este de pieire.

Κεφάλαιον Θ΄

Εἶχε μὲν οὖν καὶ ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας τό τε Ἅγιον κοσμικόν. 2σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥ τε λυχνία καὶ ἡ τράπεζα καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια. 3μετὰ δὲ τὸ δεύτερον καταπέτασμα σκηνὴ ἡ λεγομένη Ἅγια Ἁγίων, 4χρυσοῦν ἔχουσα θυμιατήριον καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσα-

Capitolul 9

Avea deci şi cortul cel dintâi rânduieli de slujbă şi sfânt locaş lumesc. 2Căci un cort s-a gătit, cel dintâi, în care erau sfeşnicul şi masa şi punerea înainte a pâinilor; care se numeşte Sfânta. 3Iar după a doua catapeteasmă, un cort, cel numit Sfânta Sfintelor, 4având altarul tămâierii de aur şi chivotul Testamentului ferecat peste tot cu aur, în care era năstrapa de aur, care avea mana, şi toiagul

σα καὶ αἱ πλάκες τῆς διαθήκης, 5ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης κατασκιάζοντα τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. 6Τούτων δὲ οὕτω κατεσκευασμένων εἰς μὲν τὴν πρώτην σκηνὴν διὰ παντὸς εἰσίασιν οἱ ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, 7εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων, 8τοῦτο δηλοῦντος τοῦ Πνεύματος τοῦ Ἁγίου, μήπω πεφανερῶσθαι τὴν τῶν Ἁγίων ὁδόν, ἔτι τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν· 9ἥτις παραβολὴ εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, καθ' ὃν δῶρά τε καὶ θυσίαι προσφέρονται μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα, 10μόνον ἐπὶ βρώμασι καὶ πόμασι καὶ διαφόροις βαπτισμοῖς καὶ δικαιώμασι σαρκός, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. 11Χριστὸς δὲ παραγενόμενος ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τοῦτ' ἔστιν οὐ ταύτης τῆς κτίσεως, 12οὐδὲ δι' αἵματος τράγων καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ Ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος. 13εἰ γὰρ τὸ αἷμα ταύρων καὶ τράγων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, 14πόσῳ μᾶλλον τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ὑμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι; 15Καὶ διὰ τοῦτο διαθήκης καινῆς μεσίτης ἐστίν, ὅπως, θανάτου γενομένου εἰς ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ παραβάσεων, τὴν ἐπαγγελίαν λάβωσιν οἱ κεκλημένοι τῆς αἰωνίου κληρονομίας. 16ὅπου γὰρ διαθήκη, θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου· 17διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μήποτε ἰσχύει ὅτε ζῇ ὁ διαθέμενος.

lui Aaron, care odrăslise, şi tablele Testamentului, 5iar deasupra lui, heruvimii slavei, care umbreau acoperământul ispăşirii; despre acestea nu este vremea acum să vorbim cu de-amănuntul. 6Şi aşa fiind întocmite acestea, în cortul cel dintâi intrau preoţii neîncetat, săvârşind slujbele; 7în cel de-al doilea însă, numai arhiereul, o singură dată pe an, nu fără sânge, pe care îl aducea pentru sine însuşi şi pentru păcatele cele neştiute ale poporului, 8Duhul Sfânt vădind aceasta: că încă nu era arătată calea către Sfânta Sfintelor, câtă vreme încă stătea cortul cel dintâi; 9care este pildă pentru vremea aceasta, când se aduc daruri şi jertfe care nu pot să desăvârşească în privinţa conştiinţei pe închinător, 10ci numai în privinţa mâncărurilor şi băuturilor şi feluritelor afundări şi rânduieli ale trupului, care sunt puse până la vremea îndreptării. 11Iar Hristos, venind Arhiereu al bunătăţilor viitoare, prin cortul mai mare şi mai desăvârşit, nu făcut de mână, adică nu al acestei zidiri, 12a intrat o singură dată în Sfînta Sfintelor, nu cu sânge de ţapi şi de viţei, ci cu sângele Său, aflând răscumpărare veşnică. 13Căci dacă sângele taurilor şi al ţapilor şi cenuşa junincii, stropind pe cei spurcaţi, sfinţeşte spre curăţirea trupului, 14cu cât mai mult sângele lui Hristos, Care, prin Duhul veşnic, S-a adus pe Sine fără prihană lui Dumnezeu, va curăţi conştiinţa voastră de faptele moarte, spre a sluji Dumnezeului Celui viu? 15Şi pentru aceasta El este Mijlocitor al unui Testament nou, astfel încât – făcându-se o moarte spre răscumpărarea călcărilor de lege din primul Testament – cei chemaţi să ia făgăduinţa moştenirii veşnice. 16Căci unde este testament, trebuie să fie vorba des-

18Ὅθεν οὐδ' ἡ πρώτη χωρὶς αἵματος ἐγκεκαίνισται· 19λαληθείσης γὰρ πάσης ἐντολῆς κατὰ τὸν νόμον ὑπὸ Μωϋσέως παντὶ τῷ λαῷ, λαβὼν τὸ αἷμα τῶν μόσχων καὶ τράγων μετὰ ὕδατος καὶ ἐρίου κοκκίνου καὶ ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ πάντα τὸν λαὸν ἐρράντισε 20λέγων· *τοῦτο τὸ αἷμα τῆς διαθήκης ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός·* 21καὶ τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς λειτουργίας τῷ αἵματι ὁμοίως ἐρράντισε. 22καὶ σχεδὸν ἐν αἵματι πάντα καθαρίζεται κατὰ τὸν νόμον, καὶ χωρὶς αἱματεκχυσίας οὐ γίνεται ἄφεσις.

ἀνάγκη οὖν τὰ μὲν ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς τούτοις καθαρίζεσθαι, αὐτὰ δὲ τὰ ἐπουράνια κρείττοσι θυσίαις παρὰ ταύτας. 24οὐ γὰρ εἰς χειροποίητα Ἅγια εἰσῆλθεν ὁ Χριστός, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ' εἰς αὐτὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν· 25οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυτόν, ὥσπερ ὁ ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ Ἅγια κατ' ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ· 26ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς κόσμου· νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἀθέτησιν ἁμαρτίας διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται. 27καὶ καθ' ὅσον ἀπόκειται τοῖς ἀνθρώποις ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις, 28οὕτω καὶ ὁ Χριστός, ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

pre moartea celui ce a lăsat testamentul. 17Căci un testament capătă putere la moartea omului, de vreme ce nu are nici o tărie când trăieşte cel ce l-a lăsat. 18De aceea, nici cel dintâi nu a fost înnoit fără sânge. 19Căci, după ce Moise a grăit toată porunca după Lege la tot poporul, luând el sângele viţeilor şi ţapilor, cu apă şi lână roşie şi isop, a stropit însăşi cartea şi pe tot poporul, 20zicând: *Acesta este sângele testamentului pe care l-a poruncit către voi Dumnezeu.* 21Dar şi cortul, şi toate vasele slujirii le-a stropit, asemenea, cu sânge. 22Şi aproape toate se curăţesc cu sânge, după Lege; şi fără vărsare de sânge nu se face lăsare de păcate.

Trebuia, aşadar, ca cele care închipuiesc cele din ceruri să se curăţească prin acestea, dar cele cereşti înseşi cu jertfe mai bune decât acestea. 24Căci nu în Sfânta Sfintelor făcută de mână, care o închipuie pe cea adevărată, a intrat Hristos, ci chiar în cer, să Se arate acum feţei lui Dumnezeu pentru noi; 25nici ca să Se aducă jertfă pe Sine de mai multe ori, aşa cum arhiereul intră în Sfânta Sfintelor în fiecare an, cu sânge străin; 26altfel, ar fi trebuit să pătimească de multe ori de la întemeierea lumii; acum însă, El S-a arătat o dată pentru totdeauna, la sfârşitul veacurilor, spre înlăturarea păcatului, prin jertfa Sa. 27Şi, precum este lăsat oamenilor să moară o singură dată, iar după aceea să fie judecata, 28aşa şi Hristos, aducându-Se jertfă o singură dată, ca să ridice păcatele celor mulţi, a doua oară, nu pentru păcat, Se va arăta celor ce Îl aşteaptă cu stăruinţă spre mântuire.

Κεφάλαιον Ι΄

Σκιὰν γὰρ ἔχων ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ᾽ ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις ἃς προσφέρουσιν εἰς τὸ διηνεκές, οὐδέποτε δύναται τοὺς προσερχομένους τελειῶσαι· 2ἐπεὶ οὐκ ἂν ἐπαύσαντο προσφερόμεναι, διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς λατρεύοντας, ἅπαξ κεκαθαρμένους; 3ἀλλ᾽ ἐν αὐταῖς ἀνάμνησις ἁμαρτιῶν κατ᾽ ἐνιαυτόν· 4ἀδύνατον γὰρ αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρτίας. 5Διὸ εἰσερχόμενος εἰς τὸν κόσμον λέγει· *θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι·* 6*ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ εὐδόκησας·* 7*τότε εἶπον· ἰδοὺ ἥκω, ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ, τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου.* 8ἀνώτερον λέγων ὅτι *θυσίαν καὶ προσφορὰν καὶ ὁλοκαυτώματα καὶ περὶ ἁμαρτίας οὐκ ἠθέλησας οὐδὲ εὐδόκησας*, αἵτινες κατὰ τὸν νόμον προσφέρονται, 9τότε εἴρηκεν· *ἰδοὺ ἥκω τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου.* ἀναιρεῖ τὸ πρῶτον ἵνα τὸ δεύτερον στήσῃ. 10ἐν ᾧ θελήματι ἡγιασμένοι ἐσμὲν διὰ τῆς προσφορᾶς τοῦ σώματος τοῦ Ἰησοῦ Χριστοῦ ἐφάπαξ. 11Καὶ πᾶς μὲν ἱερεὺς ἕστηκε καθ᾽ ἡμέραν λειτουργῶν καὶ τὰς αὐτὰς πολλάκις προσφέρων θυσίας, αἵτινες οὐδέποτε δύνανται περιελεῖν ἁμαρτίας· 12αὐτὸς δὲ μίαν ὑπὲρ ἁμαρτιῶν προσενέγκας θυσίαν εἰς τὸ διηνεκὲς *ἐκάθισεν ἐν δεξιᾷ τοῦ Θεοῦ,* 13τὸ λοιπὸν ἐκδεχόμενος ἕως *τεθῶσιν οἱ ἐχθροὶ αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ.* 14μιᾷ γὰρ προσφορᾷ τετελείωκεν εἰς τὸ διηνεκὲς

Capitolul 10

Căci Legea, având umbra bunătăților celor viitoare, nu însuşi chipul lucrurilor, cu aceleaşi jertfe care neîncetat se aduc în fiecare an, niciodată nu poate să-i desăvârşească pe cei ce se apropie. 2Altminteri n-ar fi încetat oare să fie aduse, de vreme ce închinătorii, fiind o dată pentru totdeauna curățiți, n-ar mai avea conştiința păcatelor? 3Dar prin ele se face în fiecare an pomenirea păcatelor. 4Căci este cu neputință ca sânge de tauri şi de țapi să înlăture păcatele. 5De aceea, intrând în lume, zice: *Jertfă şi ofrandă n-ai voit, dar trup mi-ai întocmit.* 6*Arderi de tot şi pentru păcat n-ai binevoit;* 7*atunci am zis: Iată vin, în sulul cărții stă scris despre mine, ca să fac, Dumnezeule, voia Ta.* 8Zicând mai sus: *Jertfă şi ofrandă şi arderi de tot şi pentru păcat n-ai voit, nici n-ai binevoit*, care după Lege se aduc, 9atunci a zis: *Iată vin, ca să fac, Dumnezeule, voia Ta.* Înlătură pe cea dintâi, ca să o pună pe a doua. 10În voia aceasta noi suntem sfințiți, prin ofranda trupului lui Iisus Hristos, o dată pentru totdeauna. 11Şi orice preot stă zi de zi, liturghisind şi aducând de mai multe ori aceleaşi jertfe, care niciodată nu pot să ridice păcatele. 12Acesta însă, o singură jertfă pentru păcate aducând, de-a pururea *a şezut de-a dreapta lui Dumnezeu,* 13aşteptând de acum până ce *se vor pune vrăjmaşii Lui aşternut picioarelor Lui.* 14Căci printr-o singură ofrandă, a desăvârşit de-a pururi pe cei

τοὺς ἁγιαζομένους. 15Μαρτυρεῖ δὲ ἡμῖν καὶ τὸ
Πνεῦμα τὸ Ἅγιον· μετὰ γὰρ τὸ προειρηκέναι,
16*αὕτη ἡ διαθήκη ἣν διαθήσομαι πρὸς αὐτοὺς*
μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει Κύριος· δι-
δοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ ἐπὶ
τῶν διανοιῶν αὐτῶν ἐπιγράψω αὐτούς, 17*καὶ*
τῶν ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν
οὐ μὴ μνησθῶ ἔτι. 18ὅπου δὲ ἄφεσις τούτων,
οὐκέτι προσφορὰ περὶ ἁμαρτίας.

Ἔχοντες οὖν, ἀδελφοί, παρρησίαν εἰς τὴν
εἴσοδον τῶν Ἁγίων ἐν τῷ αἵματι τοῦ Ἰη-
σοῦ, 20ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον
καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τοῦτ'
ἔστι τῆς σαρκὸς αὐτοῦ, 21καὶ ἱερέα μέγαν ἐπὶ
τὸν οἶκον τοῦ Θεοῦ, 22προσερχώμεθα μετὰ
ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως
ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδή-
σεως πονηρᾶς, 23καὶ λελουμένοι τὸ σῶμα
ὕδατι καθαρῷ κατέχωμεν τὴν ὁμολογίαν
τῆς ἐλπίδος ἀκλινῆ· πιστὸς γὰρ ὁ ἐπαγγει-
λάμενος· 24καὶ κατανοῶμεν ἀλλήλους εἰς
παροξυσμὸν ἀγάπης καὶ καλῶν ἔργων, 25μὴ
ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν,
καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες, καὶ
τοσούτῳ μᾶλλον, ὅσῳ βλέπετε ἐγγίζουσαν
τὴν ἡμέραν. 26Ἑκουσίως γὰρ ἁμαρτανόντων
ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀλη-
θείας, οὐκέτι περὶ ἁμαρτιῶν ἀπολείπεται
θυσία, 27φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως καὶ
πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπε-
ναντίους. 28ἀθετήσας τις νόμον Μωϋσέως
χωρὶς οἰκτιρμῶν *ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν*
ἀποθνήσκει· 29πόσῳ δοκεῖτε χείρονος ἀξιω-
θήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ κα-
ταπατήσας καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν
ἡγησάμενος, ἐν ᾧ ἡγιάσθη, καὶ τὸ Πνεῦμα
τῆς χάριτος ἐνυβρίσας; 30οἴδαμεν γὰρ τὸν
εἰπόντα· *ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω,*
λέγει Κύριος· καὶ πάλιν· *Κύριος κρινεῖ τὸν*
λαὸν αὐτοῦ. 31φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας

ce se sfinţesc; 15şi ne dă mărturie şi Duhul
cel Sfânt; căci, după ce a zis mai înainte:
16*Acesta este testamentul pe care îl voi lăsa*
lor, după acele zile, zice Domnul: Dând le-
gile Mele pe inimile lor şi pe cugetele lor le
voi scrie, 17*şi de păcatele lor şi de fărădele-*
gile lor nu-Mi voi mai aduce aminte. 18Unde
este, dar, iertarea acestora, nu mai este
ofrandă pentru păcat.

Având, deci, fraţilor, îndrăzneală pentru
intrarea în Sfânta Sfintelor întru sân-
gele lui Iisus, 20pe care ne-a înnoit-o nouă,
cale nouă şi vie, prin catapeteasmă, adică
trupul Său, 21şi având mare preot peste casa
lui Dumnezeu, 22să ne apropiem cu inimă
adevărată, întru plinătatea credinţei, stro-
piţi la inimi spre curăţire de toată conştiinţa
vicleană, 23şi spălaţi la trup cu apă curată să
ţinem neclintită mărturisirea nădejdii – căci
credincios este Cel ce a făgăduit – 24şi să lu-
ăm seama unul la altul, spre îndemnarea la
dragoste şi la fapte bune, 25nepărăsind adu-
narea noastră, precum este obiceiul unora, ci mângâind, şi cu atât mai mult cu cât
vedeţi ziua apropiindu-se. 26Căci, dacă păcătuim noi de bunăvoie după ce am primit
cunoştinţa adevărului, nu mai rămâne jert-
fă pentru păcate, 27ci o înfricoşătoare aş-
teptare a judecăţii şi iuţimea focului care îi
va mistui pe cei potrivnici. 28Lepădând ci-
neva Legea lui Moise, *este omorât* fără în-
durări, *pe mărturia a doi sau trei martori;*
29cu cât mai rea vi se pare că va fi pedeap-
sa de care se va învrednici cel ce calcă în
picioare pe Fiul lui Dumnezeu şi socoteşte
a fi de rând sângele testamentului, întru
care el a fost sfinţit, şi ocărăşte pe Duhul
harului? 30Căci ştim pe Cel ce a zis: *A Mea*
este răzbunarea; Eu voi răsplăti, zice Dom-
nul; şi iarăşi: *Domnul va judeca pe poporul*

Θεοῦ ζῶντος. 32Ἀναμιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων, 33τοῦτο μὲν ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. 34καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν. 35Μὴ ἀποβάλητε οὖν τὴν παρρησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην. 36ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες κομίσησθε τὴν ἐπαγγελίαν. 37*ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ.* 38*ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται· καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ.* 39ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως εἰς περιποίησιν ψυχῆς.

Său. 31Înfricoşător este a cădea în mâinile Dumnezeului Celui viu! 32Aduceţi-vă aminte de zilele dintâi, în care, fiind luminaţi, multă luptă aţi răbdat, a patimilor, 33pe de o parte, făcându-vă priveliştе prin ocări şi strâmtorări, pe de alta, făcându-vă părtaşi cu cei care vieţuiesc astfel. 34Căci şi cu lanţurile mele aţi pătimit împreună, şi răpirea averilor voastre aţi primit-o cu bucurie, cunoscând că aveţi în voi înşivă o mai bună avere în ceruri şi care rămâne. 35Nu lepădaţi, dar, îndrăzneala voastră, care are mare răsplătire. 36Căci aveţi trebuinţă de răbdare, ca, făcând voia lui Dumnezeu, să dobândiţi făgăduinţa. 37*Căci mai este puţin, foarte puţin, Cel ce vine va veni şi nu va zăbovi.* 38*Iar dreptul din credinţă va fi viu; şi de se va da înapoi, nu va binevoi sufletul Meu în el.* 39Noi însă nu suntem dintre cei ce dau înapoi, spre pieire, ci ai credinţei, spre dobândirea sufletului.

Κεφάλαιον ΙΑ΄

Ἔστι δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων. 2ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι. 3Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὰ βλεπόμενα γεγονέναι. 4Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ τοῦ Θεοῦ, καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖται. 5Πίστει Ἐνὼχ μετετέθη τοῦ μὴ ἰδεῖν

Capitolul 11

Iar credinţa este ipostasul celor nădăjduite, dovedirea lucrurilor care nu se văd. 2Căci întru aceasta au primit mărturia cei din vechime. 3Prin credinţă înţelegem că s-au întemeiat veacurile prin cuvântul lui Dumnezeu, pentru ca nu din lucruri vădite să se fi făcut cele văzute. 4Prin credinţă Abel a adus mai bună jertfă decât Cain lui Dumnezeu, prin care s-a dat mărturie că este drept, mărturisind Dumnezeu despre darurile lui; şi prin ea, murind, încă gră-

θάνατον, *καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός·* πρὸ γὰρ τῆς μεταθέσεως αὐτοῦ μεμαρτύρηται *εὐηρεστηκέναι τῷ Θεῷ·* 6χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον τῷ Θεῷ ὅτι ἔστι καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. 7Πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω βλεπομένων, εὐλαβηθεὶς κατεσκεύασε κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου αὐτοῦ, δι' ἧς κατέκρινε τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κληρονόμος. 8Πίστει καλούμενος Ἀβραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰς τὸν τόπον ὃν ἔμελλε λαμβάνειν εἰς κληρονομίαν, καὶ ἐξῆλθε μὴ ἐπιστάμενος ποῦ ἔρχεται. 9Πίστει παρῴκησεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς· 10ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. 11Πίστει καὶ αὐτὴ Σάρρα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβε καὶ παρὰ καιρὸν ἡλικίας ἔτεκεν, ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον. 12διὸ καὶ ἀφ' ἑνὸς ἐγεννήθησαν, καὶ ταῦτα νενεκρωμένου, *καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει καὶ ὡς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ ἀναρίθμητος.* 13Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ λαβόντες τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, καὶ ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. 14οἱ γὰρ τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσι. 15καὶ εἰ μὲν ἐκείνης ἐμνημόνευον, ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι· 16νῦν δὲ κρείττονος ὀρέγονται, τοῦτ' ἔστιν ἐπουρανίου. διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ Θεὸς Θεὸς ἐπικαλεῖσθαι αὐτῶν· ἡτοίμασε γὰρ αὐτοῖς πόλιν. 17Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος,

ieşte. 5Prin credinţă Enoh s-a strămutat, ca să nu vadă moarte, *şi nu era de găsit, pentru că Dumnezeu îl strămutase;* căci înainte de strămutarea lui s-a dat mărturie că *a bineplăcut lui Dumnezeu.* 6Şi fără credinţă este cu neputinţă a bineplăcea; căci cel ce se apropie de Dumnezeu trebuie să creadă că El este şi Se face răsplătitor celor ce Îl caută pe El. 7Prin credinţă, luând Noe înştiinţare de la Dumnezeu despre cele ce nu se vedeau încă, arătându-se evlavios, a meşteşugit un chivot spre mântuirea casei sale; prin care a osândit lumea şi s-a făcut moştenitor dreptăţii celei după credinţă. 8Prin credinţă Avraam, fiind chemat, a ascultat să iasă spre locul pe care avea să-l ia spre moştenire şi a ieşit, neştiind unde vine. 9Prin credinţă a locuit vremelnic în pământul făgăduinţei, ca într-un pământ străin, în corturi locuind cu Isaac şi Iacov, cei împreună moştenitori ai aceleiaşi făgăduinţe; 10căci aştepta cetatea care are temelii, al cărei meşter şi făcător este Dumnezeu. 11Prin credinţă şi Sarra însăşi a luat putere spre întemeierea sămânţei, şi, în ciuda soroculuі vârstei, a născut, de vreme ce L-a socotit credincios pe Cel ce făgăduise. 12De aceea s-au şi născut dintr-unul, măcar că era mort pentru acestea, *ca stelele cerului cu mulţimea şi ca nisipul de la ţărmul mării cel nenumărat.* 13Întru credinţă au murit aceştia toţi, neluând făgăduinţele, ci de departe văzându-le şi îmbrăţişându-le; şi mărturisind că străini şi trecători sunt pe pământ. 14Căci cei care grăiesc unele ca acestea arată că ei îşi caută patrie. 15Şi dacă şi-ar fi adus aminte de aceea din care au ieşit, ar fi avut vreme să se întoarcă. 16Dar acum una mai bună poftesc, adică cerească. Pentru aceea nu Se ruşinează de ei Dum-

18πρὸς ὃν ἐλαλήθη ὅτι *ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα,* 19λογισάμενος ὅτι καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ Θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ ἐκομίσατο. 20Πίστει περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἠσαῦ. 21Πίστει Ἰακὼβ ἀποθνῄσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ εὐλόγησε, καὶ *προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.* 22Πίστει Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσε καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο. 23Πίστει Μωϋσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον, καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα τοῦ βασιλέως. 24Πίστει Μωϋσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραώ, 25μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, 26μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν. 27Πίστει κατέλιπεν Αἴγυπτον μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως· τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησε. 28Πίστει πεποίηκε τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ πρωτότοκα θίγῃ αὐτῶν. 29Πίστει διέβησαν τὴν Ἐρυθρὰν θάλασσαν ὡς διὰ ξηρᾶς, ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν. 30Πίστει τὰ τείχη Ἰεριχὼ ἔπεσε κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας. 31Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους μετ' εἰρήνης. 32Καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ τε καὶ Σαμψὼν καὶ Ἰεφθάε, Δαυὶδ τε καὶ Σαμουὴλ καὶ τῶν προφητῶν, 33οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, 34ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν

nezeu ca să Se numească Dumnezeul lor, căci le-a gătit lor cetate. 17Prin credință l-a adus Avraam pe Isaac, când a fost încercat, şi pe cel unul-născut îl aducea cel ce primise făgăduințele, 18către care s-a grăit că *în Isaac se va chema ție sămânță;* 19socotind că puternic este Dumnezeu să-l scoale şi din morți; drept aceea şi spre pildă l-a luat înapoi. 20Prin credința despre cele viitoare i-a binecuvântat Isaac pe Iacov şi pe Isav. 21Prin credință Iacov, murind, pe fiecare din fiii lui Iosif i-a binecuvântat şi *s-a închinat sprijinindu-se pe vârful toiagului său.* 22Prin credință Iosif, săvârşindu-se, a pomenit despre ieşirea fiilor lui Israel şi cele despre oasele sale a poruncit. 23Prin credință Moise, născându-se, a fost ascuns trei luni de părinții lui, pentru că l-au văzut copil frumos, şi nu s-au temut de porunca împăratului. 24Prin credință Moise, făcându-se mare, n-a vrut să se numească fiu al fiicei lui Faraon, 25alegând mai degrabă să sufere cele rele împreună cu poporul lui Dumnezeu, decât să aibă desfătarea trecătoare a păcatului, 26mai mare bogăție socotind decât comorile Egiptului ocara lui Hristos, căci se uita la răsplătire. 27Prin credință a părăsit Egiptul, fără să se teamă de mânia împăratului; căci a arătat dârzenie, ca şi cum L-ar fi văzut pe Cel nevăzut. 28Prin credință a făcut Paştile şi stropirea cu sânge, ca nimicitorul să nu se atingă de cei întâi născuți ai lor. 29Prin credință au trecut Marea Roşie ca pe uscat; aceeaşi cercare făcând egiptenii, s-au înecat. 30Prin credință zidurile Ierihonului au căzut, fiind înconjurate şapte zile. 31Prin credință Rahav, desfrânata, n-a pierit împreună cu cei care nu s-au supus, primind iscoadele cu pace. 32Şi ce voi mai zice? Căci timpul

ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων· 35ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· ἄλλοι δὲ ἐτύμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· 36ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· 37ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, 38ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. 39Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, 40τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

nu-mi va ajunge să povestesc de Ghedeon, de Barac, de Samson, de Ieftae, de David, de Samuel şi de prooroci; 33care, prin credinţă, au biruit împărăţii, au lucrat dreptate, au dobândit făgăduinţe, au astupat gurile leilor, 34au stins puterea focului, au scăpat de ascuţişul sabiei, au prins puteri din slăbiciune, s-au făcut tari în război, au pus pe fugă taberele străinilor; 35unele femei şi-au luat pe morţii lor înviaţi; alţii au fost chinuiţi, neprimind răscumpărarea, ca mai bună înviere să dobândească; 36alţii au avut parte de batjocuri şi biciuiri, ba chiar şi de lanţuri şi de temniţă; 37au fost ucişi cu pietre, au fost tăiaţi cu fierăstrăul, au fost încercaţi, au murit ucişi de sabie; au pribegit în piei de oaie, în piei de capră, lipsiţi, strâmtoraţi, chinuiţi, 38 ei, de care lumea nu era vrednică, rătăcind în pustiuri şi în munţi şi în peşteri şi în crăpăturile pământului. 39Şi toţi aceştia, deşi au luat mărturie prin credinţă, n-au primit făgăduinţa, 40Dumnezeu rânduind de mai înainte pentru noi ceva mai bun, ca ei să nu se desăvârşească fără noi.

Κεφάλαιον ΙΒ΄

Τοιγαροῦν καὶ ἡμεῖς, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, 2ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν, ὃς ἀντὶ τῆς προκειμένης

Capitolul 12

Drept aceea şi noi, având atâta nor de martori împrejurul nostru, lepădând toată povara şi păcatul ce lesne ne împresoară, prin răbdare să alergăm la lupta ce stă înaintea noastră, 2căutând la Începătorul şi Plinitorul credinţei, la Iisus, Care, în locul bucuriei ce stătea înaintea Lui, a

αὐτῷ χαρᾶς ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ θρόνου τοῦ Θεοῦ κεκάθικεν. 3ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. 4Οὔπω μέχρις αἵματος ἀντικατέστητε πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι, 5καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· *υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ᾽ αὐτοῦ ἐλεγχόμενος.* 6*ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.* 7εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς ὃν οὐ παιδεύει πατήρ; 8εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί. 9εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτὰς καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ πατρὶ τῶν πνευμάτων καὶ ζήσομεν; 10οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας κατὰ τὸ δοκοῦν αὐτοῖς ἐπαίδευον, ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. 11πᾶσα δὲ παιδεία πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης, ὕστερον δὲ καρπὸν εἰρηνικὸν τοῖς δι᾽ αὐτῆς γεγυμνασμένοις ἀποδίδωσι δικαιοσύνης. 12Διὸ *τὰς παρειμένας χεῖρας καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε,* 13*καὶ τροχιὰς ὀρθὰς ποιήσατε τοῖς ποσὶν ὑμῶν,* ἵνα μὴ τὸ χωλὸν ἐκτραπῇ, ἰαθῇ δὲ μᾶλλον.

Εἰρήνην διώκετε μετὰ πάντων, καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον, 15ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ, μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ καὶ διὰ ταύτης μιανθῶσι πολλοί, 16μή τις πόρνος ἢ βέβηλος ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς *ἀπέδοτο τὰ πρωτοτόκια αὐτοῦ.* 17ἴστε γὰρ ὅτι καὶ μετέπειτα, θέλων κληρονομῆσαι τὴν εὐλογίαν, ἀπεδοκιμάσθη·

răbdat crucea, dispreţuind ruşinea, şi de-a dreapta tronului lui Dumnezeu a şezut. 3Luaţi deci aminte la Cel ce a răbdat de la păcătoşi o astfel de împotrivire asupra Lui, ca să nu vă sleiţi de puteri, slăbind cu sufletele voastre. 4Încă nu v-aţi împotrivit până la sânge, luptându-vă cu păcatul. 5Şi aţi uitat îndemnul care vă vorbeşte ca unor fii: *Fiul meu, nu dispreţui certarea Domnului, nici nu slăbi, mustrat fiind de El.* 6*Căci pe care îl iubeşte, Domnul îl ceartă, şi biciuieşte pe tot fiul pe care îl primeşte.* 7Dacă răbdaţi certarea, Dumnezeu Se poartă cu voi ca şi cu nişte fii; căci care este fiul pe care nu-l ceartă tatăl? 8Iar dacă sunteţi fără de certare, căreia toţi s-au făcut părtaşi, atunci sunteţi copii nelegitimi, şi nu fii. 9Apoi, i-am avut pe părinţii noştri după trup care să ne certe şi ne ruşinam; nu cu mult mai mult ne vom supune Părintelui duhurilor şi vom fi vii? 10Căci aceia ne certau pentru puţine zile, după cum li se părea lor, iar Acesta, spre folos, ca să ne împărtăşim de sfinţenia Lui. 11Şi toată certarea în vremea de faţă nu pare a fi spre bucurie, ci spre întristare, dar mai apoi, celor ce s-au deprins prin ea le dă rod lucrător de pace, al dreptăţii. 12De aceea, *îndreptaţi mâinile cele slăbite şi genunchii cei slăbănogiţi* 13*şi faceţi cărări drepte picioarelor voastre,* ca mădularul şchiop să nu rătăcească, ci mai degrabă să se vindece.

Urmăriţi pacea cu toţi şi sfinţenia, fără de care nimeni nu va vedea pe Domnul,. 15cercetând ca nu cumva cineva să fie lipsit de harul lui Dumnezeu, nu cumva vreo rădăcină de amărăciune, odrăslind, să tulbure, şi prin aceasta mulţi să fie pângăriţi, 16nu cumva să fie cineva desfrânat sau spurcat ca Isav, care, pentru o mâncare, *a vândut cele de întâi născut ale lui.* 17Căci ştiţi

μετανοίας γὰρ τόπον οὐχ εὗρε, καίπερ μετὰ δακρύων ἐκζητήσας αὐτήν.

Οὐ γὰρ προσεληλύθατε ψηλαφωμένῳ ὄρει καὶ κεκαυμένῳ πυρὶ καὶ γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ 19καὶ σάλπιγγος ἤχῳ καὶ φωνῇ ῥημάτων, ἧς οἱ ἀκούσαντες παρῃτήσαντο μὴ προστεθῆναι αὐτοῖς λόγον· 20οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον· *κἂν θηρίον θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται·* 21καί –οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον– Μωῦσῆς εἶπεν· *ἔκφοβός εἰμι* καὶ ἔντρομος· 22ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων, 23πανηγύρει καὶ ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, καὶ κριτῇ Θεῷ πάντων, καὶ πνεύμασι δικαίων τετελειωμένων, 24καὶ διαθήκης νέας μεσίτῃ Ἰησοῦ, καὶ αἵματι ῥαντισμοῦ κρεῖττον λαλοῦντι παρὰ τὸν Ἄβελ. 25Βλέπετε μὴ παραιτήσησθε τὸν λαλοῦντα. εἰ γὰρ ἐκεῖνοι οὐκ ἔφυγον τὸν ἐπὶ τῆς γῆς παραιτησάμενοι χρηματίζοντα, πολλῷ μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' οὐρανῶν ἀποστρεφόμενοι· 26οὗ ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε, νῦν δὲ ἐπήγγελται λέγων· *ἔτι ἅπαξ ἐγὼ σείω οὐ μόνον τὴν γῆν, ἀλλὰ καὶ τὸν οὐρανόν.* 27τὸ δὲ *ἔτι ἅπαξ* δηλοῖ τῶν σαλευομένων τὴν μετάθεσιν ὡς πεποιημένων, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα. 28Διὸ βασιλείαν ἀσάλευτον παραλαμβάνοντες ἔχωμεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ μετὰ αἰδοῦς καὶ εὐλαβείας· 29καὶ γὰρ *ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον.*

că şi mai apoi, dorind să moştenească binecuvântarea, a fost lepădat; căci loc de pocăinţă nu a aflat, chiar dacă a căutat-o cu lacrimi.

Căci nu v-aţi apropiat de munte pipăit, nici de foc arzător, nici de negură, nici de beznă, nici de vijelie, 19nici de sunet de trâmbiţă, nici de glas de graiuri, ca acela după care cei ce îl auziseră s-au rugat să nu le mai adauge lor cuvânt; 20căci nu puteau suferi ce se poruncea: *Chiar şi fiară de s-ar atinge de munte, să fie omorâtă cu pietre;* 21şi atât de înfricoşătoare era arătarea, că Moise a zis: *Înspăimântat sunt* şi cutremurat! 22Ci v-aţi apropiat de muntele Sion şi de cetatea Dumnezeului Celui viu, Ierusalimul ceresc, şi de zeci de mii de îngeri, 23de sărbătoare şi de Biserica celor întâi născuţi, înscrişi în ceruri, şi de Judecătorul tuturor, Dumnezeu, şi de duhurile drepţilor celor ce s-au săvârşit, 24şi de Mijlocitorul Testamentului nou, de Iisus, şi de sângele stropirii, care grăieşte mai bine decât al lui Abel. 25Vedeţi să nu părăsiţi pe Cel ce grăieşte. Căci dacă aceia n-au scăpat, părăsind pe Cel ce le vorbea pe pământ, cu cât mai mult noi, cei ce ne îndepărtăm de Cel din ceruri, 26al Cărui glas a clătinat pământul atunci, iar acum a făgăduit zicând: *Încă o dată clatin nu numai pământul, ci şi cerul.* 27Iar *încă o dată* arată schimbarea celor clătinate, ca a unor lucruri făcute, ca să rămână cele ce nu se clatină. 28De aceea, primind împărăţie neclătinată, să avem mulţumire, prin care ne închinăm în chip bineplăcut lui Dumnezeu cu sfială şi evlavie. 29Căci *Dumnezeul nostru este foc mistuitor.*

Κεφάλαιον ΙΓ΄

Ἡ φιλαδελφία μενέτω, 2τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους. 3μιμνήσκεσθε τῶν δεσμίων ὡς συνδεδεμένοι, τῶν κακουχουμένων ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι. 4Τίμιος ὁ γάμος ἐν πᾶσι καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. 5Ἀφιλάργυρος ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν· αὐτὸς γὰρ εἴρηκεν· *οὐ μή σε ἀνῶ οὐδ' οὐ μή σε ἐγκαταλίπω·* 6ὥστε θαρροῦντας ἡμᾶς λέγειν· *Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι· τί ποιήσει μοι ἄνθρωπος;* 7Μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ, ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς μιμεῖσθε τὴν πίστιν. 8Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. 9διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ παραφέρεσθε· καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. 10ἔχομεν θυσιαστήριον ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες· 11ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ Ἅγια διὰ τοῦ ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς· 12διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθε. 13τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες· 14οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. 15δι' αὐτοῦ οὖν ἀναφέρωμεν θυσίαν αἰνέσεως διὰ

Capitolul 13

Iubirea de fraţi să rămână; 2de iubirea de străini nu uitaţi; căci prin aceasta unii, neştiind, au găzduit îngeri. 3Aduceţi-vă aminte de cei înlănţuiţi, ca unii legaţi împreună cu ei; de cei care suferă răul, ca unii care înşivă sunteţi în trup. 4Cinstită să fie nunta întru toate şi patul neîntinat; iar pe desfrânaţi şi pe adulteri îi va judeca Dumnezeu. 5Neiubitor de argint să vă fie felul, mulţumindu-vă cu cele ce aveţi, căci El Însuşi a spus: *Nu te voi lăsa, nici nu te voi părăsi;* 6ca noi, îndrăznind, să zicem: *Domnul este ajutorul meu; şi nu mă voi teme! Ce-mi va face mie omul?* 7Aduceţi-vă aminte de mai-marii voştri, care v-au grăit vouă cuvântul lui Dumnezeu, a căror săvârşire a vieţii văzând, urmaţi-le credinţa. 8Iisus Hristos, ieri şi azi este Acelaşi, şi în veci. 9Nu vă lăsaţi amăgiţi de învăţăturile felurite şi străine; căci bine este ca prin har să se întărească inima, nu cu mâncăruri, de la care n-au avut nici un folos cei ce au umblat cu ele. 10Avem jertfelnic, din care nu au putere să mănânce cei ce slujesc cortului. 11Căci trupurile dobitoacelor – al căror sânge se aduce pentru păcate în Sfânta Sfintelor prin arhiereu – se ard în afara taberei. 12Pentru aceea şi Iisus, ca să sfinţească prin sângele Său poporul, a pătimit în afara porţii. 13Să ieşim, dar, la El, în afara taberei, ocara Lui purtând; 14căci nu avem aici cetate care rămâne, ci pe cea viitoare o căutăm. 15Prin El, aşadar, să aducem jertfă de laudă de-a pu-

παντὸς τῷ Θεῷ, τοῦτ᾽ ἔστι καρπὸν χειλέων
ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. 16τῆς δὲ
εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε·
τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.
17Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε·
αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν
ὑμῶν ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς
τοῦτο ποιῶσι καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς
γὰρ ὑμῖν τοῦτο. 18Προσεύχεσθε περὶ ἡμῶν·
πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν,
ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι. 19περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα
τάχιον ἀποκατασταθῶ ὑμῖν.

Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ
νεκρῶν τὸν ποιμένα τῶν προβάτων
τὸν μέγαν ἐν αἵματι διαθήκης αἰωνίου, τὸν
Κύριον ἡμῶν Ἰησοῦν, 21καταρτίσαι ὑμᾶς ἐν
παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα
αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον
αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς
αἰῶνας τῶν αἰώνων· ἀμήν. 22Παρακαλῶ δὲ
ὑμᾶς, ἀδελφοί, ἀνέχεσθε τοῦ λόγου τῆς παρακλήσεως· καὶ γὰρ διὰ βραχέων ἐπέστειλα
ὑμῖν. 23Γινώσκετε τὸν ἀδελφὸν Τιμόθεον
ἀπολελυμένον, μεθ᾽ οὗ, ἐὰν τάχιον ἔρχηται,
ὄψομαι ὑμᾶς. 24Ἀσπάσασθε πάντας τοὺς
ἡγουμένους ὑμῶν καὶ πάντας τοὺς ἁγίους.
Ἀσπάζονται ὑμᾶς οἱ ἀπὸ τῆς Ἰταλίας. 25Ἡ
χάρις μετὰ πάντων ὑμῶν· ἀμήν.

rurea lui Dumnezeu, adică roada buzelor
care mărturisesc numele Lui. 16Iar facerea de bine şi întrajutorarea să nu le uitaţi;
căci astfel de jertfe sunt bineplăcute lui
Dumnezeu. 17Ascultaţi de mai-marii voştri şi vă supuneţi lor; căci ei priveghează
pentru sufletele voastre, ca unii care vor da
seamă, ca să facă aceasta cu bucurie, şi nu
suspinând; căci fără de folos vă este aceasta. 18Rugaţi-vă pentru noi; căci suntem încredinţaţi că avem cuget bun, în toate voind să vieţuim cum se cuvine. 19Şi mai mult
vă rog să faceţi aceasta, ca mai curând să
vă fiu dat înapoi.

Şi Dumnezeul păcii, Cel ce a ridicat din
morţi pe Păstorul cel mare al oilor, în
sângele testamentului veşnic, pe Domnul
nostru Iisus, 21să vă întărească în tot lucrul
bun, ca să faceţi voia Lui, făcând în voi
ceea ce este bineplăcut înaintea Lui, prin
Iisus Hristos, Căruia fie slava în vecii vecilor. Amin! 22Şi vă rog, fraţilor, să îngăduiţi
cuvântul de îndemn; căci vi l-am scris şi
pe scurt. 23Să ştiţi că fratele Timotei este
slobod. Împreună cu el, dacă vine mai devreme, vă voi vedea. 24Îmbrăţişaţi pe toţi
mai-marii voştri şi pe toţi sfinţii. Vă îmbrăţişează cei din Italia. 25Harul să fie cu voi
cu toţi! Amin.

EPISTOLA LUI IACOV

Κεφάλαιον Α΄

Ἰάκωβος, Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ δοῦλος, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ χαίρειν. 2Πᾶσαν χαρὰν ἡγήσασθε, ἀδελφοί μου, ὅταν πειρασμοῖς περιπέσητε ποικίλοις, 3γινώσκοντες ὅτι τὸ δοκίμιον ὑμῶν τῆς πίστεως κατεργάζεται ὑπομονήν· 4ἡ δὲ ὑπομονὴ ἔργον τέλειον ἐχέτω, ἵνα ἦτε τέλειοι καὶ ὁλόκληροι, ἐν μηδενὶ λειπόμενοι. 5Εἰ δέ τις ὑμῶν λείπεται σοφίας, αἰτείτω παρὰ τοῦ διδόντος Θεοῦ πᾶσιν ἁπλῶς καὶ οὐκ ὀνειδίζοντος, καὶ δοθήσεται αὐτῷ· 6αἰτείτω δὲ ἐν πίστει, μηδὲν διακρινόμενος· ὁ γὰρ διακρινόμενος ἔοικε κλύδωνι θαλάσσης ἀνεμιζομένῳ καὶ ῥιπιζομένῳ. 7μὴ γὰρ οἰέσθω ὁ ἄνθρωπος ἐκεῖνος ὅτι λήψεταί τι παρὰ τοῦ Κυρίου. 8ἀνὴρ δίψυχος ἀκατάστατος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.

Καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ, 10ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ, ὅτι ὡς ἄνθος χόρτου παρελεύσεται. 11ἀνέτειλε γὰρ ὁ ἥλιος σὺν τῷ καύσωνι

Capitolul 1

Iacov, rob al lui Dumnezeu şi al Domnului Iisus Hristos, celor douăsprezece seminţii celor din diaspora: Bucuraţi-vă! 2Deplină bucurie să socotiţi, fraţii mei, când întâmpinaţi felurite ispite, 3ştiind că încercarea credinţei voastre lucrează răbdare; 4iar răbdarea să aibă lucru desăvârşit, ca să fiţi desăvârşiţi şi întregi, întru nimic lipsiţi. 5Şi de este cineva dintre voi lipsit de înţelepciune, să ceară de la Dumnezeu, Cel ce dă tuturor cu dărnicie, şi nu ocărând, şi se va da lui. 6Şi să ceară cu credinţă, de nimic îndoindu-se; căci cel ce se îndoieşte se aseamănă valului mării, bătut de vânt şi aruncat încoace şi încolo. 7Deci, să nu gândească omul acela că va lua ceva de la Domnul. 8Bărbatul îndoit la suflet este fără rânduială în toate căile sale.

Iar fratele cel smerit să se laude întru înălţimea lui; 10şi cel bogat întru smerenia lui; că va trece ca floarea ierbii. 11Căci a răsărit soarele cu arşiţa şi a uscat iarba, şi floarea

καὶ ἐξῆρανε τὸν χόρτον, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε, καὶ ἡ εὐπρέπεια τοῦ προσώπου αὐτοῦ ἀπώλετο. οὕτω καὶ ὁ πλούσιος ἐν ταῖς πορείαις αὐτοῦ μαρανθήσεται.

Μακάριος ἀνὴρ ὃς ὑπομένει πειρασμόν· ὅτι δόκιμος γενόμενος λήψεται τὸν στέφανον τῆς ζωῆς, ὃν ἐπηγγείλατο ὁ Κύριος τοῖς ἀγαπῶσιν αὐτόν. [13]Μηδεὶς πειραζόμενος λεγέτω ὅτι ἀπὸ Θεοῦ πειράζομαι· ὁ γὰρ Θεὸς ἀπείραστός ἐστι κακῶν, πειράζει δὲ αὐτὸς οὐδένα. [14]ἕκαστος δὲ πειράζεται ὑπὸ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος· [15]εἶτα ἡ ἐπιθυμία συλλαβοῦσα τίκτει ἁμαρτίαν, ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκύει θάνατον.

Μὴ πλανᾶσθε, ἀδελφοί μου ἀγαπητοί· [17]πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα. [18]βουληθεὶς ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας εἰς τὸ εἶναι ἡμᾶς ἀπαρχήν τινα τῶν αὐτοῦ κτισμάτων.

Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἔστω πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν· [20]ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐ κατεργάζεται. [21]διὸ ἀποθέμενοι πᾶσαν ῥυπαρίαν καὶ περισσείαν κακίας ἐν πραΰτητι δέξασθε τὸν ἔμφυτον λόγον τὸν δυνάμενον σῶσαι τὰς ψυχὰς ὑμῶν. [22]Γίνεσθε δὲ ποιηταὶ λόγου καὶ μὴ μόνον ἀκροαταί, παραλογιζόμενοι ἑαυτούς. [23]ὅτι εἴ τις ἀκροατὴς λόγου ἐστὶ καὶ οὐ ποιητής, οὗτος ἔοικεν ἀνδρὶ κατανοοῦντι τὸ πρόσωπον τῆς γενέσεως αὐτοῦ ἐν ἐσόπτρῳ· [24]κατενόησε γὰρ ἑαυτὸν καὶ ἀπελήλυθε, καὶ εὐθέως ἐπελάθετο ὁποῖος ἦν. [25]ὁ δὲ παρακύψας εἰς νόμον τέλειον τὸν τῆς ἐλευθερίας καὶ παραμείνας, οὗτος οὐκ ἀκροατὴς ἐπιλησμονῆς γενόμενος, ἀλλὰ ποιητὴς ἔργου, οὗτος μακάριος ἐν τῇ ποιήσει αὐτοῦ ἔσται.

ei a căzut şi frumuseţea feţei ei a pierit; aşa şi bogatul în căile sale se va veşteji.

Fericit bărbatul care rabdă ispita, că, încercat făcându-se, va lua cununa vieţii, pe care a făgăduit-o Domnul celor ce-L iubesc pe El. [13]Nimeni, fiind ispitit, să nu spună: De la Dumnezeu sunt ispitit; căci Dumnezeu este neispitit de rele şi nu ispiteşte El Însuşi pe nimeni. [14]Ci fiecare este ispitit fiind tras şi momit de pofta sa. [15]Apoi pofta, zămislind, naşte păcat, iar păcatul, săvârşindu-se, naşte moarte.

Nu rătăciţi, fraţii mei preaiubiţi; [17]toată darea cea bună şi tot darul desăvârşit de sus este, pogorând de la Părintele luminilor, la Care nu este mutare sau umbră de schimbare. [18]Voind El, ne-a născut pe noi prin cuvântul adevărului, ca să fim pârgă a făpturilor Lui.

Aşa că, fraţii mei iubiţi, să fie tot omul grabnic a auzi, zăbavnic a vorbi, zăbavnic la mânie; [20]căci mânia bărbatului nu lucrează dreptatea lui Dumnezeu. [21]De aceea, lepădând toată murdăria şi prisosinţa răutăţii, cu blândeţe să primiţi cuvântul sădit, care poate să mântuiască sufletele voastre. [22]Faceţi-vă împlinitori ai cuvântului, nu numai ascultători, înşelându-vă pe voi înşivă. [23]Căci dacă cineva este ascultător al cuvântului, dar nu şi împlinitor, acesta se aseamănă bărbatului care priveşte în oglindă faţa sa din naştere; [24]a privit la sine şi a plecat şi îndată a uitat cum era. [25]Dar cine s-a aplecat asupra legii desăvârşite, cea a libertăţii, şi a stăruit, acesta, nefiind un ascultător care uită, ci împlinitor al lucrului, va fi fericit în lucrarea lui. [26]Dacă

[26]Εἴ τις δοκεῖ θρῆσκος εἶναι ἐν ὑμῖν μὴ χαλιναγωγῶν γλῶσσαν αὐτοῦ, ἀλλ' ἀπατῶν καρδίαν αὐτοῦ, τούτου μάταιος ἡ θρησκεία. [27]θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ τῷ Θεῷ καὶ πατρὶ αὕτη ἐστίν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν, ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου.

i se pare cuiva că este cucernic între voi, nepunând frâu limbii lui, ci amăgindu-şi inima, zadarnică este cucernicia acestuia. [27]Cucernicia curată şi neîntinată la Dumnezeu şi Tatăl aceasta este: a cerceta pe orfani şi pe văduve în strâmtorarea lor, a se păzi pe sine de lume nepătat.

Κεφάλαιον Β΄

Ἀδελφοί μου, μὴ ἐν προσωποληψίαις ἔχετε τὴν πίστιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῆς δόξης. [2]ἐὰν γὰρ εἰσέλθῃ εἰς τὴν συναγωγὴν ὑμῶν ἀνὴρ χρυσοδακτύλιος ἐν ἐσθῆτι λαμπρᾷ, εἰσέλθῃ δὲ καὶ πτωχὸς ἐν ῥυπαρᾷ ἐσθῆτι, [3]καὶ ἐπιβλέψητε ἐπὶ τὸν φοροῦντα τὴν ἐσθῆτα τὴν λαμπρὰν καὶ εἴπητε αὐτῷ, σὺ κάθου ὧδε καλῶς, καὶ τῷ πτωχῷ εἴπητε, σὺ στῆθι ἐκεῖ ἢ κάθου ὧδε ὑπὸ τὸ ὑποπόδιόν μου, [4]καὶ οὐ διεκρίθητε ἐν ἑαυτοῖς καὶ ἐγένεσθε κριταὶ διαλογισμῶν πονηρῶν; [5]Ἀκούσατε, ἀδελφοί μου ἀγαπητοί. οὐχ ὁ Θεὸς ἐξελέξατο τοὺς πτωχοὺς τοῦ κόσμου πλουσίους ἐν πίστει καὶ κληρονόμους τῆς βασιλείας ἧς ἐπηγγείλατο τοῖς ἀγαπῶσιν αὐτόν; [6]ὑμεῖς δὲ ἠτιμάσατε τὸν πτωχόν. οὐχ οἱ πλούσιοι καταδυναστεύουσιν ὑμῶν, καὶ αὐτοὶ ἕλκουσιν ὑμᾶς εἰς κριτήρια; [7]οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς; [8]εἰ μέντοι νόμον τελεῖτε βασιλικὸν κατὰ τὴν γραφήν, *ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν*, καλῶς ποιεῖτε· [9]εἰ δὲ προσωποληπτεῖτε, ἁμαρτίαν ἐργάζεσθε, ἐλεγχόμενοι ὑπὸ τοῦ νόμου ὡς παραβάται. [10]ὅστις γὰρ ὅλον τὸν νόμον τηρήσῃ, πταίσῃ δὲ ἐν ἑνί, γέγονε πάντων ἔνοχος. [11]ὁ γὰρ εἰπὼν

Capitolul 2

Fraţii mei, nu întru părtiniri să aveţi credinţa în Domnul nostru Iisus Hristos, Domnul slavei. [2]Căci, dacă intră în adunarea voastră un om cu inel de aur, în haină strălucitoare, şi intră şi un sărac în haină murdară, [3]şi voi căutaţi spre cel care poartă haina strălucitoare şi îi spuneţi: Tu aşază-te aici bine, iar celui sărac îi spuneţi: Tu stai în picioare acolo, sau: Aşază-te aici, la picioarele mele, [4]n-aţi făcut oare deosebire în voi înşivă şi nu v-aţi făcut judecători cu gânduri viclene? [5]Ascultaţi, iubiţii mei fraţi: Nu i-a ales oare Dumnezeu pe cei săraci ai lumii să fie bogaţi în credinţă şi moştenitori ai Împărăţiei pe care a făgăduit-o celor ce Îl iubesc pe El? [6]Iar voi aţi necinstit pe cel sărac! Oare nu bogaţii vă asupresc şi nu ei vă târăsc în judecăţi? [7]Nu ei hulesc numele cel bun chemat asupra voastră? [8]Dacă, într-adevăr, săvârşiţi legea împărătească, după Scriptură: *Să iubeşti pe aproapele tău ca pe tine însuţi*, bine faceţi; [9]dar de căutaţi la faţa omului, păcat lucraţi, mustraţi fiind de Lege ca nişte călcători de lege. [10]Căci cel ce păzeşte întreaga lege, dar se poticneşte într-un singur lucru, s-a făcut vinovat de

μὴ μοιχεύσῃς, εἶπε καὶ *μὴ φονεύσῃς·* εἰ δὲ οὐ μοιχεύσεις, φονεύσεις δέ, γέγονας παραβάτης νόμου. 12οὕτω λαλεῖτε καὶ οὕτω ποιεῖτε, ὡς διὰ νόμου ἐλευθερίας μέλλοντες κρίνεσθαι· 13ἡ γὰρ κρίσις ἀνέλεος τῷ μὴ ποιήσαντι ἔλεος· κατακαυχᾶται ἔλεος κρίσεως.

toate. 11Căci Cel ce a zis: *Să nu faci adulter,* a zis şi: *Să nu ucizi.* Şi dacă nu săvârşeşti adulter, dar ucizi, te-ai făcut călcător de lege. 12Aşa să grăiţi şi aşa să faceţi, ca unii care veţi fi judecaţi prin legea libertăţii. 13Căci judecata este fără milă pentru cel care n-a făcut milă; mila biruieşte în faţa judecăţii.

Τί τὸ ὄφελος, ἀδελφοί μου, ἐὰν πίστιν λέγῃ τις ἔχειν, ἔργα δὲ μὴ ἔχῃ; μὴ δύναται ἡ πίστις σῶσαι αὐτόν; 15ἐὰν δὲ ἀδελφὸς ἢ ἀδελφὴ γυμνοὶ ὑπάρχωσι καὶ λειπόμενοι ὦσι τῆς ἐφημέρου τροφῆς, 16εἴπῃ δέ τις αὐτοῖς ἐξ ὑμῶν, ὑπάγετε ἐν εἰρήνῃ, θερμαίνεσθε καὶ χορτάζεσθε, μὴ δῶτε δὲ αὐτοῖς τὰ ἐπιτήδεια τοῦ σώματος, τί τὸ ὄφελος; 17οὕτω καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστι καθ' ἑαυτήν. 18ἀλλ' ἐρεῖ τις· σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω· δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγὼ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. 19σὺ πιστεύεις ὅτι ὁ Θεὸς εἷς ἐστι· καλῶς ποιεῖς· καὶ τὰ δαιμόνια πιστεύουσι καὶ φρίσσουσι. 20θέλεις δὲ γνῶναι, ὦ ἄνθρωπε κενέ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν; 21Ἀβραὰμ ὁ πατὴρ ἡμῶν οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀνενέγκας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον; 22βλέπεις ὅτι ἡ πίστις συνήργει τοῖς ἔργοις αὐτοῦ, καὶ ἐκ τῶν ἔργων ἡ πίστις ἐτελειώθη, 23καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα· *ἐπίστευσε δὲ Ἀβραὰμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, καὶ φίλος Θεοῦ ἐκλήθη.* 24ὁρᾶτε τοίνυν ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος καὶ οὐκ ἐκ πίστεως μόνον. 25ὁμοίως δὲ καὶ Ῥαὰβ ἡ πόρνη οὐκ ἐξ ἔργων ἐδικαιώθη, ὑποδεξαμένη τοὺς ἀγγέλους καὶ ἑτέρᾳ ὁδῷ ἐκβαλοῦσα; 26ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν, οὕτω καὶ ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι.

Ce folos, fraţii mei, dacă zice cineva că are credinţă, dar nu are fapte? Oare poate credinţa să-l mântuiască? 15Dacă un frate sau o soră sunt goi şi lipsiţi de hrana cea de toate zilele 16şi le-ar zice cineva dintre voi: Mergeţi în pace! Încălziţi-vă şi vă săturaţi!, dar nu le daţi cele trebuincioase trupului, ce folos? 17Aşa şi credinţa: dacă nu are fapte, este moartă în ea însăşi. 18Dar va zice cineva: Tu ai credinţă, iar eu am fapte; arată-mi credinţa ta din faptele tale şi eu îţi voi arăta din faptele mele credinţa mea. 19Tu crezi că Dumnezeu este unul. Bine faci. Şi dracii cred şi se cutremură. 20Vrei să cunoşti, omule deşert, că fără fapte credinţa este moartă? 21Avraam, părintele nostru, oare nu din fapte s-a îndreptat, aducându-l pe Isaac, fiul său, pe jertfelnic? 22Vezi că credinţa lucra împreună cu faptele lui şi că din fapte s-a desăvârşit credinţa? 23Şi s-a împlinit Scriptura care zice: *Şi a crezut Avraam lui Dumnezeu şi i s-a socotit lui ca dreptate şi prieten al lui Dumnezeu s-a chemat.* 24Vedeţi, aşadar, că din fapte se îndreptează omul, şi nu numai din credinţă. 25Asemenea şi Rahav, desfrânata, oare nu din fapte s-a îndreptat, primindu-i pe cei trimişi şi pe altă cale scoţându-i afară? 26Căci precum trupul fără duh este mort, aşa şi credinţa fără de fapte este moartă.

Κεφάλαιον Γ΄

Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, ἀδελφοί μου, εἰδότες ὅτι μεῖζον κρῖμα ληψόμεθα· 2πολλὰ γὰρ πταίομεν ἅπαντες. εἴ τις ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνήρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα. 3ἴδε, τῶν ἵππων τοὺς χαλινοὺς εἰς τὰ στόματα βάλλομεν πρὸς τὸ πείθεσθαι αὐτοὺς ἡμῖν, καὶ ὅλον τὸ σῶμα αὐτῶν μετάγομεν. 4ἰδοὺ καὶ τὰ πλοῖα, τηλικαῦτα ὄντα καὶ ὑπὸ σκληρῶν ἀνέμων ἐλαυνόμενα, μετάγεται ὑπὸ ἐλαχίστου πηδαλίου ὅπου ἂν ἡ ὁρμὴ τοῦ εὐθύνοντος βούληται. 5οὕτω καὶ ἡ γλῶσσα μικρὸν μέλος ἐστὶ καὶ μεγαλαυχεῖ. ἰδοὺ ὀλίγον πῦρ ἡλίκην ὕλην ἀνάπτει. 6καὶ ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας. οὕτως ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν ἡ σπιλοῦσα ὅλον τὸ σῶμα καὶ φλογίζουσα τὸν τροχὸν τῆς γενέσεως καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης. 7πᾶσα γὰρ φύσις θηρίων τε καὶ πετεινῶν ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ, 8τὴν δὲ γλῶσσαν οὐδεὶς δύναται ἀνθρώπων δαμάσαι· ἀκατάσχετον κακόν, μεστὴ ἰοῦ θανατηφόρου. 9ἐν αὐτῇ εὐλογοῦμεν τὸν Θεὸν καὶ πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους τοὺς καθ' ὁμοίωσιν Θεοῦ γεγονότας· 10ἐκ τοῦ αὐτοῦ στόματος ἐξέρχεται εὐλογία καὶ κατάρα. οὐ χρή, ἀδελφοί μου, ταῦτα οὕτω γίνεσθαι. 11μήτι ἡ πηγὴ ἐκ τῆς αὐτῆς ὀπῆς βρύει τὸ γλυκὺ καὶ τὸ πικρόν; 12μὴ δύναται, ἀδελφοί μου, συκῆ ἐλαίας ποιῆσαι ἢ ἄμπελος σῦκα; οὕτως οὐδεμία πηγὴ ἁλυκὸν καὶ γλυκὺ ποιῆσαι ὕδωρ.

Capitolul 3

Nu mulți să vă faceți învățători, frații mei, ştiind că mai mare osândă vom lua; 2căci toți greşim multe; dacă cineva nu greşeşte în cuvânt, acela este bărbat desăvârşit, puternic să țină în frâu tot trupul. 3Vezi că noi punem zăbale în gurile cailor ca să ni-i supunem, şi întreg trupul lor îl ducem cu noi. 4Iată şi corăbiile, atât de mari fiind şi împinse de vânturi aprige, sunt duse de o cârmă foarte mică unde voieşte pornirea cârmaciului. 5Aşa şi limba: mic mădular este, dar mult se făleşte. Iată, puțin foc şi câtă pădure aprinde! 6Şi limba este foc, lume a nedreptății! Astfel, limba este aşezată între mădularele noastre, fiind cea care murdăreşte tot trupul şi aprinde roata naşterii şi este aprinsă de gheena. 7Căci toată firea fiarelor şi a zburătoarelor, a târâtoarelor şi a vietăților din mare, este îmblânzită şi a fost îmblânzită de firea omenească, 8dar limba nimeni dintre oameni nu o poate îmblânzi; rău nestăvilit, plină de venin aducător de moarte. 9Cu ea binecuvântăm pe Dumnezeu şi Tatăl, şi cu ea blestemăm pe oameni, care sunt făcuți după asemănarea lui Dumnezeu. 10Din aceeaşi gură ies binecuvântarea şi blestemul. Nu trebuie, frații mei, să fie acestea aşa. 11Oare izvorul izvorăşte din aceeaşi gură şi dulce, şi amar? 12Poate oare, frații mei, smochinul să facă măsline sau vița de vie smochine? Tot aşa, nici un izvor nu poate să facă apă sărată și dulce.

Τίς σοφὸς καὶ ἐπιστήμων ἐν ὑμῖν; δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τὰ ἔργα αὐτοῦ ἐν πραΰτητι σοφίας. 14εἰ δὲ ζῆλον πικρὸν ἔχετε καὶ ἐριθείαν ἐν τῇ καρδίᾳ ὑμῶν, μὴ κατακαυχᾶσθε καὶ ψεύδεσθε κατὰ τῆς ἀληθείας. 15οὐκ ἔστιν αὕτη ἡ σοφία ἄνωθεν κατερχομένη, ἀλλ' ἐπίγειος, ψυχική, δαιμονιώδης. 16ὅπου γὰρ ζῆλος καὶ ἐριθεία, ἐκεῖ ἀκαταστασία καὶ πᾶν φαῦλον πρᾶγμα. 17ἡ δὲ ἄνωθεν σοφία πρῶτον μὲν ἁγνή ἐστιν, ἔπειτα εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστὴ ἐλέους καὶ καρπῶν ἀγαθῶν, ἀδιάκριτος καὶ ἀνυπόκριτος. 18καρπὸς δὲ τῆς δικαιοσύνης ἐν εἰρήνῃ σπείρεται τοῖς ποιοῦσιν εἰρήνην.

Cine este înțelept şi ştiutor între voi? Să arate din purtarea bună faptele lui, în blândețea înțelepciunii. 14Iar dacă aveți pizmă amară şi zavistie în inimile voastre, nu vă lăudați şi nu mințiți împotriva adevărului. 15Nu este aceasta înțelepciunea venită de sus, ci pământească, sufletească, drăcească. 16Căci unde este pizmă şi zavistie, acolo este neorânduială şi tot lucrul rău. 17Iar înțelepciunea cea de sus mai întâi este curată, apoi lucrătoare de pace, îngăduitoare, ascultătoare, plină de milă şi de roade bune, nepărtinitoare şi nefățarnică. 18Şi roada dreptății se seamănă în pace celor care fac pace.

Κεφάλαιον Δ΄

Πόθεν πόλεμοι καὶ μάχαι ἐν ὑμῖν; οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν; 2ἐπιθυμεῖτε, καὶ οὐκ ἔχετε· φονεύετε καὶ ζηλοῦτε, καὶ οὐ δύνασθε ἐπιτυχεῖν· μάχεσθε καὶ πολεμεῖτε, καὶ οὐκ ἔχετε, διὰ τὸ μὴ αἰτεῖσθαι ὑμᾶς· 3αἰτεῖτε καὶ οὐ λαμβάνετε, διότι κακῶς αἰτεῖσθε, ἵνα ἐν ταῖς ἡδοναῖς ὑμῶν δαπανήσητε. 4μοιχοὶ καὶ μοιχαλίδες, οὐκ οἴδατε ὅτι ἡ φιλία τοῦ κόσμου ἔχθρα τοῦ Θεοῦ ἐστιν; ὃς ἂν οὖν βουληθῇ φίλος εἶναι τοῦ κόσμου, ἐχθρὸς τοῦ Θεοῦ καθίσταται. 5ἢ δοκεῖτε ὅτι κενῶς ἡ γραφὴ λέγει, πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα ὃ κατῴκισεν ἐν ἡμῖν; 6μείζονα δὲ δίδωσι χάριν· διὸ λέγει· *ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.* 7ʳΥποτάγητε οὖν τῷ Θεῷ. ἀντίστητε τῷ διαβόλῳ, καὶ φεύξεται ἀφ' ὑμῶν· 8ἐγγίσατε τῷ Θεῷ, καὶ ἐγγιεῖ ὑμῖν. καθαρίσατε χεῖρας ἁμαρτωλοὶ καὶ

Capitolul 4

De unde sunt războaiele şi luptele între voi? Oare nu de aici, din plăcerile voastre, care luptă întru mădularele voastre? 2Poftiți şi nu aveți; ucideți şi pizmuiți şi nu puteți dobândi; vă sfădiți şi vă războiți, şi nu aveți, pentru că nu cereți; 3cereți şi nu primiți, pentru că cereți rău, ca în plăcerile voastre să cheltuiți. 4Adulteri şi adultere! Nu ştiți că prietenia lumii este vrăjmăşie lui Dumnezeu? Deci, cine va voi să fie prieten al lumii se face vrăjmaş lui Dumnezeu. 5Sau socotiți că în deşert grăieşte Scriptura: duhul care sălăşlueşte în noi pofteşte cu gelozie? 6Ci mai mare har dă; de aceea, zice: *Dumnezeu celor mândri le stă împotrivă, iar celor smeriți le dă har.* 7De aceea, supuneți-vă lui Dumnezeu, staţi împotriva diavolului şi va fugi de la voi; 8Apropiați-vă de Dumnezeu şi Se va apro-

ἁγνίσατε καρδίας δίψυχοι. 9ταλαιπωρήσατε καὶ πενθήσατε καὶ κλαύσατε· ὁ γέλως ὑμῶν εἰς πένθος μεταστραφήτω καὶ ἡ χαρὰ εἰς κατήφειαν. 10ταπεινώθητε ἐνώπιον τοῦ Κυρίου, καὶ ὑψώσει ὑμᾶς.

Μὴ καταλαλεῖτε ἀλλήλων, ἀδελφοί. ὁ καταλαλῶν ἀδελφοῦ καὶ κρίνων τὸν ἀδελφὸν αὐτοῦ καταλαλεῖ νόμου καὶ κρίνει νόμον· εἰ δὲ νόμον κρίνεις, οὐκ εἶ ποιητὴς νόμου, ἀλλὰ κριτής. 12εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτής, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι· σὺ δὲ τίς εἶ ὃς κρίνεις τὸν ἕτερον;

Ἄγε νῦν οἱ λέγοντες· σήμερον καὶ αὔριον πορευσόμεθα εἰς τήνδε τὴν πόλιν καὶ ποιήσομεν ἐκεῖ ἐνιαυτὸν ἕνα καὶ ἐμπορευσόμεθα καὶ κερδήσομεν· 14οἵτινες οὐκ ἐπίστασθε τὸ τῆς αὔριον· ποία γὰρ ἡ ζωὴ ὑμῶν; ἀτμὶς γὰρ ἔσται ἡ πρὸς ὀλίγον φαινομένη, ἔπειτα δὲ καὶ ἀφανιζομένη· 15ἀντὶ τοῦ λέγειν ὑμᾶς, ἐὰν ὁ Κύριος θελήσῃ, καὶ ζήσομεν καὶ ποιήσομεν τοῦτο ἢ ἐκεῖνο. 16νῦν δὲ καυχᾶσθε ἐν ταῖς ἀλαζονείαις ὑμῶν· πᾶσα καύχησις τοιαύτη πονηρά ἐστιν. 17εἰδότι οὖν καλὸν ποιεῖν καὶ μὴ ποιοῦντι, ἁμαρτία αὐτῷ ἐστιν.

pia de voi; spălați-vă mâinile, păcătoşilor, şi curățiți-vă inimile, voi cei îndoiți la suflet. 9Întristați-vă, tânguiți-vă şi plângeți. Râsul vostru să se schimbe în tânguire şi bucuria în posomorâre. 10Smeriți-vă înaintea Domnului şi vă va înălța.

Nu vă clevetiți unul pe altul, fraților. Cel ce cleveteşte pe fratele şi judecă pe fratele său, cleveteşte legea şi judecă legea; iar, dacă judeci legea, nu eşti împlinitor al legii, ci judecător. 12Unul este Legiuitorul şi Judecătorul: Cel ce poate să mântuiască şi să piardă; Iar tu cine eşti, care judeci pe celălalt?

Veniți acum cei ce ziceți: Astăzi sau mâine vom merge în cutare cetate şi vom sta acolo un an şi vom face negoț şi vom câştiga; 14voi, care nu ştiți cele de mâine; căci ce este viața voastră? Abur, care pentru puțin se arată, apoi se face nevăzut. 15În loc să ziceți: Dacă Domnul va voi, vom trăi şi vom face aceasta sau aceea. 16Acum însă vă lăudați întru mândriile voastre; toată lauda de acest fel este vicleană. 17Aşadar, celui ce ştie să facă bine şi nu face, păcat îi este.

Κεφάλαιον Ε΄

Ἄγε νῦν οἱ πλούσιοι, κλαύσατε ὀλολύζοντες ἐπὶ ταῖς ταλαιπωρίαις ὑμῶν ταῖς ἐπερχομέναις· 2ὁ πλοῦτος ὑμῶν σέσηπε καὶ τὰ ἱμάτια ὑμῶν σητόβρωτα γέγονεν, 3ὁ χρυσὸς ὑμῶν καὶ ὁ ἄργυρος κατίωται, καὶ ὁ ἰὸς αὐτῶν εἰς μαρτύριον ὑμῖν ἔσται καὶ φάγεται τὰς σάρκας ὑμῶν ὡς πῦρ. ἐθησαυρίσατε ἐν ἐσχάταις ἡμέραις. 4ἰδοὺ ὁ μισθὸς τῶν ἐρ-

Capitolul 5

Veniți acum, bogaților, plângeți şi vă jeluiți pentru necazurile voastre ce vor să vină. 2Bogăția voastră a putrezit şi hainele voastre au ajuns mâncate de molii, 3aurul vostru şi argintul au ruginit şi rugina lor spre mărturie vouă va fi şi va mânca trupurile voastre ca focul. Ați strâns comori în zilele din urmă. 4Iată, plata lucrătorilor ca-

γατῶν τῶν ἀμησάντων τὰς χώρας ὑμῶν ὁ ἀπεστερημένος ἀφ' ὑμῶν κράζει, καὶ αἱ βοαὶ τῶν θερισάντων εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ εἰσεληλύθασιν. 5ἐτρυφήσατε ἐπὶ τῆς γῆς καὶ ἐσπαταλήσατε, ἐθρέψατε τὰς καρδίας ὑμῶν ὡς ἐν ἡμέρᾳ σφαγῆς. 6κατεδικάσατε, ἐφονεύσατε τὸν δίκαιον· οὐκ ἀντιτάσσεται ὑμῖν.

Μακροθυμήσατε οὖν, ἀδελφοί, ἕως τῆς παρουσίας τοῦ Κυρίου. ἰδοὺ ὁ γεωργὸς ἐκδέχεται τὸν τίμιον καρπὸν τῆς γῆς, μακροθυμῶν ἐπ' αὐτῷ ἕως λάβῃ ὑετὸν πρώϊμον καὶ ὄψιμον. 8μακροθυμήσατε καὶ ὑμεῖς, στηρίξατε τὰς καρδίας ὑμῶν, ὅτι ἡ παρουσία τοῦ Κυρίου ἤγγικε. 9μὴ στενάζετε κατ' ἀλλήλων, ἀδελφοί, ἵνα μὴ κριθῆτε· ἰδοὺ ὁ κριτὴς πρὸ τῶν θυρῶν ἕστηκεν. 10ὑπόδειγμα λάβετε, ἀδελφοί μου, τῆς κακοπαθείας καὶ τῆς μακροθυμίας τοὺς προφήτας, οἳ ἐλάλησαν τῷ ὀνόματι Κυρίου. 11ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας· τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου εἴδετε, ὅτι πολύσπλαγχνός ἐστιν ὁ Κύριος καὶ οἰκτίρμων.

Πρὸ πάντων δέ, ἀδελφοί μου, μὴ ὀμνύετε μήτε τὸν οὐρανὸν μήτε τὴν γῆν μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναὶ ναί, καὶ τὸ οὒ οὔ, ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε. 13Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω· εὐθυμεῖ τις; ψαλλέτω. 14ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου· 15καὶ ἡ εὐχὴ τῆς πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος· κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ. 16ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε· πολὺ ἰσχύει δέησις δικαίου ἐνεργουμένη. 17Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι, καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς

re au secerat ţarinile voastre, pe care voi aţi oprit-o, strigă asupra voastră, şi strigătele secerătorilor au intrat în urechile Domnului Savaot. 5V-aţi desfătat pe pământ şi v-aţi dezmierdat, aţi hrănit inimile voastre ca în ziua junghierii. 6Aţi osândit, aţi ucis pe cel drept; el nu vi se împotriveşte.

Fiţi, dar, îndelung-răbdători, fraţilor, până la venirea Domnului. Iată, plugarul aşteaptă roada de preţ a pământului, îndelung-răbdând pentru ea, până va primi ploaie timpurie şi târzie. 8Fiţi îndelung-răbdători şi voi, întăriţi inimile voastre, că venirea Domnului s-a apropiat. 9Nu vă plângeţi, fraţilor, unul împotriva altuia, ca să nu fiţi judecaţi; iată Judecătorul stă înaintea uşilor. 10Luaţi-i pildă, fraţii mei, de pătimire a răului şi de îndelungă-răbdare pe proorocii, care au grăit în numele Domnului. 11Iată, noi fericim pe cei ce au răbdat: aţi auzit de răbdarea lui Iov, şi aţi văzut sfârşitul lui de la Domnul; că mult-milostiv este Domnul şi îndurător.

Înainte de toate, dar, fraţii mei, să nu vă juraţi nici pe cer, nici pe pământ, nici cu alt jurământ; ci să vă fie vouă Da-ul da şi Nu-ul nu, ca să nu cădeţi în făţărnicie. 13Este vreunul dintre voi în suferinţă? Să se roage. Este cineva cu inimă bună? Să cânte psalmi. 14Este cineva bolnav între voi? Să cheme preoţii Bisericii şi să se roage asupra lui, ungându-l cu untdelemn, în numele Domnului. 15Şi rugăciunea credinţei va mântui pe cel bolnav şi îl va scula pe el Domnul; şi de va fi făcut păcate, se vor lăsa lui. 16Mărturisiţi-vă unul altuia căderile şi rugaţi-vă unii pentru alţii, ca să vă vindecaţi; că mult poate rugăciunea lucrătoare a dreptului. 17Ilie era om, asemeni pătimitor cu noi, dar cu rugăciune s-a rugat ca să

ἐνιαυτοὺς τρεῖς καὶ μῆνας ἕξ· 18καὶ πάλιν προσηύξατο, καὶ ὁ οὐρανὸς ὑετὸν ἔδωκε καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς. 19Ἀδελφοί, ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτόν, 20γινωσκέτω ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ σώσει ψυχὴν ἐκ θανάτου καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

nu plouă şi nu a plouat pe pământ trei ani şi şase luni; 18şi iarăşi s-a rugat, şi cerul a dat ploaie şi pământul a odrăslit roada sa. 19Fraţilor, dacă vreunul dintre voi va rătăci de la adevăr şi îl va întoarce cineva, 20să ştie că cel ce l-a întors pe păcătos de la rătăcirea căii lui va mântui un suflet din moarte şi va acoperi mulţime de păcate.

ÎNTÂIA EPISTOLĂ A LUI PETRU

Κεφάλαιον Α΄

Πέτρος, ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλεκτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου, Γαλατίας, Καππαδοκίας, Ἀσίας καὶ Βιθυνίας, 2κατὰ πρόγνωσιν Θεοῦ πατρός, ἐν ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαντισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη.

Εὐλογητὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι' ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν, 4εἰς κληρονομίαν ἄφθαρτον καὶ ἀμίαντον καὶ ἀμάραντον, τετηρημένην ἐν οὐρανοῖς εἰς ὑμᾶς 5τοὺς ἐν δυνάμει Θεοῦ φρουρουμένους διὰ πίστεως εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ· 6ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι, εἰ δέον ἐστί, λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς, 7ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολυτιμότερον χρυσίου τοῦ ἀπολλυμένου διὰ πυρὸς δὲ δοκιμαζομένου εὑρεθῇ εἰς ἔπαινον καὶ τιμὴν καὶ δόξαν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, 8ὃν

Capitolul 1

Petru, apostol al lui Iisus Hristos, aleşilor care locuiesc vremelnic în diaspora Pontului, Galatiei, Capadociei, Asiei şi Bitiniei, 2aleşi după mai-înainte-ştiinţa lui Dumnezeu-Tatăl, întru sfinţirea Duhului, spre ascultarea şi stropirea sângelui lui Iisus Hristos. Har vouă şi pacea să se înmulţească!

Binecuvântat fie Dumnezeu şi Tatăl Domnului nostru Iisus Hristos, Care, după mare mila Lui, ne-a născut din nou, spre nădejde vie, prin învierea lui Iisus Hristos din morţi, 4spre moştenire nestricăcioasă şi neîntinată şi neveştejită, păzită în ceruri pentru voi, 5cei ce sunteţi păziţi cu puterea lui Dumnezeu, prin credinţă, spre mântuire, care e gata să se descopere în vremea din urmă; 6întru care vă bucuraţi, chiar dacă acum pentru puţin vă întristaţi, de e nevoie, în felurite ispite, 7ca încercarea credinţei voastre, mult mai de preţ decât aurul cel pieritor şi încercat prin foc, să se afle spre laudă şi cinste şi slavă la descoperirea

οὐκ εἰδότες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, 9κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν. 10περὶ ἧς σωτηρίας ἐξεζήτησαν καὶ ἐξηρεύνησαν προφῆται οἱ περὶ τῆς εἰς ὑμᾶς χάριτος προφητεύσαντες, 11ἐρευνῶντες εἰς τίνα ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς Πνεῦμα Χριστοῦ προμαρτυρόμενον τὰ εἰς Χριστὸν παθήματα καὶ τὰς μετὰ ταῦτα δόξας· 12οἷς ἀπεκαλύφθη ὅτι οὐχ ἑαυτοῖς, ὑμῖν δὲ διηκόνουν αὐτά, ἃ νῦν ἀνηγγέλη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς ἐν Πνεύματι Ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι.

Διὸ ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, 14ὡς τέκνα ὑπακοῆς μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, 15ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς ἅγιον καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε, 16διότι γέγραπται· *ἅγιοι γίνεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι.* 17καὶ εἰ πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, 18εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαραδότου, 19ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ, 20προεγνωσμένου μὲν πρὸ καταβολῆς κόσμου, φανερωθέντος δὲ ἐπ' ἐσχάτων τῶν χρόνων δι' ὑμᾶς 21τοὺς δι' αὐτοῦ πιστεύοντας εἰς Θεὸν τὸν ἐγείραντα αὐτὸν ἐκ νεκρῶν καὶ δόξαν αὐτῷ δόντα, ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς Θεόν. 22Τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ Πνεύματος εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς καρδίας ἀλλήλους

lui Iisus Hristos. 8Pe Care, nevăzându-L, Îl iubiți; întru Care acum, fără a vedea, ci crezând, vă bucurați cu bucurie negrăită şi slăvită, 9dobândind sfârşitul credinței voastre, mântuirea sufletelor. 10Despre această mântuire au căutat şi au cercetat proorocii, care au proorocit despre harul cel dintru voi, 11cercetând în care şi în ce fel de vreme le arăta Duhul lui Hristos Cel din ei, mai înainte mărturisind patimile lui Hristos şi proslăvirile cele de după acestea; 12cărora li s-a descoperit că nu pentru ei înşişi, ci pentru voi slujeau acestea, care acum vi s-au vestit vouă prin cei ce v-au binevestit în Duhul Sfânt trimis din cer, cele spre care doresc îngerii să privească.

De aceea, încingând coapsele cugetului vostru, fiind cu trezvie, nădăjduiți desăvârşit în harul adus vouă întru descoperirea lui Iisus Hristos. 14Ca fii ai ascultării, neluând chipul poftelor de mai înainte, celor din necunoştința voastră, 15ci, după Sfântul Care v-a chemat pe voi, fiți sfinți şi voi în toată viețuirea. 16Că scris este: *Fiți sfinți, că Eu sfânt sunt.* 17Şi dacă numiți Tată pe Cel ce judecă fără părtinire, după lucrul fiecăruia, petreceți cu frică timpul şederii voastre vremelnice, 18ştiind că nu cu lucruri stricăcioase, cu argint sau cu aur ați fost răscumpărați din viețuirea voastră deşartă, dată de la părinți, 19ci cu scump Sângele lui Hristos, ca al unui miel nevinovat şi neprihănit, 20Care a fost cunoscut mai dinainte de întemeierea lumii, dar S-a arătat în timpurile din urmă pentru voi, 21cei ce prin El credeți în Dumnezeu, Care L-a sculat pe El din morți şi I-a dat Lui slavă, ca să fie credința voastră şi nădejdea în Dumnezeu. 22Curățindu-vă sufletele voastre întru ascultarea adevărului, prin Duhul,

ἀγαπήσατε ἐκτενῶς, 23ἀναγεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ ἀφθάρτου, διὰ λόγου ζῶντος Θεοῦ καὶ μένοντος εἰς τὸν αἰῶνα· 24διότι *πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ ἐξέπεσε·* 25*τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶνα.* τοῦτο δέ ἐστι τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς ὑμᾶς.

spre nefățarnică iubire de frați, din inimă curată iubiți-vă unii pe alții cu stăruință, 23născuți fiind din nou nu din sămânță stricăcioasă, ci nestricăcioasă, prin cuvântul Dumnezeului Celui viu şi Care rămâne în veac. 24Pentru că *tot trupul este ca iarba şi toată slava omului ca floarea ierbii; s-a uscat iarba şi floarea ei a căzut;* 25*dar cuvântul Domnului rămâne în veac.* Şi acesta este cuvântul cel binevestit vouă.

Κεφάλαιον Β΄

Ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ ὑποκρίσεις καὶ φθόνους καὶ πάσας καταλαλιάς, 2ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν ἄδολον γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς σωτηρίαν, 3εἴπερ ἐγεύσασθε *ὅτι χρηστὸς ὁ Κύριος.* 4Πρὸς ὃν προσερχόμενοι, λίθον ζῶντα, ὑπὸ ἀνθρώπων μὲν ἀποδεδοκιμασμένον, παρὰ δὲ Θεῷ ἐκλεκτόν, ἔντιμον, 5καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδομεῖσθε οἶκος πνευματικός, ἱεράτευμα ἅγιον, ἀνενέγκαι πνευματικὰς θυσίας εὐπροσδέκτους τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ· 6διότι περιέχει ἐν τῇ γραφῇ· *ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτόν, ἔντιμον, καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ μὴ καταισχυνθῇ.* 7ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν, ἀπειθοῦσι δὲ *λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας* καὶ *λίθος προσκόμματος καὶ πέτρα σκανδάλου·* 8οἳ προσκόπτουσι τῷ λόγῳ ἀπειθοῦντες, εἰς ὃ καὶ ἐτέθησαν. 9ὑμεῖς δὲ *γένος ἐκλεκτόν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περι-*

Capitolul 2

Lepădând aşadar toată răutatea, tot vicleşugul şi fățărniciile şi pizmele şi toate clevetirile, 2ca nişte prunci nou-născuți să doriți laptele duhovnicesc şi neprefăcut, ca prin el să creşteți spre mântuire, 3de vreme ce ați gustat *că bun este Domnul.* 4Apropiindu-vă de El, piatra cea vie, de oameni nesocotită, iar la Dumnezeu aleasă şi de mare preț, 5şi voi înşivă, ca pietre vii, zidiți-vă, să fiți casă duhovnicească, preoție sfântă, ca să aduceți jertfe duhovniceşti, bineprimite lui Dumnezeu, prin Iisus Hristos; 6pentru că este cuprins în Scriptură: *Iată, pun în Sion piatra din capul unghiului, aleasă, de mare preț, şi cel ce crede în ea nu va fi ruşinat.* 7Vouă, deci, care credeți, vă este cinste; iar celor care nu se supun, *piatra pe care au nesocotit-o ziditorii, aceasta s-a făcut în capul unghiului,* şi *piatră de poticnire şi stâncă de smintealã,* 8de care se poticnesc, nesupunându-se cuvântului, spre care au şi fost puşi. 9Dar voi sunteți *seminție aleasă, preoție împărătească, neam sfânt, popor*

ποίησιν, ὅπως τὰς ἀρετὰς ἐξαγγείλητε τοῦ ἐκ σκότους ὑμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς· 10οἵ ποτε οὐ λαός, νῦν δὲ λαὸς Θεοῦ, οἱ *οὐκ ἠλεημένοι*, νῦν δὲ ἐλεηθέντες.

spre agonisire, ca să vestiți virtuțile Celui ce v-a chemat din întuneric la lumina Sa cea minunată, pe voi, 10care odinioară nu erați popor, dar acum sunteți poporul lui Dumnezeu; care *nu erați miluiți*, dar acum sunteți miluiți.

Ἀγαπητοί, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους, ἀπέχεσθε τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς, 12τὴν ἀναστροφὴν ὑμῶν ἔχοντες καλὴν ἐν τοῖς ἔθνεσιν, ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες δοξάσωσι τὸν Θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς. 13Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, εἴτε βασιλεῖ, ὡς ὑπερέχοντι, 14εἴτε ἡγεμόσιν, ὡς δι' αὐτοῦ πεμπομένοις εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν· 15ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν· 16ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν, ἀλλ' ὡς δοῦλοι Θεοῦ. 17πάντας τιμήσατε, τὴν ἀδελφότητα ἀγαπᾶτε, τὸν Θεὸν φοβεῖσθε, τὸν βασιλέα τιμᾶτε.

Iubiților, vă îndemn ca pe niște străini și trecători, feriți-vă de poftele trupești, care se războiesc împotriva sufletului, 12având viețuirea voastră bună între neamuri, ca în ceea ce vă clevetesc ca făcători de rele, văzând ei faptele bune, să-L slăvească pe Dumnezeu în ziua cercetării. 13Supuneți-vă deci la toată zidirea omenească, pentru Domnul, fie împăratului, ca fiind cel mai mare, 14fie căpeteniilor, ca celor trimiși de el spre pedepsirea făcătorilor de rele și spre lauda făcătorilor de bine; 15căci așa este voia lui Dumnezeu, ca, făcând binele, să opriți necunoștința oamenilor fără de minte. 16Ca oameni liberi, dar nu ca și cum ați avea libertatea acoperământ al răutății, ci ca robi ai lui Dumnezeu. 17Pe toți cinstiți-i, iubiți frăția, temeți-vă de Dumnezeu, cinstiți pe împărat.

Οἱ οἰκέται ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς. 19τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει τις λύπας, πάσχων ἀδίκως. 20ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε; ἀλλ' εἰ ἀγαθοποιοῦντες καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο χάρις παρὰ Θεῷ. 21εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμὸν ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ· 22ὃς *ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ*· 23ὃς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως· 24ὃς τὰς

Slugilor, supuneți-vă cu toată frica stăpânilor, nu numai celor buni și îngăduitori, ci și celor suciți. 19Căci aceasta este dar: dacă, pentru conștiința față de Dumnezeu, suferă cineva întristări, pătimind pe nedrept. 20Ce laudă este dacă, greșind și fiind bătuți, răbdați? Dacă însă, făcând bine și pătimind, răbdați, aceasta este dar înaintea lui Dumnezeu. 21Căci spre aceasta ați fost chemați, că și Hristos a pătimit pentru noi, lăsându-vă pildă, ca să mergeți pe urmele Lui; 22Care *păcat nu a făcut, nici s-a aflat vicleșug în gura Lui;* 23Care, ocărât fiind, nu răspundea cu ocară; pătimind, nu amenința, ci Se lăsa în seama Celui ce judecă cu

ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι τῇ δικαιοσύνῃ ζήσωμεν· οὗ *τῷ μώλωπι αὐτοῦ ἰάθητε*. 25ἦτε γὰρ ὡς πρόβατα πλανώμενα, ἀλλ᾽ ἐπεστράφητε νῦν ἐπὶ τὸν ποιμένα καὶ ἐπίσκοπον τῶν ψυχῶν ὑμῶν.

dreptate; 24Care păcatele noastre Însuşi le-a purtat, în trupul Său, pe lemn, ca, fiind morţi păcatelor, să vieţuim dreptăţii; *cu a Cărui rană v-aţi vindecat*. 25Căci eraţi ca nişte oi rătăcite, dar v-aţi întors acum la Păstorul şi la Păzitorul sufletelor voastre.

Κεφάλαιον Γ΄

Ὁμοίως αἱ γυναῖκες ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσονται, 2ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν. 3ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν καὶ περιθέσεως χρυσίων ἢ ἐνδύσεως ἱματίων κόσμος, 4ἀλλ᾽ ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ Θεοῦ πολυτελές. 5οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες αἱ ἐλπίζουσαι ἐπὶ τὸν Θεὸν ἐκόσμουν ἑαυτάς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, 6ὡς Σάρρα ὑπήκουσε τῷ Ἀβραάμ, κύριον αὐτὸν καλοῦσα, ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν. 7Οἱ ἄνδρες ὁμοίως συνοικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμήν, ὡς καὶ συγκληρονόμοι χάριτος ζωῆς, εἰς τὸ μὴ ἐγκόπτεσθαι τὰς προσευχὰς ὑμῶν.

Τὸ δὲ τέλος πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὐσπλαγχνοι, φιλόφρονες, 9μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ ἢ λοιδορίαν ἀντὶ λοιδορίας, τοὐναντίον δὲ εὐλογοῦντες, εἰδότες ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε. 10*ὁ γὰρ θέλων ζωὴν ἀγα-*

Capitolul 3

Asemenea şi voi, femeilor, supuneţi-vă bărbaţilor voştri, pentru ca, chiar dacă unii nu dau crezare cuvântului, să fie câştigaţi, fără cuvânt, prin purtarea femeilor, 2văzând purtarea voastră curată, cea în frică. 3Podoaba voastră să nu fie cea din afară, a împletirii părului şi a purtării de aur sau a îmbrăcării de haine, 4ci omul ascuns al inimii, întru nestricăciunea duhului blând şi liniştit, care este înaintea lui Dumnezeu de mare preţ. 5Căci aşa se împodobeau odinioară şi sfintele femei care nădăjduiau în Dumnezeu, supunându-se bărbaţilor lor, 6precum Sarra a ascultat de Avraam, domn chemându-l pe el; ale cărei fiice v-aţi făcut, săvârşind binele şi netemându-vă de nici o frică. 7Bărbaţilor, de asemenea, trăiţi împreună cu femeile voastre întru cunoştinţă, dându-le cinste ca unui vas mai slab, ca unii care sunteţi împreună-moştenitori ai harului vieţii, ca să nu fie oprite rugăciunile voastre.

În sfârşit, fiţi toţi într-un gând, împreună-pătimitori, iubitori de fraţi, milostivi, binevoitori, 9nerăsplătind răul cu rău sau ocara cu ocară, ci, dimpotrivă, binecuvântând, ştiind că la aceasta aţi fost chemaţi, ca să moşteniţi binecuvântarea. 10*Căci cel ce*

*πᾶν καὶ ἰδεῖν ἡμέρας ἀγαθὰς παυσάτω τὴν γλῶσσαν αὐτοῦ ἀπὸ κακοῦ καὶ χείλη αὐτοῦ τοῦ μὴ λαλῆσαι δόλον, 11ἐκκλινάτω ἀπὸ κακοῦ καὶ ποιησάτω ἀγαθόν, ζητησάτω εἰρήνην καὶ διωξάτω αὐτήν· 12*ὅτι *ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν, πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά.*

Καὶ τίς ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ μιμηταὶ γένησθε; 14ἀλλ᾽ εἰ καὶ πάσχοιτε διὰ δικαιοσύνην, μακάριοι. *τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε μηδὲ ταραχθῆτε, 15Κύριον δὲ τὸν Θεὸν ἁγιάσατε* ἐν ταῖς καρδίαις ὑμῶν, ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος μετὰ πραΰτητος καὶ φόβου, 16συνείδησιν ἔχοντες ἀγαθήν, ἵνα ἐν ᾧ καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες ὑμῶν τὴν ἀγαθὴν ἐν Χριστῷ ἀναστροφήν. 17κρεῖττον γὰρ ἀγαθοποιοῦντας, εἰ θέλοι τὸ θέλημα τοῦ Θεοῦ, πάσχειν ἢ κακοποιοῦντας. 18ὅτι καὶ Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ἔπαθε, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ, θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι· 19ἐν ᾧ καὶ τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς ἐκήρυξεν, 20ἀπειθήσασί ποτε, ὅτε ἀπεξεδέχετο ἡ τοῦ Θεοῦ μακροθυμία ἐν ἡμέραις Νῶε κατασκευαζομένης κιβωτοῦ, εἰς ἣν ὀλίγαι, τοῦτ᾽ ἔστιν ὀκτὼ ψυχαί, διεσώθησαν δι᾽ ὕδατος. 21ὃ ἀντίτυπον νῦν καὶ ἡμᾶς σῴζει βάπτισμα, οὐ σαρκὸς ἀπόθεσις ῥύπου, ἀλλὰ συνειδήσεως ἀγαθῆς ἐπερώτημα εἰς Θεόν, δι᾽ ἀναστάσεως Ἰησοῦ Χριστοῦ, 22ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ πορευθεὶς εἰς οὐρανόν, ὑποταγέντων αὐτῷ ἀγγέλων καὶ ἐξουσιῶν καὶ δυνάμεων.

*voieşte să iubească viaţa şi să vadă zile bune să-şi oprească limba de la rău şi buzele lui să nu grăiască vicleşug, 11să se abată de la rău şi să facă binele, să caute pacea şi s-o urmeze; 12*că *ochii Domnului peste drepţi şi urechile Lui spre rugăciunea lor, iar faţa Domnului împotriva celor ce fac rele.*

Şi cine este cel ce vă va face vouă rău, dacă v-aţi făcut următori ai binelui? 14Dar, chiar de veţi pătimi pentru dreptate, fericiţi veţi fi. *Iar de frica lor nu vă înfricoşaţi, nici nu vă tulburaţi, 15ci pe Domnul Dumnezeu sfinţiţi-L* în inimile voastre şi gata fiţi pururea spre a da răspuns cu blândeţe şi frică tot celui ce vă cere cuvânt despre nădejdea din voi, 16având conştiinţă bună, ca, în ceea ce vă vorbesc de rău ca pe nişte făcători de rele, să se ruşineze cei ce năpăstuiesc purtarea voastră cea bună în Hristos. 17Căci mai bine este, dacă aşa voieşte voia lui Dumnezeu, să pătimiţi făcând cele bune, decât făcând cele rele. 18Că şi Hristos o dată a pătimit pentru păcate, Cel drept pentru cei nedrepţi, ca pe noi să ne aducă la Dumnezeu, omorât fiind cu trupul, dar viu făcut cu Duhul; 19întru Care, mergând, a propovăduit şi duhurilor din temniţă, 20care nu se încrezuseră odinioară, când îndelunga-răbdare a lui Dumnezeu aştepta, în zilele lui Noe, pregătindu-se chivotul, în care puţine, adică opt suflete, s-au mântuit prin apă, 21în chipul căreia acum Botezul ne mântuieşte şi pe noi – nu ca îndepărtare a murdăriei trupului, ci ca cercetare a conştiinţei bune către Dumnezeu – prin Învierea lui Iisus Hristos, 22Care, după ce a mers la cer, este de-a dreapta lui Dumnezeu, supunându-I-se Lui îngeri şi stăpânii şi puteri.

Κεφάλαιον Δ΄

Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε, ὅτι ὁ παθὼν ἐν σαρκὶ πέπαυται ἁμαρτίας, 2εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον. 3ἀρκετὸς γὰρ ὑμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι, πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις καὶ ἀθεμίτοις εἰδωλολατρίαις. 4ἐν ᾧ ξενίζονται μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτίας ἀνάχυσιν, βλασφημοῦντες· 5οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς. 6εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσι δὲ κατὰ Θεὸν πνεύματι. 7Πάντων δὲ τὸ τέλος ἤγγικε. σωφρονήσατε οὖν καὶ νήψατε εἰς τὰς προσευχάς· 8πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες, ὅτι ἡ ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν· 9φιλόξενοι εἰς ἀλλήλους ἄνευ γογγυσμῶν· 10ἕκαστος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ· 11εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ· εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος, ἧς χορηγεῖ ὁ Θεός· ἵνα ἐν πᾶσι δοξάζηται ὁ Θεὸς διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἐστιν ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Ἀγαπητοί, μὴ ξενίζεσθε τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρασμὸν ὑμῖν γινομένῃ, ὡς ξένου

Capitolul 4

Fiindcă deci Hristos pentru noi a pătimit în trup, înarmați-vă şi voi cu gândul acesta: cel care a pătimit în trup a isprăvit cu păcatul, 2ca să nu mai trăiască timpul rămas în trup după poftele oamenilor, ci după voia lui Dumnezeu. 3Căci destul vă este vouă timpul trecut al vieții, în care ați săvârşit voia neamurilor, umblând în destrăbălări, în pofte, în beții, în îmbuibări, în băuturi şi în nelegiuite slujiri idoleşti. 4Întru care ei se miră, hulind, că voi nu mai alergați împreună cu ei în această revărsare de desfrâu. 5Aceştia vor da seamă Celui care e gata să judece viii şi morții. 6Căci pentru aceasta şi morților s-a binevestit, ca să fie judecați, după oameni, cu trupul, şi să fie vii, după Dumnezeu, cu duhul. 7Şi sfârşitul tuturor s-a apropiat. Înțelepțiți-vă deci şi fiți cu trezvie în rugăciuni. 8Iar înainte de toate, să aveți dragoste stăruitoare unii către alții, că dragostea va acoperi mulțime de păcate. 9Fiți primitori unii cu alții, fără cârtiri; 10fiecare, precum a luat dar, slujind cu acesta între voi, ca buni iconomi ai harului celui de multe feluri al lui Dumnezeu. 11De grăieşte cineva, cuvintele să-i fie ca ale lui Dumnezeu; de slujeşte cineva, ca din tăria pe care o dăruieşte Dumnezeu; ca întru toate să Se slăvească Dumnezeu prin Iisus Hristos, Căruia este slava şi stăpânirea în vecii vecilor. Amin.

Iubiților, nu vă mirați de focul venit peste voi spre ispitire, ca şi cum ceva străin vi

ὑμῖν συμβαίνοντος, 13ἀλλὰ καθὸ κοινωνεῖτε
τοῖς τοῦ Χριστοῦ παθήμασι, χαίρετε, ἵνα καὶ
ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε
ἀγαλλιώμενοι. 14εἰ ὀνειδίζεσθε ἐν ὀνόματι
Χριστοῦ, μακάριοι, ὅτι τὸ τῆς δόξης καὶ δυ-
νάμεως καὶ τὸ τοῦ Θεοῦ Πνεῦμα ἐφ' ὑμᾶς
ἀναπαύεται· κατὰ μὲν αὐτοὺς βλασφημεῖται,
κατὰ δὲ ὑμᾶς δοξάζεται. 15μὴ γάρ τις ὑμῶν
πασχέτω ὡς φονεὺς ἢ κλέπτης ἢ κακοποιὸς ἢ
ὡς ἀλλοτριοεπίσκοπος· 16εἰ δὲ ὡς Χριστιανός,
μὴ αἰσχυνέσθω, δοξαζέτω δὲ τὸν Θεὸν ἐν τῷ
μέρει τούτῳ. 17ὅτι ὁ καιρὸς τοῦ ἄρξασθαι τὸ
κρῖμα ἀπὸ τοῦ οἴκου τοῦ Θεοῦ· εἰ δὲ πρῶτον
ἀφ' ἡμῶν, τί τὸ τέλος τῶν ἀπειθούντων τῷ
τοῦ Θεοῦ εὐαγγελίῳ; 18καὶ *εἰ ὁ δίκαιος μόλις*
σῴζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖ-
ται; 19ὥστε καὶ οἱ πάσχοντες κατὰ τὸ θέλημα
τοῦ Θεοῦ, ὡς πιστῷ κτίστῃ παρατιθέσθωσαν
τὰς ψυχὰς αὐτῶν ἐν ἀγαθοποιΐᾳ.

s-ar întâmpla, 13ci, întrucât vă împărtăşiţi
de patimile lui Hristos, bucuraţi-vă, ca şi
întru descoperirea slavei Lui să vă bucuraţi,
veselindu-vă. 14De sunteţi ocărâţi pentru
numele lui Hristos, sunteţi fericiţi, că Du-
hul slavei şi al puterii şi al lui Dumnezeu
Se odihneşte peste voi; la ei este hulit, iar
la voi este slăvit. 15Şi dintre voi să nu pă-
timească nimeni ca ucigaş, sau fur, sau făcă-
tor de rele, sau ca iscoditor; 16iar de pă-
timeşte ca un creştin, să nu se ruşineze, ci
să slăvească pe Dumnezeu pentru aceasta.
17Că vremea este să înceapă judecata de la
casa lui Dumnezeu; iar dacă începe întâi
de la noi, care va fi sfârşitul celor care nu
dau crezare Evangheliei lui Dumnezeu?
18Şi *dacă dreptul abia se mântuieşte, unde*
se vor arăta rău-cinstitorul şi păcătosul?
19Aşa încât şi cei ce pătimesc după voia
lui Dumnezeu să-I pună înainte sufletele
lor prin facerea de bine, ca unui Ziditor
credincios.

Κεφάλαιον Ε΄

Πρεσβυτέρους τοὺς ἐν ὑμῖν πα-
ρακαλῶ ὁ συμπρεσβύτερος καὶ
μάρτυς τῶν τοῦ Χριστοῦ παθη-
μάτων, ὁ καὶ τῆς μελλούσης ἀπο-
καλύπτεσθαι δόξης κοινωνός,
2ποιμάνατε τὸ ἐν ὑμῖν ποίμνιον
τοῦ Θεοῦ, ἐπισκοποῦντες μὴ ἀναγκαστῶς,
ἀλλ' ἑκουσίως, μηδὲ αἰσχροκερδῶς, ἀλλὰ
προθύμως, 3μηδ' ὡς κατακυριεύοντες τῶν
κλήρων, ἀλλὰ τύποι γινόμενοι τοῦ ποιμνί-
ου· 4καὶ φανερωθέντος τοῦ ἀρχιποίμενος

Capitolul 5

Pe preoţii cei dintre voi îi rog, eu,
cel împreună-preot şi martor al
patimilor lui Hristos, care sunt
şi părtaş al slavei celei ce va să se
descopere: 2Păstoriţi turma lui Dum-
nezeu cea de la voi, cercetând-o nu
cu silă, ci de bunăvoie, nu pentru câştig
ruşinos, ci din osârdie; 3nu ca şi când aţi
avea stăpânire asupra celor încredinţaţi
prin sorţi, ci pilde făcându-vă turmei; 4Şi,
când Se va arăta Arhipăstorul, veţi lua cu-

κομιεῖσθε τὸν ἀμαράντινον τῆς δόξης στέφανον. 5Ὁμοίως νεώτεροι ὑποτάγητε πρεσβυτέροις, πάντες δὲ ἀλλήλοις ὑποτασσόμενοι τὴν ταπεινοφροσύνην ἐγκομβώσασθε· ὅτι *ὁ Θεὸς ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν*. 6Ταπεινώθητε οὖν ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ. 7πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιρρίψαντες ἐπ' αὐτόν, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν. 8νήψατε, γρηγορήσατε· ὁ ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος περιπατεῖ ζητῶν τίνα καταπίῃ. 9ᾧ ἀντίστητε στερεοὶ τῇ πίστει, εἰδότες τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι. 10Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας ὑμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ ὀλίγον παθόντας, αὐτὸς καταρτίσει ὑμᾶς, στηρίξει, σθενώσει, θεμελιώσει· 11αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

Διὰ Σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λογίζομαι, δι' ὀλίγων ἔγραψα, παρακαλῶν καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν τοῦ Θεοῦ, εἰς ἣν ἑστήκατε. 13Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ καὶ Μᾶρκος ὁ υἱός μου. 14ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης. Εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν Χριστῷ Ἰησοῦ· ἀμήν.

nuna cea neveştejită a slavei. 5Asemenea şi voi, tinerilor, supuneți-vă preoților; şi toți, supunându-vă unii altora, îmbrăcați-vă în smerita-cugetare, că *Dumnezeu celor mândri le stă împotrivă, iar celor smeriți le dă har*. 6Smeriți-vă, dar, sub mâna cea tare a lui Dumnezeu, ca să vă înalțe la vreme. 7Toată grija voastră aruncați-o asupra Lui, căci El Se îngrijeşte de voi. 8Fiți cu trezvie, privegheați. Potrivnicul vostru, diavolul, ca un leu răcnind, umblă căutând pe cine să înghită; 9Acestuia împotriviți-vă, întăriți în credință, ştiind că aceleaşi patimi se săvârşesc şi cu frații voştri în lume. 10Şi Dumnezeul a tot harul, Care v-a chemat pe voi la slava Lui cea veşnică, în Hristos Iisus, după ce veți fi pătimit puțin, Însuşi vă va întocmi, vă va sprijini, vă va întări, vă va întemeia. 11Lui fie slava şi stăpânirea în vecii vecilor. Amin!

Prin Siluan, fratele cel credincios, precum îl socotesc, v-am scris în puține cuvinte, îndemnând şi dând mărturie că aceasta este adevăratul har al lui Dumnezeu, în care stați. 13Vă îmbrățişează cea împreună-aleasă din Babilon şi Marcu, fiul meu. 14Îmbrățişați-vă unii pe alții cu sărutarea dragostei. Pace vouă, tuturor celor ce sunteți în Hristos Iisus. Amin!



A DOUA EPISTOLĂ A LUI PETRU

Κεφάλαιον Α΄

Capitolul 1

Συμεὼν Πέτρος, δοῦλος καὶ ἀπόστολος Ἰησοῦ Χριστοῦ, τοῖς ἰσότιμον ἡμῖν λαχοῦσι πίστιν ἐν δικαιοσύνῃ τοῦ Θεοῦ ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ· 2χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν ἐπιγνώσει τοῦ Θεοῦ καὶ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν.

Simeon Petru, rob şi apostol al lui Iisus Hristos, celor care au dobândit credinţă de acelaşi preţ cu a noastră întru dreptatea Dumnezeului nostru şi Mântuitorului Iisus Hristos. 2Har vouă şi pacea să se înmulţească, întru cunoştinţa lui Dumnezeu şi a lui Iisus, Domnul nostru.

Ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, 4δι' ὧν τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς. 5καὶ αὐτὸ τοῦτο δὲ σπουδὴν πᾶσαν παρεισενέγκαντες ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, 6ἐν δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, 7ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην. 8ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα καὶ

Întrucât puterea Lui dumnezeiască ne-a dăruit nouă toate cele spre viaţă şi bunăcinstire, prin cunoştinţa Celui ce ne-a chemat prin slavă şi virtute, 4prin care ne-a dăruit făgăduinţele cele cinstite şi preamari, ca prin acestea să vă faceţi părtaşi dumnezeieştii firi, scăpând de stricăciunea din lume, cea din poftă, 5tocmai pentru aceasta, aducând toată sârguinţa, adăugaţi la credinţa voastră virtutea, şi la virtute cunoştinţa, 6şi la cunoştinţă înfrânarea, şi la înfrânare răbdarea, şi la răbdare buna-cinstire, 7şi la buna-cinstire iubirea frăţească, şi la iubirea frăţească dragostea. 8Căci acestea, fiind la voi şi înmulţindu-se, vă fac să nu

πλεονάζοντα οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν· 9ᾧ γὰρ μὴ πάρεστι ταῦτα, τυφλός ἐστι, μυωπάζων, λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν. 10διὸ μᾶλλον, ἀδελφοί, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε. 11οὕτω γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.

Διὸ οὐκ ἀμελήσω ἀεὶ ὑμᾶς ὑπομιμνήσκειν περὶ τούτων, καίπερ εἰδότας καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. 13δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει, 14εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέ μοι. 15σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον τὴν τούτων μνήμην ποιεῖσθαι. 16οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος. 17λαβὼν γὰρ παρὰ Θεοῦ πατρὸς τιμὴν καὶ δόξαν φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης, *οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, εἰς ὃν ἐγὼ εὐδόκησα*· 18καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ. 19καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν, 20τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προφητεία γραφῆς ἰδίας ἐπιλύσεως οὐ γίνεται. 21οὐ γὰρ θελήματι ἀνθρώπου ἠνέχθη ποτὲ προφητεία, ἀλλ' ὑπὸ Πνεύματος Ἁγίου φερόμενοι ἐλάλησαν ἅγιοι Θεοῦ ἄνθρωποι.

fiți nici nelucrători, nici neroditori spre cunoașterea Domnului nostru Iisus Hristos. 9Căci cel căruia îi lipsesc acestea este orb, umblă bâjbâind, dând uitării curățirea păcatelor lui celor de odinioară. 10Pentru aceea, fraților, mai mult sârguiți-vă să faceți temeinică chemarea și alegerea voastră, căci, făcând acestea, nu vă veți poticni niciodată. 11Căci așa vi se va dărui îmbelșugat intrarea în veșnica împărăție a Domnului nostru și Mântuitorului Iisus Hristos.

Drept aceea, nu voi fi fără grijă să vă amintesc pururea despre acestea, cu toate că le știți și sunteți întăriți întru adevărul de față. 13Dar socotesc că este drept, câtă vreme sunt în acest cort, să vă trezesc prin aducerea aminte, 14știind că grabnică este lepădarea cortului meu, precum și Domnul nostru Iisus Hristos mi-a vădit. 15Și mă voi sârgui ca, și după ieșirea mea, să vă amintiți oricând de acestea, 16căci nu urmând basmelor iscusite v-am făcut cunoscute puterea și venirea Domnului nostru Iisus Hristos, ci noi înșine făcându-ne văzători ai măreției Aceluia. 17Căci El a luat de la Dumnezeu-Tatăl cinste și slavă, glas ca acesta aducându-se Lui de către slava cea plină de măreție: *Acesta este Fiul Meu cel iubit, întru Care am binevoit.* 18Și acest glas noi l-am auzit, din cer aducându-se, pe când eram cu El în muntele cel sfânt. 19Și avem mai întărit cuvântul proorocesc, la care bine faceți luând aminte, ca la o făclie ce strălucește în loc întunecos, până când ziua va străluci în zori și Luceafărul va răsări în inimile voastre, 20aceasta cunoscând mai întâi, că toată proorocia Scripturii nu vine cu propria dezlegare; 21pentru că nu din voia omului s-a adus vreodată proorocie, ci oameni sfinți ai lui Dumnezeu au grăit, purtați de Duhul Sfânt.

Κεφάλαιον Β΄

Capitolul 2

Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγοράσαντα αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐπάγοντες ἑαυτοῖς ταχινὴν ἀπώλειαν· 2καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀσελγείαις, δι' οὓς ἡ ὁδὸς τῆς ἀληθείας βλασφημηθήσεται· 3καὶ ἐν πλεονεξίᾳ πλαστοῖς λόγοις ὑμᾶς ἐμπορεύσονται, οἷς τὸ κρῖμα ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ νυστάξει. 4εἰ γὰρ ὁ Θεὸς ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας παρέδωκεν εἰς κρίσιν τηρουμένους, 5καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο, ἀλλὰ ὄγδοον Νῶε δικαιοσύνης κήρυκα ἐφύλαξε, κατακλυσμὸν κόσμῳ ἀσεβῶν ἐπάξας, 6καὶ πόλεις Σοδόμων καὶ Γομόρρας τεφρώσας καταστροφῇ κατέκρινεν, ὑπόδειγμα μελλόντων ἀσεβεῖν τεθεικώς, 7καὶ δίκαιον Λὼτ καταπονούμενον ὑπὸ τῆς τῶν ἀθέσμων ἐν ἀσελγείᾳ ἀναστροφῆς ἐρρύσατο 8 –βλέμματι γὰρ καὶ ἀκοῇ ὁ δίκαιος, ἐγκατοικῶν ἐν αὐτοῖς, ἡμέραν ἐξ ἡμέρας ψυχὴν δικαίαν ἀνόμοις ἔργοις ἐβασάνιζεν–, 9οἶδε Κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν, 10μάλιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ πορευομένους καὶ κυριότητος καταφρονοῦντας. τολμηταί, αὐθάδεις, δόξας οὐ τρέμουσι βλασφημοῦντες, 11ὅπου ἄγγελοι, ἰσχύϊ καὶ δυνάμει μείζονες ὄντες, οὐ φέρουσι κατ' αὐτῶν παρὰ Κυρίῳ βλάσφημον κρίσιν. 12οὗτοι δέ, ὡς ἄλογα ζῷα φυ-

Dar au fost şi prooroci mincinoşi în popor, după cum şi între voi vor fi învăţători mincinoşi, care vor strecura eresuri de pierzare, tăgăduind chiar şi pe Stăpânul Care i-a cumpărat, aducând asupra lor înşişi grabnică pierzare. 2Şi mulţi vor urma destrăbălărilor lor, iar din pricina acelora, calea adevărului va fi hulită; 3şi, din lăcomie, vă vor neguţători cu cuvinte măsluite, a căror osândă din vechime nu zăboveşte şi pierzarea lor nu va dormita. 4Căci dacă Dumnezeu nu i-a cruţat pe îngerii care au păcătuit, ci, cu legăturile întunericului legându-i în tartar, i-a dat să fie ţinuţi spre judecată; 5şi dacă lumea dintâi n-a cruţat-o, ci l-a păzit pe Noe – ca pe al optulea – propovăduitor al dreptăţii, aducând potop asupra lumii celor necinstitori; 6şi dacă cetăţile Sodomei şi Gomorei, făcându-le cenuşă, cu surpare le-a osândit, dându-le pildă celor ce vor fi necinstitori, 7iar pe dreptul Lot, chinuit fiind de petrecerea în destrăbălare a celor nelegiuiţi, l-a izbăvit 8 – căci, locuind între ei, dreptul prin vedere şi prin auz îşi chinuia zi după zi sufletul său drept din pricina faptelor nelegiuite –, 9ştie Domnul să-i izbăvească din ispită pe cei binecinstitori, iar pe cei nedrepţi să-i ţină spre ziua judecăţii ca să fie osândiţi, 10şi mai vârtos pe cei ce umblă urmând cărnii, întru pofta spurcăciunii, şi care disprețuiesc domnia. Îndrăzneţi, îngâmfaţi! Nu se cutremură hulind slavele,

σικὰ γεγενημένα εἰς ἅλωσιν καὶ φθοράν, ἐν οἷς ἀγνοοῦσι βλασφημιοῦντες, ἐν τῇ φθορᾷ αὐτῶν καταφθαρήσονται, 13κομιούμενοι μισθὸν ἀδικίας, ἡδονὴν ἡγούμενοι τὴν ἐν ἡμέρᾳ τρυφήν, σπίλοι καὶ μῶμοι, ἐντρυφῶντες ἐν ταῖς ἀπάταις αὐτῶν, συνευωχούμενοι ὑμῖν, 14ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος καὶ ἀκαταπαύστους ἁμαρτίας, δελεάζοντες ψυχὰς ἀστηρίκτους, καρδίαν γεγυμνασμένην πλεονεξίας ἔχοντες, κατάρας τέκνα· 15καταλιπόντες εὐθεῖαν ὁδὸν ἐπλανήθησαν, ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ Βαλαὰμ τοῦ Βοσόρ, ὃς μισθὸν ἀδικίας ἠγάπησεν, 16ἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας· ὑποζύγιον ἄφωνον ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον ἐκώλυσε τὴν τοῦ προφήτου παραφρονίαν. 17οὗτοί εἰσι πηγαὶ ἄνυδροι, νεφέλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται. 18ὑπέρογκα γὰρ ματαιότητος φθεγγόμενοι δελεάζουσιν ἐν ἐπιθυμίαις σαρκὸς ἀσελγείαις τοὺς ὄντως ἀποφυγόντας τοὺς ἐν πλάνῃ ἀναστρεφομένους, 19ἐλευθερίαν αὐτοῖς ἐπαγγελλόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες τῆς φθορᾶς· ᾧ γάρ τις ἥττηται, τούτῳ καὶ δεδούλωται. 20εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου ἐν ἐπιγνώσει τοῦ Κυρίου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ, τούτοις δὲ πάλιν ἐμπλακέντες ἡττῶνται, γέγονεν αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. 21κρεῖττον γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δικαιοσύνης ἢ ἐπιγνοῦσιν ἐπιστρέψαι ἐκ τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. 22συμβέβηκε δὲ αὐτοῖς τὸ τῆς ἀληθοῦς παροιμίας, κύων ἐπιστρέψας ἐπὶ τὸ ἴδιον ἐξέραμα, καί, ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.

11în vreme ce îngerii, mai mari fiind în tărie şi în putere, nu aduc împotriva lor, la Domnul, judecată hulitoare. 12Aceştia însă, ca nişte dobitoace necuvântătoare, din fire făcute ca să fie prinse şi spre stricăciune, hulind în cele ce nu cunosc, în stricăciunea lor vor fi nimiciți, 13având să-şi primească plata nedreptății, socotind plăcere desfătarea de fiecare zi, pătați şi întinați, desfătându-se în amăgirile lor, ospătându-se împreună cu voi, 14având ochii plini de adulter şi neopriți de la păcat, momind suflete neîntărite; având inima deprinsă la lăcomie, fii ai blestemului! 15Părăsind calea cea dreaptă, au rătăcit, urmând căii lui Valaam al lui Vosor, care a iubit plata nedreptății, 16dar a primit mustrarea călcării lui de lege; căci asina fără de glas, grăind cu glas omenesc, a împiedicat nesăbuința proorocului. 17Aceştia sunt izvoare fără de apă, nori purtați de furtună, cărora li se păstrează negura întunericului în veac. 18Căci grăind ei vorbe trufaşe ale deşertăciunii, îi momesc în poftele trupului, cu desfrânări, pe cei care cu adevărat au scăpat de cei ce petrec în rătăcire, 19făgăduindu-le libertate, ei înşişi fiind robi ai stricăciunii; căci ceea ce te biruieşte, aceea te şi stăpâneşte. 20Căci dacă, scăpând de spurcăciunile lumii întru cunoştința Domnului şi Mântuitorului Iisus Hristos, sunt biruiți, încurcându-se iarăşi în acestea, li s-au făcut lor cele din urmă mai rele decât cele dintâi. 21Căci mai bine le era să nu fi cunoscut calea dreptății, decât, cunoscând-o, să se întoarcă de la porunca cea sfântă, dată lor. 22Şi li s-au întâmplat cele din pilda cea adevărată: câinele se întoarce la vărsătura sa şi scroafa scăldată la tăvălirea în mocirlă.

Κεφάλαιον Γ΄

Ταύτην ἤδη, ἀγαπητοί, δευτέραν ὑμῖν γράφω ἐπιστολήν, ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει τὴν εἰλικρινῆ διάνοιαν, 2μνησθῆναι τῶν προειρημένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν καὶ τῆς τῶν ἀποστόλων ὑμῶν ἐντολῆς τοῦ Κυρίου καὶ σωτῆρος, 3τοῦτο πρῶτον γινώσκοντες, ὅτι ἐλεύσονται ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν ἐμπαῖκται, κατὰ τὰς ἰδίας ἐπιθυμίας αὐτῶν πορευόμενοι 4καὶ λέγοντες· ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς παρουσίας αὐτοῦ; ἀφ᾽ ἧς γὰρ οἱ πατέρες ἐκοιμήθησαν, πάντα οὕτω διαμένει ἀπ᾽ ἀρχῆς κτίσεως. 5λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας ὅτι οὐρανοὶ ἦσαν ἔκπαλαι καὶ γῆ ἐξ ὕδατος καὶ δι᾽ ὕδατος συνεστῶσα τῷ τοῦ Θεοῦ λόγῳ, 6δι᾽ ὧν ὁ τότε κόσμος ὕδατι κατακλυσθεὶς ἀπώλετο· 7οἱ δὲ νῦν οὐρανοὶ καὶ ἡ γῆ τῷ αὐτοῦ λόγῳ τεθησαυρισμένοι εἰσὶ πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας τῶν ἀσεβῶν ἀνθρώπων. 8 Ἓν δὲ τοῦτο μὴ λανθανέτω ὑμᾶς, ἀγαπητοί, ὅτι μία ἡμέρα παρὰ Κυρίῳ ὡς χίλια ἔτη, καὶ χίλια ἔτη ὡς ἡμέρα μία. 9οὐ βραδύνει ὁ Κύριος τῆς ἐπαγγελίας, ὥς τινες βραδυτῆτα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ εἰς ἡμᾶς, μὴ βουλόμενός τινας ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι. 10Ἥξει δὲ ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτί, ἐν ᾗ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται, στοιχεῖα δὲ καυσούμενα λυθήσονται, καὶ γῆ καὶ τὰ ἐν αὐτῇ ἔργα κατακαήσεται. 11Τούτων οὖν πάντων λυομένων ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ἐν ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις, 12προσδοκῶντας καὶ σπεύδοντας τὴν παρουσίαν τῆς

Capitolul 3

Aceasta este deja, iubiților, a doua epistolă pe care v-o scriu; în ele trezesc, prin aducerea-aminte, cugetul curat, 2ca să vă amintiți de cuvintele mai înainte grăite de sfinții prooroci şi de porunca apostolilor voştri, cea a Domnului şi Mântuitorului. 3Aceasta mai întâi cunoscând, că vor veni în zilele cele din urmă batjocoritori, umblând după poftele lor 4şi zicând: Unde este făgăduința venirii Lui? Căci, de când au adormit părinții, toate aşa rămân de la începutul zidirii. 5Căci ei uită în chip voit aceasta, că cerurile erau de demult şi că pământul din apă şi prin apă s-a închegat la cuvântul lui Dumnezeu; 6prin ele lumea de atunci a pierit potopită cu apă; 7iar cerurile şi pământul de acum sunt păstrate prin cuvântul Lui, ținute pentru focul din ziua judecății şi a pieirii oamenilor răucinstitori. 8Şi un singur lucru să nu uitați, iubiților, că o zi la Domnul este ca o mie de ani şi o mie de ani ca o zi. 9Nu întârzie Domnul cu făgăduința, după cum socotesc unii că e întârziere, ci rabdă îndelung pentru noi, nevoind să piară vreunii, ci ca toți să vină la pocăință. 10Iar ziua Domnului va veni ca un fur în noapte; atunci cerurile cu vuiet vor trece, iar stihiile, arzând, se vor desface, şi pământul şi lucrurile de pe el vor arde de tot. 11Deci, de vreme ce toate acestea se vor desface, cu cât mai mult trebuie să fiți voi în sfinte viețuiri şi bunecinstiri, 12aşteptând şi grăbind venirea zilei

τοῦ Θεοῦ ἡμέρας, δι' ἣν οὐρανοὶ πυρούμενοι λυθήσονται καὶ στοιχεῖα καυσούμενα τήκεται. 13καινοὺς δὲ οὐρανοὺς καὶ γῆν καινὴν κατὰ τὸ ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ. 14Διό, ἀγαπητοί, ταῦτα προσδοκῶντες σπουδάσατε ἄσπιλοι καὶ ἀμώμητοι αὐτῷ εὑρεθῆναι ἐν εἰρήνῃ, 15καὶ τὴν τοῦ Κυρίου ἡμῶν μακροθυμίαν σωτηρίαν ἡγεῖσθε, καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος κατὰ τὴν αὐτῷ δοθεῖσαν σοφίαν ἔγραψεν ὑμῖν, 16ὡς καὶ ἐν πάσαις ταῖς ἐπιστολαῖς λαλῶν ἐν αὐταῖς περὶ τούτων, ἐν οἷς ἐστι δυσνόητά τινα, ἃ οἱ ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν ὡς καὶ τὰς λοιπὰς γραφὰς πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν.

Ὑμεῖς οὖν, ἀγαπητοί, προγινώσκοντες φυλάσσεσθε, ἵνα μὴ τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ, 18αὐξάνετε δὲ ἐν χάριτι καὶ γνώσει τοῦ Κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος· ἀμήν.

lui Dumnezeu, din pricina căreia cerurile, aprinzându-se, se vor desface şi stihiile, arzând, se vor topi! 13Dar, după făgăduinţa Lui, noi aşteptăm ceruri noi şi pământ nou, în care sălăşluieşte dreptatea. 14Pentru aceea, iubiţilor, aşteptând acestea, sârguiţi-vă să fiţi aflaţi înaintea Lui nepătaţi şi neîntinaţi, în pace, 15iar îndelunga-răbdare a Domnului nostru socotiţi-o mântuire, precum v-a scris şi iubitul nostru frate Pavel, după înţelepciunea dată lui, 16ca şi în toate epistolele, grăind în ele despre aceste lucruri, între care sunt unele cu anevoie de înţeles, pe care cei neînvăţaţi şi neîntăriţi le strâmbă, ca şi pe celelalte scripturi, spre a lor pierzare.

Aşadar voi, iubiţilor, cunoscând de mai înainte, păziţi-vă, ca nu cumva, lăsându-vă traşi de rătăcirea celor nelegiuiţi, să căderi din întărirea voastră, 18ci creşteţi în har şi în cunoaşterea Domnului nostru şi Mântuitorului Iisus Hristos, Căruia fie slava şi acum şi în ziua veacului. Amin!

ÎNTÂIA EPISTOLĂ A LUI IOAN

Κεφάλαιον Α΄

Ὃ ἦν ἀπ᾽ ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου τῆς ζωῆς, 2 –καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη ἡμῖν– 3ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ᾽ ἡμῶν· καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ. 4καὶ ταῦτα γράφομεν ὑμῖν, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη.

Καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν ἀκηκόαμεν ἀπ᾽ αὐτοῦ καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ Θεὸς φῶς ἐστι καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία. 6ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ᾽ αὐτοῦ καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν· 7ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν ἔχομεν μετ᾽ ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ

Capitolul 1

Ce era de la început, ce am auzit, ce am văzut cu ochii noştri, ce am privit şi mâinile noastre au pipăit, despre Cuvântul vieţii, 2 – şi Viaţa S-a arătat şi am văzut şi mărturisim şi vă vestim Viaţa cea veşnică, Care era la Tatăl şi S-a arătat nouă – 3ce am văzut şi am auzit vă vestim vouă, ca şi voi să aveţi împărtăşire cu noi; iar împărtăşirea noastră este cu Tatăl şi cu Fiul Său, Iisus Hristos. 4Şi acestea vă scriem, ca bucuria noastră să fie deplină.

Şi aceasta este făgăduinţa pe care am auzit-o de la El şi o vestim vouă: că Dumnezeu lumină este şi întuneric în El nu este niciunul. 6Dacă zicem că avem împărtăşire cu El şi umblăm în întuneric, minţim şi nu facem adevărul. 7Iar dacă umblăm în lumină, precum El este în lumină, avem împărtăşire unii cu alţii şi sângele lui Iisus Hristos, Fiul Lui, ne curăţeşte de tot păcatul.

αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. 8ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. 9ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος, ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. 10ἐὰν εἴπωμεν ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτόν, καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν.

8Dacă zicem că păcat nu avem, pe noi înşine ne amăgim şi adevărul nu este în noi. 9Dacă mărturisim păcatele noastre, credincios este El şi drept, ca să ne ierte păcatele şi să ne curăţească de toată nedreptatea. 10Dacă zicem că n-am păcătuit, Îl facem mincinos şi cuvântul Lui nu este întru noi.

Κεφάλαιον Β΄

Τεκνία μου, ταῦτα γράφω ὑμῖν ἵνα μὴ ἁμάρτητε· καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον· 2καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. 3Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. 4ὁ λέγων, ἔγνωκα αὐτόν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστί, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν· 5ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ Θεοῦ τετελείωται. ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ ἐσμεν. 6ὁ λέγων ἐν αὐτῷ μένειν ὀφείλει, καθὼς ἐκεῖνος περιεπάτησε, καὶ αὐτὸς οὕτω περιπατεῖν. 7Ἀδελφοί, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν παλαιάν, ἣν εἴχετε ἀπ' ἀρχῆς· ἡ ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος ὃν ἠκούσατε ἀπ' ἀρχῆς. 8πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία παράγεται καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει. 9ὁ λέγων ἐν τῷ φωτὶ εἶναι, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν, ἐν τῇ σκοτίᾳ ἐστὶν ἕως ἄρτι. 10ὁ ἀγαπῶν τὸν ἀδελ-

Capitolul 2

Copiii mei, acestea vi le scriu ca să nu păcătuiţi; iar dacă păcătuieşte cineva, avem Mijlocitor către Tatăl, pe Iisus Hristos cel drept; 2şi El Însuşi este ispăşire pentru păcatele noastre, dar nu numai pentru ale noastre, ci şi pentru ale lumii întregi. 3Şi întru aceasta ştim că L-am cunoscut, dacă ţinem poruncile Lui. 4Cel ce zice: L-am cunoscut, dar poruncile Lui nu le ţine, mincinos este şi în acesta nu este adevărul. 5Iar cel ce ţine cuvântul Lui, cu adevărat în acesta iubirea lui Dumnezeu s-a desăvârşit. Întru aceasta cunoaştem că suntem în El. 6Cel ce zice că rămâne în El dator este ca, precum Acela a umblat, şi el aşa să umble. 7Fraţilor, nu vă scriu poruncă nouă, ci poruncă veche, pe care o aveaţi de la început; porunca cea veche este cuvântul pe care l-aţi auzit de la început. 8Iarăşi, poruncă nouă vă scriu, ceea ce este adevărat în El şi în voi, că întunericul trece şi lumina cea adevărată deja străluceşte. 9Cel ce zice că este în lumină şi pe fratele său îl urăşte este în întuneric până acum. 10Cel

φὸν αὐτοῦ ἐν τῷ φωτὶ μένει, καὶ σκάνδαλον
ἐν αὐτῷ οὐκ ἔστιν· 11ὁ δὲ μισῶν τὸν ἀδελφὸν
αὐτοῦ ἐν τῇ σκοτίᾳ ἐστὶ καὶ ἐν τῇ σκοτίᾳ περι-
πατεῖ, καὶ οὐκ οἶδε ποῦ ὑπάγει, ὅτι ἡ σκοτία
ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ.

Γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ
ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ. 13γράφω
ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς.
γράφω ὑμῖν, νεανίσκοι, ὅτι νενικήκατε τὸν
πονηρόν. ἔγραψα ὑμῖν, παιδία, ὅτι ἐγνώκατε
τὸν πατέρα. 14ἔγραψα ὑμῖν, πατέρες, ὅτι
ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. ἔγραψα ὑμῖν, νεα-
νίσκοι, ὅτι ἰσχυροί ἐστε καὶ ὁ λόγος τοῦ Θεοῦ
ἐν ὑμῖν μένει καὶ νενικήκατε τὸν πονηρόν.
15μὴ ἀγαπᾶτε τὸν κόσμον μηδὲ τὰ ἐν τῷ κό-
σμῳ. ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ
ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ· 16ὅτι πᾶν τὸ ἐν
τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπι-
θυμία τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονεία τοῦ
βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρός, ἀλλ' ἐκ τοῦ
κόσμου ἐστί. 17καὶ ὁ κόσμος παράγεται καὶ
ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ
Θεοῦ μένει εἰς τὸν αἰῶνα.

Παιδία, ἐσχάτη ὥρα ἐστί, καὶ καθὼς ἠκού-
σατε ὅτι ὁ ἀντίχριστος ἔρχεται, καὶ νῦν
ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν γινώσκο-
μεν ὅτι ἐσχάτη ὥρα ἐστίν. 19ἐξ ἡμῶν ἐξῆλθον,
ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν,
μεμενήκεισαν ἂν μεθ' ἡμῶν· ἀλλ' ἵνα φανε-
ρωθῶσιν ὅτι οὐκ εἰσὶ πάντες ἐξ ἡμῶν. 20καὶ
ὑμεῖς χρῖσμα ἔχετε ἀπὸ τοῦ ἁγίου, καὶ οἴδατε
πάντα. 21οὐκ ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε
τὴν ἀλήθειαν, ἀλλ' ὅτι οἴδατε αὐτήν, καὶ ὅτι
πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστι. 22τίς
ἐστιν ὁ ψεύστης εἰ μὴ ὁ ἀρνούμενος ὅτι Ἰη-
σοῦς οὐκ ἔστιν ὁ Χριστός; οὗτός ἐστιν ὁ
ἀντίχριστος, ὁ ἀρνούμενος τὸν πατέρα καὶ
τὸν υἱόν. 23πᾶς ὁ ἀρνούμενος τὸν υἱὸν οὐδὲ
τὸν πατέρα ἔχει. 24Ὑμεῖς οὖν ὃ ἠκούσατε
ἀπ' ἀρχῆς, ἐν ὑμῖν μενέτω. ἐὰν ἐν ὑμῖν μείνῃ

ce iubeşte pe fratele său rămâne în lumină
şi sminteală nu este în el; 11iar cel ce urăş-
te pe fratele său este în întuneric şi în în-
tuneric umblă şi nu ştie încotro se duce, că
întunericul a orbit ochii lui.

Vă scriu vouă, copiilor, că vi s-au lăsat
păcatele, pentru numele Lui. 13Vă scriu
vouă, părinților, că ați cunoscut pe Cel de
la început. Vă scriu vouă, tinerilor, că ați
biruit pe cel viclean. V-am scris, copiilor,
că ați cunoscut pe Tatăl. 14V-am scris vouă,
părinților, că ați cunoscut pe Cel de la înce-
put. V-am scris vouă, tinerilor, că sunteți
tari şi cuvântul lui Dumnezeu rămâne în
voi şi l-ați biruit pe cel viclean. 15Nu iubiți
lumea, nici cele din lume. Dacă cineva iu-
beşte lumea, nu este iubirea Tatălui în el;
16pentru că tot ce este în lume, pofta tru-
pului şi pofta ochilor şi trufia vieții, nu sunt
din Tatăl, ci din lume sunt. 17Şi lumea trece,
şi pofta ei; dar cel ce face voia lui Dumne-
zeu rămâne în veac.

Copii, este ceasul de pe urmă şi, precum
ați auzit că vine antihristul – şi acum
s-au ivit mulți antihriști –, de aici cunoaş-
tem că este ceasul de pe urmă. 19Dintre noi
au ieşit, dar nu erau dintre noi; căci dacă ar
fi fost dintre noi, ar fi rămas cu noi; ci ca să
se arate că nu sunt toți dintre noi. 20Iar voi
ungere aveți de la Cel Sfânt şi ştiți toate.
21Nu v-am scris pentru că nu ştiți adevărul,
ci pentru că îl ştiți şi pentru că nici o min-
ciună nu este din adevăr. 22Cine este min-
cinosul, dacă nu cel ce tăgăduieşte că Iisus
este Hristosul? Acesta este antihristul, cel
ce tăgăduieşte pe Tatăl şi pe Fiul. 23Tot cel
ce tăgăduieşte pe Fiul, nici pe Tatăl nu-L
are. 24Deci voi, ce ați auzit de la început
în voi să rămână; dacă rămâne în voi ce ați

ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε. 25καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία ἣν αὐτὸς ἐπηγγείλατο ἡμῖν, τὴν ζωὴν τὴν αἰώνιον. 26Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς. 27καὶ ὑμεῖς, τὸ χρῖσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ, ἐν ὑμῖν μένει, καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς, ἀλλ' ὡς τὸ αὐτὸ χρῖσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ ἀληθές ἐστι καὶ οὐκ ἔστι ψεῦδος, καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μενεῖτε ἐν αὐτῷ. 28Καὶ νῦν, τεκνία, μένετε ἐν αὐτῷ, ἵνα ὅταν φανερωθῇ ἔχωμεν παρρησίαν καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. 29ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστι, γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται.

auzit de la început, şi voi veţi rămâne în Fiul şi în Tatăl. 25Şi aceasta este făgăduinţa pe care El Însuşi ne-a făgăduit-o: viaţa veşnică. 26Acestea v-am scris despre cei ce vă amăgesc. 27Şi voi, ungerea pe care aţi luat-o de la El rămâne întru voi şi n-aveţi trebuinţă să vă înveţe cineva; ci, după cum aceeaşi ungere vă învaţă pe voi despre toate – şi adevărată este şi nu este minciună – şi după cum v-a învăţat pe voi, veţi rămâne în El. 28Şi acum, copii, rămâneţi în El, ca atunci când Se va arăta să avem îndrăznire şi să nu ne ruşinăm de El la venirea Lui. 29Dacă ştiţi că este drept, cunoaşteţi că tot cel ce face dreptatea din El s-a născut.

Κεφάλαιον Γ΄

Ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατὴρ ἵνα τέκνα Θεοῦ κληθῶμεν. διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ὑμᾶς, ὅτι οὐκ ἔγνω αὐτόν. 2Ἀγαπητοί, νῦν τέκνα Θεοῦ ἐσμεν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα· οἴδαμεν δὲ ὅτι ἐὰν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστί. 3καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ' αὐτῷ ἁγνίζει ἑαυτόν, καθὼς ἐκεῖνος ἁγνός ἐστι. 4Πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ, καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία. 5καὶ οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη ἵνα τὰς ἁμαρτίας ἡμῶν ἄρῃ, καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστι. 6πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν οὐδὲ ἔγνωκεν αὐτόν. 7Τεκνία, μηδεὶς πλανάτω ὑμᾶς· ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστι, καθὼς ἐκεῖνος δίκαιός ἐστιν· 8ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου

Capitolul 3

Vedeţi ce iubire ne-a dat nouă Tatăl, să ne chemăm fii ai lui Dumnezeu. Pentru aceea lumea nu vă cunoaşte, că nu L-a cunoscut pe El. 2Iubiţilor, acum suntem fii ai lui Dumnezeu, şi încă nu s-a arătat ce vom fi; dar ştim că dacă Se va arăta, asemenea Lui vom fi, căci Îl vom vedea precum este. 3Şi tot cel ce are această nădejde în El se curăţeşte pe sine, precum şi Acela curat este. 4Tot cel ce face păcatul face şi fărădelegea, şi păcatul este fărădelegea. 5Şi voi ştiţi că Acela S-a arătat ca să ridice păcatele noastre şi păcat întru El nu este. 6Tot cel ce rămâne în El nu păcătuieşte; tot cel ce păcătuieşte nu L-a văzut, nici nu L-a cunoscut pe El. 7Copii, nimeni să nu vă amăgească. Cel ce face dreptatea drept este, precum Acela drept este. 8Cel ce face păcatul este din dia-

ἐστίν, ὅτι ἀπ᾽ ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ Θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου. 9Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει· καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ Θεοῦ γεγέννηται. 10ἐν τούτῳ φανερά ἐστι τὰ τέκνα τοῦ Θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου. πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ.

volul, că de la început diavolul păcătuieşte. Spre aceasta S-a arătat Fiul lui Dumnezeu, ca să destrame lucrurile diavolului. 9Tot cel născut din Dumnezeu păcat nu face, pentru că sămânţa Lui rămâne în el; şi nu poate să păcătuiască, pentru că din Dumnezeu s-a născut. 10În aceasta sunt vădiţi fiii lui Dumnezeu şi fiii diavolului. Tot cel ce nu face dreptate nu este din Dumnezeu, nici cel ce nu îl iubeşte pe fratele său.

Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ᾽ ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους, 12οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν καὶ ἔσφαξε τὸν ἀδελφὸν αὐτοῦ· καὶ χάριν τίνος ἔσφαξεν αὐτόν; ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια. 13Μὴ θαυμάζετε, ἀδελφοί μου, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος. 14ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς· ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν μένει ἐν τῷ θανάτῳ. 15πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστί, καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν αἰώνιον ἐν ἑαυτῷ μένουσαν. 16ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκε· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς τιθέναι. 17ὃς δ᾽ ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ᾽ αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ Θεοῦ μένει ἐν αὐτῷ; 18Τεκνία μου, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ τῇ γλώσσῃ, ἀλλ᾽ ἐν ἔργῳ καὶ ἀληθείᾳ. 19καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν, καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν, 20ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ Θεὸς τῆς καρδίας ἡμῶν καὶ γινώσκει πάντα. 21ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν Θεόν, 22καὶ ὃ

Căci aceasta este vestea pe care aţi auzit-o de la început, să ne iubim unul pe altul, 12nu precum era Cain din cel viclean şi l-a înjunghiat pe fratele său. Şi pentru ce l-a înjunghiat? Pentru că faptele lui erau viclene, iar ale fratelui său drepte. 13Nu vă miraţi, fraţii mei, dacă vă urăşte pe voi lumea. 14Noi ştim că ne-am mutat din moarte la viaţă, pentru că iubim pe fraţi; cel ce nu-şi iubeşte fratele rămâne în moarte. 15Tot cel ce urăşte pe fratele său este ucigaş de oameni, şi ştiţi că tot ucigaşul de oameni nu are viaţă veşnică rămânând în el. 16În aceasta am cunoscut iubirea: că Acela sufletul Său Şi l-a pus pentru noi; şi noi datori suntem să ne punem sufletele pentru fraţi. 17Iar cine are bogăţia lumii şi îl vede pe fratele său fiind în nevoie şi îşi închide inima faţă de acela, cum rămâne iubirea lui Dumnezeu în el? 18Copiii mei, să nu iubim cu cuvântul, nici cu limba, ci în faptă şi în adevăr. 19Şi în aceasta cunoaştem că din adevăr suntem, şi în faţa Lui vom lua încredinţare în inimile noastre, 20că, şi dacă ne osândeşte inima noastră, Dumnezeu este mai mare decât inima noastră şi cunoaşte toate. 21Iubiţilor, dacă inima noastră nu ne osândeşte, avem îndrăznire către Dumnezeu 22şi orice cerem primim de la

ἐάν αἰτῶμεν λαμβάνομεν παρ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. 23καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ ἀγαπῶμεν ἀλλήλους καθὼς ἔδωκεν ἐντολήν. 24καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν αὐτῷ. καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος οὗ ἡμῖν ἔδωκεν.

El, pentru că ţinem poruncile Lui şi facem cele plăcute înaintea Lui. 23Şi aceasta este porunca Lui, să credem în numele Fiului Lui, Iisus Hristos, şi să ne iubim unii pe alţii, precum a dat poruncă. 24Cel ce ţine poruncile Lui rămâne în El şi El într-însul; şi întru aceasta cunoaştem că rămâne în noi, din Duhul pe care ni L-a dat.

Κεφάλαιον Δ΄

Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ Θεοῦ ἐστιν, ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον. 2ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ Θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστι· 3καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ τὸν Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ ἔστι· καὶ τοῦτό ἐστι τὸ τοῦ ἀντιχρίστου ὃ ἀκηκόατε ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. 4Ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστε, τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ. 5αὐτοὶ ἐκ τοῦ κόσμου εἰσί· διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσι καὶ ὁ κόσμος αὐτῶν ἀκούει. 6ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμεν· ὁ γινώσκων τὸν Θεὸν ἀκούει ἡμῶν· ὃς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ οὐκ ἀκούει ἡμῶν. ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης.

Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστι, καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ Θεοῦ γεγέννηται καὶ γινώσκει τὸν Θεόν. 8ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν Θεόν, ὅτι

Capitolul 4

Iubiţilor, nu credeţi oricărui duh, ci încercaţi duhurile dacă sunt din Dumnezeu, că mulţi prooroci mincinoşi au ieşit în lume. 2În aceasta cunoaşteţi Duhul lui Dumnezeu: tot duhul care mărturiseşte că Iisus Hristos a venit în trup este din Dumnezeu; 3şi tot duhul care nu mărturiseşte că Iisus Hristos a venit în trup nu este din Dumnezeu; şi acesta este al lui antihrist, care aţi auzit că vine, şi acum este deja în lume. 4Voi sunteţi din Dumnezeu, copii, şi i-aţi biruit pe ei, că mai mare este Cel ce este în voi decât cel ce este în lume. 5Aceia sunt din lume, de aceea din lume grăiesc şi lumea pe ei îi ascultă. 6Noi din Dumnezeu suntem; cine cunoaşte pe Dumnezeu ascultă de noi; cine nu este din Dumnezeu nu ascultă de noi. Din aceasta cunoaştem Duhul adevărului şi duhul rătăcirii.

Iubiţilor, să ne iubim unii pe alţii, pentru că iubirea este din Dumnezeu şi tot cel ce iubeşte din Dumnezeu s-a născut şi cunoaşte pe Dumnezeu. 8Cel ce nu iubeşte

ὁ Θεὸς ἀγάπη ἐστίν. 9ἐν τούτῳ ἐφανερώθη ἡ
ἀγάπη τοῦ Θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ
τὸν μονογενῆ ἀπέσταλκεν ὁ Θεὸς εἰς τὸν
κόσμον ἵνα ζήσωμεν δι' αὐτοῦ. 10ἐν τούτῳ
ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν
τὸν Θεόν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς
καὶ ἀπέστειλε τὸν υἱὸν αὐτοῦ ἱλασμὸν περὶ
τῶν ἁμαρτιῶν ἡμῶν. 11Ἀγαπητοί, εἰ οὕτως ὁ
Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν
ἀλλήλους ἀγαπᾶν. 12Θεὸν οὐδεὶς πώποτε τε-
θέαται· ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν
ἡμῖν μένει καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη
ἐστὶν ἐν ἡμῖν. 13ἐν τούτῳ γινώσκομεν ὅτι ἐν
αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ
Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. 14Καὶ ἡμεῖς
τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέ-
σταλκε τὸν υἱὸν σωτῆρα τοῦ κόσμου. 15ὃς
ἂν ὁμολογήσῃ ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ
Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ
Θεῷ. 16καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύ-
καμεν τὴν ἀγάπην ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ
Θεὸς ἀγάπη ἐστί, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ
ἐν τῷ Θεῷ μένει καὶ ὁ Θεὸς ἐν αὐτῷ. 17Ἐν
τούτῳ τετελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα
παρρησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως,
ὅτι καθώς ἐκεῖνός ἐστι, καὶ ἡμεῖς ἐσμεν ἐν
τῷ κόσμῳ τούτῳ. 18φόβος οὐκ ἔστιν ἐν τῇ
ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν
φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει, ὁ δὲ φοβού-
μενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. 19Ἡμεῖς
ἀγαπῶμεν αὐτόν, ὅτι αὐτὸς πρῶτος ἠγάπη-
σεν ἡμᾶς. 20ἐάν τις εἴπῃ ὅτι ἀγαπῶ τὸν Θεόν,
καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν·
ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν ὃν ἑώρακε,
τὸν Θεὸν ὃν οὐχ ἑώρακε πῶς δύναται ἀγα-
πᾶν; 21καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ'
αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεὸν ἀγαπᾷ καὶ
τὸν ἀδελφὸν αὐτοῦ.

n-a cunoscut pe Dumnezeu, pentru că
Dumnezeu este iubire. 9În aceasta s-a arătat iubirea lui Dumnezeu în noi, că pe Fiul
Său cel Unul-Născut L-a trimis Dumnezeu în lume, ca să fim vii prin El. 10Întru
aceasta este iubirea: nu că noi am iubit pe
Dumnezeu, ci că El ne-a iubit pe noi şi a
trimis pe Fiul Său ispăşire pentru păcatele noastre. 11Iubiților, dacă aşa ne-a iubit
Dumnezeu pe noi, şi noi datori suntem să
ne iubim unii pe alții. 12Pe Dumnezeu nimeni nu L-a văzut vreodată; dacă ne iubim
unii pe alții, Dumnezeu rămâne în noi şi iubirea Lui este desăvârşită în noi. 13În aceasta cunoaştem că în El rămânem şi El în noi,
că din Duhul Lui ne-a dat nouă. 14Şi noi
am văzut şi mărturisim că Tatăl a trimis
pe Fiul Mântuitor al lumii. 15Cel care mărturiseşte că Iisus este Fiul lui Dumnezeu,
Dumnezeu rămâne în el şi el în Dumnezeu.
16Şi noi am cunoscut şi am crezut iubirea
pe care o are Dumnezeu în noi. Dumnezeu
este iubire şi cel ce rămâne în iubire rămâne în Dumnezeu şi Dumnezeu în el. 17În
aceasta s-a desăvârşit iubirea cu noi, ca să
avem îndrăznire în ziua judecății, că, precum Acela este, şi noi suntem în lumea
aceasta. 18În iubire nu este frică, ci iubirea
desăvârşită aruncă afară frica, pentru că
frica are pedeapsa, iar cel ce se teme nu se
desăvârşeşte în iubire. 19Noi Îl iubim pe El,
pentru că El mai întâi ne-a iubit. 20Dacă
cineva spune: Iubesc pe Dumnezeu, iar pe
fratele lui îl urăşte, mincinos este! Căci cel
ce nu iubeşte pe fratele pe care l-a văzut,
pe Dumnezeu, pe Care nu L-a văzut, cum
poate să-L iubească? 21Şi această poruncă
avem de la El, ca cel care Îl iubeşte pe
Dumnezeu să iubească şi pe fratele său.

Κεφάλαιον Ε΄

Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός, ἐκ τοῦ Θεοῦ γεγέννηται, καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ. 2ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. 3αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν, 4ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα τὸν κόσμον, ἡ πίστις ἡμῶν. 5τίς ἐστιν ὁ νικῶν τὸν κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ; 6Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον, ἀλλ' ἐν τῷ ὕδατι καὶ τῷ αἵματι· καὶ τὸ Πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ Πνεῦμά ἐστιν ἡ ἀλήθεια. 7ὅτι τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῷ οὐρανῷ, ὁ Πατήρ, ὁ Λόγος καὶ τὸ Ἅγιον Πνεῦμα, καὶ οὗτοι οἱ τρεῖς ἕν εἰσι· 8καὶ τρεῖς εἰσιν οἱ μαρτυροῦντες ἐν τῇ γῇ, τὸ Πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν. 9εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία τοῦ Θεοῦ μείζων ἐστίν· ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ Θεοῦ ἣν μεμαρτύρηκε περὶ τοῦ υἱοῦ αὐτοῦ. 10ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ Θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν αὐτῷ· ὁ μὴ πιστεύων τῷ Θεῷ ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ Θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ. 11καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ Θεός, καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν. 12ὁ ἔχων τὸν

Capitolul 5

Tot cel ce crede că Iisus este Hristosul este născut din Dumnezeu şi tot cel ce iubeşte pe Cel care a născut iubeşte şi pe Cel născut din El. 2În aceasta cunoaştem că iubim pe fiii lui Dumnezeu, când iubim pe Dumnezeu şi ţinem poruncile Lui. 3Căci aceasta este iubirea lui Dumnezeu: Să ţinem poruncile Lui; şi poruncile Lui nu sunt grele, 4pentru că tot ce este născut din Dumnezeu biruieşte lumea; şi aceasta este biruinţa care a biruit lumea: credinţa noastră. 5Cine este cel ce biruieşte lumea dacă nu cel ce crede că Iisus este Fiul lui Dumnezeu? 6Acesta este Cel care a venit prin apă şi sânge: Iisus Hristos; nu numai prin apă, ci prin apă şi sânge; şi Duhul este Cel ce mărturiseşte, pentru că Duhul este adevărul. 7Că trei sunt cei care mărturisesc în cer: Tatăl, Cuvântul şi Sfântul Duh, şi Aceştia Trei Una sunt; 8şi trei sunt care mărturisesc pe pământ: Duhul şi apa şi sângele, şi cei trei întru una sunt. 9Dacă primim mărturia oamenilor, mărturia lui Dumnezeu este mai mare; că aceasta este mărturia lui Dumnezeu pe care a mărturisit-o despre Fiul Său. 10Cel ce crede în Fiul lui Dumnezeu are mărturia în el; cel ce nu crede lui Dumnezeu, L-a făcut pe El mincinos, pentru că n-a crezut în mărturia pe care a mărturisit-o Dumnezeu despre Fiul Său. 11Şi aceasta este mărturia, că viaţă veşnică ne-a dat nouă Dumnezeu şi această viaţă este în Fiul Lui. 12Cel ce are pe Fiul

υἱὸν ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ Θεοῦ τὴν ζωὴν οὐκ ἔχει.

13Ταῦτα ἔγραψα ὑμῖν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ Θεοῦ, ἵνα εἰδῆτε ὅτι ζωὴν αἰώνιον ἔχετε, καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ Θεοῦ. 14καὶ αὕτη ἐστὶν ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτόν, ὅτι ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ, ἀκούει ἡμῶν. 15καὶ ἐὰν οἴδαμεν ὅτι ἀκούει ἡμῶν ὃ ἂν αἰτώμεθα, οἴδαμεν ὅτι ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν παρ' αὐτοῦ. 16Ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει, καὶ δώσει αὐτῷ ζωήν, τοῖς ἁμαρτάνουσι μὴ πρὸς θάνατον. ἔστιν ἁμαρτία πρὸς θάνατον· οὐ περὶ ἐκείνης λέγω ἵνα ἐρωτήσῃ. 17πᾶσα ἀδικία ἁμαρτία ἐστί· καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. 18Οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ οὐχ ἁμαρτάνει, ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ Θεοῦ τηρεῖ ἑαυτόν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ. 19οἴδαμεν ὅτι ἐκ τοῦ Θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται. 20οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ Θεοῦ ἥκει καὶ δέδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκωμεν τὸν ἀληθινόν· καὶ ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος. 21Τεκνία, φυλάξατε ἑαυτοὺς ἀπὸ τῶν εἰδώλων· ἀμήν.

are viața; cel ce nu-L are pe Fiul lui Dumnezeu nu are viața.

13Acestea vi le-am scris vouă, celor care credeți în numele Fiului lui Dumnezeu, ca să știți că aveți viață veșnică și ca să credeți în numele Fiului lui Dumnezeu. 14Și aceasta este îndrăznirea pe care o avem către El, că, dacă cerem ceva după voia Lui, ne ascultă. 15Și dacă știm că ne ascultă, orice am cere, știm că avem cererile pe care le-am cerut de la El. 16Dacă vede cineva pe fratele său păcătuind – păcat nu de moarte –, să ceară și îi va da lui viață – celor ce păcătuiesc, dar nu de moarte. Este păcat de moarte; nu pentru acela zic să se roage. 17Toată nedreptatea este păcat; dar este și păcat care nu e de moarte. 18Știm că tot cel născut din Dumnezeu nu păcătuiește, ci cel ce s-a născut din Dumnezeu se păzește pe sine și cel rău nu se atinge de el. 19Știm că din Dumnezeu suntem și lumea întreagă zace în cel viclean. 20Și știm că Fiul lui Dumnezeu a venit și ne-a dat nouă cuget ca să cunoaștem pe Cel adevărat; și noi suntem în Cel adevărat, în Fiul Lui, Iisus Hristos. Acesta este adevăratul Dumnezeu și viața veșnică. 21Copii, păziți-vă de idoli. Amin.



A DOUA EPISTOLĂ A LUI IOAN

Ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ καὶ τοῖς τέκνοις αὐτῆς, οὓς ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ, καὶ οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πάντες οἱ ἐγνωκότες τὴν ἀλήθειαν, 2διὰ τὴν ἀλήθειαν τὴν μένουσαν ἐν ἡμῖν, καὶ μεθ' ἡμῶν ἔσται εἰς τὸν αἰῶνα· 3ἔσται μεθ' ὑμῶν χάρις, ἔλεος, εἰρήνη παρὰ Θεοῦ πατρὸς καὶ παρὰ Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ τοῦ πατρός, ἐν ἀληθείᾳ καὶ ἀγάπῃ.

Preotul către aleasa Doamnă şi către fiii ei, pe care eu îi iubesc în adevăr – şi nu numai eu, ci şi toţi care au cunoscut adevărul –, 2pentru adevărul care rămâne în noi şi care va fi cu noi în veac. 3Fie cu voi har, milă, pace, de la Dumnezeu-Tatăl şi de la Domnul Iisus Hristos, Fiul Tatălui, în adevăr şi dragoste.

Ἐχάρην λίαν ὅτι εὕρηκα ἐκ τῶν τέκνων σου περιπατοῦντας ἐν ἀληθείᾳ, καθὼς ἐντολὴν ἐλάβομεν παρὰ τοῦ πατρός. 5καὶ νῦν ἐρωτῶ σε, κυρία, οὐχ ὡς ἐντολὴν γράφων σοι καινήν, ἀλλὰ ἣν εἴχομεν ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους. 6καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα περιπατῶμεν κατὰ τὰς ἐντολὰς αὐτοῦ. αὕτη ἐστὶν ἡ ἐντολή, καθὼς ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε. 7ὅτι πολλοὶ πλάνοι εἰσῆλθον εἰς τὸν κόσμον, οἱ μὴ ὁμολογοῦντες Ἰησοῦν Χριστὸν ἐρχόμενον ἐν σαρκί· οὗτός ἐστιν ὁ πλάνος καὶ ὁ ἀντίχριστος. 8βλέπετε ἑαυτούς, ἵνα μὴ ἀπολέσωμεν ἃ εἰργασάμεθα, ἀλλὰ μισθὸν πλήρη

Mam bucurat foarte că am aflat pe unii din fiii tăi umblând întru adevăr, precum am luat poruncă de la Tatăl. 5Şi acum te rog, Doamnă, nu ca şi cum ţi-aş scrie poruncă nouă, ci pe cea pe care o avem de la început, să ne iubim unii pe alţii. 6Şi aceasta este iubirea, să umblăm după poruncile Lui. Aceasta este porunca, precum aţi auzit dintru început, ca să umblaţi întru ea. 7Că mulţi amăgitori au intrat în lume, care nu mărturisesc că Iisus Hristos a venit în trup; acesta este amăgitorul şi antihristul. 8Luaţi seama la voi înşivă, ca să nu pierdem ceea ce am lucrat, ci să pri-

ἀπολάβωμεν. 9πᾶς ὁ παραβαίνων καὶ μὴ μέ-
νων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ Θεὸν οὐκ ἔχει·
ὁ μένων ἐν τῇ διδαχῇ τοῦ Χριστοῦ, οὗτος καὶ
τὸν πατέρα καὶ τὸν υἱὸν ἔχει. 10εἴ τις ἔρχεται
πρὸς ὑμᾶς καὶ ταύτην τὴν διδαχὴν οὐ φέρει,
μὴ λαμβάνετε αὐτὸν εἰς οἰκίαν, καὶ χαίρειν
αὐτῷ μὴ λέγετε· 11ὁ γὰρ λέγων αὐτῷ χαίρειν
κοινωνεῖ τοῖς ἔργοις αὐτοῦ τοῖς πονηροῖς.

Πολλὰ ἔχων ὑμῖν γράφειν, οὐκ ἠβουλήθην
διὰ χάρτου καὶ μέλανος, ἀλλὰ ἐλπίζω
ἐλθεῖν πρὸς ὑμᾶς καὶ στόμα πρὸς στόμα
λαλῆσαι, ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη.
13ἀσπάζεταί σε τὰ τέκνα τῆς ἀδελφῆς σου
τῆς ἐκλεκτῆς· ἀμήν.

mim plată deplină. 9Tot cel ce se abate şi
nu rămâne în învăţătura lui Hristos nu are
pe Dumnezeu; cel ce rămâne în învăţătu-
ra lui Hristos, acesta are şi pe Tatăl, şi pe
Fiul. 10Dacă cineva vine la voi şi nu aduce
învăţătura aceasta, să nu-l primiţi în casă
şi să nu-i ziceţi: Bucură-te! 11Căci cel ce-i
zice: Bucură-te! se face părtaş la faptele
lui cele viclene.

Multe având a vă scrie, n-am voit prin
hârtie şi cerneală, ci nădăjduiesc să
vin la voi şi să vorbesc gură către gură, ca
bucuria noastră să fie deplină. 13Te îmbrăţi-
şează fiii surorii tale celei alese. Amin!



A TREIA EPISTOLĂ A LUI IOAN

1 Πρεσβύτερος Γαΐῳ τῷ ἀγαπητῷ, ὃν ἐγὼ ἀγαπῶ ἐν ἀληθείᾳ. 2 Ἀγαπητέ, περὶ πάντων εὔχομαί σε εὐοδοῦσθαι καὶ ὑγιαίνειν, καθὼς εὐοδοῦταί σου ἡ ψυχή. 3 ἐχάρην γὰρ λίαν ἐρχομένων ἀδελφῶν καὶ μαρτυρούντων σου τῇ ἀληθείᾳ, καθὼς σὺ ἐν ἀληθείᾳ περιπατεῖς. 4 μειζοτέραν τούτων οὐκ ἔχω χαράν, ἵνα ἀκούω τὰ ἐμά τέκνα ἐν ἀληθείᾳ περιπατοῦντα.

1 Preotul, către Gaius cel iubit, pe care eu îl iubesc în adevăr: 2 Iubitule, pentru toate mă rog să sporeşti şi să fii sănătos, precum sporeşte sufletul tău. 3 Căci m-am bucurat foarte venind fraţi şi mărturisind despre adevărul tău, aşa cum umbli tu în adevăr. 4 Mai mare bucurie decât acestea nu am, ca să aud că fiii mei umblă în adevăr.

5 Ἀγαπητέ, πιστὸν ποιεῖς ὃ ἐὰν ἐργάσῃ εἰς τοὺς ἀδελφοὺς καὶ εἰς τοὺς ξένους, 6 οἳ ἐμαρτύρησάν σου τῇ ἀγάπῃ ἐνώπιον ἐκκλησίας, οὓς καλῶς ποιήσεις προπέμψας ἀξίως τοῦ θεοῦ. 7 ὑπὲρ γὰρ τοῦ ὀνόματος ἐξῆλθον, μηδὲν λαμβάνοντες ἀπὸ τῶν ἐθνικῶν. 8 ἡμεῖς οὖν ὀφείλομεν ἀπολαμβάνειν τοὺς τοιούτους, ἵνα συνεργοὶ γινώμεθα τῇ ἀληθείᾳ. 9 Ἔγραψα τῇ ἐκκλησίᾳ ἀλλ' ὁ φιλοπρωτεύων αὐτῶν Διοτρεφὴς οὐκ ἐπιδέχεται ἡμᾶς. 10 διὰ τοῦτο, ἐὰν ἔλθω, ὑπομνήσω αὐτοῦ τὰ ἔργα ἃ ποιεῖ, λόγοις πονηροῖς φλυαρῶν ἡμᾶς· καὶ μὴ ἀρκούμενος ἐπὶ τούτοις οὔτε αὐτὸς ἐπιδέχεται τοὺς ἀδελφοὺς καὶ τοὺς βουλομένους κωλύει

5 Iubitule, cu credinţă faci tot ceea ce lucrezi către fraţi şi către străini, 6 care au dat mărturie despre dragostea ta înaintea Bisericii, pe care bine vei face de-i vei petrece în chip vrednic de Dumnezeu. 7 Căci pentru Nume au ieşit ei, neluând nimic de la păgâni. 8 Deci noi datori suntem să îi primim pe unii ca aceştia, ca să ne facem împreună-lucrători cu adevărul. 9 Am scris Bisericii, dar Diotref, iubitorul de întâietate între ei, nu ne primeşte. 10 Pentru aceea, dacă voi veni, îi voi aminti de faptele pe care le face, bârfindu-ne cu cuvinte viclene; şi nemulţumindu-se cu acestea, nici el nu-i

καὶ ἐκ τῆς ἐκκλησίας ἐκβάλλει. 11Ἀγαπητέ, μὴ μιμοῦ τὸ κακόν, ἀλλὰ τὸ ἀγαθόν. ὁ ἀγαθοποιῶν ἐκ τοῦ θεοῦ ἐστιν· ὁ κακοποιῶν οὐχ ἑώρακε τὸν θεόν. 12Δημητρίῳ μεμαρτύρηται ὑπὸ πάντων καὶ ὑπ' αὐτῆς τῆς ἀληθείας· καὶ ἡμεῖς δὲ μαρτυροῦμεν, καὶ οἶδατε ὅτι ἡ μαρτυρία ἡμῶν ἀληθής ἐστι. 13Πολλὰ εἶχον γράφειν, ἀλλ' οὐ θέλω διὰ μέλανος καὶ καλάμου σοι γράψαι· 14ἐλπίζω δὲ εὐθέως ἰδεῖν σε, καὶ στόμα πρὸς στόμα λαλήσομεν. 15Εἰρήνη σοι. ἀσπάζονταί σε οἱ φίλοι. ἀσπάζου τοὺς φίλους κατ' ὄνομα.

primeşte pe fraţi, iar pe cei care voiesc să-i primească îi opreşte şi-i scoate din Biserică. 11Iubitule, nu urma răul, ci binele. Cel ce face binele este din Dumnezeu; cel ce face răul n-a văzut pe Dumnezeu. 12Lui Dimitrie i s-a dat mărturie de către toţi şi de către adevărul însuşi; dar şi noi dăm mărturie şi ştiţi că mărturia noastră este adevărată. 13Multe aveam să scriu, dar nu voiesc să-ţi scriu cu cerneală şi condei, 14ci nădăjduiesc să te văd îndată şi vom grăi gură către gură. 15Pace ţie! Te îmbrăţişează prietenii. Îmbrăţişează-i pe prieteni, pe fiecare după numele lui.



EPISTOLA LUI IUDA

Ἰούδας, Ἰησοῦ Χριστοῦ δοῦλος, ἀδελφὸς δὲ Ἰακώβου τοῖς ἐν Θεῷ πατρὶ ἡγιασμένοις καὶ Ἰησοῦ Χριστῷ τετηρημένοις κλητοῖς· 2ἔλεος ὑμῖν καὶ εἰρήνη καὶ ἀγάπη πληθυνθείη.

Iuda, rob al lui Iisus Hristos şi frate al lui Iacov, celor chemaţi, sfinţiţi în Dumnezeu-Tatăl şi păstraţi pentru Iisus Hristos. 2Mila şi pacea şi iubirea să vi se înmulţească!

ἀγαπητοί, πᾶσαν σπουδὴν ποιούμενος γράφειν ὑμῖν περὶ τῆς κοινῆς σωτηρίας, ἀνάγκην ἔσχον γράψαι ὑμῖν παρακαλῶν ἐπαγωνίζεσθαι τῇ ἅπαξ παραδοθείσῃ τοῖς ἁγίοις πίστει. 4παρεισέδυσαν γάρ τινες ἄνθρωποι, οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα, ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν μόνον δεσπότην καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι. 5Ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι, εἰδότας ὑμᾶς ἅπαξ τοῦτο ὅτι ὁ Κύριος λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν, 6ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν· 7ὡς Σόδομα καὶ Γόμορρα καὶ αἱ περὶ αὐτὰς πόλεις τὸν ὅμοιον τούτοις τρόπον ἐκπορνεύσασαι καὶ ἀπελθοῦσαι ὀπίσω

Iubiţilor, dându-mi toată silinţa să vă scriu despre mântuirea obştească, am simţit nevoia să vă scriu, îndemnându-vă să vă luptaţi pentru credinţa dată sfinţilor o dată pentru totdeauna. 4Căci s-au strecurat unii oameni, care de demult au fost scrişi spre această osândă, rău-cinstitori, care au schimbat harul Dumnezeului nostru în destrăbălare şi care tăgăduiesc pe singurul nostru Stăpân şi Domn, Iisus Hristos. 5Şi voiesc să vă aduc aminte vouă, celor ce aţi aflat o dată pentru totdeauna aceasta: Domnul, după ce a mântuit poporul din Egipt, mai apoi i-a pierdut pe cei ce n-au crezut, 6şi pe îngerii care nu şi-au păzit dregătoria, ci şi-au părăsit locaşul lor, i-a ţinut sub întuneric, în lanţuri veşnice, spre judecata zilei celei mari. 7Precum Sodoma şi Gomora şi cetăţile dimprejurul lor, care

σαρκὸς ἑτέρας πρόκεινται δεῖγμα, πυρὸς αἰωνίου δίκην ὑπέχουσαι. 8ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι σάρκα μὲν μιαίνουσι, κυριότητα δὲ ἀθετοῦσι, δόξας δὲ βλασφημοῦσιν. 9ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος, ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν· ἐπιτιμήσαι σοι Κύριος. 10οὗτοι δὲ ὅσα μὲν οὐκ οἴδασι βλασφημοῦσιν, ὅσα δὲ φυσικῶς ὡς τὰ ἄλογα ζῷα ἐπίστανται, ἐν τούτοις φθείρονται. 11οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν, καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ μισθοῦ ἐξεχύθησαν, καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο. 12Οὗτοί εἰσιν ἐν ταῖς ἀγάπαις ὑμῶν σπιλάδες, συνευωχούμενοι ἀφόβως, ἑαυτοὺς ποιμαίνοντες, νεφέλαι ἄνυδροι ὑπὸ ἀνέμων παραφερόμεναι, δένδρα φθινοπωρινά, ἄκαρπα, δὶς ἀποθανόντα, ἐκριζωθέντα, 13κύματα ἄγρια θαλάσσης ἐπαφρίζοντα τὰς ἑαυτῶν αἰσχύνας, ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς τὸν αἰῶνα τετήρηται. 14προεφήτευσε δὲ καὶ τούτοις ἕβδομος ἀπὸ Ἀδὰμ Ἐνὼχ λέγων· ἰδοὺ ἦλθε Κύριος ἐν ἁγίαις μυριάσιν αὐτοῦ, 15ποιῆσαι κρίσιν κατὰ πάντων καὶ ἐλέγξαι πάντας τοὺς ἀσεβεῖς αὐτῶν περὶ πάντων τῶν ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐλάλησαν κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς. 16Οὗτοί εἰσι γογγυσταί, μεμψίμοιροι, κατὰ τὰς ἐπιθυμίας αὐτῶν πορευόμενοι, καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα, θαυμάζοντες πρόσωπα ὠφελείας χάριν.

Ὑμεῖς δέ, ἀγαπητοί, μνήσθητε τῶν ῥημάτων τῶν προειρημένων ὑπὸ τῶν ἀποστόλων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 18ὅτι ἔλεγον ὑμῖν ὅτι ἐν ἐσχάτῳ χρόνῳ ἔσονται ἐμπαῖκται κατὰ τὰς ἑαυτῶν ἐπιθυμίας πορευόμενοι

au desfrânat în acelaşi chip ca aceştia şi au umblat după trup străin, stau înainte ca pildă, suferind pedeapsa focului celui veşnic. 8Asemenea deci şi aceştia, visând, pângăresc trupul, nesocotesc stăpânirea şi hulesc slăvile. 9Mihail Arhanghelul, când, împotrivindu-se diavolului, se certa pentru trupul lui Moise, n-a îndrăznit să aducă judecată de hulă, ci a zis: Ceartă-te pe tine Domnul! 10Dar aceştia câte nu ştiu hulesc şi câte din fire, ca nişte dobitoace necuvântătoare, ştiu, în acestea se strică. 11Vai lor! Că în calea lui Cain au umblat şi, pentru plată, s-au dat cu totul în rătăcirea lui Valaam şi în împotrivirea lui Core au pierit. 12Aceştia sunt la agapele voastre ca nişte pete, ospătându-se împreună fără frică, pe sine păstorindu-se, nori fără apă, purtaţi de vânturi, pomi tomnatici, neroditori, de două ori murind, dezrădăcinaţi, 13valuri sălbatice ale mării, spumegându-şi ruşinile lor, stele rătăcitoare, cărora negura întunericului li se păstrează în veac. 14Şi a proorocit şi acestora al şaptelea de la Adam, Enoh, zicând: Iată, a venit Domnul cu sfintele zeci de mii ale Lui, 15ca să facă judecată împotriva tuturor şi să mustre pe toţi rău-cinstitorii lor pentru toate lucrurile relei-cinstiri a lor, prin care L-au necinstit pe Dumnezeu, şi pentru toate cuvintele grele pe care le-au grăit împotriva Lui păcătoşii rău-cinstitori. 16Aceştia sunt cârtitori, nemulţumiţi cu soarta lor, umblând după poftele lor, şi gura lor grăieşte vorbe trufaşe, lăudând feţele înalte, de dragul folosului.

Voi, însă, iubiţilor, aduceţi-vă aminte de cuvintele cele mai dinainte grăite de către apostolii Domnului nostru Iisus Hristos, 18că ei vă spuneau că în vremea de pe urmă vor fi batjocoritori, umblând după poftele

τῶν ἀσεβειῶν. 19Οὗτοί εἰσιν οἱ ἀποδιορίζοντες, ψυχικοί, Πνεῦμα μὴ ἔχοντες. 20Ὑμεῖς δέ, ἀγαπητοί, τῇ ἁγιωτάτῃ ὑμῶν πίστει ἐποικοδομοῦντες ἑαυτούς, ἐν Πνεύματι Ἁγίῳ προσευχόμενοι, 21ἑαυτοὺς ἐν ἀγάπῃ Θεοῦ τηρήσατε, προσδεχόμενοι τὸ ἔλεος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ζωὴν αἰώνιον. 22καὶ οὓς μὲν ἐλεεῖτε διακρινόμενοι, 23οὓς δὲ ἐν φόβῳ σῴζετε, ἐκ τοῦ πυρὸς ἁρπάζοντες, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα.

Τῷ δὲ δυναμένῳ φυλάξαι αὐτοὺς ἀπταίστους καὶ στῆσαι κατενώπιον τῆς δόξης αὐτοῦ ἀμώμους ἐν ἀγαλλιάσει, 25μόνῳ σοφῷ Θεῷ σωτῆρι ἡμῶν, δόξα καὶ μεγαλωσύνη, κράτος καὶ ἐξουσία καὶ νῦν καὶ εἰς πάντας τοὺς αἰῶνας· ἀμήν.

lor, ale faptelor lor de rea-cinstire. 19Aceştia sunt dezbinători, sufleteşti, care nu au Duh. 20Iar voi, iubiților, prin credința voastră preasfântă zidindu-vă pe voi înşivă, în Duhul Sfânt rugându-vă, 21păziți-vă în iubirea lui Dumnezeu, aşteptând mila Domnului nostru Iisus Hristos, spre viață veşnică. 22Şi pe unii miluiți-i, făcând deosebire, 23iar pe alții cu frică mântuiți-i, răpindu-i din foc, urând şi cămaşa întinată de trup.

Şi Celui ce poate să vă păzească pe voi nepoticniți şi să vă pună înaintea slavei Lui fără prihană, întru veselie, 25singurului, înțeleptului Dumnezeu, Mântuitorul nostru, slavă şi mărire, stăpânire şi putere, şi acum şi întru toți vecii. Amin!

APOCALIPSA LUI IOAN

Κεφάλαιον Α΄

Capitolul 1

Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ Θεός, δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει, καὶ ἐσήμανεν ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ, 2ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ Θεοῦ καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ, ὅσα εἶδε. 3μακάριος ὁ ἀναγινώσκων καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα· ὁ γὰρ καιρὸς ἐγγύς.

Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων, ἃ ἐνώπιον τοῦ θρόνου αὐτοῦ, 5καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ, ὁ μάρτυς ὁ πιστός, ὁ πρωτότοκος τῶν νεκρῶν καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς. τῷ ἀγαπῶντι ἡμᾶς καὶ λούσαντι ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν ἐν τῷ αἵματι αὐτοῦ, 6καὶ ἐποίησεν ἡμᾶς βασιλείαν, ἱερεῖς τῷ Θεῷ καὶ πατρὶ αὐτοῦ, αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν. 7Ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ

Descoperirea lui Iisus Hristos, pe care I-a dat-o Dumnezeu, ca să le arate robilor Săi cele ce trebuie să se întâmple degrabă, şi, trimiţând-o prin îngerul Lui, a arătat-o prin semne robului Său Ioan, 2care a mărturisit cuvântul lui Dumnezeu şi mărturia lui Iisus Hristos, câte a văzut. 3Fericit cel ce citeşte şi cei ce ascultă cuvintele proorociei şi ţin cele scrise în ea! Căci vremea este aproape.

Ioan, celor şapte Biserici, care sunt în Asia: Har vouă şi pace de la Dumnezeu, Cel ce este şi Cel ce era şi Cel ce vine, şi de la cele şapte duhuri care sunt înaintea tronului Lui 5şi de la Iisus Hristos, Martorul cel credincios, Cel întâi născut din morţi, şi Stăpânitorul împăraţilor pământului. Lui, Celui care ne iubeşte şi ne-a spălat de păcatele noastre întru sângele Său 6şi ne-a făcut pe noi împărăţie, preoţi lui Dumnezeu şi Tatălui Său, Lui fie slava şi stăpânirea în vecii vecilor. Amin! 7Iată, vine cu norii şi Îl va

ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν, καὶ κόψονται ἐπ᾽ αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ναί, ἀμήν. 8Ἐγώ εἰμι τὸ
A καὶ τὸ Ω, λέγει Κύριος ὁ Θεός, ὁ ὢν καὶ ὁ
ἦν καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.

Ἐγὼ Ἰωάννης, ὁ ἀδελφὸς ὑμῶν καὶ συγκοινωνὸς ἐν τῇ θλίψει καὶ βασιλείᾳ καὶ ὑπομονῇ ἐν Ἰησοῦ Χριστῷ, ἐγενόμην ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτμῳ διὰ τὸν λόγον τοῦ Θεοῦ καὶ διὰ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ. 10ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ ἡμέρᾳ, καὶ ἤκουσα φωνὴν ὀπίσω μου μεγάλην ὡς σάλπιγγος 11λεγούσης· ὃ βλέπεις γράψον εἰς βιβλίον καὶ πέμψον ταῖς ἑπτὰ ἐκκλησίαις, εἰς Ἔφεσον καὶ εἰς Σμύρναν καὶ εἰς Πέργαμον καὶ εἰς Θυάτειρα καὶ εἰς Σάρδεις καὶ εἰς Φιλαδέλφειαν καὶ εἰς Λαοδίκειαν. 12Καὶ ἐκεῖ ἐπέστρεψα βλέπειν τὴν φωνὴν ἥτις ἐλάλει μετ᾽ ἐμοῦ· καὶ ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς, 13καὶ ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν ὅμοιον υἱῷ ἀνθρώπου, ἐνδεδυμένον ποδήρη καὶ περιεζωσμένον πρὸς τοῖς μαστοῖς ζώνην χρυσῆν· 14ἡ δὲ κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες λευκαὶ ὡς ἔριον λευκόν, ὡς χιών, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός, 15καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ, ὡς ἐν καμίνῳ πεπυρωμένοι, καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδάτων πολλῶν, 16καὶ ἔχων ἐν τῇ δεξιᾷ χειρὶ αὐτοῦ ἀστέρας ἑπτά, καὶ ἐκ τοῦ στόματος αὐτοῦ ῥομφαία δίστομος ὀξεῖα ἐκπορευομένη, καὶ ἡ ὄψις αὐτοῦ ὡς ὁ ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ. 17Καὶ ὅτε εἶδον αὐτόν, ἔπεσα πρὸς τοὺς πόδας αὐτοῦ ὡς νεκρός, καὶ ἔθηκε τὴν δεξιὰν αὐτοῦ χεῖρα ἐπ᾽ ἐμὲ λέγων· μὴ φοβοῦ· ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος 18καὶ ὁ ζῶν, καὶ ἐγενόμην νεκρός, καὶ ἰδοὺ ζῶν εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ ἔχω τὰς κλεῖς τοῦ θανάτου καὶ τοῦ ᾅδου. 19γράψον οὖν ἃ εἶδες, καὶ ἃ εἰσι καὶ ἃ μέλλει γίνεσθαι μετὰ ταῦτα· 20τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων ὧν εἶδες

vedea pe El tot ochiul şi cei ce L-au împuns şi se vor jeli din pricina Lui toate seminţiile pământului. Da. Amin. 8Eu sunt Alfa şi Omega, zice Domnul Dumnezeu, Cel ce este şi Cel ce era şi Cel ce vine, Atotţiitorul.

Eu Ioan, fratele vostru şi împreună-părtaş la strâmtorarea şi la împărăţia şi la răbdarea în Iisus Hristos, fost-am în insula ce se cheamă Patmos pentru cuvântul lui Dumnezeu şi pentru mărturia lui Iisus Hristos. 10Fost-am în duh în ziua domnească şi am auzit glas dinapoia mea, mare ca de trâmbiţă, 11zicând: Ceea ce vezi scrie în carte şi trimite celor şapte Biserici: la Efes, şi la Smirna, şi la Pergam, şi la Tiatira, şi la Sardes, şi la Filadelfia, şi la Laodiceea. 12Şi acolo m-am întors să văd glasul care vorbea cu mine; şi, întorcându-mă, am văzut şapte sfeşnice de aur, 13şi în mijlocul celor şapte sfeşnice pe Cineva asemenea Fiului Omului, îmbrăcat în veşmânt lung până la picioare şi încins până la sâni cu un brâu de aur; 14şi capul Lui şi părul albe ca lâna albă, ca zăpada, şi ochii Lui ca para focului, 15şi picioarele Lui asemenea aramei de culoarea tămâii, aprinse ca în cuptor, şi glasul Lui era ca glas de ape multe; 16şi avea în mâna Lui dreaptă şapte stele; şi din gura Lui ieşea o sabie cu două tăişuri, ascuţită, şi faţa Lui aşa cum soarele străluceşte în puterea lui. 17Şi când L-am văzut, am căzut la picioarele Lui ca mort. Şi a pus mâna Lui dreaptă peste mine, zicând: Nu te teme! Eu sunt Cel dintâi şi Cel de pe urmă 18şi Cel ce sunt viu; şi am fost mort şi, iată, viu sunt în vecii vecilor şi am cheile morţii şi ale iadului. 19Scrie, deci, cele ce ai văzut şi cele ce sunt şi cele ce au să fie după acestea! 20Taina celor şapte stele, pe care le-ai văzut în dreapta Mea, şi cele şapte sfeşnice

ἐπὶ τῆς δεξιᾶς μου, καὶ τὰς ἑπτὰ λυχνίας τὰς χρυσᾶς. οἱ ἑπτὰ ἀστέρες ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσι, καὶ αἱ λυχνίαι αἱ ἑπτὰ ἑπτὰ ἐκκλησίαι εἰσίν.

cele de aur: cele şapte stele sunt îngeri ai celor şapte Biserici, şi sfeşnicele cele şapte sunt şapte Biserici.

Κεφάλαιον Β΄

Τῷ ἀγγέλῳ τῆς ἐν Ἐφέσῳ ἐκκλησίας γράψον· τάδε λέγει ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν· 2οἶδα τὰ ἔργα σου καὶ τὸν κόπον σου καὶ τὴν ὑπομονήν σου, καὶ ὅτι οὐ δύνῃ βαστάσαι κακούς, καὶ ἐπείρασας τοὺς λέγοντας ἑαυτοὺς ἀποστόλους εἶναι, καὶ οὐκ εἰσί, καὶ εὗρες αὐτοὺς ψευδεῖς· 3καὶ ὑπομονὴν ἔχεις, καὶ ἐβάστασας διὰ τὸ ὄνομά μου, καὶ οὐ κεκοπίακας. 4ἀλλὰ ἔχω κατὰ σοῦ, ὅτι τὴν ἀγάπην σου τὴν πρώτην ἀφῆκας. 5μνημόνευε οὖν πόθεν πέπτωκας, καὶ μετανόησον καὶ τὰ πρῶτα ἔργα ποίησον· εἰ δὲ μή, ἔρχομαί σοι ταχὺ καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ τόπου αὐτῆς, ἐὰν μὴ μετανοήσῃς. 6ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊτῶν, ἃ κἀγὼ μισῶ. 7Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις. Τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, ὅ ἐστιν ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ μου.

Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Σμύρνῃ ἐκκλησίας γράψον· τάδε λέγει ὁ πρῶτος καὶ ὁ ἔσχατος, ὃς ἐγένετο νεκρὸς καὶ ἔζησεν· 9οἶδά σου τὰ ἔργα καὶ τὴν θλῖψιν καὶ τὴν πτωχείαν –ἀλλὰ πλούσιος εἶ– καὶ τὴν βλασφημίαν ἐκ τῶν λεγόντων Ἰουδαίους εἶναι ἑαυτούς, καὶ οὐκ εἰσίν, ἀλλὰ συναγωγὴ τοῦ σατανᾶ. 10μηδὲν

Capitolul 2

Îngerului Bisericii din Efes scrie-i: Acestea zice Cel ce ţine cele şapte stele în dreapta Lui, Cel ce umblă în mijlocul celor şapte sfeşnice de aur: 2Ştiu faptele tale şi osteneala ta şi răbdarea ta şi că nu-i poţi suferi pe cei răi şi i-ai cercat pe cei ce îşi zic apostoli şi nu sunt şi i-ai aflat pe ei mincinoşi; 3şi ai răbdare şi ai îndurat pentru numele Meu şi n-ai obosit. 4Dar am împotriva ta faptul că dragostea ta cea dintâi ai lăsat-o. 5Deci, adu-ţi aminte de unde ai căzut şi pocăieşte-te şi săvârşeşte faptele cele dintâi; iar de nu, vin la tine degrabă şi voi mişca sfeşnicul tău din locul lui, dacă nu te vei pocăi. 6Dar ai aceasta: urăşti faptele nicolaiţilor, pe care şi Eu le urăsc. 7Cel ce are urechi să audă ceea ce Duhul zice Bisericilor: Celui ce biruieşte îi voi da să mănânce din lemnul vieţii, care este în raiul Dumnezeului meu.

Iar îngerului Bisericii din Smirna, scrie-i: Acestea zice Cel dintâi şi Cel de pe urmă, Care a fost mort şi a înviat: 9Ştiu faptele tale şi strâmtorarea şi sărăcia ta – dar eşti bogat – şi hula de la cei ce îşi zic iudei şi nu sunt, ci sinagogă a satanei. 10Întru nimic nu te teme de cele ce ai să pătimeşti. Iată, dar, diavolul are să arunce dintre voi în temniţă,

φοβοῦ ἃ μέλλεις παθεῖν. ἰδοὺ δὴ μέλλει βαλεῖν ὁ διάβολος ἐξ ὑμῶν εἰς φυλακὴν ἵνα πειρασθῆτε, καὶ ἕξετε θλῖψιν ἡμέρας δέκα. γίνου πιστὸς ἄχρι θανάτου, καὶ δώσω σοι τὸν στέφανον τῆς ζωῆς. 11Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις. Ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου.

Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Περγάμῳ ἐκκλησίας γράψον· τάδε λέγει ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίστομον τὴν ὀξεῖαν· 13οἶδα τὰ ἔργα σου καὶ ποῦ κατοικεῖς· ὅπου ὁ θρόνος τοῦ σατανᾶ· καὶ κρατεῖς τὸ ὄνομά μου, καὶ οὐκ ἠρνήσω τὴν πίστιν μου καὶ ἐν ταῖς ἡμέραις αἷς Ἀντίπας ὁ μάρτυς μου ὁ πιστός, ὃς ἀπεκτάνθη παρ' ὑμῖν, ὅπου ὁ σατανᾶς κατοικεῖ. 14ἀλλὰ ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν Βαλαάμ, ὃς ἐδίδαξε τὸν Βαλὰκ βαλεῖν σκάνδαλον ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ καὶ φαγεῖν εἰδωλόθυτα καὶ πορνεῦσαι. 15οὕτως ἔχεις καὶ σὺ κρατοῦντας τὴν διδαχὴν τῶν Νικολαϊτῶν ὁμοίως. 16μετανόησον οὖν· εἰ δὲ μή, ἔρχομαί σοι ταχὺ καὶ πολεμήσω μετ' αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός μου. 17Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις. Τῷ νικῶντι δώσω αὐτῷ τοῦ μάννα τοῦ κεκρυμμένου, καὶ δώσω αὐτῷ ψῆφον λευκήν, καὶ ἐπὶ τὴν ψῆφον ὄνομα καινὸν γεγραμμένον, ὃ οὐδεὶς οἶδεν εἰ μὴ ὁ λαμβάνων.

Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Θυατείροις ἐκκλησίας γράψον· τάδε λέγει ὁ υἱὸς τοῦ Θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς φλόγα πυρός, καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ· 19οἶδά σου τὰ ἔργα καὶ τὴν ἀγάπην καὶ τὴν πίστιν καὶ τὴν διακονίαν καὶ τὴν ὑπομονήν σου, καὶ τὰ ἔργα σου τὰ ἔσχατα πλείονα τῶν πρώτων. 20ἀλλὰ ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι ἀφεῖς τὴν γυναῖκά σου Ἰεζάβελ, ἣ λέγει ἑαυτὴν προφῆτιν, καὶ διδάσκει καὶ πλανᾷ τοὺς ἐμοὺς δούλους πορνεῦσαι καὶ φαγεῖν εἰδωλόθυτα. 21καὶ ἔδωκα αὐτῇ χρόνον ἵνα μετανοήσῃ, καὶ

ca să fiţi cercaţi, şi veţi avea strâmtorare zece zile. Fii credincios până la moarte şi îţi voi da cununa vieţii. 11Cel ce are urechi să audă ceea ce Duhul zice Bisericilor: Cel ce biruieşte nu va fi vătămat de moartea cea de-a doua.

Şi îngerului Bisericii din Pergam scrie-i: Acestea zice Cel ce are sabia cea cu două tăişuri, cea ascuţită: 13Ştiu faptele tale şi unde sălăşluieşti: acolo unde este tronul lui satana; şi ţii numele Meu şi n-ai tăgăduit credinţa Mea nici în zilele lui Antipa, martorul Meu cel credincios, care a fost ucis la voi, acolo unde sălăşluieşte satana. 14Dar am împotriva ta puţine lucruri, că ai acolo pe unii care ţin învăţătura lui Valaam, care l-a învăţat pe Balac să pună sminteală înaintea fiilor lui Israel şi să mănânce cele jertfite idolilor şi să se desfrâneze. 15Astfel ai şi tu pe unii care ţin de asemenea învăţătura nicolaiţilor. 16Pocăieşte-te deci; iar de nu, vin la tine degrabă şi mă voi război împotriva lor cu sabia gurii Mele. 17Cel ce are urechi să audă ceea ce Duhul zice Bisericilor: Celui ce biruieşte îi voi da din mana cea ascunsă şi-i voi da lui o pietricică albă, şi pe pietricică un nume nou scris, pe care nimeni nu-l ştie, decât numai cel ce primeşte.

Şi îngerului Bisericii din Tiatira scrie-i: Acestea zice Fiul lui Dumnezeu, Cel ce are ochii Lui ca para focului şi picioarele Lui asemenea aramei de culoarea tămâii: 19Ştiu faptele tale şi iubirea şi credinţa şi slujirea şi răbdarea ta şi că faptele tale de pe urmă sunt mai multe decât cele dintâi. 20Dar am împotriva ta puţine lucruri, că laşi pe femeia ta, Izabela, care îşi zice sieşi proorociţă, şi învaţă şi îi rătăceşte pe robii Mei ca să se desfrâneze şi să mănânce cele jertfite idolilor. 21Şi i-am dat ei timp ca să

οὐ θέλει μετανοῆσαι ἐκ τῆς πορνείας αὐτῆς. 22ἰδοὺ βάλλω αὐτὴν εἰς κλίνην καὶ τοὺς μοιχεύοντας μετ᾽ αὐτῆς εἰς θλῖψιν μεγάλην, ἐὰν μὴ μετανοήσωσιν ἐκ τῶν ἔργων αὐτῆς, 23καὶ τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ, καὶ γνώσονται πᾶσαι αἱ ἐκκλησίαι ὅτι ἐγώ εἰμι ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας, καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν. 24ὑμῖν δὲ λέγω τοῖς λοιποῖς τοῖς ἐν Θυατείροις, ὅσοι οὐκ ἔχουσι τὴν διδαχὴν ταύτην, οἵτινες οὐκ ἔγνωσαν τὰ βαθέα τοῦ σατανᾶ, ὡς λέγουσιν· οὐ βάλλω ἐφ᾽ ὑμᾶς ἄλλο βάρος· 25πλὴν ὃ ἔχετε κρατήσατε ἄχρις οὗ ἂν ἥξω. 26Καὶ ὁ νικῶν καὶ ὁ τηρῶν ἄχρι τέλους τὰ ἔργα μου, δώσω αὐτῷ ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν, 27καὶ ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς τὰ σκεύη τὰ κεραμικὰ συντριβήσεται, ὡς κἀγὼ εἴληφα παρὰ τοῦ πατρός μου, 28καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν. 29Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

se pocăiască şi nu voieşte să se pocăiască din desfrânarea ei. 22Iată, o arunc pe ea la pat şi pe cei ce fac adulter cu ea în mare strâmtorare, dacă nu se pocăiesc de faptele ei, 23şi pe copiii ei cu moarte îi voi ucide şi vor cunoaşte toate Bisericile că Eu sunt Cel care cercetez rărunchi şi inimi, şi vă voi da vouă, fiecăruia, după faptele voastre. 24Şi vă zic vouă, celorlalți din Tiatira, câți nu au învățătura aceasta, care n-au cunoscut adâncurile satanei, precum zic ei: Nu pun asupra voastră altă povară, 25decât să țineți până voi veni ceea ce aveți. 26Şi cel ce biruieşte şi cel ce ține până la sfârşit faptele Mele, îi voi da lui stăpânire peste neamuri 27şi le va păstori cu toiag de fier, ca pe vasele de lut le va zdrobi, precum şi Eu am luat de la Tatăl Meu, 28şi-i voi da lui steaua cea de dimineață. 29Cel ce are urechi să audă ceea ce Duhul zice Bisericilor.

Κεφάλαιον Γ΄

Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας γράψον· τάδε λέγει ὁ ἔχων τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ καὶ τοὺς ἑπτὰ ἀστέρας· οἶδά σου τὰ ἔργα, ὅτι ὄνομα ἔχεις ὅτι ζῇς, καὶ νεκρὸς εἶ. 2γίνου γρηγορῶν, καὶ στήρισον τὰ λοιπὰ ἃ ἔμελλον ἀποθνῄσκειν· οὐ γὰρ εὕρηκά σου τὰ ἔργα πεπληρωμένα ἐνώπιον τοῦ Θεοῦ μου. 3μνημόνευε οὖν πῶς εἴληφας καὶ ἤκουσας, καὶ τήρει καὶ μετανόησον. ἐὰν οὖν μὴ γρηγορήσῃς, ἥξω ἐπὶ σὲ ὡς κλέπτης, καὶ

Capitolul 3

Iar îngerului Bisericii din Sardes scrie-i: Acestea zice Cel ce are cele şapte duhuri ale lui Dumnezeu şi cele şapte stele: Ştiu faptele tale, că ai nume că eşti viu, dar eşti mort. 2Priveghează şi întăreşte cele ce au rămas şi erau să moară; căci n-am găsit faptele tale împlinite înaintea Dumnezeului Meu. 3Adu-ți aminte deci cum ai primit şi ai auzit şi ține şi pocăieşte-te. Dacă deci nu vei priveghea, voi veni asupra ta ca un fur şi

οὐ μὴ γνώσῃ ποίαν ὥραν ἥξω ἐπὶ σέ. 4ἀλλὰ ἔχεις ὀλίγα ὀνόματα ἐν Σάρδεσιν, ἃ οὐκ ἐμόλυναν τὰ ἱμάτια αὐτῶν, καὶ περιπατήσουσι μετ' ἐμοῦ ἐν λευκοῖς, ὅτι ἄξιοί εἰσιν. 5 Ὁ νικῶν οὕτως περιβαλεῖται ἐν ἱματίοις λευκοῖς, καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς ζωῆς, καὶ ὁμολογήσω τὸ ὄνομα αὐτοῦ ἐνώπιον τοῦ πατρός μου καὶ ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ. 6Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Φιλαδελφείᾳ ἐκκλησίας γράψον· τάδε λέγει ὁ ἅγιος, ὁ ἀληθινός, ὁ ἔχων τὴν κλεῖν τοῦ Δαυΐδ, ὁ ἀνοίγων καὶ οὐδεὶς κλείσει, καὶ κλείων καὶ οὐδεὶς ἀνοίξει· 8οἶδά σου τὰ ἔργα –ἰδοὺ δέδωκα ἐνώπιόν σου θύραν ἀνεῳγμένην, ἣν οὐδεὶς δύναται κλεῖσαι αὐτήν–, ὅτι μικρὰν ἔχεις δύναμιν, καὶ ἐτήρησάς μου τὸν λόγον καὶ οὐκ ἠρνήσω τὸ ὄνομά μου. 9ἰδοὺ δίδωμι ἐκ τῆς συναγωγῆς τοῦ σατανᾶ τῶν λεγόντων ἑαυτοὺς Ἰουδαίους εἶναι, καὶ οὐκ εἰσίν, ἀλλὰ ψεύδονται· ἰδοὺ ποιήσω αὐτοὺς ἵνα ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιον τῶν ποδῶν σου, καὶ γνῶσιν ὅτι ἐγὼ ἠγάπησά σε. 10ὅτι ἐτήρησας τὸν λόγον τῆς ὑπομονῆς μου, κἀγώ σε τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι ἐπὶ τῆς οἰκουμένης ὅλης, πειράσαι τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. 11ἔρχομαι ταχύ· κράτει ὃ ἔχεις, ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν σου. 12Ὁ νικῶν, ποιήσω αὐτὸν στῦλον ἐν τῷ ναῷ τοῦ Θεοῦ μου, καὶ ἔξω οὐ μὴ ἐξέλθῃ ἔτι, καὶ γράψω ἐπ' αὐτὸν τὸ ὄνομα τοῦ Θεοῦ μου καὶ τὸ ὄνομα τῆς πόλεως τοῦ Θεοῦ μου, τῆς καινῆς Ἱερουσαλήμ, ἡ καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ μου, καὶ τὸ ὄνομά μου τὸ καινόν. 13Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Λαοδικείᾳ ἐκκλησίας γράψον· τάδε λέγει ὁ ἀμήν, ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινός, ἡ ἀρχὴ τῆς κτίσεως τοῦ

nu vei cunoaşte în care ceas voi veni asupra ta. 4Dar ai puține nume în Sardes, care nu şi-au mânjit hainele lor, şi vor umbla împreună cu Mine în veşminte albe, că vrednici sunt. 5Cel ce biruieşte se va înfăşura astfel în veşminte albe, şi nu voi şterge numele lui din cartea vieții şi voi mărturisi numele lui înaintea Tatălui Meu şi înaintea îngerilor Lui. 6Cel ce are urechi să audă ceea ce Duhul zice Bisericilor.

Iar îngerului Bisericii din Filadelfia scrie-i: Acestea zice Cel Sfânt, Cel Adevărat, Cel ce are cheia lui David, Cel ce deschide şi nimeni nu va închide şi închide şi nimeni nu va deschide: 8Ştiu faptele tale – iată, am dat înaintea ta uşă deschisă, pe care nimeni nu poate să o închidă –, că mică îți e puterea şi ai ținut cuvântul Meu şi n-ai tăgăduit numele Meu. 9Iată, îți dau din sinagoga satanei, a celor care îşi zic iudei, dar nu sunt, ci mint; iată, îi voi face pe ei să vină şi să se închine înaintea picioarelor tale, şi vor cunoaşte că Eu te-am iubit. 10Pentru că ai păzit cuvântul răbdării Mele, şi Eu te voi păzi pe tine de ceasul ispitei care va să vină peste toată lumea ca să-i încerce pe cei ce locuiesc pe pământ. 11Vin degrabă; ține ce ai, ca nimeni să nu ia cununa ta. 12Cel ce biruieşte, îl voi face pe el stâlp în templul Dumnezeului Meu şi afară nu va mai ieşi şi voi scrie asupra lui numele Dumnezeului Meu şi numele cetății Dumnezeului Meu, noul Ierusalim, care se pogoară din cer, de la Dumnezeul Meu, şi numele Meu cel nou. 13Cel ce are urechi să audă ceea ce Duhul zice Bisericilor.

Şi îngerului Bisericii din Laodiceea scrie-i: Acestea zice Cel ce este Amin, Martorul cel credincios şi adevărat, Înce-

Θεοῦ· 15οἶδά σου τὰ ἔργα, ὅτι οὔτε ψυχρὸς εἶ οὔτε ζεστός· ὄφελον ψυχρὸς ἦς ἢ ζεστός. 16οὕτως ὅτι χλιαρὸς εἶ, καὶ οὔτε ζεστὸς οὔτε ψυχρός, μέλλω σε ἐμέσαι ἐκ τοῦ στόματός μου. 17ὅτι λέγεις ὅτι πλούσιός εἰμι καὶ πεπλούτηκα καὶ οὐδενὸς χρείαν ἔχω –καὶ οὐκ οἶδας ὅτι σὺ εἶ ὁ ταλαίπωρος καὶ ὁ ἐλεεινὸς καὶ πτωχὸς καὶ τυφλὸς καὶ γυμνός–, 18συμβουλεύω σοι ἀγοράσαι παρ' ἐμοῦ χρυσίον πεπυρωμένον ἐκ πυρὸς ἵνα πλουτήσῃς, καὶ ἱμάτια λευκὰ ἵνα περιβάλῃ καὶ μὴ φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνότητός σου, καὶ κολλύριον ἵνα ἐγχρίσῃ τοὺς ὀφθαλμούς σου ἵνα βλέπῃς. 19ἐγὼ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω· ζήλευε οὖν καὶ μετανόησον. 20ἰδοὺ ἕστηκα ἐπὶ τὴν θύραν καὶ κρούω· ἐάν τις ἀκούσῃ τῆς φωνῆς μου καὶ ἀνοίξῃ τὴν θύραν, καὶ εἰσελεύσομαι πρὸς αὐτὸν καὶ δειπνήσω μετ' αὐτοῦ καὶ αὐτὸς μετ' ἐμοῦ. 21Ὁ νικῶν, δώσω αὐτῷ καθίσαι μετ' ἐμοῦ ἐν τῷ θρόνῳ μου, ὡς κἀγὼ ἐνίκησα καὶ ἐκάθισα μετὰ τοῦ πατρός μου ἐν τῷ θρόνῳ αὐτοῦ. 22Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

putul zidirii lui Dumnezeu: 15Ştiu faptele tale, că nici rece nu eşti, nici fierbinte. Măcar de-ai fi rece sau fierbinte! 16Astfel, pentru că eşti căldicel, şi nici fierbinte, nici rece, te voi vărsa din gura Mea. 17Pentru că zici: Bogat sunt şi m-am îmbogăţit şi n-am trebuinţă de nimic – şi nu ştii că tu eşti cel nenorocit şi cel vrednic de plâns, şi sărac, şi orb, şi gol –, 18te sfătuiesc să cumperi de la Mine aur ars în foc, ca să te îmbogăţeşti, şi veşminte albe, ca să te înfăşori şi să nu se arate ruşinea goliciunii tale, şi colir, ca să ungi ochii tăi, ca să vezi. 19Eu pe câţi îi iubesc îi mustru şi îi pedepsesc; fii dar râvnitor şi te pocăieşte. 20Iată, stau la uşă şi bat; dacă aude cineva glasul Meu şi deschide uşa, voi intra la el şi voi cina împreună cu el şi el împreună cu Mine. 21Cel ce biruieşte, îi voi da lui să şadă împreună cu Mine pe tronul Meu, precum şi Eu am biruit şi am şezut împreună cu Tatăl Meu pe tronul Lui. 22Cel ce are urechi să audă ceea ce Duhul zice Bisericilor.

Κεφάλαιον Δ΄

Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ θύρα ἀνεῳγμένη ἐν τῷ οὐρανῷ, καὶ ἡ φωνὴ ἡ πρώτη ἣν ἤκουσα ὡς σάλπιγγος λαλούσης μετ' ἐμοῦ, λέγων· ἀνάβα ὧδε καὶ δείξω σοι ἃ δεῖ γενέσθαι μετὰ ταῦτα. 2καὶ εὐθέως ἐγενόμην ἐν πνεύματι· καὶ ἰδοὺ θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τὸν θρόνον καθήμενος, 3ὅμοιος ὁράσει λίθῳ ἰάσπιδι καὶ σαρδίῳ· καὶ ἶρις κυκλόθεν τοῦ θρόνου,

Capitolul 4

După acestea, m-am uitat, şi iată, o uşă deschisă în cer şi glasul cel dintâi, pe care l-am auzit, ca de trâmbiţă, vorbind cu mine, zicând: Suie-te aici şi îţi voi arăta cele ce trebuie să fie după acestea. 2Şi îndată am fost în duh; şi iată, un tron se afla în cer, şi pe tron şedea Cineva, 3asemenea la vedere cu piatra de iasp şi sardiu; şi un curcubeu de jur împrejurul tronului, şi

ὁμοίως ὅρασις σμαραγδίνων. 4καὶ κυκλόθεν
τοῦ θρόνου θρόνοι εἴκοσι τέσσαρες, καὶ ἐπὶ
τοὺς θρόνους τοὺς εἴκοσι τέσσαρας πρεσβυ-
τέρους καθημένους, περιβεβλημένους ἐν ἱμα-
τίοις λευκοῖς, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν
στεφάνους χρυσοῦς. 5καὶ ἐκ τοῦ θρόνου ἐκ-
πορεύονται ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταί·
καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι ἐνώπιον
τοῦ θρόνου, αἵ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ
Θεοῦ· 6καὶ ἐνώπιον τοῦ θρόνου ὡς θάλασσα
ὑαλίνη, ὁμοία κρυστάλλῳ· καὶ ἐν μέσῳ τοῦ
θρόνου καὶ κύκλῳ τοῦ θρόνου τέσσαρα ζῷα
γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν·
7καὶ τὸ ζῷον τὸ πρῶτον ὅμοιον λέοντι, καὶ τὸ
δεύτερον ζῷον ὅμοιον μόσχῳ, καὶ τὸ τρίτον
ζῷον ἔχον τὸ πρόσωπον ὡς ἀνθρώπου, καὶ τὸ
τέταρτον ζῷον ὅμοιον ἀετῷ πετομένῳ. 8καὶ
τὰ τέσσαρα ζῷα, ἓν καθ' ἓν αὐτῶν ἔχον ἀνὰ
πτέρυγας ἓξ, κυκλόθεν καὶ ἔσωθεν γέμου-
σιν ὀφθαλμῶν, καὶ ἀνάπαυσιν οὐκ ἔχουσιν
ἡμέρας καὶ νυκτὸς λέγοντες· ἅγιος, ἅγιος,
ἅγιος Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἦν
καὶ ὁ ὢν καὶ ὁ ἐρχόμενος. 9Καὶ ὅταν δῶσι
τὰ ζῷα δόξαν καὶ τιμὴν καὶ εὐχαριστίαν τῷ
καθημένῳ ἐπὶ τοῦ θρόνου, τῷ ζῶντι εἰς τοὺς
αἰῶνας τῶν αἰώνων, 10πεσοῦνται οἱ εἴκοσι
τέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ καθη-
μένου ἐπὶ τοῦ θρόνου, καὶ προσκυνήσουσι
τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ
βαλοῦσι τοὺς στεφάνους αὐτῶν ἐνώπιον τοῦ
θρόνου λέγοντες· 11ἄξιος εἶ, ὁ Κύριος καὶ Θε-
ὸς ἡμῶν, λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν καὶ
τὴν δύναμιν, ὅτι σὺ ἔκτισας τὰ πάντα, καὶ διὰ
τὸ θέλημά σου ἦσαν καὶ ἐκτίσθησαν.

de asemenea o vedere de smaralde. 4Şi de
jur împrejurul tronului douăzeci şi patru
de tronuri, şi pe tronuri douăzeci şi patru
de bătrâni şezând, înfăşuraţi în veşminte
albe şi pe capetele lor cununi de aur. 5Şi
din tron ieşeau fulgere şi vuiete şi tunete;
şi şapte făclii de foc arzând înaintea tro-
nului, care sunt cele şapte duhuri ale lui
Dumnezeu; 6şi înaintea tronului, ca o mare
de sticlă, asemenea cristalului; şi în mijlo-
cul tronului şi împrejurul tronului patru fi-
inţe, pline de ochi, dinainte şi dinapoi; 7şi
fiinţa cea dintâi era asemenea leului, şi a
doua fiinţă asemenea viţelului, şi a treia fi-
inţă având faţa ca de om, şi a patra fiinţă
asemenea vulturului care zboară. 8Şi cele
patru fiinţe, fiecare din ele având câte şase
aripi, de jur împrejur şi pe dinăuntru sunt
pline de ochi şi odihnă nu au, zi şi noapte
zicând: Sfânt, Sfânt, Sfânt, Domnul Dum-
nezeu, Atotţiitorul, Cel ce era şi Cel ce es-
te şi Cel ce vine. 9Şi când vor da fiinţele
slavă şi cinste şi mulţumire Celui ce şade
pe tron, Celui ce este viu în vecii vecilor,
10vor cădea cei douăzeci şi patru de bă-
trâni înaintea Celui ce şade pe tron, şi se
vor închina Celui ce este viu în vecii vecilor
şi vor pune cununile lor înaintea tronului,
zicând: 11Vrednic eşti, Doamne şi Dumne-
zeul nostru, să primeşti slava şi cinstea şi
puterea, căci Tu ai zidit toate şi prin voia
Ta erau şi s-au zidit.

Κεφάλαιον Ε΄

Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ θρόνου βιβλίον γεγραμμένον ἔσωθεν καὶ ἔξωθεν, κατεσφραγισμένον σφραγῖσιν ἑπτά. 2καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύσσοντα ἐν φωνῇ μεγάλῃ· τίς ἄξιός ἐστιν ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι τὰς σφραγῖδας αὐτοῦ; 3καὶ οὐδεὶς ἐδύνατο ἐν τῷ οὐρανῷ οὔτε ἐπὶ τῆς γῆς οὔτε ὑποκάτω τῆς γῆς ἀνοῖξαι τὸ βιβλίον οὔτε βλέπειν αὐτό. 4καὶ ἐγὼ ἔκλαιον πολύ, ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι τὸ βιβλίον οὔτε βλέπειν αὐτό. 5καὶ εἷς ἐκ τῶν πρεσβυτέρων λέγει μοι· μὴ κλαῖε· ἰδοὺ ἐνίκησεν ὁ λέων ὁ ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα Δαυΐδ, ἀνοῖξαι τὸ βιβλίον καὶ τὰς ἑπτὰ σφραγῖδας αὐτοῦ. 6Καὶ εἶδον ἐν μέσῳ τοῦ θρόνου καὶ τῶν τεσσάρων ζῴων καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων ἀρνίον ἑστηκὸς ὡς ἐσφαγμένον, ἔχον κέρατα ἑπτὰ καὶ ὀφθαλμοὺς ἑπτά, ἅ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ ἀποστελλόμενα εἰς πᾶσαν τὴν γῆν. 7καὶ ἦλθε καὶ εἴληφεν ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου. 8καὶ ὅτε ἔλαβε τὸ βιβλίον, τὰ τέσσαρα ζῷα καὶ οἱ εἴκοσι τέσσαρες πρεσβύτεροι ἔπεσαν ἐνώπιον τοῦ ἀρνίου, ἔχοντες ἕκαστος κιθάραν καὶ φιάλας χρυσᾶς γεμούσας θυμιαμάτων, αἵ εἰσιν αἱ προσευχαὶ τῶν ἁγίων· 9καὶ ᾄδουσιν ᾠδὴν καινὴν λέγοντες· ἄξιος εἶ λαβεῖν τὸ βιβλίον καὶ ἀνοῖξαι τὰς σφραγῖδας αὐτοῦ, ὅτι ἐσφάγης καὶ ἠγόρασας τῷ Θεῷ ἡμᾶς ἐν τῷ αἵματί σου ἐκ πάσης φυλῆς καὶ γλώσσης καὶ λαοῦ καὶ ἔθνους, 10καὶ ἐποίησας αὐτοὺς τῷ Θεῷ ἡμῶν βασιλεῖς καὶ ἱερεῖς, καὶ βασιλεύσουσιν ἐπὶ τῆς γῆς.

Capitolul 5

Şi am văzut în mâna dreaptă a Celui aşezat pe tron o carte scrisă pe dinăuntru şi pe dinafară, pecetluită cu şapte peceţi. 2Şi am văzut un înger puternic, care vestea cu glas mare: Cine este vrednic să deschidă cartea şi să desfacă peceţile ei? 3Şi nimeni nu putea în cer, nici pe pământ, nici sub pământ să deschidă cartea, nici să o vadă. 4Şi eu plângeam mult, că nimeni nu s-a aflat vrednic să deschidă cartea, nici să o vadă. 5Şi unul dintre bătrâni mi-a zis: Nu plânge; iată, a biruit Leul cel din seminţia lui Iuda, rădăcina lui David, ca să deschidă cartea şi cele şapte peceţi ale ei. 6Şi am văzut, în mijlocul tronului şi al celor patru fiinţe şi în mijlocul bătrânilor, un Miel, stând ca înjunghiat, având şapte coarne şi şapte ochi, care sunt cele şapte duhuri ale lui Dumnezeu, trimise în tot pământul. 7Şi a venit şi a luat-o din mâna dreaptă a Celui ce şedea pe tron. 8Şi când a luat cartea, cele patru fiinţe şi cei douăzeci şi patru de bătrâni au căzut înaintea Mielului, având fiecare alăută şi cupe de aur pline cu miresme de tămâie, care sunt rugăciunile sfinţilor; 9şi cântă cântare nouă, zicând: Vrednic eşti să iei cartea şi să deschizi peceţile ei, pentru că ai fost înjunghiat şi ne-ai răscumpărat lui Dumnezeu pe noi cu sângele Tău, din toată seminţia şi limba şi poporul şi neamul; 10şi i-ai făcut pe ei Dumnezeului nostru împăraţi şi preoţi, şi vor împărăţi pe pământ. 11Şi am văzut şi am auzit ca un glas

11καὶ εἶδον καὶ ἤκουσα ὡς φωνὴν ἀγγέλων
πολλῶν κύκλῳ τοῦ θρόνου καὶ τῶν ζῴων καὶ
τῶν πρεσβυτέρων, καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν
μυριάδες μυριάδων καὶ χιλιάδες χιλιάδων,
12λέγοντες φωνῇ μεγάλῃ· ἄξιόν ἐστι τὸ ἀρνίον
τὸ ἐσφαγμένον λαβεῖν τὴν δύναμιν καὶ τὸν
πλοῦτον καὶ σοφίαν καὶ ἰσχὺν καὶ τιμὴν καὶ
δόξαν καὶ εὐλογίαν. 13καὶ πᾶν κτίσμα ὃ ἐν τῷ
οὐρανῷ καὶ ἐπὶ τῆς γῆς καὶ ὑποκάτω τῆς γῆς
καὶ ἐπὶ τῆς θαλάσσης ἐστί, καὶ τὰ ἐν αὐτοῖς
πάντα, ἤκουσα λέγοντας· τῷ καθημένῳ ἐπὶ
τοῦ θρόνου καὶ τῷ ἀρνίῳ ἡ εὐλογία καὶ ἡ τιμὴ
καὶ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας
τῶν αἰώνων. 14καὶ τὰ τέσσαρα ζῷα ἔλεγον,
ἀμήν· καὶ οἱ πρεσβύτεροι ἔπεσαν καὶ προσε-
κύνησαν.

de îngeri mulți împrejurul tronului și al ființelor și al bătrânilor, și era numărul lor miriade de miriade și mii de mii, 12zicând cu glas mare: Vrednic este Mielul cel înjunghiat să ia puterea și bogăția, și înțelepciunea, și tăria, și cinstea, și slava, și binecuvântarea. 13Și toată făptura care este în cer și pe pământ și sub pământ și pe mare și pe toate cele dintr-însele le-am auzit zicând: Celui ce șade pe tron și Mielului fie binecuvântarea și cinstea și slava și stăpânirea în vecii vecilor! 14Și cele patru ființe ziceau: Amin! Și bătrânii au căzut și s-au închinat.

Κεφάλαιον ς΄

Καὶ εἶδον ὅτι ἤνοιξε τὸ ἀρνίον μίαν
ἐκ τῶν ἑπτὰ σφραγίδων· καὶ ἤκουσα
ἑνὸς ἐκ τῶν τεσσάρων ζῴων λέγοντος,
ὡς φωνὴ βροντῆς· ἔρχου. 2καὶ εἶδον,
καὶ ἰδοὺ ἵππος λευκός, καὶ ὁ καθή-
μενος ἐπ᾽ αὐτὸν ἔχων τόξον· καὶ ἐδόθη αὐτῷ
στέφανος, καὶ ἐξῆλθε νικῶν καὶ ἵνα νικήσῃ.
3Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν δευτέραν,
ἤκουσα τοῦ δευτέρου ζῴου λέγοντος· ἔρχου.
4καὶ ἐξῆλθεν ἄλλος ἵππος πυρρός, καὶ τῷ
καθημένῳ ἐπ᾽ αὐτὸν ἐδόθη αὐτῷ λαβεῖν τὴν
εἰρήνην ἐκ τῆς γῆς καὶ ἵνα ἀλλήλους σφάξωσι,
καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη. 5Καὶ ὅτε
ἤνοιξε τὴν σφραγῖδα τὴν τρίτην, ἤκουσα τοῦ
τρίτου ζῴου λέγοντος· ἔρχου. καὶ εἶδον, καὶ
ἰδοὺ ἵππος μέλας, καὶ ὁ καθήμενος ἐπ᾽ αὐτὸν
ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ· 6καὶ ἤκουσα
ὡς φωνὴν ἐν μέσῳ τῶν τεσσάρων ζῴων λέ-
γουσαν· χοῖνιξ σίτου δηναρίου, καὶ τρεῖς

Capitolul 6

Și am văzut că Mielul a deschis pe
cea dintâi din cele șapte peceți; și
am auzit pe una din cele patru fi-
ințe zicând, ca un glas de tunet:
Vino! 2Și am văzut; și iată un cal
alb și cel care ședea pe el având un arc;
și i s-a dat lui cunună, și a ieșit biruind și ca
să biruiască. 3Și când a deschis pecetea a
doua, am auzit a doua ființă zicând: Vino!
4Și a ieșit alt cal, roșu ca focul; și celui ce
ședea pe el i s-a dat să ia pacea de pe pă-
mânt și să se înjunghie unii pe alții; și i s-a
dat sabie mare. 5Și când a deschis pecetea
a treia, am auzit a treia ființă, zicând: Vino!
Și am văzut; și iată un cal negru și cel care
ședea pe el având cumpănă în mâna lui. 6Și
am auzit ca un glas în mijlocul celor patru
ființe, zicând: Măsura de grâu un dinar, și
trei măsuri de orz un dinar. Iar untdelem-

χοίνικες κριθῆς δηναρίου· καὶ τὸ ἔλαιον καὶ
τὸν οἶνον μὴ ἀδικήσῃς. 7Καὶ ὅτε ἤνοιξε τὴν
σφραγῖδα τὴν τετάρτην, ἤκουσα φωνὴν τοῦ
τετάρτου ζῴου λέγοντος· ἔρχου. 8καὶ εἶδον,
καὶ ἰδοὺ ἵππος χλωρός, καὶ ὁ καθήμενος
ἐπάνω αὐτοῦ, ὄνομα αὐτῷ ὁ θάνατος, καὶ ὁ
ᾅδης ἠκολούθει μετ' αὐτοῦ· καὶ ἐδόθη αὐτῷ
ἐξουσία ἐπὶ τὸ τέταρτον τῆς γῆς, ἀποκτεῖναι
ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ καὶ
ὑπὸ τῶν θηρίων τῆς γῆς. 9Καὶ ὅτε ἤνοιξε τὴν
πέμπτην σφραγῖδα, εἶδον ὑποκάτω τοῦ θυ-
σιαστηρίου τὰς ψυχὰς τῶν ἐσφαγμένων διὰ
τὸν λόγον τοῦ Θεοῦ καὶ διὰ τὴν μαρτυρίαν
τοῦ ἀρνίου ἣν εἶχον· 10καὶ ἔκραξαν φωνῇ με-
γάλῃ λέγοντες· ἕως πότε, ὁ δεσπότης ὁ ἅγιος
καὶ ὁ ἀληθινός, οὐ κρίνεις καὶ ἐκδικεῖς τὸ
αἷμα ἡμῶν ἐκ τῶν κατοικούντων ἐπὶ τῆς γῆς;
11καὶ ἐδόθη αὐτοῖς ἑκάστῳ στολὴ λευκή, καὶ
ἐρρέθη αὐτοῖς ἵνα ἀναπαύσωνται ἔτι χρό-
νον μικρόν, ἕως πληρώσωσι καὶ οἱ σύνδουλοι
αὐτῶν καὶ οἱ ἀδελφοὶ αὐτῶν οἱ μέλλοντες
ἀποκτέννεσθαι ὡς καὶ αὐτοί. 12Καὶ εἶδον ὅτε
ἤνοιξε τὴν σφραγῖδα τὴν ἕκτην, καὶ σεισμὸς
μέγας ἐγένετο, καὶ ὁ ἥλιος μέλας ἐγένετο ὡς
σάκκος τρίχινος, καὶ ἡ σελήνη ὅλη ἐγένετο ὡς
αἷμα, 13καὶ οἱ ἀστέρες τοῦ οὐρανοῦ ἔπεσαν
εἰς τὴν γῆν, ὡς συκῆ βάλλουσα τοὺς ὀλύν-
θους αὐτῆς, ὑπὸ ἀνέμου μεγάλου σειομένη,
14καὶ ὁ οὐρανὸς ἀπεχωρίσθη ὡς βιβλίον ἑλισ-
σόμενον, καὶ πᾶν ὄρος καὶ νῆσος ἐκ τῶν τό-
πων αὐτῶν ἐκινήθησαν· 15καὶ οἱ βασιλεῖς τῆς
γῆς καὶ οἱ μεγιστᾶνες καὶ οἱ χιλίαρχοι καὶ οἱ
πλούσιοι καὶ οἱ ἰσχυροὶ καὶ πᾶς δοῦλος καὶ
ἐλεύθερος ἔκρυψαν ἑαυτοὺς εἰς τὰ σπήλαια
καὶ εἰς τὰς πέτρας τῶν ὀρέων, 16καὶ λέγουσι
τοῖς ὄρεσι καὶ ταῖς πέτραις· πέσατε ἐφ' ἡμᾶς
καὶ κρύψατε ἡμᾶς ἀπὸ προσώπου τοῦ καθη-
μένου ἐπὶ τοῦ θρόνου καὶ ἀπὸ τῆς ὀργῆς τοῦ
ἀρνίου, 17ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀρ-
γῆς αὐτοῦ, καὶ τίς δύναται σταθῆναι;

nul şi vinul să nu-l risipeşti. 7Şi când a des-
chis pecetea a patra, am auzit glasul celei
de-a patra fiinţe, zicând: Vino! 8Şi m-am
uitat şi iată un cal galben, şi cel ce şedea pe
el, numele lui: Moartea; şi iadul urma ală-
turi de el; şi s-a dat lui putere peste a patra
parte a pământului, ca să omoare cu sabie
şi cu foamete şi cu moarte şi cu fiarele pă-
mântului. 9Şi când a deschis a cincea pece-
te, am văzut, sub jertfelnic, sufletele celor
înjunghiaţi pentru cuvântul lui Dumnezeu
şi pentru mărturia Mielului pe care o aveau.
10Şi au strigat cu glas mare, zicând: Până
când, Stăpâne sfinte şi adevărate, nu vei
judeca şi nu vei răzbuna sângele nostru de
la cei ce locuiesc pe pământ? 11Şi li s-a dat
lor, fiecăruia, veşmânt alb, şi li s-a spus să
se odihnească încă puţină vreme, până vor
împlini numărul şi cei ce sunt robi împre-
ună cu ei şi fraţii lor, cei ce au să fie ucişi
ca şi ei. 12Şi am văzut când a deschis pece-
tea a şasea, şi s-a făcut cutremur mare, şi
soarele s-a făcut negru ca un sac de păr, şi
luna întreagă s-a făcut ca sângele, 13şi ste-
lele cerului au căzut pe pământ, aşa cum
smochinul îşi leapădă roadele lui necoap-
te când e zguduit de vânt mare. 14Şi cerul
s-a tras înapoi, ca o carte făcută sul, şi toţi
munţii şi toate insulele s-au mişcat din lo-
curile lor; 15şi împăraţii pământului şi dre-
gătorii şi tribunii şi bogaţii şi puternicii şi
tot robul şi cel liber s-au ascuns în peşteri
şi în stâncile munţilor, 16şi au zis munţilor şi
stâncilor: Căderi peste noi şi ascundeţi-ne
de la faţa Celui ce şade pe tron şi de la mâ-
nia Mielului; 17că a venit ziua cea mare a
mâniei Lui, şi cine poate să stea?

Κεφάλαιον Ζ΄

Καὶ μετὰ τοῦτο εἶδον τέσσαρας ἀγγέλους ἑστῶτας ἐπὶ τὰς τέσσαρας γωνίας τῆς γῆς, κρατοῦντας τοὺς τέσσαρας ἀνέμους τῆς γῆς, ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς μήτε ἐπὶ τῆς θαλάσσης μήτε ἐπὶ πᾶν δένδρον. 2καὶ εἶδον ἄλλον ἄγγελον ἀναβαίνοντα ἀπὸ ἀνατολῆς ἡλίου, ἔχοντα σφραγῖδα Θεοῦ ζῶντος, καὶ ἔκραξε φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις, οἷς ἐδόθη αὐτοῖς ἀδικῆσαι τὴν γῆν καὶ τὴν θάλασσαν, 3λέγων· μὴ ἀδικήσητε τὴν γῆν μήτε τὴν θάλασσαν μήτε τὰ δένδρα, ἄχρις οὗ σφραγίσωμεν τοὺς δούλους τοῦ Θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν. 4Καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων· ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες ἐσφραγισμένοι ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ· 5ἐκ φυλῆς Ἰούδα δώδεκα χιλιάδες ἐσφραγισμένοι, ἐκ φυλῆς Ῥουβὴν δώδεκα χιλιάδες, ἐκ φυλῆς Γὰδ δώδεκα χιλιάδες, 6ἐκ φυλῆς Ἀσὴρ δώδεκα χιλιάδες, ἐκ φυλῆς Νεφθαλεὶμ δώδεκα χιλιάδες, ἐκ φυλῆς Μανασσῆ δώδεκα χιλιάδες, 7ἐκ φυλῆς Συμεὼν δώδεκα χιλιάδες, ἐκ φυλῆς Λευῒ δώδεκα χιλιάδες, ἐκ φυλῆς Ἰσσάχαρ δώδεκα χιλιάδες, 8ἐκ φυλῆς Ζαβουλὼν δώδεκα χιλιάδες, ἐκ φυλῆς Ἰωσὴφ δώδεκα χιλιάδες, ἐκ φυλῆς Βενιαμὶν δώδεκα χιλιάδες ἐσφραγισμένοι.

Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ ὄχλος πολύς, ὃν ἀριθμῆσαι αὐτὸν οὐδεὶς ἐδύνατο, ἐκ παντὸς ἔθνους καὶ φυλῶν καὶ λαῶν καὶ γλωσσῶν, ἑστῶτας ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τοῦ ἀρνίου, περιβεβλημένους στολὰς λευκάς, καὶ φοίνικες ἐν ταῖς χερσὶν

Capitolul 7

Și după aceasta am văzut patru îngeri, stând la cele patru colțuri ale pământului, ținând cele patru vânturi ale pământului, ca să nu sufle vânt pe pământ, nici peste mare, nici peste tot pomul. 2Şi am văzut alt înger ridicându-se de la răsăritul soarelui, având pecetea Dumnezeului celui viu, şi a strigat cu glas mare celor patru îngeri, cărora li s-a dat să vatăme pământul şi marea, 3zicând: Nu vătămați pământul, nici marea, nici pomii, până ce nu vom pecetlui pe robii Dumnezeului nostru pe frunțile lor. 4Şi am auzit numărul celor pecetluiți: o sută patruzeci şi patru de mii de pecetluiți din toată seminția fiilor lui Israel; 5din seminția lui Iuda, douăsprezece mii de pecetluiți; din seminția lui Ruben, douăsprezece mii; din seminția lui Gad, douăsprezece mii; 6din seminția lui Aşer, douăsprezece mii; din seminția lui Neftalim, douăsprezece mii; din seminția lui Manase, douăsprezece mii; 7din seminția lui Simeon, douăsprezece mii; din seminția lui Levi, douăsprezece mii; din seminția lui Isahar, douăsprezece mii; 8din seminția lui Zabulon, douăsprezece mii; din seminția lui Iosif, douăsprezece mii; din seminția lui Veniamin, douăsprezece mii de pecetluiți.

După acestea, am văzut şi iată, mulțime multă, pe care nimeni nu putea s-o numere, din tot neamul şi semințiile şi popoarele şi limbile, stând înaintea tronului şi înaintea Mielului, înfăşurați în veşminte al-

αὐτῶν· 10καὶ κράζουσι φωνῇ μεγάλῃ λέγοντες·
ἡ σωτηρία τῷ Θεῷ ἡμῶν τῷ καθημένῳ ἐπὶ
τοῦ θρόνου καὶ τῷ ἀρνίῳ. 11καὶ πάντες οἱ ἄγ-
γελοι εἱστήκεισαν κύκλῳ τοῦ θρόνου καὶ τῶν
πρεσβυτέρων καὶ τῶν τεσσάρων ζῴων, καὶ
ἔπεσαν ἐνώπιον τοῦ θρόνου ἐπὶ τὰ πρόσωπα
αὐτῶν καὶ προσεκύνησαν τῷ Θεῷ 12λέγοντες·
ἀμήν· ἡ εὐλογία καὶ ἡ δόξα καὶ ἡ σοφία καὶ
ἡ εὐχαριστία καὶ ἡ τιμὴ καὶ ἡ δύναμις καὶ ἡ
ἰσχὺς τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας τῶν αἰώ-
νων· ἀμήν. 13Καὶ ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυ-
τέρων λέγων μοι· οὗτοι οἱ περιβεβλημένοι τὰς
στολὰς τὰς λευκὰς τίνες εἰσὶ καὶ πόθεν ἦλθον;
14καὶ εἴρηκα αὐτῷ· κύριέ μου, σὺ οἶδας. καὶ
εἶπέ μοι· οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλί-
ψεως τῆς μεγάλης, καὶ ἔπλυναν τὰς στολὰς
αὐτῶν καὶ ἐλεύκαναν αὐτὰς ἐν τῷ αἵματι τοῦ
ἀρνίου. 15διὰ τοῦτό εἰσιν ἐνώπιον τοῦ θρόνου
τοῦ Θεοῦ καὶ λατρεύουσιν αὐτῷ ἡμέρας καὶ
νυκτὸς ἐν τῷ ναῷ αὐτοῦ. καὶ ὁ καθήμενος
ἐπὶ τοῦ θρόνου σκηνώσει ἐπ' αὐτούς. 16οὐ
πεινάσουσιν ἔτι οὐδὲ διψήσουσιν ἔτι, οὐδ' οὐ
μὴ πέσῃ ἐπ' αὐτοὺς ὁ ἥλιος οὐδὲ πᾶν καῦμα,
17ὅτι τὸ ἀρνίον τὸ ἀνὰ μέσον τοῦ θρόνου
ποιμανεῖ αὐτούς, καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ
ζωῆς πηγὰς ὑδάτων, καὶ ἐξαλείψει ὁ Θεὸς
πᾶν δάκρυον ἐκ τῶν ὀφθαλμῶν αὐτῶν.

be şi ramuri de finic în mâinile lor. 10Şi au
strigat cu glas mare, zicând: Mântuirea este
a Dumnezeului nostru, Cel ce şade pe tron,
şi a Mielului. 11Şi toţi îngerii stăteau împre-
jurul tronului şi al bătrânilor şi al celor pa-
tru fiinţe, şi au căzut cu feţele la pământ
înaintea tronului şi s-au închinat lui Dum-
nezeu, 12zicând: Amin! Fie Dumnezeului
nostru binecuvântarea şi slava şi înţelep-
ciunea şi mulţumirea şi cinstea şi puterea
şi tăria în vecii vecilor. Amin! 13Şi a grăit
unul dintre bătrâni, zicându-mi: Aceştia
care sunt înfăşuraţi în veşminte albe, cine
sunt şi de unde au venit? 14Şi i-am zis lui:
Doamne al meu, tu ştii. Şi mi-a zis: Aceştia
sunt cei ce vin din strâmtorarea cea mare
şi şi-au spălat veşmintele lor şi le-au înăl-
bit în sângele Mielului. 15Pentru aceea sunt
înaintea tronului lui Dumnezeu şi Îi slu-
jesc Lui zi şi noapte în templul Lui, şi Cel
ce şade pe tron va sălăşlui peste ei. 16Nu
vor mai flămânzi, nici nu vor mai înseta,
nici nu va cădea soarele peste ei, nici toa-
tă arşiţa; 17pentru că Mielul, Cel ce stă în
mijlocul tronului, îi va păstori pe ei şi-i va
duce la izvoarele apelor vieţii, şi va şterge
Dumnezeu toată lacrima din ochii lor.

Κεφάλαιον Η΄

Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν
ἑβδόμην, ἐγένετο σιγὴ ἐν τῷ οὐ-
ρανῷ ὡς ἡμιώριον. 2Καὶ εἶδον τοὺς
ἑπτὰ ἀγγέλους οἳ ἐνώπιον τοῦ Θεοῦ
ἑστήκασι, καὶ ἐδόθησαν αὐτοῖς
ἑπτὰ σάλπιγγες. 3καὶ ἄλλος ἄγ-
γελος ἦλθε καὶ ἐστάθη ἐπὶ τοῦ θυσιαστηρίου

Capitolul 8

Şi când a deschis pecetea a şaptea,
s-a făcut tăcere în cer, ca la o ju-
mătate de ceas. 2Şi am văzut pe cei
şapte îngeri, care stau înaintea lui
Dumnezeu, şi li s-au dat lor şapte
trâmbiţe. 3Şi alt înger a venit şi a stat
la jertfelnic, având cădelniţă de aur, şi i s-a

ἔχων λιβανωτὸν χρυσοῦν, καὶ ἐδόθη αὐτῷ θυμιάματα πολλά, ἵνα δώσει ταῖς προσευχαῖς τῶν ἁγίων πάντων ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν τὸ ἐνώπιον τοῦ θρόνου. 4καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς προσευχαῖς τῶν ἁγίων ἐκ χειρὸς τοῦ ἀγγέλου ἐνώπιον τοῦ Θεοῦ. 5καὶ εἴληφεν ὁ ἄγγελος τὸν λιβανωτὸν καὶ ἐγέμισεν αὐτὸν ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου καὶ ἔβαλεν εἰς τὴν γῆν. καὶ ἐγένοντο βρονταὶ καὶ φωναὶ καὶ ἀστραπαὶ καὶ σεισμός.

Καὶ οἱ ἑπτὰ ἄγγελοι οἱ ἔχοντες τὰς ἑπτὰ σάλπιγγας ἡτοίμασαν ἑαυτοὺς ἵνα σαλπίσωσι. 7Καὶ ὁ πρῶτος ἐσάλπισε, καὶ ἐγένετο χάλαζα καὶ πῦρ μεμιγμένα ἐν αἵματι, καὶ ἐβλήθη εἰς τὴν γῆν· καὶ τὸ τρίτον τῆς γῆς κατεκάη, καὶ τὸ τρίτον τῶν δένδρων κατεκάη, καὶ πᾶς χόρτος χλωρὸς κατεκάη. 8Καὶ ὁ δεύτερος ἄγγελος ἐσάλπισε, καὶ ὡς ὄρος μέγα πυρὶ καιόμενον ἐβλήθη εἰς τὴν θάλασσαν, καὶ ἐγένετο τὸ τρίτον τῆς θαλάσσης αἷμα, 9καὶ ἀπέθανε τὸ τρίτον τῶν κτισμάτων τῶν ἐν τῇ θαλάσσῃ, τὰ ἔχοντα ψυχάς, καὶ τὸ τρίτον τῶν πλοίων διεφθάρη. 10Καὶ ὁ τρίτος ἄγγελος ἐσάλπισε, καὶ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀστὴρ μέγας καιόμενος ὡς λαμπάς, καὶ ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν ποταμῶν καὶ ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων. 11καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται ὁ Ἄψινθος. καὶ ἐγένετο τὸ τρίτον τῶν ὑδάτων εἰς ἄψινθον, καὶ πολλοὶ τῶν ἀνθρώπων ἀπέθανον ἐκ τῶν ὑδάτων, ὅτι ἐπικράνθησαν. 12Καὶ ὁ τέταρτος ἄγγελος ἐσάλπισε, καὶ ἐπλήγη τὸ τρίτον τοῦ ἡλίου καὶ τὸ τρίτον τῆς σελήνης καὶ τὸ τρίτον τῶν ἀστέρων, ἵνα σκοτισθῇ τὸ τρίτον αὐτῶν, καὶ τὸ τρίτον αὐτῆς μὴ φανῇ ἡ ἡμέρα, καὶ ἡ νὺξ ὁμοίως. 13Καὶ εἶδον καὶ ἤκουσα ἑνὸς ἀετοῦ πετομένου ἐν μεσουρανήματι, λέγοντος φωνῇ μεγάλῃ· οὐαί, οὐαί, οὐαὶ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς ἐκ τῶν λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν τριῶν ἀγγέλων τῶν μελλόντων σαλπίζειν.

dat lui tămâie multă, ca s-o aducă împreună cu rugăciunile tuturor sfinților pe jertfelnicul de aur, cel dinaintea tronului. 4Şi s-a suit fumul tămâii împreună cu rugăciunile sfinților, din mâna îngerului, înaintea lui Dumnezeu. 5Şi a luat îngerul cădelnița şi a umplut-o din focul jertfelnicului şi a aruncat-o pe pământ; şi s-au făcut tunete şi vuiete şi fulgere şi cutremur.

Şi cei şapte îngeri, care aveau cele şapte trâmbițe, s-au pregătit să trâmbițeze. 7Şi cel dintâi a trâmbițat, şi s-a făcut grindină şi foc, amestecate cu sânge, şi au fost aruncate pe pământ; şi a treia parte a pământului a ars de tot, şi a treia parte a pomilor a ars de tot, şi toată iarba verde a ars de tot. 8Şi al doilea înger a trâmbițat, şi ceva ca un munte mare arzând cu foc s-a prăbuşit în mare, şi a treia parte din mare s-a făcut sânge; 9şi a murit a treia parte din făpturile cele din mare, cele care au suflete, şi a treia parte din corăbii s-a sfărâmat. 10Şi al treilea înger a trâmbițat, şi a căzut din cer o stea mare, arzând ca o făclie, şi a căzut peste a treia parte a râurilor şi peste izvoarele apelor. 11Şi numele stelei se cheamă Pelin. Şi s-a făcut pelin a treia parte din ape, şi mulți oameni au murit din pricina apelor, pentru că s-au făcut amare. 12Şi al patrulea înger a trâmbițat; şi a fost lovită a treia parte din soare, şi a treia parte din lună, şi a treia parte din stele, ca să se întunece a treia parte din ele, şi ziua să nu lumineze a treia parte din ea, şi noaptea tot aşa. 13Şi am văzut şi am auzit un vultur, care zbura în mijlocul cerului, zicând cu glas mare: Vai, vai, vai de cei ce locuiesc pe pământ din pricina celorlalte glasuri ale trâmbiței celor trei îngeri care au să trâmbițeze!

Κεφάλαιον Θ΄

Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισε· καὶ εἶδον ἀστέρα ἐκ τοῦ οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν, καὶ ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ φρέατος τῆς ἀβύσσου, 2καὶ ἤνοιξε τὸ φρέαρ τῆς ἀβύσσου, καὶ ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος ὡς καπνὸς καμίνου καιομένης, καὶ ἐσκοτίσθη ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέατος. 3καὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν, καὶ ἐδόθη αὐταῖς ἐξουσία ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορπίοι τῆς γῆς· 4καὶ ἐρρέθη αὐταῖς ἵνα μὴ ἀδικήσωσι τὸν χόρτον τῆς γῆς οὐδὲ πᾶν χλωρὸν οὐδὲ πᾶν δένδρον, εἰ μὴ τοὺς ἀνθρώπους οἵτινες οὐκ ἔχουσι τὴν σφραγῖδα τοῦ Θεοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. 5καὶ ἐδόθη αὐταῖς ἵνα μὴ ἀποκτείνωσιν αὐτούς, ἀλλ᾽ ἵνα βασανισθῶσι μῆνας πέντε· καὶ ὁ βασανισμὸς αὐτῶν ὡς βασανισμὸς σκορπίου, ὅταν παίσῃ ἄνθρωπον. 6καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ζητήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον καὶ οὐ μὴ εὑρήσουσιν αὐτόν, καὶ ἐπιθυμήσουσιν ἀποθανεῖν, καὶ φεύξεται ἀπ᾽ αὐτῶν ὁ θάνατος. 7καὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων ὅμοια ἵπποις ἡτοιμασμένοις εἰς πόλεμον, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν ὡς στέφανοι ὅμοιοι χρυσίῳ, καὶ τὰ πρόσωπα αὐτῶν ὡς πρόσωπα ἀνθρώπων, 8καὶ εἶχον τρίχας ὡς τρίχας γυναικῶν, καὶ οἱ ὀδόντες αὐτῶν ὡς λεόντων ἦσαν, 9καὶ εἶχον θώρακας ὡς θώρακας σιδηροῦς, καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν ὡς φωνὴ ἁρμάτων ἵππων πολλῶν τρεχόντων εἰς πόλεμον. 10καὶ ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις καὶ κέντρα, καὶ ἐν ταῖς οὐραῖς αὐτῶν ἐξουσίαν ἔχουσι τοῦ ἀδικῆσαι

Capitolul 9

Si al cincilea înger a trâmbiţat, şi am văzut o stea căzută din cer pe pământ, şi i s-a dat cheia fântânii adâncului. 2Şi a deschis fântâna adâncului şi s-a ridicat fum din fântână, ca fumul unui cuptor care arde, şi s-au întunecat soarele şi văzduhul de fumul fântânii. 3Şi din fum au ieşit lăcuste pe pământ, şi li s-a dat lor putere precum au putere scorpiile pământului. 4Şi li s-a zis să nu vatăme iarba pământului şi nici toată verdeaţa şi nici tot pomul, fără numai pe oamenii care nu au pecetea lui Dumnezeu pe frunţile lor. 5Şi li s-a dat ca să nu-i omoare, ci ca să fie chinuiţi cinci luni; şi chinul lor este asemenea chinului de scorpie, când îl înţeapă pe om. 6Şi în zilele acelea vor căuta oamenii moartea şi nu o vor afla, şi vor dori să moară, şi moartea va fugi de ei. 7Şi înfăţişările lăcustelor erau precum caii pregătiţi de război, şi pe capetele lor ca nişte cununi asemenea aurului, şi feţele lor ca nişte feţe de oameni, 8şi aveau păr ca părul femeilor, şi dinţii lor erau ca ai leilor, 9şi aveau platoşe ca platoşele de fier, iar vuietul aripilor ca vuietul carelor de cai mulţi alergând la război. 10Şi aveau cozi asemenea scorpiilor şi ace; şi în cozile lor aveau puterea de a-i vătăma pe oameni cinci luni. 11Şi aveau împărat peste ele pe îngerul adâncului; numele lui este în evreieşte Abadon, iar în elineşte are numele Apolion (Cel ce dă pierzării). 12Şi vai-ul

τοὺς ἀνθρώπους μῆνας πέντε. 11ἔχουσι βασιλέα
ἐπ᾽ αὐτῶν τὸν ἄγγελον τῆς ἀβύσσου· ὄνομα
αὐτῷ Ἑβραϊστὶ Ἀβαδδών, ἐν δὲ τῇ Ἑλληνικῇ
ὄνομα ἔχει Ἀπολλύων. 12Ἡ οὐαὶ ἡ μία ἀπῆλθεν·
ἰδοὺ ἔρχονται ἔτι δύο οὐαὶ μετὰ ταῦτα.

Καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισε· καὶ ἤκουσα
φωνὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων
τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον
τοῦ Θεοῦ, 14λέγοντος τῷ ἕκτῳ ἀγγέλῳ, ὁ ἔχων
τὴν σάλπιγγα· λῦσον τοὺς τέσσαρας ἀγγέλους
τοὺς δεδεμένους ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ
Εὐφράτῃ. 15καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι
οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ εἰς τὴν ἡμέραν
καὶ μῆνα καὶ ἐνιαυτόν, ἵνα ἀποκτείνωσι τὸ τρί-
τον τῶν ἀνθρώπων. 16καὶ ὁ ἀριθμὸς τῶν στρα-
τευμάτων τοῦ ἵππου δύο μυριάδες μυριάδων·
ἤκουσα τὸν ἀριθμὸν αὐτῶν. 17καὶ οὕτως εἶδον
τοὺς ἵππους ἐν τῇ ὁράσει καὶ τοὺς καθημένους
ἐπ᾽ αὐτῶν, ἔχοντας θώρακας πυρίνους καὶ
ὑακινθίνους καὶ θειώδεις· καὶ αἱ κεφαλαὶ τῶν
ἵππων ὡς κεφαλαὶ λεόντων, καὶ ἐκ τῶν στομά-
των αὐτῶν ἐκπορεύεται πῦρ καὶ καπνὸς καὶ
θεῖον. 18ἀπὸ τῶν τριῶν πληγῶν τούτων ἀπε-
κτάνθησαν τὸ τρίτον τῶν ἀνθρώπων, ἐκ τοῦ
πυρὸς καὶ τοῦ καπνοῦ καὶ τοῦ θείου τοῦ ἐκ-
πορευομένου ἐκ τῶν στομάτων αὐτῶν. 19ἡ γὰρ
ἐξουσία τῶν ἵππων ἐν τῷ στόματι αὐτῶν ἐστι
καὶ ἐν ταῖς οὐραῖς αὐτῶν· αἱ γὰρ οὐραὶ αὐτῶν
ὅμοιαι ὄφεσιν, ἔχουσαι κεφαλάς, καὶ ἐν αὐταῖς
ἀδικοῦσι. 20καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων, οἳ
οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς ταύταις, οὐ
μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν,
ἵνα μὴ προσκυνήσωσι τὰ δαιμόνια καὶ τὰ εἴ-
δωλα τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ
καὶ τὰ λίθινα καὶ τὰ ξύλινα, ἃ οὔτε βλέπειν
δύναται οὔτε ἀκούειν οὔτε περιπατεῖν, 21καὶ
οὐ μετενόησαν ἐκ τῶν φόνων αὐτῶν οὔτε ἐκ
τῶν φαρμακειῶν αὐτῶν οὔτε ἐκ τῆς πορνείας
αὐτῶν οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.

cel dintâi a trecut; iată vin încă două vai-uri
după acestea.

Și al şaselea înger a trâmbițat. Şi am au-
zit un glas, din cele patru cornuri ale
jertfelnicului de aur de dinaintea lui Dum-
nezeu, 14zicând îngerului al şaselea, care
avea trâmbița: Dezleagă pe cei patru îngeri
care sunt legați la râul cel mare, Eufrat.
15Şi au fost dezlegați cei patru îngeri, care
erau pregătiți pentru acel ceas şi ziuă, şi
lună, şi an, ca să omoare a treia parte din
oameni. 16Şi numărul oştilor călărimii era
două miriade de miriade; am auzit numărul
lor. 17Şi aşa am văzut caii în vedenie şi pe
cei ce şedeau pe ei, având platoşe de foc şi
de iachint şi de pucioasă; şi capetele cailor
erau asemenea capetelor leilor, şi din gu-
rile lor ieşea foc şi fum şi pucioasă. 18De
aceste trei plăgi au fost ucişi a treia parte
dintre oameni, de focul şi fumul şi pucioa-
sa care ieşea din gurile lor. 19Căci puterea
cailor este în gura lor şi în cozile lor; căci
cozile lor sunt asemenea şerpilor, având ca-
pete, şi cu acestea vatămă. 20Şi ceilalți oa-
meni, care nu au fost uciși de aceste plăgi,
nu s-au pocăit de faptele mâinilor lor, ca
să nu se închine dracilor şi idolilor celor
de aur şi de argint şi de aramă şi de piatră
şi de lemn, care nu pot nici să vadă, nici să
audă, nici să umble, 21şi nu s-au pocăit de
uciderile lor, nici de fermecătoriile lor, nici
de desfrânările lor, nici de furtişagurile lor.

Κεφάλαιον Ι΄

Καὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, περιβεβλημένον νεφέλην, καὶ ἡ ἶρις ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος, καὶ οἱ πόδες αὐτοῦ ὡς στῦλοι πυρός, 2καὶ ἔχων ἐν τῇ χειρὶ αὐτοῦ βιβλίον ἀνεῳγμένον. καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ τῆς θαλάσσης, τὸν δὲ εὐώνυμον ἐπὶ τῆς γῆς, 3καὶ ἔκραξε φωνῇ μεγάλῃ ὥσπερ λέων μυκᾶται. καὶ ὅτε ἔκραξεν, ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν φωνάς. 4Καὶ ὅτε ἐλάλησαν αἱ ἑπτὰ βρονταί, ἔμελλον γράφειν· καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν· σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταί, καὶ μὴ αὐτὰ γράψῃς. 5Καὶ ὁ ἄγγελος, ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς, ἦρε τὴν χεῖρα αὐτοῦ τὴν δεξιὰν εἰς τὸν οὐρανὸν 6καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ, ὅτι χρόνος οὐκέτι ἔσται, 7ἀλλ' ἐν ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγγέλου, ὅταν μέλλῃ σαλπίζειν, καὶ ἐτελέσθη τὸ μυστήριον τοῦ Θεοῦ, ὡς εὐηγγέλισε τοὺς δούλους αὐτοῦ τοὺς προφήτας. 8Καὶ ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ, πάλιν λαλοῦσα μετ' ἐμοῦ καὶ λέγουσα· ὕπαγε λάβε τὸ βιβλιδάριον τὸ ἀνεῳγμένον ἐν τῇ χειρὶ τοῦ ἀγγέλου τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς. 9καὶ ἀπῆλθα πρὸς τὸν ἄγγελον, λέγων αὐτῷ δοῦναί μοι τὸ βιβλιδάριον. καὶ λέγει μοι· λάβε καὶ κατάφαγε αὐτό, καὶ πικρανεῖ σου τὴν κοιλίαν, ἀλλ' ἐν τῷ στόματί σου ἔσται γλυκὺ ὡς μέλι.

Capitolul 10

Şi am văzut alt înger puternic, coborând din cer, înfăşurat într-un nor şi curcubeul era pe capul lui, şi faţa lui era ca soarele, şi picioarele lui ca nişte stâlpi de foc, 2şi având în mâna lui o carte deschisă. Şi a pus piciorul lui cel drept pe mare, iar pe cel stâng pe pământ, 3şi a strigat cu glas mare, cum răcneşte leul. Şi când a strigat, au grăit cele şapte tunete glasurile lor. 4Şi când au grăit cele şapte tunete, eram gata să scriu; şi am auzit glas din cer, zicând: Pecetluieşte cele ce au grăit cele şapte tunete şi nu le scrie. 5Şi îngerul pe care l-am văzut stând pe mare şi pe pământ şi-a ridicat mâna sa cea dreaptă către cer 6şi s-a jurat pe Cel viu în vecii vecilor, Care a zidit cerul şi cele ce sunt în el, şi pământul şi cele ce sunt în el, şi marea şi cele ce sunt în ea, că timp nu va mai fi, 7ci, în zilele glasului celui de-al şaptelea înger, când va fi să trâmbiţeze, se va fi săvârşit taina lui Dumnezeu, precum a binevestit robilor Săi, proorocilor. 8Şi glasul pe care l-am auzit din cer iarăşi a grăit cu mine şi a zis: Mergi, ia cartea deschisă din mâna îngerului, care stă pe mare şi pe pământ. 9Şi m-am dus la înger, spunându-i să-mi dea cartea. Şi mi-a spus: Ia şi mănânc-o, şi va amărî pântecele tău, dar în gura ta va fi dulce ca mierea. 10Şi am luat cartea din mâna îngerului şi am mâncat-o; şi era în gura mea dulce ca mierea; şi, când am mâncat-o, s-a amărât pântecele meu. 11Şi mi-au zis: Tu trebuie să proorocești

10καὶ ἔλαβον τὸ βιβλίον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου καὶ κατέφαγον αὐτό, καὶ ἦν ἐν τῷ στόματί μου ὡς μέλι γλυκύ· καὶ ὅτε ἔφαγον αὐτό, ἐπικράνθη ἡ κοιλία μου. 11καὶ λέγουσί μοι· δεῖ σε πάλιν προφητεῦσαι ἐπὶ λαοῖς καὶ ἔθνεσι καὶ γλώσσαις καὶ βασιλεῦσι πολλοῖς.

iarăşi la popoare şi la neamuri şi la limbi şi la împăraţi mulţi.

Κεφάλαιον ΙΑ΄

Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ, λέγων· ἔγειρε καὶ μέτρησον τὸν ναὸν τοῦ Θεοῦ καὶ τὸ θυσιαστήριον καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ· 2καὶ τὴν αὐλὴν τὴν ἔξωθεν τοῦ ναοῦ ἔκβαλε ἔξω καὶ μὴ αὐτὴν μετρήσῃς, ὅτι ἐδόθη τοῖς ἔθνεσι, καὶ τὴν πόλιν τὴν ἁγίαν πατήσουσι μῆνας τεσσαράκοντα δύο. 3καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου, καὶ προφητεύσουσιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα, περιβεβλημένοι σάκκους. 4οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι καὶ αἱ δύο λυχνίαι αἱ ἐνώπιον τοῦ Κυρίου τῆς γῆς ἑστῶσαι. 5καὶ εἴ τις αὐτοὺς θέλει ἀδικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν· καὶ εἴ τις θέλει αὐτοὺς ἀδικῆσαι, οὕτω δεῖ αὐτὸν ἀποκτανθῆναι. 6οὗτοι ἔχουσιν ἐξουσίαν τὸν οὐρανὸν κλεῖσαι, ἵνα μὴ ὑετὸς βρέχῃ τὰς ἡμέρας τῆς προφητείας αὐτῶν, καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων στρέφειν αὐτὰ εἰς αἷμα καὶ πατάξαι τὴν γῆν ἐν πάσῃ πληγῇ, ὁσάκις ἐὰν θελήσωσι. 7καὶ ὅταν τελέσωσι τὴν μαρτυρίαν αὐτῶν, τὸ θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου ποιήσει μετ᾽ αὐτῶν πόλεμον καὶ νικήσει αὐτοὺς καὶ ἀποκτενεῖ αὐτούς. 8καὶ τὸ πτῶμα αὐτῶν ἐπὶ τῆς πλατείας τῆς πόλεως τῆς μεγάλης, ἥτις καλεῖται πνευματικῶς Σό-

Capitolul 11

Şi mi s-a dat o trestie asemenea unui toiag, zicând: Scoală-te şi măsoară templul lui Dumnezeu şi jertfelnicul şi pe cei ce se închină în el; 2şi curtea cea din afară a templului scoate-o afară şi n-o măsura, că ea s-a dat neamurilor, şi cetatea cea sfântă o vor călca patruzeci şi două de luni. 3Şi voi da celor doi martori ai Mei şi vor prooroci o mie două sute şi şaizeci de zile, înfăşuraţi în saci. 4Aceştia sunt cei doi măslini şi cele două sfeşnice care stau înaintea Domnului pământului. 5Şi dacă voieşte cineva să-i vatăme, foc iese din gura lor şi îi mistuie pe vrăjmaşii lor; şi dacă voieşte cineva să-i vatăme, aşa trebuie acela să fie ucis. 6Aceştia au puterea să închidă cerul, ca ploaia să nu plouă în zilele proorociei lor, şi putere au peste ape să le schimbe în sânge şi să bată pământul cu toată plaga, ori de câte ori vor voi. 7Şi când vor isprăvi mărturia lor, fiara care se ridică din adânc va face cu ei război, şi-i va birui şi-i va ucide. 8Şi trupul lor mort va fi în piaţa cetăţii celei mari, care se cheamă, duhovniceşte, Sodoma şi Egipt, unde şi Domnul lor S-a răstignit. 9Şi dintre popoare şi seminţii şi

δομα καὶ Αἴγυπτος, ὅπου καὶ ὁ Κύριος αὐτῶν ἐσταυρώθη. 9καὶ βλέπουσιν ἐκ τῶν λαῶν καὶ φυλῶν καὶ γλωσσῶν καὶ ἐθνῶν τὸ πτῶμα αὐτῶν ἡμέρας τρεῖς καὶ ἥμισυ, καὶ τὰ πτώματα αὐτῶν οὐκ ἀφήσουσι τεθῆναι εἰς μνῆμα. 10καὶ οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς χαίρουσιν ἐπ' αὐτοῖς, καὶ εὐφρανθήσονται καὶ δῶρα πέμψουσιν ἀλλήλοις, ὅτι οὗτοι οἱ δύο προφῆται ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. 11καὶ μετὰ τὰς τρεῖς ἡμέρας καὶ ἥμισυ, πνεῦμα ζωῆς ἐκ τοῦ Θεοῦ εἰσῆλθεν εἰς αὐτούς, καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ φόβος μέγας ἐπέπεσεν ἐπὶ τοὺς θεωροῦντας αὐτούς. 12καὶ ἤκουσα φωνὴν μεγάλην ἐκ τοῦ οὐρανοῦ λέγουσαν αὐτοῖς· ἀνάβητε ὧδε. καὶ ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ, καὶ ἐθεώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν. 13Καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγένετο σεισμὸς μέγας, καὶ τὸ δέκατον τῆς πόλεως ἔπεσε, καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα ἀνθρώπων χιλιάδες ἑπτά, καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο καὶ ἔδωκαν δόξαν τῷ Θεῷ τοῦ οὐρανοῦ. 14Ἡ οὐαὶ ἡ δευτέρα ἀπῆλθεν· ἡ οὐαὶ ἡ τρίτη ἰδοὺ ἔρχεται ταχύ.

Καὶ ὁ ἕβδομος ἄγγελος ἐσάλπισε· καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ λέγουσαι· ἐγένετο ἡ βασιλεία τοῦ κόσμου τοῦ Κυρίου ἡμῶν καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 16καὶ οἱ εἴκοσι τέσσαρες πρεσβύτεροι οἱ ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ, οἱ κάθηνται ἐπὶ τοὺς θρόνους αὐτῶν, ἔπεσαν ἐπὶ τὰ πρόσωπα αὐτῶν καὶ προσεκύνησαν τῷ Θεῷ 17λέγοντες· εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὅτι εἴληφας τὴν δύναμίν σου τὴν μεγάλην καὶ ἐβασίλευσας, 18καὶ τὰ ἔθνη ὠργίσθησαν, καὶ ἦλθεν ἡ ὀργή σου καὶ ὁ καιρὸς τῶν ἐθνῶν κριθῆναι καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου τοῖς προφήταις καὶ τοῖς ἁγίοις τοῖς φοβουμένοις τὸ ὄνομά σου, τοῖς μικροῖς καὶ τοῖς μεγάλοις, καὶ

limbi şi neamuri vor vedea trupul lor mort trei zile şi jumătate şi nu vor lăsa ca trupurile lor moarte să fie puse în mormânt. 10Şi locuitorii pământului se vor bucura de ei şi se vor veseli şi îşi vor trimite daruri unii altora, că aceşti doi prooroci au chinuit pe locuitorii pământului. 11Şi după cele trei zile şi jumătate, duh de viaţă de la Dumnezeu a intrat în ei, şi au stat pe picioarele lor, şi frică mare a căzut asupra celor ce-i priveau. 12Şi am auzit glas mare din cer, zicându-le: Suiţi-vă aici! Şi s-au suit la cer, în nor, şi i-au văzut pe ei vrăjmaşii lor. 13Şi în ziua aceea s-a făcut cutremur mare şi a zecea parte din cetate a căzut, şi au fost ucişi în cutremur nume de oameni şapte mii, şi cei rămaşi s-au înfricoşat şi au dat slavă Dumnezeului cerului. 14Al doilea vai a trecut; al treilea vai, iată, vine degrabă.

Şi al şaptelea înger a trâmbiţat şi s-au făcut glasuri mari în cer, zicând: Împărăţia lumii s-a făcut a Domnului nostru şi a Hristosului Său şi va împărăţi în vecii vecilor. 16Şi cei douăzeci şi patru de bătrâni, cei de dinaintea tronului lui Dumnezeu, care şed pe tronurile lor, au căzut cu feţele la pământ şi s-au închinat lui Dumnezeu, 17zicând: Mulţumim Ţie, Doamne Dumnezeule, Atotţiitorule, Cel ce eşti şi Cel ce erai şi Cel ce vii, că ai luat puterea Ta cea mare şi ai împărăţit, 18şi neamurile s-au mâniat, dar a venit mânia Ta şi vremea ca neamurile să fie judecate, şi să dai răsplata robilor Tăi, proorocilor şi sfinţilor, celor care se tem de numele Tău, celor mici şi celor mari, şi să strici pe cei ce strică pământul.

διαφθεῖραι τοὺς διαφθείροντας τὴν γῆν. 19Καὶ ἠνοίγη ὁ ναὸς τοῦ Θεοῦ ὁ ἐν τῷ οὐρανῷ, καὶ ὤφθη ἡ κιβωτὸς τῆς διαθήκης Κυρίου ἐν τῷ ναῷ αὐτοῦ, καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταὶ καὶ σεισμὸς καὶ χάλαζα μεγάλη.

19Şi s-a deschis templul lui Dumnezeu, cel din cer, şi s-a văzut Chivotul Testamentului Domnului în templul Lui, şi s-au făcut fulgere şi vuiete şi tunete şi cutremur şi grindină mare.

Κεφάλαιον ΙΒ΄

Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ, γυνὴ περιβεβλημένη τὸν ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα, 2καὶ ἐν γαστρὶ ἔχουσα ἔκραζεν ὠδίνουσα καὶ βασανιζομένη τεκεῖν. 3καὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ, καὶ ἰδοὺ δράκων πυρρὸς μέγας, ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ἑπτὰ διαδήματα, 4καὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων τοῦ οὐρανοῦ, καὶ ἔβαλεν αὐτοὺς εἰς τὴν γῆν. καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τεκεῖν, ἵνα, ὅταν τέκῃ, τὸ τέκνον αὐτῆς καταφάγῃ. 5καὶ ἔτεκεν υἱὸν ἄρρενα, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ· καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν Θεὸν καὶ πρὸς τὸν θρόνον αὐτοῦ. 6καὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει ἐκεῖ τόπον ἡτοιμασμένον ἀπὸ τοῦ Θεοῦ, ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα. 7Καὶ ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ· ὁ Μιχαὴλ καὶ οἱ ἄγγελοι αὐτοῦ τοῦ πολεμῆσαι μετὰ τοῦ δράκοντος· καὶ ὁ δράκων ἐπολέμησε καὶ οἱ ἄγγελοι αὐτοῦ, 8καὶ οὐκ ἴσχυσεν, οὐδὲ τόπος εὑρέθη αὐτῷ ἔτι ἐν τῷ οὐρανῷ. 9καὶ ἐβλήθη ὁ δράκων, ὁ ὄφις ὁ μέγας ὁ ἀρχαῖος, ὁ καλούμενος Διάβολος καὶ ὁ Σατανᾶς, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην, ἐβλήθη εἰς τὴν γῆν, καὶ οἱ

Capitolul 12

Şi semn mare s-a văzut în cer, o femeie înfăşurată cu soarele, şi luna sub picioarele ei, şi pe capul ei cunună de douăsprezece stele; 2şi, având în pântece, striga, fiind în dureri şi căznindu-se să nască. 3Şi s-a văzut alt semn în cer, şi iată: balaur mare, roşu ca focul, având şapte capete şi zece coarne şi, pe capetele lui, şapte diademe, 4şi coada lui târa a treia parte din stelele cerului, şi le-a aruncat pe pământ. Şi balaurul a stat înaintea femeii care era să nască, ca, atunci când va naşte, să-i înghită pruncul. 5Şi a născut fiu de parte bărbătească, ce are să păstorească toate neamurile cu toiag de fier; şi a fost răpit pruncul ei la Dumnezeu şi la tronul Lui. 6Şi femeia a fugit în pustie, acolo unde are loc gătit de Dumnezeu, ca acolo să o hrănească pe ea o mie două sute şaizeci de zile. 7Şi s-a făcut război în cer: Mihail şi îngerii lui să poarte război cu balaurul; şi balaurul s-a războit, şi îngerii lui, 8şi n-a izbutit, nici loc nu i s-a mai găsit lui în cer. 9Şi a fost aruncat balaurul, şarpele cel mare, cel de demult, care se cheamă diavol şi satana, cel ce amăgeşte lumea toată, a fost aruncat pe pământ şi îngerii lui au fost aruncaţi împreună cu el. 10Şi am auzit glas mare în cer, zicând:

ἄγγελοι αὐτοῦ μετ᾽ αὐτοῦ ἐβλήθησαν. 10καὶ ἤκουσα φωνὴν μεγάλην ἐν τῷ οὐρανῷ λέγουσαν· ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ βασιλεία τοῦ Θεοῦ ἡμῶν καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ αὐτοῦ, ὅτι ἐβλήθη ὁ κατήγορος τῶν ἀδελφῶν ἡμῶν, ὁ κατηγορῶν αὐτῶν ἐνώπιον τοῦ Θεοῦ ἡμῶν ἡμέρας καὶ νυκτός. 11καὶ αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ ἀρνίου καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν, καὶ οὐκ ἠγάπησαν τὴν ψυχὴν αὐτῶν ἄχρι θανάτου. 12διὰ τοῦτο εὐφραίνεσθε οὐρανοὶ καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες· οὐαὶ τὴν γῆν καὶ τὴν θάλασσαν, ὅτι κατέβη ὁ διάβολος πρὸς ὑμᾶς ἔχων θυμὸν μέγαν, εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει. 13Καὶ ὅτε εἶδεν ὁ δράκων ὅτι ἐβλήθη εἰς τὴν γῆν, ἐδίωξε τὴν γυναῖκα ἥτις ἔτεκε τὸν ἄρρενα. 14καὶ ἐδόθησαν τῇ γυναικὶ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς τὴν ἔρημον εἰς τὸν τόπον αὐτῆς, ὅπως τρέφηται ἐκεῖ καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ ἀπὸ προσώπου τοῦ ὄφεως. 15καὶ ἔβαλεν ὁ ὄφις ἐκ τοῦ στόματος αὐτοῦ ὀπίσω τῆς γυναικὸς ὕδωρ ὡς ποταμόν, ἵνα αὐτὴν ποταμοφόρητον ποιήσῃ. 16καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς καὶ κατέπιε τὸν ποταμὸν ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ. 17καὶ ὠργίσθη ὁ δράκων ἐπὶ τῇ γυναικί, καὶ ἀπῆλθε ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τοῦ σπέρματος αὐτῆς, τῶν τηρούντων τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ ἐχόντων τὴν μαρτυρίαν Ἰησοῦ.

Acum s-a făcut mântuirea şi puterea şi împărăţia Dumnezeului nostru şi stăpânirea Hristosului Lui, că a fost aruncat pârâşul fraţilor noştri, cel care îi pâra pe ei înaintea Dumnezeului nostru zi şi noapte. 11Şi ei l-au biruit pentru sângele Mielului şi pentru cuvântul mărturiei lor, şi nu şi-au iubit sufletul lor, până la moarte. 12Pentru aceasta, veseliţi-vă, ceruri şi cei ce sălăşluiţi în ele; vai vouă, pământule şi mare, că a coborât diavolul la voi, având mânie mare, ştiind că puţină vreme are. 13Şi când a văzut balaurul că a fost aruncat pe pământ, a prigonit-o pe femeia care născuse pe Cel de parte bărbătească. 14Şi i s-au dat femeii două aripi, ale vulturului celui mare, ca să zboare în pustie, spre locul ei, ca să fie hrănită acolo vreme şi vremi şi jumătate de vreme, departe de faţa şarpelui. 15Şi a aruncat şarpele din gura lui în urma femeii apă, ca un râu, ca să fie luată de ape. 16Şi pământul i-a ajutat femeii, şi a deschis pământul gura sa şi a înghiţit râul pe care l-a aruncat balaurul din gura lui. 17Şi s-a mâniat balaurul pe femeie, şi a pornit să facă război cu ceilalţi din sămânţa ei, care ţin poruncile lui Dumnezeu şi au mărturia lui Iisus.

Κεφάλαιον ΙΓ΄

Καὶ ἐστάθην ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης· καὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον, ἔχον κέρατα δέκα καὶ κεφαλὰς ἑπτά, καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδή-

Capitolul 13

Şi am stat pe nisipul mării; şi am văzut o fiară ridicându-se din mare, având zece coarne şi şapte capete, şi pe coarnele ei, zece diademe; şi pe capetele ei, nume de

ματα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὀνόματα βλασφημίας. 2καὶ τὸ θηρίον ὃ εἶδον ἦν ὅμοιον παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκου, καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα λέοντος. καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ καὶ ἐξουσίαν μεγάλην· 3καὶ μίαν ἐκ τῶν κεφαλῶν αὐτοῦ ὡς ἐσφαγμένην εἰς θάνατον. καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ ἐθεραπεύθη, καὶ ἐθαύμασεν ὅλη ἡ γῆ ὀπίσω τοῦ θηρίου, 4καὶ προσεκύνησαν τῷ δράκοντι τῷ δεδωκότι τὴν ἐξουσίαν τῷ θηρίῳ, καὶ προσεκύνησαν τῷ θηρίῳ λέγοντες· τίς ὅμοιος τῷ θηρίῳ; τίς δύναται πολεμῆσαι μετ' αὐτοῦ; 5καὶ ἐδόθη αὐτῷ στόμα λαλοῦν μεγάλα καὶ βλασφημίαν· καὶ ἐδόθη αὐτῷ ἐξουσία πόλεμον ποιῆσαι μῆνας τεσσαράκοντα δύο. 6καὶ ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς βλασφημίαν πρὸς τὸν Θεόν, βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ καὶ τὴν σκηνὴν αὐτοῦ, τοὺς ἐν τῷ οὐρανῷ σκηνοῦντας. 7καὶ ἐδόθη αὐτῷ πόλεμον ποιῆσαι μετὰ τῶν ἁγίων καὶ νικῆσαι αὐτούς, καὶ ἐδόθη αὐτῷ ἐξουσία ἐπὶ πᾶσαν φυλὴν καὶ λαὸν καὶ γλῶσσαν καὶ ἔθνος. 8καὶ προσκυνήσουσιν αὐτὸν πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὸ ὄνομα ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου τοῦ ἐσφαγμένου ἀπὸ καταβολῆς κόσμου. 9Εἴ τις ἔχει οὖς, ἀκουσάτω. 10εἴ τις εἰς αἰχμαλωσίαν ἀπάγει, εἰς αἰχμαλωσίαν ὑπάγει· εἴ τις ἐν μαχαίρᾳ ἀποκτέννει, δεῖ αὐτὸν ἐν μαχαίρᾳ ἀποκτανθῆναι. ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων. 11Καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχε κέρατα δύο ὅμοια ἀρνίῳ, καὶ ἐλάλει ὡς δράκων. 12καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ. καὶ ποιεῖ τὴν γῆν καὶ τοὺς ἐν αὐτῇ κατοικοῦντας ἵνα προσκυνήσωσι τὸ θηρίον τὸ πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ. 13καὶ ποιεῖ σημεῖα μεγάλα, καὶ πῦρ ἵνα ἐκ τοῦ οὐρανοῦ καταβαίνῃ εἰς τὴν γῆν ἐνώπιον τῶν ἀνθρώπων. 14καὶ πλανᾷ τοὺς κατοικοῦντας ἐπὶ

hulă. 2Şi fiara pe care am văzut-o era asemenea leopardului, şi picioarele ei, ca ale ursului; şi gura ei, ca gura leului. Şi i-a dat ei balaurul puterea lui şi tronul lui şi stăpânire mare. 3Şi unul din capetele ei – ca înjunghiat de moarte, şi rana ei de moarte s-a vindecat, şi s-a minunat tot pământul urmând fiarei. 4Şi s-au închinat balaurului, celui ce i-a dat stăpânire fiarei; şi s-au închinat fiarei, zicând: Cine este asemenea fiarei? Cine poate să poarte război cu ea? 5Şi i s-a dat ei gură să grăiască lucruri mari şi hulă; şi i s-a dat ei stăpânire să facă război patruzeci şi două de luni. 6Şi şi-a deschis gura sa spre hulă către Dumnezeu, ca să hulească Numele Lui şi cortul Lui, pe cei ce sălăşluiesc în cer. 7Şi i s-a dat ei să facă război cu sfinţii şi să-i biruiască, şi i s-a dat ei stăpânire peste toată seminţia şi poporul şi limba şi neamul. 8Şi i se vor închina ei toţi cei ce locuiesc pe pământ, al căror nume nu s-a scris în cartea vieţii Mielului Celui înjunghiat de la întemeierea lumii. 9Dacă are cineva urechi, să audă! 10Dacă cineva duce în robie, în robie se duce; dacă cineva ucide cu sabia, trebuie ca şi el să fie ucis cu sabia. Aici este răbdarea şi credinţa sfinţilor. 11Şi am văzut altă fiară, ridicându-se din pământ, şi avea două coarne asemenea mielului, şi grăia ca un balaur. 12Şi stăpânirea fiarei celei dintâi o face toată înaintea ei, şi face pământul şi pe cei ce locuiesc pe el să se închine fiarei celei dintâi, a cărei rană de moarte a fost tămăduită. 13Şi face semne mari, chiar şi foc să se pogoare din cer pe pământ, înaintea oamenilor, 14şi amăgeşte pe cei ce locuiesc pe pământ din pricina semnelor ce i s-a dat să le facă înaintea fiarei, zicând celor ce locuiesc pe pământ să facă un chip fiarei, care avea

τῆς γῆς διὰ τὰ σημεῖα ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θηρίου, λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς ποιῆσαι εἰκόνα τῷ θηρίῳ, ὃς εἶχε τὴν πληγὴν τῆς μαχαίρας καὶ ἔζησε. 15καὶ ἐδόθη αὐτῷ πνεῦμα δοῦναι τῇ εἰκόνι τοῦ θηρίου, ἵνα καὶ λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου καὶ ποιήσῃ, ὅσοι ἐὰν μὴ προσκυνήσωσι τῇ εἰκόνι τοῦ θηρίου, ἵνα ἀποκτανθῶσι. 16καὶ ποιεῖ πάντας, τοὺς μικροὺς καὶ τοὺς μεγάλους, καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχούς, καὶ τοὺς ἐλευθέρους καὶ τοὺς δούλους, ἵνα δώσωσιν αὐτοῖς χάραγμα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς ἢ ἐπὶ τῶν μετώπων αὐτῶν, 17καὶ ἵνα μή τις δύνηται ἀγοράσαι ἢ πωλῆσαι εἰ μὴ ὁ ἔχων τὸ χάραγμα, τὸ ὄνομα τοῦ θηρίου ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ. 18Ὧδε ἡ σοφία ἐστίν· ὁ ἔχων νοῦν ψηφισάτω τὸν ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γὰρ ἀνθρώπου ἐστί· καὶ ὁ ἀριθμὸς αὐτοῦ χξϛ΄.

rana de sabie şi a rămas vie. 15Şi i s-a dat ei să dea duh chipului fiarei, ca şi să vorbească chipul fiarei, şi să facă, aşa încât să fie ucişi câţi nu se vor închina chipului fiarei. 16Şi ea îi face pe toţi, pe cei mici şi pe cei mari, şi pe cei bogaţi şi pe cei săraci, şi pe cei liberi şi pe cei robi, ca să le dea lor semn pe mâna lor dreaptă sau pe frunţile lor 17şi ca să nu poată cineva să cumpere sau să vândă decât numai cel ce are semnul, numele fiarei sau numărul numelui ei. 18Aici este înţelepciunea. Cel ce are minte să socotească numărul fiarei; căci este număr de om; şi numărul ei este 666.

Κεφάλαιον ΙΔ΄

Καὶ εἶδον, καὶ ἰδοὺ τὸ ἀρνίον ἑστηκὸς ἐπὶ τὸ ὄρος Σιών, καὶ μετ᾽ αὐτοῦ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, ἔχουσαι τὸ ὄνομα αὐτοῦ καὶ τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν. 2καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ ὡς φωνὴν ὑδάτων πολλῶν καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ ἡ φωνὴ ἣν ἤκουσα, ὡς κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν. 3καὶ ᾄδουσιν ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τῶν τεσσάρων ζῴων καὶ τῶν πρεσβυτέρων· καὶ οὐδεὶς ἐδύνατο μαθεῖν τὴν ᾠδὴν εἰ μὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς. 4οὗτοί εἰσιν οἱ μετὰ

Capitolul 14

Şi am văzut, şi iată Mielul stând pe muntele Sion şi cu El o sută patruzeci şi patru de mii, având numele Lui şi numele Tatălui Lui scris pe frunţile lor. 2Şi am auzit glas din cer, ca un glas de ape multe şi ca un glas de tunet mare; şi glasul pe care l-am auzit, ca al cântăreţilor care cântă la alăutele lor. 3Şi cântau cântare nouă înaintea tronului şi înaintea celor patru fiinţe şi a bătrânilor; şi nimeni nu putea să înveţe cântarea decât numai cei o sută patruzeci şi patru de mii, cei răscumpăraţi de pe pământ. 4Aceştia sunt cei care nu s-au întinat cu femei; căci sunt feciorelnici. Aceştia sunt cei care urmează Mielului oriunde

γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ
εἰσιν. οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ
ὅπου ἂν ὑπάγῃ. οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν
ἀνθρώπων ἀπαρχὴ τῷ Θεῷ καὶ τῷ ἀρνίῳ·
5καὶ οὐχ εὑρέθη ψεῦδος ἐν τῷ στόματι αὐτῶν·
ἄμωμοι γάρ εἰσιν.

Καὶ εἶδον ἄλλον ἄγγελον πετόμενον ἐν με-
σουρανήματι, ἔχοντα εὐαγγέλιον αἰώνιον
εὐαγγελίσαι ἐπὶ τοὺς καθημένους ἐπὶ τῆς γῆς
καὶ ἐπὶ πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν
καὶ λαόν, 7λέγων ἐν φωνῇ μεγάλῃ· φοβήθητε
τὸν Κύριον καὶ δότε αὐτῷ δόξαν, ὅτι ἦλθεν ἡ
ὥρα τῆς κρίσεως αὐτοῦ, καὶ προσκυνήσατε
τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ
τὴν θάλασσαν καὶ πηγὰς ὑδάτων. 8καὶ ἄλλος
δεύτερος ἄγγελος ἠκολούθησε λέγων· ἔπεσεν,
ἔπεσε Βαβυλὼν ἡ μεγάλη, ἣ ἐκ τοῦ οἴνου τοῦ
θυμοῦ τῆς πορνείας αὐτῆς πεπότικε πάντα
ἔθνη. 9Καὶ ἄλλος ἄγγελος τρίτος ἠκολούθησεν
αὐτοῖς λέγων ἐν φωνῇ μεγάλῃ· εἴ τις προσ-
κυνεῖ τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ
λαμβάνει τὸ χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ
ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ, 10καὶ αὐτὸς πίεται ἐκ
τοῦ οἴνου τοῦ θυμοῦ τοῦ Θεοῦ τοῦ κεκερα-
σμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς
αὐτοῦ, καὶ βασανισθήσεται ἐν πυρὶ καὶ θείῳ
ἐνώπιον τῶν ἁγίων ἀγγέλων καὶ ἐνώπιον τοῦ
ἀρνίου. 11καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐ-
τῶν εἰς αἰῶνας αἰώνων ἀναβαίνει, καὶ οὐκ
ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτὸς οἱ
προσκυνοῦντες τὸ θηρίον καὶ τὴν εἰκόνα
αὐτοῦ, καὶ εἴ τις λαμβάνει τὸ χάραγμα τοῦ
ὀνόματος αὐτοῦ. 12Ὧδε ἡ ὑπομονὴ τῶν ἁγίων
ἐστίν, οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ
τὴν πίστιν Ἰησοῦ. 13Καὶ ἤκουσα φωνῆς ἐκ
τοῦ οὐρανοῦ λεγούσης· γράψον, μακάριοι οἱ
νεκροὶ οἱ ἐν Κυρίῳ ἀποθνῄσκοντες ἀπ᾽ ἄρτι.
ναί, λέγει τὸ Πνεῦμα, ἵνα ἀναπαύσωνται ἐκ
τῶν κόπων αὐτῶν· τὰ δὲ ἔργα αὐτῶν ἀκο-
λουθεῖ μετ᾽ αὐτῶν.

s-ar duce. Aceştia au fost răscumpăraţi de
la oameni, pârgă lui Dumnezeu şi Mielului;
5şi nu s-a aflat minciună în gura lor, căci
sunt fără prihană.

Şi am văzut alt înger zburând în mijlocul
cerului, având evanghelie veşnică a bi-
nevesti peste cei ce locuiesc pe pământ şi
peste tot neamul şi seminţia şi limba şi po-
porul, 7zicând cu glas mare: Temeţi-vă de
Domnul şi daţi Lui slavă, că a venit ceasul
judecăţii Lui, şi vă închinaţi Celui ce a fă-
cut cerul şi pământul şi marea şi izvoarele
apelor. 8Şi a urmat un al doilea înger, zi-
când: Căzut-a, căzut-a Babilonul cel mare,
care din vinul mâniei desfrânării ei a adă-
pat toate neamurile. 9Şi un al treilea înger a
urmat, zicându-le cu glas mare: Dacă cine-
va se închină fiarei şi chipului ei şi primeşte
semnul pe fruntea lui sau pe mâna lui, 10va
bea şi el din vinul mâniei lui Dumnezeu,
cel turnat neamestecat în paharul urgiei
Lui, şi se va chinui în foc şi pucioasă, îna-
intea sfinţilor îngeri şi înaintea Mielului;
11şi fumul chinuirii lor se suie în vecii ve-
cilor, şi nu au odihnă zi şi noapte cei ce se
închină fiarei şi chipului ei, şi tot cel ce ia
semnul numelui ei. 12Aici este răbdarea
sfinţilor care ţin poruncile lui Dumnezeu
şi credinţa lui Iisus. 13Şi am auzit glas din
cer, zicând: Scrie: Fericiţi cei morţi, cei ce
mor de acum în Domnul! Da, zice Duhul,
ca să se odihnească de ostenelile lor; iar
faptele lor urmează împreună cu ei.

Καὶ εἶδον, καὶ ἰδοὺ νεφέλη λευκή, καὶ ἐπὶ τὴν νεφέλην καθήμενος ὅμοιος υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ. 15Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ, κράζων ἐν φωνῇ μεγάλῃ τῷ καθημένῳ ἐπὶ τῆς νεφέλης· πέμψον τὸ δρέπανόν σου καὶ θέρισον, ὅτι ἦλθεν ἡ ὥρα τοῦ θερίσαι, ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς. 16καὶ ἔβαλεν ὁ καθήμενος ἐπὶ τὴν νεφέλην τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἐθερίσθη ἡ γῆ. 17Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν τῷ οὐρανῷ, ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ. 18Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου, ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρός, καὶ ἐφώνησε κραυγῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξὺ λέγων· πέμψον σου τὸ δρέπανον τὸ ὀξὺ καὶ τρύγησον τοὺς βότρυας τῆς ἀμπέλου τῆς γῆς, ὅτι ἤκμασεν ἡ σταφυλὴ τῆς γῆς. 19καὶ ἔβαλεν ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν, καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς, καὶ ἔβαλεν εἰς τὴν ληνὸν τοῦ θυμοῦ τοῦ Θεοῦ τὴν μεγάλην. 20καὶ ἐπατήθη ἡ ληνὸς ἔξω τῆς πόλεως, καὶ ἐξῆλθεν αἷμα ἐκ τῆς ληνοῦ ἄχρι τῶν χαλινῶν τῶν ἵππων ἀπὸ σταδίων χιλίων ἑξακοσίων.

Şi am văzut, şi iată un nor alb, şi pe nor şezând Cineva asemenea Fiului Omului, având pe capul Lui cunună de aur şi în mâna Lui seceră ascuţită. 15Şi un alt înger a ieşit din templu, strigând cu glas mare Celui ce şedea pe nor: Trimite secera Ta şi seceră, că a venit ceasul să seceri, că s-au copt holdele pământului. 16Şi a aruncat Cel ce şedea pe nor secera Sa pe pământ şi pământul a fost secerat. 17Şi un alt înger a ieşit din templul cel din cer, având şi el o seceră ascuţită. 18Şi un alt înger a ieşit de la jertfelnic, având stăpânire asupra focului, şi a strigat cu strigare mare celui care avea secera cea ascuţită, zicând: Trimite secera Ta cea ascuţită şi culege ciorchinii viei pământului, căci s-au copt strugurii pământului. 19Şi a aruncat îngerul secera sa pe pământ şi a cules via pământului, şi a pus strugurii în teascul cel mare al mâniei lui Dumnezeu. 20Şi a fost călcat teascul afară din cetate şi a ieşit sânge din teasc, până la zăbalele cailor, pe o mie şase sute de stadii.

Κεφάλαιον ΙΕ΄

Καὶ εἶδον ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ θαυμαστόν, ἀγγέλους ἑπτὰ ἔχοντας πληγὰς ἑπτὰ τὰς ἐσχάτας, ὅτι ἐν αὐταῖς ἐτελέσθη ὁ θυμὸς τοῦ Θεοῦ. 2καὶ εἶδον ὡς θάλασσαν ὑαλίνην μεμιγμένην πυρί, καὶ τοὺς νικῶντας ἐκ τοῦ θηρίου καὶ ἐκ τῆς εἰκόνος αὐτοῦ καὶ ἐκ τοῦ ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ ἑστῶτας

Capitolul 15

Şi am văzut alt semn în cer, mare şi minunat: şapte îngeri având şapte plăgi, cele de pe urmă, că întru acestea s-a sfârşit mânia lui Dumnezeu. 2Şi am văzut ca o mare de sticlă, amestecată cu foc, şi pe biruitorii fiarei şi ai chipului ei şi ai numărului numelui ei, stând pe marea de sticlă,

ἐπὶ τὴν θάλασσαν τὴν ὑαλίνην, ἔχοντας τὰς κιθάρας τοῦ Θεοῦ. 3καὶ ᾄδουσι τὴν ᾠδὴν Μωϋσέως τοῦ δούλου τοῦ Θεοῦ καὶ τὴν ᾠδὴν τοῦ ἀρνίου λέγοντες· μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ· δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, ὁ βασιλεὺς τῶν ἐθνῶν. 4τίς οὐ μὴ φοβηθῇ, Κύριε, καὶ δοξάσῃ τὸ ὄνομά σου; ὅτι μόνος ὅσιος, ὅτι πάντα τὰ ἔθνη ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, ὅτι τὰ δικαιώματά σου ἐφανερώθησαν. 5Καὶ μετὰ ταῦτα εἶδον, καὶ ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ, 6καὶ ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι οἱ ἔχοντες τὰς ἑπτὰ πληγὰς ἐκ τοῦ ναοῦ, οἳ ἦσαν ἐνδεδυμένοι λίνον καθαρὸν λαμπρὸν καὶ περιεζωσμένοι περὶ τὰ στήθη ζώνας χρυσᾶς. 7καὶ ἓν ἐκ τῶν τεσσάρων ζῴων ἔδωκε τοῖς ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς, γεμούσας τοῦ θυμοῦ τοῦ Θεοῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 8καὶ ἐγεμίσθη ὁ ναὸς ἐκ τοῦ καπνοῦ ἐκ τῆς δόξης τοῦ Θεοῦ καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ· καὶ οὐδεὶς ἐδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν ἄχρι τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἑπτὰ ἀγγέλων.

având alăutele lui Dumnezeu. 3Şi cântau cântarea lui Moise, robul lui Dumnezeu, şi cântarea Mielului, zicând: Mari şi minunate lucrurile Tale, Doamne Dumnezeule, Atotţiitorule! Drepte şi adevărate căile Tale, Împărate al neamurilor! 4Cine nu se va înfricoşa, Doamne, şi nu va slăvi numele Tău? Că singur eşti cuvios, că toate neamurile vor veni şi se vor închina înaintea Ta, că îndreptările Tale s-au arătat. 5Şi după acestea, am văzut, şi s-a deschis templul Cortului Mărturiei în cer, 6şi au ieşit din templu cei şapte îngeri care aveau cele şapte plăgi, care erau îmbrăcaţi în in curat, strălucitor, şi încinşi împrejurul pieptului cu brâie de aur. 7Şi una din cele patru fiinţe le-a dat celor şapte îngeri şapte cupe de aur pline de mânia lui Dumnezeu, a Celui ce este viu în vecii vecilor. 8Şi s-a umplut templul de fum, de la slava lui Dumnezeu şi de la puterea Lui; şi nimeni nu putea să intre în templu, până ce se vor sfârşi cele şapte plăgi ale celor şapte îngeri.

Κεφάλαιον Ις΄

Καὶ ἤκουσα μεγάλης φωνῆς ἐκ τοῦ ναοῦ λεγούσης τοῖς ἑπτὰ ἀγγέλοις· ὑπάγετε καὶ ἐκχέατε τὰς ἑπτὰ φιάλας τοῦ θυμοῦ τοῦ Θεοῦ εἰς τὴν γῆν. 2Καὶ ἀπῆλθεν ὁ πρῶτος καὶ ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν γῆν· καὶ ἐγένετο ἕλκος κακὸν καὶ πονηρὸν ἐπὶ τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ. 3Καὶ ὁ δεύτε-

Capitolul 16

Şi am auzit glas mare din templu, zicând celor şapte îngeri: Mergeţi şi vărsaţi cele şapte cupe ale mâniei lui Dumnezeu pe pământ. 2Şi s-a dus cel dintâi şi a vărsat cupa lui pe pământ; şi s-a făcut bubă rea şi cumplită pe oamenii care aveau semnul fiarei şi care se închinau chipului ei. 3Şi al doilea înger a vărsat cupa lui în mare, şi s-a făcut

ρος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὴν θάλασσαν· καὶ ἐγένετο αἷμα ὡς νεκροῦ, καὶ πᾶσα ψυχὴ ζῶσα ἀπέθανεν ἐν τῇ θαλάσσῃ. 4Καὶ ὁ τρίτος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς καὶ εἰς τὰς πηγὰς τῶν ὑδάτων· καὶ ἐγένετο αἷμα. 5Καὶ ἤκουσα τοῦ ἀγγέλου τῶν ὑδάτων λέγοντος· δίκαιος εἶ, ὁ ὢν καὶ ὁ ἦν, ὁ ὅσιος, ὅτι ταῦτα ἔκρινας· 6ὅτι αἷμα ἁγίων καὶ προφητῶν ἐξέχεαν, καὶ αἷμα αὐτοῖς ἔδωκας πιεῖν· ἄξιοί εἰσι. 7Καὶ ἤκουσα τοῦ θυσιαστηρίου λέγοντος· ναί, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου. 8Καὶ ὁ τέταρτος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἥλιον· καὶ ἐδόθη αὐτῷ καυματίσαι ἐν πυρὶ τοὺς ἀνθρώπους. 9καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα μέγα, καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸ ὄνομα τοῦ Θεοῦ τοῦ ἔχοντος ἐξουσίαν ἐπὶ τὰς πληγὰς ταύτας, καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν. 10Καὶ ὁ πέμπτος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον τοῦ θηρίου· καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτωμένη, καὶ ἐμασῶντο τὰς γλώσσας αὐτῶν ἐκ τοῦ πόνου, 11καὶ ἐβλασφήμησαν τὸν Θεὸν τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν καὶ ἐκ τῶν ἑλκῶν αὐτῶν, καὶ οὐ μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν. 12Καὶ ὁ ἕκτος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ποταμὸν τὸν μέγαν τὸν Εὐφράτην· καὶ ἐξηράνθη τὸ ὕδωρ αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων τῶν ἀπὸ ἀνατολῆς ἡλίου. 13Καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δράκοντος καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου καὶ ἐκ τοῦ στόματος τοῦ ψευδοπροφήτου πνεύματα τρία ἀκάθαρτα, ὡς βάτραχοι· 14εἰσὶ γὰρ πνεύματα δαιμονίων ποιοῦντα σημεῖα, ἃ ἐκπορεύεται ἐπὶ τοὺς βασιλεῖς τῆς οἰκουμένης ὅλης, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης τοῦ Θεοῦ τοῦ παντοκράτορος. 15Ἰδοὺ ἔρχομαι ὡς κλέπτης· μακάριος ὁ γρηγορῶν καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, ἵνα μὴ γυμνὸς περιπατῇ καὶ βλέπωσι τὴν ἀσχημοσύνην αὐτοῦ. 16καὶ συνήγαγεν

sânge, ca de mort, şi tot sufletul viu a murit în mare. 4Şi cel de-al treilea a vărsat cupa lui în râuri şi în izvoarele apelor; şi s-a făcut sânge. 5Şi am auzit pe îngerul apelor, zicând: Drept eşti, Cel ce eşti şi Cel ce erai, Cel cuvios, că pe acestea le-ai judecat; 6că sânge de sfinţi şi de prooroci au vărsat, şi sânge le-ai dat să bea. Vrednici sunt! 7Şi am auzit jertfelnicul, zicând: Da, Doamne Dumnezeule Atotţiitorule, adevărate şi drepte sunt judecăţile Tale! 8Şi al patrulea a vărsat cupa lui peste soare; şi i s-a dat să-i pârjolească pe oameni cu foc. 9Şi au fost pârjoliţi oamenii cu arşiţă mare, şi au hulit oamenii numele lui Dumnezeu, al Celui ce are stăpânire peste plăgile acestea, şi nu s-au pocăit ca să-I dea Lui slavă. 10Şi al cincilea a vărsat cupa lui pe tronul fiarei, şi s-a făcut împărăţia ei întunecată, şi îşi muşcau limbile lor de durere, 11şi au hulit pe Dumnezeul cerului din pricina durerilor lor şi a bubelor lor, şi nu s-au pocăit de faptele lor. 12Şi al şaselea a vărsat cupa lui peste râul cel mare Eufrat; şi a secat apa lui, ca să fie gătită calea împăraţilor celor de la răsăritul soarelui. 13Şi am văzut din gura balaurului şi din gura fiarei şi din gura proorocului mincinos trei duhuri necurate, ca nişte broaşte; 14căci sunt duhuri de draci, făcătoare de semne, care se duc la împăraţii lumii întregi, ca să-i adune la războiul zilei aceleia mari a lui Dumnezeu Atotţiitorul. 15Iată, vin ca un fur. Fericit cel ce priveghează şi îşi păstrează hainele, ca să nu umble gol şi să îi vadă ruşinea! 16Şi i-a adunat în locul ce se cheamă evreieşte Armaghedon. 17Şi al şaptelea a vărsat cupa lui în văzduh; şi a ieşit glas mare din templul cerului, de la tron, zicând: Făcutu-s-a! 18Şi s-au făcut fulgere şi vuiete şi tunete, şi

αὐτοὺς εἰς τὸν τόπον τὸν καλούμενον Ἑβραϊστὶ Ἀρμαγεδών. 17Καὶ ὁ ἕβδομος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἀέρα· καὶ ἐξῆλθε φωνὴ μεγάλη ἐκ τοῦ ναοῦ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θρόνου λέγουσα· γέγονε. 18καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταί, καὶ σεισμὸς ἐγένετο μέγας, οἷος οὐκ ἐγένετο ἀφ' οὗ οἱ ἄνθρωποι ἐγένοντο ἐπὶ τῆς γῆς, τηλικοῦτος σεισμὸς οὕτω μέγας. 19καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν ἐθνῶν ἔπεσαν. καὶ Βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ Θεοῦ δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ. 20καὶ πᾶσα νῆσος ἔφυγε, καὶ ὄρη οὐχ εὑρέθησαν. 21καὶ χάλαζα μεγάλη ὡς ταλαντιαία καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώπους· καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν Θεὸν ἐκ τῆς πληγῆς τῆς χαλάζης, ὅτι μεγάλη ἐστὶν ἡ πληγὴ αὕτη σφόδρα.

cutremur mare s-a făcut, cum nu s-a făcut de când sunt oamenii pe pământ; un atât de mare cutremur. 19Şi s-a făcut cetatea cea mare în trei părți, şi cetățile neamurilor au căzut. Şi Babilonul cel mare a fost pomenit înaintea lui Dumnezeu, ca să-i dea lui paharul cu vinul mâniei urgiei Lui. 20Şi toate insulele au fugit, şi munți nu s-au aflat. 21Şi grindină mare ca talantul a căzut din cer peste oameni; şi au hulit oamenii pe Dumnezeu, din pricina plăgii grindinei, că mare foarte este plaga aceasta.

Κεφάλαιον ΙΖ΄

Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας, καὶ ἐλάλησε μετ' ἐμοῦ λέγων· δεῦρο δείξω σοι τὸ κρῖμα τῆς πόρνης τῆς μεγάλης τῆς καθημένης ἐπὶ ὑδάτων πολλῶν, 2μεθ' ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ ἐμεθύσθησαν οἱ κατοικοῦντες τὴν γῆν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς. 3καὶ ἀπήνεγκέ με εἰς ἔρημον ἐν πνεύματι. καὶ εἶδον γυναῖκα καθημένην ἐπὶ τὸ θηρίον τὸ κόκκινον, γέμον ὀνόματα βλασφημίας, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα. 4καὶ ἡ γυνὴ ἦν περιβεβλημένη πορφυροῦν καὶ κόκκινον καὶ κεχρυσωμένη χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, ἔχουσα ποτήριον

Capitolul 17

Şi a venit unul din cei şapte îngeri, care aveau cele şapte cupe, şi a grăit cu mine, zicând: Vino, îți voi arăta judecata desfrânatei celei mari, care şade pe ape multe, 2cu care s-au desfrânat împărații pământului şi s-au îmbătat cei ce locuiesc pământul de vinul desfrânării ei. 3Şi m-a dus în pustie, în duh. Şi am văzut o femeie şezând pe fiara cea roşie, cea plină de nume de hulă, având şapte capete şi zece coarne. 4Şi femeia era înfăşurată în porfiră şi în stacojiu, şi aurită cu aur şi cu piatră scumpă şi cu mărgăritare, având potir de aur în mâna ei, plin de urâciuni şi de necurățiile

χρυσοῦν ἐν τῇ χειρὶ αὐτῆς, γέμον βδελυγμάτων, καὶ τὰ ἀκάθαρτα τῆς πορνείας τῆς γῆς, 5καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γεγραμμένον· μυστήριον, Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν βδελυγμάτων τῆς γῆς. 6καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν ἐκ τοῦ αἵματος τῶν ἁγίων καὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων Ἰησοῦ. καὶ ἐθαύμασα ἰδὼν αὐτὴν θαῦμα μέγα. 7Καὶ εἶπέ μοι ὁ ἄγγελος· διατί ἐθαύμασας; ἐγὼ ἐρῶ σοι τὸ μυστήριον τῆς γυναικὸς καὶ τοῦ θηρίου τοῦ βαστάζοντος αὐτήν, τοῦ ἔχοντος τὰς ἑπτὰ κεφαλὰς καὶ τὰ δέκα κέρατα. 8Τὸ θηρίον ὃ εἶδες, ἦν καὶ οὐκ ἔστι, καὶ μέλλει ἀναβαίνειν ἐκ τῆς ἀβύσσου καὶ εἰς ἀπώλειαν ὑπάγειν· καὶ θαυμάσονται οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὸ ὄνομα ἐπὶ τὸ βιβλίον τῆς ζωῆς ἀπὸ καταβολῆς κόσμου, βλεπόντων τὸ θηρίον ὅτι ἦν, καὶ οὐκ ἔστι καὶ παρέσται. 9Ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν. αἱ ἑπτὰ κεφαλαὶ ὄρη ἑπτά εἰσιν, ὅπου ἡ γυνὴ κάθηται ἐπ' αὐτῶν, καὶ βασιλεῖς ἑπτά εἰσιν· 10οἱ πέντε ἔπεσαν, ὁ εἷς ἔστιν, ὁ ἄλλος οὔπω ἦλθε, καὶ ὅταν ἔλθῃ, ὀλίγον αὐτὸν δεῖ μεῖναι. 11καὶ τὸ θηρίον ὃ ἦν καὶ οὐκ ἔστι, καὶ αὐτὸς ὄγδοός ἐστι, καὶ ἐκ τῶν ἑπτά ἐστι, καὶ εἰς ἀπώλειαν ὑπάγει. 12καὶ τὰ δέκα κέρατα ἃ εἶδες δέκα βασιλεῖς εἰσιν, οἵτινες βασιλείαν οὔπω ἔλαβον, ἀλλ' ἐξουσίαν ὡς βασιλεῖς μίαν ὥραν λαμβάνουσι μετὰ τοῦ θηρίου. 13οὗτοι μίαν γνώμην ἔχουσι, καὶ τὴν δύναμιν καὶ τὴν ἐξουσίαν αὐτῶν τῷ θηρίῳ διδόασιν. 14οὗτοι μετὰ τοῦ ἀρνίου πολεμήσουσι, καὶ τὸ ἀρνίον νικήσει αὐτούς, ὅτι κύριος κυρίων ἐστὶ καὶ βασιλεὺς βασιλέων, καὶ οἱ μετ' αὐτοῦ κλητοὶ καὶ ἐκλεκτοὶ καὶ πιστοί. 15Καὶ λέγει μοι· τὰ ὕδατα ἃ εἶδες, οὗ ἡ πόρνη κάθηται, λαοὶ καὶ ὄχλοι εἰσὶ καὶ ἔθνη καὶ γλῶσσαι. 16καὶ τὰ δέκα κέρατα ἃ εἶδες καὶ τὸ θηρίον, οὗτοι μισήσουσι τὴν πόρνην καὶ ἠρημωμένην ποιήσουσιν αὐτὴν καὶ γυμνήν,

desfrânării pământului. 5Şi pe fruntea ei un nume scris: taină, Babilonul cel mare, maica desfrânatelor şi a urâciunilor pământului. 6Şi am văzut-o pe femeie beată de sângele sfinţilor şi de sângele mucenicilor lui Iisus; şi m-am minunat cu minune mare, văzând-o. 7Şi mi-a zis îngerul: De ce te minunezi? Eu îţi voi spune taina femeii şi a fiarei care o poartă, cea care are şapte capete şi zece coarne. 8Fiara pe care ai văzut-o era şi nu este, şi va să se ridice din adânc şi să meargă spre pieire; şi se vor minuna cei ce locuiesc pe pământ, al căror nume nu este scris în cartea vieţii de la întemeierea lumii, văzând fiara că era şi nu este, şi va veni. 9Aici este mintea care are înţelepciune. Cele şapte capete sunt şapte munţi deasupra cărora şade femeia. Sunt şi şapte împăraţi; 10cinci au căzut, unul este, altul încă nu a venit şi, când va veni, puţin trebuie să rămână. 11Şi fiara care era şi nu este, şi acesta este al optulea şi din cei şapte este şi merge spre pieire. 12Şi cele zece coarne pe care le-ai văzut sunt zece împăraţi, care încă n-au luat împărăţia, dar care, vreme de un ceas, iau stăpânirea, ca împăraţi, împreună cu fiara. 13Aceştia au un singur gând, şi puterea şi stăpânirea lor o dau fiarei. 14Ei se vor război cu Mielul şi Mielul îi va birui, că Domn al domnilor este şi Împărat al împăraţilor, şi cei împreună cu El chemaţi şi aleşi şi credincioşi. 15Şi mi-a zis: Apele pe care le-ai văzut, unde şade desfrânata, sunt popoare şi mulţimi şi neamuri şi limbi. 16Şi cele zece coarne pe care le-ai văzut şi fiara, aceştia o vor urî pe desfrânată şi pustiită o vor face şi goală, şi cărnurile ei le vor mânca, iar pe ea o vor arde de tot în foc. 17Căci Dumnezeu a dat în inimile lor să facă voia Lui, şi să facă o singură

καὶ τὰς σάρκας αὐτῆς φάγονται, καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί. 17ὁ γὰρ Θεὸς ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι τὴν γνώμην αὐτοῦ, καὶ ποιῆσαι μίαν γνώμην καὶ δοῦναι τὴν βασιλείαν αὐτῶν τῷ θηρίῳ, ἄχρι τελεσθῶσιν οἱ λόγοι τοῦ Θεοῦ. 18καὶ ἡ γυνὴ ἣν εἶδες ἔστιν ἡ πόλις ἡ μεγάλη ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς.

voie, şi să dea împărăţia lor fiarei, până se vor săvârşi cuvintele lui Dumnezeu. 18Şi femeia pe care ai văzut-o este cetatea cea mare, cea care are împărăţie peste împăraţii pământului.

Κεφάλαιον ΙΗ΄

Μετὰ ταῦτα εἶδον ἄλλον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην, καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ, 2καὶ ἔκραξεν ἐν ἰσχυρᾷ φωνῇ λέγων· ἔπεσεν, ἔπεσε Βαβυλὼν ἡ μεγάλη, καὶ ἐγένετο κατοικητήριον δαιμονίων καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρτου καὶ μεμισημένου· 3ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πέπωκαν πάντα τὰ ἔθνη, καὶ οἱ βασιλεῖς τῆς γῆς μετ᾽ αὐτῆς ἐπόρνευσαν, καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς δυνάμεως τοῦ στρήνους αὐτῆς ἐπλούτησαν. 4Καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν· ἔξελθε ἐξ αὐτῆς ὁ λαός μου, ἵνα μὴ συγκοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς, καὶ ἵνα ἐκ τῶν πληγῶν αὐτῆς μὴ λάβητε· 5ὅτι ἐκολλήθησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ, καὶ ἐμνημόνευσεν ὁ Θεὸς τὰ ἀδικήματα αὐτῆς. 6ἀπόδοτε αὐτῇ ὡς καὶ αὐτὴ ἀπέδωκε, καὶ διπλώσατε αὐτῇ διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς· ἐν τῷ ποτηρίῳ ᾧ ἐκέρασε, κεράσατε αὐτῇ διπλοῦν. 7ὅσα ἐδόξασεν ἑαυτὴν καὶ ἐστρηνίασε, τοσοῦτον δότε αὐτῇ βασανισμὸν καὶ πένθος. ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει, ὅτι

Capitolul 18

După acestea, am văzut un alt înger coborându-se din cer, având putere mare, şi pământul s-a luminat de slava lui, 2şi a strigat cu glas tare, zicând: Căzut-a, căzut-a cetatea Babilonului cea mare şi a ajuns locaş al dracilor şi temniţă a tot duhul necurat şi temniţă a toată pasărea necurată şi urâtă; 3că din vinul mâniei desfrânării ei au băut toate neamurile, şi împăraţii pământului s-au desfrânat cu ea, şi neguţătorii pământului s-au îmbogăţit din puterea dezmierdării ei. 4Şi am auzit alt glas din cer, zicând: Ieşi din ea, poporul meu, ca să nu vă împărtăşiţi de păcatele ei şi ca să nu luaţi din plăgile ei. 5Că s-au grămădit păcatele ei până la cer şi a pomenit Dumnezeu nedreptăţile ei. 6Răsplătiţi-i ei precum şi ea v-a răsplătit, şi îndoiţi-i ei îndoit, după faptele ei; în paharul unde a amestecat, amestecaţi-i ei îndoit. 7Cu câte s-a slăvit pe sine şi s-a dezmierdat, tot atâta chin daţi-i ei şi tânguire. Pentru că în inima ei zice: Şed ca o împărătească, şi văduvă nu sunt, şi tânguire nu voi vedea! 8Pentru aceea într-o singură zi vor veni plăgile ei: moarte şi tânguire şi

κάθημαι καθὼς βασίλισσα καὶ χήρα οὐκ εἰμὶ καὶ πένθος οὐ μὴ ἴδω, 8διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς, θάνατος καὶ πένθος καὶ λιμός, καὶ ἐν πυρὶ κατακαυθήσεται· ὅτι ἰσχυρὸς Κύριος ὁ Θεὸς ὁ κρίνας αὐτήν. 9καὶ κλαύσουσιν αὐτὴν καὶ κόψονται ἐπ᾽ αὐτῇ οἱ βασιλεῖς τῆς γῆς οἱ μετ᾽ αὐτῆς πορνεύσαντες καὶ στρηνιάσαντες, ὅταν βλέπωσι τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, 10ἀπὸ μακρόθεν ἑστηκότες διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, λέγοντες· οὐαὶ οὐαί, ἡ πόλις ἡ μεγάλη Βαβυλών, ἡ πόλις ἡ ἰσχυρά, ὅτι μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου. 11καὶ οἱ ἔμποροι τῆς γῆς κλαύσουσι καὶ πενθήσουσιν ἐπ᾽ αὐτῇ, ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει οὐκέτι, 12γόμον χρυσοῦ καὶ ἀργύρου καὶ λίθου τιμίου καὶ μαργαρίτου, καὶ βυσσίνου καὶ πορφύρας καὶ σηρικοῦ καὶ κοκκίνου, καὶ πᾶν ξύλον θύϊνον καὶ πᾶν σκεῦος ἐλεφάντινον καὶ πᾶν σκεῦος ἐκ ξύλου τιμιωτάτου καὶ χαλκοῦ καὶ σιδήρου καὶ μαρμάρου, 13καὶ κινάμωμον καὶ ἄμωμον καὶ θυμιάματα, καὶ μύρον καὶ λίβανον καὶ οἶνον καὶ ἔλαιον καὶ σεμίδαλιν καὶ σῖτον καὶ κτήνη καὶ πρόβατα, καὶ ἵππων καὶ ῥεδῶν καὶ σωμάτων, καὶ ψυχὰς ἀνθρώπων. 14καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας τῆς ψυχῆς σου ἀπώλετο ἀπὸ σοῦ, καὶ πάντα τὰ λιπαρὰ καὶ τὰ λαμπρὰ ἀπῆλθεν ἀπὸ σοῦ, καὶ οὐκέτι οὐ μὴ αὐτὰ εὑρήσεις. 15οἱ ἔμποροι τούτων, οἱ πλουτήσαντες ἀπ᾽ αὐτῆς, ἀπὸ μακρόθεν στήσονται διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς κλαίοντες καὶ πενθοῦντες, 16λέγοντες· οὐαὶ οὐαί, ἡ πόλις ἡ μεγάλη, ἡ περιβεβλημένη βύσσινον καὶ πορφυροῦν καὶ κόκκινον καὶ κεχρυσωμένη ἐν χρυσίῳ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη ὁ τοσοῦτος πλοῦτος. 17καὶ πᾶς κυβερνήτης καὶ πᾶς ὁ ἐπὶ τόπον πλέων, καὶ ναῦται καὶ ὅσοι τὴν θάλασσαν ἐργάζονται, ἀπὸ μακρόθεν ἔστησαν, 18καὶ ἔκραζον βλέποντες τὸν καπνὸν τῆς πυρώσεως

foamete, şi cu foc se va arde, căci tare este Domnul Dumnezeu, Cel ce a judecat-o pe ea. 9Şi o vor plânge şi se vor jeli pentru ea împăraţii pământului, care s-au desfrânat şi s-au dezmierdat cu ea, când vor vedea fumul arderii ei, 10departe stând de frica chinuirii ei, zicând: Vai! Vai! Cetatea cea mare, Babilonul, cetatea cea tare, că într-un ceas a venit judecata ta! 11Şi neguţătorii pământului vor plânge şi o vor jeli, căci încărcătura lor nimeni nu o mai cumpără, 12încărcătură de aur şi de argint, şi de piatră scumpă, şi de mărgăritar, şi de vison, şi de porfiră, şi de mătase, şi de stofă stacojie, şi orice lemn înmiresmat, şi orice vas de fildeş, şi orice vas de lemn preascump şi de aramă, şi de fier, şi de marmură, 13şi scorţişoară, şi balsam, şi miresme, şi mir, şi tămâie, şi vin, şi untdelemn, şi făină aleasă, şi grâu, şi vite, şi oi, şi cai, şi căruţe, şi trupuri, şi suflete de oameni. 14Şi rodul poftei sufletului tău a pierit de la tine şi toate cele grase şi strălucitoare s-au dus de la tine, şi nu le vei mai afla pe ele. 15Neguţătorii acestora, care s-au îmbogăţit de la ea, vor sta departe, de frica chinuirii ei, plângând şi tânguindu-se 16şi zicând: Vai! Vai! Cetatea cea mare, cea înfăşurată în vison şi în porfiră şi în stacojiu, şi aurită cu aur şi cu piatră scumpă şi cu mărgăritare, că într-un singur ceas s-a pustiit atâta bogăţie! 17Şi tot cârmaciul şi tot cel ce merge pe mare şi corăbierii şi câţi lucrează pe mare au stat departe, 18şi strigau, văzând fumul arderii ei, zicând: Cine era asemenea cetăţii celei mari? 19Şi şi-au pus ţărână pe capetele lor şi strigau plângând şi tânguindu-se, zicând: Vai! Vai! Cetatea cea mare, în care toţi cei ce aveau corăbii pe mare s-au îmbogăţit din comoara ei, că într-un singur ceas

αὐτῆς, λέγοντες· τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ;
19καὶ ἔβαλον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν καὶ
ἔκραζον κλαίοντες καὶ πενθοῦντες, λέγοντες·
οὐαὶ οὐαί, ἡ πόλις ἡ μεγάλη, ἐν ᾗ ἐπλούτησαν
πάντες οἱ ἔχοντες τὰ πλοῖα ἐν τῇ θαλάσσῃ ἐκ
τῆς τιμιότητος αὐτῆς· ὅτι μιᾷ ὥρᾳ ἠρημώθη.
20Εὐφραίνου ἐπ᾽ αὐτῇ, οὐρανέ, καὶ οἱ ἅγιοι
καὶ οἱ ἀπόστολοι καὶ οἱ προφῆται, ὅτι ἔκρινεν
ὁ Θεὸς τὸ κρῖμα ὑμῶν ἐξ αὐτῆς. 21Καὶ ἦρεν
εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μύλον μέγαν καὶ
ἔβαλεν εἰς τὴν θάλασσαν λέγων· οὕτως ὁρ-
μήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη πόλις,
καὶ οὐ μὴ εὑρεθῇ ἔτι. 22καὶ φωνὴ κιθαρῳδῶν
καὶ μουσικῶν καὶ αὐλητῶν καὶ σαλπιστῶν
οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι, καὶ πᾶς τεχνίτης
πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι, καὶ
φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι, 23καὶ
φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι, καὶ φωνὴ
νυμφίου καὶ νύμφης οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι·
ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς,
ὅτι ἐν τῇ φαρμακείᾳ σου ἐπλανήθησαν πάντα
τὰ ἔθνη, 24καὶ ἐν αὐτῇ αἵματα προφητῶν καὶ
ἁγίων εὑρέθη καὶ πάντων τῶν ἐσφαγμένων
ἐπὶ τῆς γῆς.

s-a pustiit! 20Veseleşte-te de ea, cerule, şi
sfinţilor, şi apostolilor, şi proorocilor, că
a judecat Dumnezeu judecata voastră de
la ea. 21Şi un înger tare a ridicat o piatră,
mare cât o piatră de moară, şi a aruncat-o
în mare, zicând: Cu asemenea repeziciune
se va arunca Babilonul, cetatea cea mare,
şi nu se va mai afla. 22Şi glas de alăute, de
muzici, de fluiere şi de trâmbiţe nu se vor
mai auzi în tine, şi nici un meşteşugar de
nici un meşteşug nu se va mai afla în tine,
şi glas de moară nu se va mai auzi în tine!
23Şi lumină de lampă nu va mai străluci în
tine; şi glas de mire şi mireasă nu se va mai
auzi în tine; că neguţătorii tăi erau mai-ma-
rii pământului, că în fermecătoria ta s-au
rătăcit toate neamurile, 24şi într-însa s-a
aflat sângele proorocilor şi al sfinţilor şi al
tuturor celor înjunghiaţi pe pământ.

Κεφάλαιον ΙΘ΄

Μετὰ ταῦτα ἤκουσα ὡς φωνὴν με-
γάλην ὄχλου πολλοῦ ἐν τῷ οὐρα-
νῷ λεγόντων· ἀλληλούϊα· ἡ σωτη-
ρία καὶ ἡ δόξα καὶ ἡ δύναμις τοῦ
Θεοῦ ἡμῶν, 2ὅτι ἀληθιναὶ καὶ δί-
καιαι αἱ κρίσεις αὐτοῦ· ὅτι ἔκρινε
τὴν πόρνην τὴν μεγάλην, ἥτις διέφθειρε τὴν
γῆν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐξεδίκησε τὸ
αἷμα τῶν δούλων αὐτοῦ ἐκ χειρὸς αὐτῆς. 3καὶ

Capitolul 19

După acestea, am auzit ca un glas mare
de mulţime multă în cer, zicând:
Aliluia! Mântuirea şi slava şi pute-
rea sunt ale Dumnezeului nostru,
2că adevărate şi drepte sunt judecă-
ţile Lui! Că a judecat pe desfrânata
cea mare, care a stricat pământul cu desfrâ-
narea ei, şi a răzbunat sângele robilor Săi,
din mâna ei! 3Şi a doua oară au zis: Ali-

δεύτερον εἴρηκαν· ἀλληλούϊα· καὶ ὁ καπνὸς
αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
4καὶ ἔπεσαν οἱ εἴκοσι καὶ τέσσαρες πρεσβύτε-
ροι καὶ τὰ τέσσαρα ζῷα καὶ προσεκύνησαν
τῷ Θεῷ τῷ καθημένῳ ἐπὶ τῷ θρόνῳ λέγοντες·
ἀμήν, ἀλληλούϊα.

luia! Şi fumul ei se ridică în vecii vecilor.
4Iar cei douăzeci şi patru de bătrâni şi cele
patru fiinţe au căzut şi s-au închinat lui
Dumnezeu, Celui ce şade pe tron, zicând:
Amin! Aliluia!

Καὶ φωνὴ ἀπὸ τοῦ θρόνου ἐξῆλθε λέγουσα·
αἰνεῖτε τὸν Θεὸν ἡμῶν πάντες οἱ δοῦλοι
αὐτοῦ καὶ οἱ φοβούμενοι αὐτόν, οἱ μικροὶ
καὶ οἱ μεγάλοι. 6Καὶ ἤκουσα ὡς φωνὴν ὄχλου
πολλοῦ καὶ ὡς φωνὴν ὑδάτων πολλῶν καὶ
ὡς φωνὴν βροντῶν ἰσχυρῶν, λεγόντων· ἀλ-
ληλούϊα· ὅτι ἐβασίλευσε Κύριος ὁ Θεὸς ὁ
παντοκράτωρ. 7χαίρωμεν καὶ ἀγαλλιώμεθα
καὶ δῶμεν τὴν δόξαν αὐτῷ, ὅτι ἦλθεν ὁ γά-
μος τοῦ ἀρνίου καὶ ἡ γυνὴ αὐτοῦ ἡτοίμασεν
ἑαυτήν. 8καὶ ἐδόθη αὐτῇ ἵνα περιβάληται
βύσσινον λαμπρὸν καθαρόν· τὸ γὰρ βύσσινον
τὰ δικαιώματα τῶν ἁγίων ἐστί. 9Καὶ λέγει μοι·
γράψον, μακάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου
τοῦ ἀρνίου κεκλημένοι. καὶ λέγει μοι· οὗτοι
οἱ λόγοι ἀληθινοὶ τοῦ Θεοῦ εἰσι. 10Καὶ ἔπεσα
ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι
αὐτῷ. καὶ λέγει μοι· ὅρα μή· σύνδουλός σού
εἰμι καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν
μαρτυρίαν Ἰησοῦ· τῷ Θεῷ προσκύνησον· ἡ
γὰρ μαρτυρία τοῦ Ἰησοῦ ἐστι τὸ πνεῦμα τῆς
προφητείας.

Şi un glas a ieşit din tron, zicând: Lăudaţi
pe Dumnezeul nostru toţi robii Lui şi
cei ce vă temeţi de El, cei mici şi cei mari.
6Şi am auzit ca un glas de mulţime multă
şi ca un glas de ape multe şi ca un glas de
tunete tari, zicând: Aliluia! Că a împărăţit
Domnul Dumnezeu Atotţiitorul. 7Să ne
bucurăm şi să ne veselim şi Lui să-I dăm
slavă! Că a venit nunta Mielului şi femeia
Lui s-a gătit! 8Şi i s-a dat ei să se înfăşoare
cu vison strălucitor, curat, căci visonul sunt
îndreptările sfinţilor. 9Şi mi-a zis: Scrie: Fe-
riciţi cei chemaţi la cina nunţii Mielului! Şi
mi-a zis: Acestea sunt cuvintele adevărate
ale lui Dumnezeu. 10Şi am căzut înaintea
picioarelor lui, ca să mă închin lui. Şi mi-a
zis: Vezi, nu face aceasta! Sunt rob împreu-
nă cu tine şi cu fraţii tăi, care au mărturia
lui Iisus; lui Dumnezeu închină-te; căci
mărturia lui Iisus este duhul proorociei.

Καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ ἰδοὺ
ἵππος λευκός, καὶ ὁ καθήμενος ἐπ᾽ αὐ-
τόν, καλούμενος πιστὸς καὶ ἀληθινός, καὶ ἐν
δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ· 12οἱ δὲ ὀφθαλ-
μοὶ αὐτοῦ ὡς φλὸξ πυρός, καὶ ἐπὶ τὴν κεφα-
λὴν αὐτοῦ διαδήματα πολλά, ἔχων ὀνόματα
γεγραμμένα, καὶ ὄνομα γεγραμμένον ὃ οὐδεὶς
οἶδεν εἰ μὴ αὐτός, 13καὶ περιβεβλημένος ἱμάτιον
βεβαμμένον ἐν αἵματι, καὶ κέκληται τὸ ὄνομα
αὐτοῦ, ὁ Λόγος τοῦ Θεοῦ. 14καὶ τὰ στρατεύ-
ματα τὰ ἐν τῷ οὐρανῷ ἠκολούθει αὐτῷ ἐπὶ
ἵπποις λευκοῖς, ἐνδεδυμένοι βύσσινον λευκὸν

Şi am văzut cerul deschis şi iată un cal
alb, şi Cel ce şade pe el este chemat
Credincios şi Adevărat, şi cu dreptate ju-
decă şi se războieşte; 12Iar ochii Lui, ca pa-
ra focului, şi pe capul Lui multe diademe;
şi are nume scrise şi nume scris pe care ni-
meni nu-l ştie, decât numai El; 13şi este în-
făşurat în veşmânt afundat în sânge, şi se
cheamă numele Lui Cuvântul lui Dumne-
zeu. 14Şi oştirile cele din cer urmau Lui pe
cai albi, purtând veşminte de vison alb, cu-
rat. 15Şi din gura Lui iese sabie ascuţită cu

καθαρόν. 15καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία ὀξεῖα δίστομος, ἵνα ἐν αὐτῇ πατάσσῃ τὰ ἔθνη· καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ· καὶ αὐτὸς πατεῖ τὴν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς τοῦ Θεοῦ τοῦ παντοκράτορος. 16καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ ὄνομα γεγραμμένον, βασιλεὺς βασιλέων καὶ κύριος κυρίων. 17Καὶ εἶδον ἕνα ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ, καὶ ἔκραξεν ἐν φωνῇ μεγάλῃ λέγων πᾶσι τοῖς ὀρνέοις τοῖς πετομένοις ἐν μεσουρανήματι· δεῦτε συνάχθητε εἰς τὸ δεῖπνον τὸ μέγα τοῦ Θεοῦ, 18ἵνα φάγητε σάρκας βασιλέων καὶ σάρκας χιλιάρχων καὶ σάρκας ἰσχυρῶν καὶ σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ᾽ αὐτῶν, καὶ σάρκας πάντων ἐλευθέρων τε καὶ δούλων, καὶ μικρῶν τε καὶ μεγάλων. 19Καὶ εἶδον τὸ θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ τὰ στρατεύματα αὐτῶν συνηγμένα ποιῆσαι τὸν πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ. 20καὶ ἐπιάσθη τὸ θηρίον καὶ ὁ μετ᾽ αὐτοῦ ψευδοπροφήτης ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ, ἐν οἷς ἐπλάνησε τοὺς λαβόντας τὸ χάραγμα τοῦ θηρίου καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ· ζῶντες ἐβλήθησαν οἱ δύο εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν καιομένην ἐν θείῳ. 21καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, τῇ ἐξελθούσῃ ἐκ τοῦ στόματος αὐτοῦ· καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.

două tăişuri, ca să lovească neamurile cu ea. Şi El îi va paşte cu toiag de fier; şi El va călca teascul vinului mâniei urgiei lui Dumnezeu Atotţiitorul. 16Şi are pe haina şi pe coapsa Lui nume scris: Împăratul împăraţilor şi Domnul domnilor. 17Şi am văzut un înger stând în soare; şi a strigat cu glas mare, zicând tuturor păsărilor care zburau în mijlocul cerului: Veniţi, adunaţi-vă la cina cea mare a lui Dumnezeu, 18ca să mâncaţi trupuri de împăraţi, şi trupuri de tribuni, şi trupuri ale celor tari, şi trupuri ale cailor şi ale celor care stau pe ei, şi trupuri ale tuturor, şi liberi şi robi, şi mici şi mari. 19Şi am văzut fiara şi pe împăraţii pământului şi oştirile lor adunate, ca să facă război cu Cel ce şedea pe cal şi cu oştirea Lui. 20Şi a fost prinsă fiara, şi împreună cu ea proorocul mincinos, cel care a făcut semnele înaintea ei, cu care i-a amăgit pe cei ce au primit semnul fiarei şi pe cei ce se închinau chipului ei; de vii au fost aruncaţi cei doi în iezerul de foc, cel ce arde cu pucioasă. 21Şi ceilalţi au fost ucişi cu sabia Celui ce şedea pe cal, care a ieşit din gura Lui; şi toate păsările s-au săturat din trupurile lor.

Κεφάλαιον Κ΄

Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα τὴν κλεῖν τῆς ἀβύσσου καὶ ἅλυσιν μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ. 2καὶ ἐκράτησε τὸν δράκοντα, τὸν ὄφιν τὸν ἀρχαῖον,

Capitolul 20

Şi am văzut un înger coborându-se din cer, având cheia adâncului şi un lanţ mare în mâna lui. 2Şi a prins pe balaur, şarpele cel de demult, care este diavolul şi satana, cel care

ὅς ἐστι Διάβολος καὶ ὁ Σατανᾶς ὁ πλανῶν τὴν
οἰκουμένην, καὶ ἔδησεν αὐτὸν χίλια ἔτη, 3καὶ
ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλεισε
καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ πλανᾷ
ἔτι τὰ ἔθνη, ἄχρι τελεσθῇ τὰ χίλια ἔτη· μετὰ
ταῦτα δεῖ αὐτὸν λυθῆναι μικρὸν χρόνον. 4Καὶ
εἶδον θρόνους, καὶ ἐκάθισαν ἐπ᾽ αὐτούς, καὶ
κρῖμα ἐδόθη αὐτοῖς, καὶ τὰς ψυχὰς τῶν πε-
πελεκισμένων διὰ τὴν μαρτυρίαν Ἰησοῦ καὶ
διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ οἵτινες οὐ προσ-
εκύνησαν τὸ θηρίον οὔτε τὴν εἰκόνα αὐτοῦ,
καὶ οὐκ ἔλαβον τὸ χάραγμα ἐπὶ τὸ μέτωπον
αὐτῶν καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν· καὶ ἔζησαν
καὶ ἐβασίλευσαν μετὰ τοῦ Χριστοῦ χίλια ἔτη·
5καὶ οἱ λοιποὶ τῶν νεκρῶν οὐκ ἔζησαν ἕως
τελεσθῇ τὰ χίλια ἔτη. αὕτη ἡ ἀνάστασις ἡ
πρώτη. 6μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν
τῇ ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τούτων ὁ δεύτε-
ρος θάνατος οὐκ ἔχει ἐξουσίαν, ἀλλ᾽ ἔσονται
ἱερεῖς τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ, καὶ βασι-
λεύσουσι μετ᾽ αὐτοῦ χίλια ἔτη.

Καὶ ὅταν τελεσθῇ τὰ χίλια ἔτη, λυθήσεται
ὁ σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ, 8καὶ
ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσ-
σαρσι γωνίαις τῆς γῆς, τὸν Γὼγ καὶ τὸν Μα-
γώγ, συναγαγεῖν αὐτοὺς εἰς τὸν πόλεμον, ὧν
ὁ ἀριθμὸς αὐτῶν ὡς ἡ ἄμμος τῆς θαλάσσης.
9καὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς, καὶ ἐκύ-
κλευσαν τὴν παρεμβολὴν τῶν ἁγίων καὶ τὴν
πόλιν τὴν ἠγαπημένην· καὶ κατέβη πῦρ ἐκ
τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ καὶ κατέφαγεν
αὐτούς· 10καὶ ὁ διάβολος ὁ πλανῶν αὐτοὺς
ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρὸς καὶ τοῦ θείου,
ὅπου καὶ τὸ θηρίον καὶ ὁ ψευδοπροφήτης,
καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς εἰς
τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ εἶδον θρόνον μέγαν λευκὸν καὶ τὸν
καθήμενον ἐπ᾽ αὐτῷ, οὗ ἀπὸ προσώπου
ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανός, καὶ τόπος οὐχ
εὑρέθη αὐτοῖς. 12καὶ εἶδον τοὺς νεκρούς,

amăgeşte lumea, şi l-a legat o mie de ani,
3şi l-a aruncat în adânc şi a încuiat, şi a
pecetluit deasupra lui, ca să nu mai amă-
gească neamurile, până ce se vor sfârşi cei
o mie de ani; după aceştia, trebuie ca el să
fie dezlegat puţină vreme. 4Şi am văzut tro-
nuri – şi au şezut pe ele şi judecată li s-a
dat lor – şi sufletele celor tăiaţi cu securea
pentru mărturia lui Iisus şi pentru cuvântul
lui Dumnezeu, care nu s-au închinat fia-
rei, nici chipului ei, şi nu au primit semnul
pe fruntea lor şi pe mâna lor; şi au înviat
şi au împărăţit împreună cu Hristos o mie
de ani. 5Şi ceilalţi morţi nu au înviat până
ce nu s-au sfârşit cei o mie de ani. Aceasta
este învierea cea dintâi. 6Fericit şi sfânt cel
ce are parte la învierea cea dintâi; peste
aceştia moartea cea de a doua nu are stă-
pânire, ci vor fi preoţi ai lui Dumnezeu şi
ai lui Hristos şi vor împărăţi împreună cu
El o mie de ani.

Şi când se vor sfârşi cei o mie de ani, va
fi dezlegat satana din temniţa lui 8şi va
ieşi să amăgească neamurile din cele patru
colţuri ale pământului, pe Gog şi pe Magog,
să-i adune pe ei la război, al căror număr
este ca nisipul mării. 9Şi s-au suit pe latul
pământului şi au înconjurat tabăra sfinţi-
lor şi cetatea cea iubită; şi s-a pogorât foc
din cer, de la Dumnezeu, şi i-a mistuit; 10şi
diavolul, care-i amăgea, a fost aruncat în
iezerul de foc şi de pucioasă, unde erau şi
fiara şi proorocul mincinos, şi vor fi chinu-
iţi zi şi noapte, în vecii vecilor.

Şi am văzut un tron mare alb şi pe Cel ce
şedea pe el, de la faţa Căruia au fugit
pământul şi cerul, şi loc nu li s-a aflat. 12Şi
am văzut pe cei morţi, mari şi mici, stând

τοὺς μεγάλους καὶ τοὺς μικρούς, ἑστῶτας ἐνώπιον τοῦ θρόνου, καὶ βιβλία ἠνοίχθησαν· καὶ ἄλλο βιβλίον ἠνοίχθη, ὅ ἐστι τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν. 13καὶ ἔδωκεν ἡ θάλασσα τοὺς νεκροὺς τοὺς ἐν αὐτῇ, καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκαν τοὺς νεκροὺς τοὺς ἐν αὐτοῖς, καὶ ἐκρίθησαν ἕκαστος κατὰ τὰ ἔργα αὐτῶν. 14καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἐβλήθησαν εἰς τὴν λίμνην τοῦ πυρός· οὗτος ὁ θάνατος ὁ δεύτερός ἐστιν. 15καὶ εἴ τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς γεγραμμένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός.

înaintea tronului şi cărţile s-au deschis; şi altă carte s-a deschis, care este a vieţii; şi au fost judecaţi morţii din cele scrise în cărţi, după faptele lor. 13Şi a dat marea pe morţii care erau în ea, şi moartea şi iadul au dat pe morţii care erau în ele, şi au fost judecaţi fiecare după faptele lor. 14Şi moartea şi iadul au fost aruncate în iezerul de foc; aceasta este moartea cea de a doua. 15Şi, dacă cineva nu s-a aflat scris în cartea vieţii, a fost aruncat în iezerul de foc.

Κεφάλαιον ΚΑ΄

Καὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν· ὁ γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ ἀπῆλθον, καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι. 2καὶ τὴν πόλιν τὴν ἁγίαν Ἱερουσαλὴμ καινὴν εἶδον καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ, ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς. 3καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ λεγούσης· ἰδοὺ ἡ σκηνὴ τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ' αὐτῶν, καὶ αὐτοὶ λαὸς αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ Θεὸς μετ' αὐτῶν ἔσται, 4καὶ ἐξαλείψει ἀπ' αὐτῶν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν, καὶ ὁ θάνατος οὐκ ἔσται ἔτι, οὔτε πένθος οὔτε κραυγὴ οὔτε πόνος οὐκ ἔσται ἔτι· ὅτι τὰ πρῶτα ἀπῆλθον. 5Καὶ εἶπεν ὁ καθήμενος ἐπὶ τῷ θρόνῳ· ἰδοὺ καινὰ ποιῶ πάντα. καὶ λέγει μοι· γράψον, ὅτι οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί εἰσι. 6καὶ εἶπέ μοι· γέγονεν. ἐγὼ τὸ Α

Capitolul 21

Şi am văzut cer nou şi pământ nou; căci cerul dintâi şi pământul dintâi s-au dus; şi marea nu mai este. 2Şi cetatea cea sfântă, noul Ierusalim, am văzut-o pogorându-se din cer, de la Dumnezeu, gătită ca o mireasă împodobită pentru bărbatul ei. 3Şi am auzit glas mare din cer, zicând: Iată, cortul lui Dumnezeu este cu oamenii, şi El va sălăşlui împreună cu ei, şi ei vor fi poporul Lui, şi Însuşi Dumnezeu va fi cu ei 4şi va şterge de la ei Dumnezeu toată lacrima din ochii lor, şi moartea nu va mai fi, nici tânguire, nici strigare, nici durere nu vor mai fi; că cele dintâi s-au dus. 5Şi a zis Cel ce şedea pe tron: Iată, pe toate le fac noi. Şi îmi zice: Scrie, că aceste cuvinte sunt vrednice de crezare şi adevărate. 6Şi mi-a zis: Făcutu-s-a! Eu sunt Alfa şi Omega, începutul şi sfârşitul. Celui ce însetează Eu

καὶ τὸ Ω, ἡ ἀρχὴ καὶ τὸ τέλος. ἐγὼ τῷ διψῶντι
δώσω ἐκ τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δω-
reán. 7ὁ νικῶν, ἔσται αὐτῷ ταῦτα, καὶ ἔσομαι
αὐτῷ Θεὸς καὶ αὐτὸς ἔσται μοι υἱός. 8τοῖς
δὲ δειλοῖς καὶ ἀπίστοις καὶ ἐβδελυγμένοις
καὶ φονεῦσι καὶ πόρνοις καὶ φαρμακοῖς καὶ
εἰδωλολάτραις καὶ πᾶσι τοῖς ψευδέσι τὸ μέ-
ρος αὐτῶν ἐν τῇ λίμνῃ τῇ καιομένῃ ἐν πυρὶ
καὶ θείῳ, ὅ ἐστιν ὁ θάνατος ὁ δεύτερος.

Καὶ ἦλθεν εἷς τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόν-
των τὰς ἑπτὰ φιάλας τὰς γεμούσας τῶν
ἑπτὰ πληγῶν τῶν ἐσχάτων, καὶ ἐλάλησε μετ'
ἐμοῦ λέγων· δεῦρο δείξω σοι τὴν νύμφην
τὴν γυναῖκα τοῦ ἀρνίου. 10καὶ ἀπήνεγκέ με
ἐν πνεύματι ἐπ' ὄρος μέγα καὶ ὑψηλόν, καὶ
ἔδειξέ μοι τὴν πόλιν τὴν ἁγίαν Ἰερουσαλὴμ
καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ
Θεοῦ, 11ἔχουσαν τὴν δόξαν τοῦ Θεοῦ· ὁ φω-
στὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ
ἰάσπιδι κρυσταλλίζοντι· 12ἔχουσα τεῖχος μέ-
γα καὶ ὑψηλόν, ἔχουσα πυλῶνας δώδεκα,
καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα, καὶ
ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστιν ὀνόματα
τῶν δώδεκα φυλῶν τῶν υἱῶν Ἰσραήλ. 13ἀπ'
ἀνατολῶν πυλῶνες τρεῖς, καὶ ἀπὸ βορρᾶ πυ-
λῶνες τρεῖς, καὶ ἀπὸ νότου πυλῶνες τρεῖς,
καὶ ἀπὸ δυσμῶν πυλῶνες τρεῖς. 14καὶ τὸ τεῖ-
χος τῆς πόλεως ἔχον θεμελίους δώδεκα, καὶ
ἐπ' αὐτῶν δώδεκα ὀνόματα τῶν δώδεκα ἀπο-
στόλων τοῦ ἀρνίου. 15Καὶ ὁ λαλῶν μετ' ἐμοῦ
εἶχε μέτρον κάλαμον χρυσοῦν, ἵνα μετρήσῃ
τὴν πόλιν καὶ τοὺς πυλῶνας αὐτῆς καὶ τὸ
τεῖχος αὐτῆς. 16καὶ ἡ πόλις τετράγωνος κεῖται,
καὶ τὸ μῆκος αὐτῆς ὅσον καὶ τὸ πλάτος. καὶ
ἐμέτρησε τὴν πόλιν ἐν τῷ καλάμῳ ἐπὶ σταδί-
ους δώδεκα χιλιάδων· τὸ μῆκος καὶ τὸ πλάτος
καὶ τὸ ὕψος αὐτῆς ἴσα ἐστί. 17καὶ ἐμέτρησε
τὸ τεῖχος αὐτῆς ἑκατὸν τεσσαράκοντα τεσ-
σάρων πηχῶν, μέτρον ἀνθρώπου, ὅ ἐστιν
ἀγγέλου. 18καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους

îi voi da în dar din izvorul apei vieții. 7Cel
ce biruieşte va avea acestea şi îi voi fi lui
Dumnezeu şi el Îmi va fi Mie fiu. 8Iar ce-
lor fricoşi şi necredincioşi şi spurcaţi şi uci-
gaşi şi desfrânaţi şi vrăjitori şi închinători
la idoli şi tuturor celor mincinoşi, partea
lor este în iezerul care arde cu foc şi pu-
cioasă, care este moartea cea de-a doua.

Şi a venit unul dintre cei şapte îngeri, ca-
re aveau cele şapte cupe pline cu cele
şapte plăgi, cele din urmă, şi a grăit cu mine,
zicând: Vino, îţi voi arăta mireasa, femeia
Mielului. 10Şi m-a dus pe mine, în duh, pe
un munte mare, înalt, şi mi-a arătat ceta-
tea cea sfântă, Ierusalimul, pogorându-se
din cer, de la Dumnezeu, 11având slava lui
Dumnezeu; luminătorul ei, asemenea unei
pietre de mare preţ, ca o piatră de iasp, lim-
pede cum e cristalul. 12Şi avea zid mare şi
înalt şi avea douăsprezece porţi; şi la porţi
doisprezece îngeri, şi nume scrise deasu-
pra, care sunt numele celor douăsprezece
seminţii ale fiilor lui Israel. 13Dinspre Răsă-
rit trei porţi, şi dinspre Miazănoapte trei
porţi, şi dinspre Miazăzi trei porţi, şi din-
spre Apus trei porţi. 14Şi zidul cetăţii avea
douăsprezece temelii, şi pe ele douăspre-
zece nume, ale celor doisprezece apostoli
ai Mielului. 15Şi cel ce grăia cu mine avea
pentru măsurat o trestie de aur, ca să mă-
soare cetatea şi porţile ei şi zidul ei. 16Şi ce-
tatea este în patru colţuri, şi lungimea ei tot
atât cât şi lăţimea. Şi a măsurat cetatea cu
trestia: douăsprezece mii de stadii; lungi-
mea şi lărgimea şi înălţimea ei sunt întoc-
mai. 17Şi a măsurat zidul ei: o sută patru-
zeci şi patru de coţi, măsură de om, adică
de înger. 18Şi era zidăria zidului ei de iasp,
iar cetatea, de aur curat, asemenea sticlei

αὐτῆς ἴασπις, καὶ ἡ πόλις χρυσίον καθαρόν, ὅμοιον ὑάλῳ καθαρῷ. 19οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος ἴασπις, ὁ δεύτερος σάπφειρος, ὁ τρίτος χαλκηδών, ὁ τέταρτος σμάραγδος, 20ὁ πέμπτος σαρδόνυξ, ὁ ἕκτος σάρδιον, ὁ ἕβδομος χρυσόλιθος, ὁ ὄγδοος βήρυλλος, ὁ ἔνατος τοπάζιον, ὁ δέκατος χρυσόπρασος, ὁ ἑνδέκατος ὑάκινθος, ὁ δωδέκατος ἀμέθυστος. 21καὶ οἱ δώδεκα πυλῶνες δώδεκα μαργαρῖται· ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου. καὶ ἡ πλατεῖα τῆς πόλεως χρυσίον καθαρὸν ὡς ὕαλος διαυγής. 22Καὶ ναὸν οὐκ εἶδον ἐν αὐτῇ· ὁ γὰρ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ναὸς αὐτῆς ἐστι, καὶ τὸ ἀρνίον. 23καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης ἵνα φαίνωσιν αὐτῇ· ἡ γὰρ δόξα τοῦ Θεοῦ ἐφώτισεν αὐτήν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον. 24καὶ περιπατήσουσι τὰ ἔθνη διὰ τοῦ φωτὸς αὐτῆς, καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσι τὴν δόξαν καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτήν, 25καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας· νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ· 26καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν. 27καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινὸν καὶ ὁ ποιῶν βδέλυγμα καὶ ψεῦδος, εἰ μὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου.

curate. 19Temeliile zidului cetății erau împodobite cu tot felul de pietre scumpe; temelia cea dintâi, iasp, cea de-a doua, safir, cea de-a treia, calcedoniu, a patra, smarald, 20a cincea, sardonix, a şasea, sardiu, a şaptea, hrisolit, a opta, beril, a noua, topaz, a zecea, hrisopras, a unsprezecea, iachint, a douăsprezecea, ametist. 21Şi cele douăsprezece porți, douăsprezece mărgăritare; fiecare din porți este dintr-un mărgăritar. Şi piața cetății, de aur curat, precum sticla străvezie. 22Şi templu n-am văzut în ea, căci Domnul Dumnezeu, Atotțiitorul, este templul ei, şi Mielul. 23Şi cetatea nu are trebuință de soare, nici de lună, ca să o lumineze, căci slava lui Dumnezeu a luminat-o şi făclia ei este Mielul. 24Şi vor umbla neamurile prin lumina ei, şi împărații pământului aduc slava şi cinstea lor într-însa, 25şi porțile ei nu se vor mai încuia ziua, căci noapte nu va mai fi acolo; 26şi vor aduce slava şi cinstea neamurilor într-însa. 27Şi nu va intra într-însa tot ce este întinat, nici cel ce face spurcăciune şi minciună, fără numai cei scrişi în cartea vieții Mielului.

Κεφάλαιον ΚΒ΄

Καὶ ἔδειξέ μοι ποταμὸν ὕδατος ζωῆς λαμπρὸν ὡς κρύσταλλον, ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου. 2ἐν μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐκεῖθεν ξύλον ζωῆς, ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα

Capitolul 22

Şi mi-a arătat râul apei vieții, limpede cum e cristalul, ieşind din tronul lui Dumnezeu şi al Mielului; 2în mijlocul pieței ei, şi de-o parte, şi de alta a râului, lemnul vieții, făcând douăsprezece roade, în fiecare lună dându-şi rodul său; şi frun-

ἕκαστον ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ, καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν τῶν ἐθνῶν. 3καὶ πᾶν κατάθεμα οὐκ ἔσται ἔτι· καὶ ὁ θρόνος τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται, καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ 4καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν. 5καὶ νὺξ οὐκ ἔσται ἔτι, καὶ οὐ χρεία λύχνου καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς φωτιεῖ αὐτούς, καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

